ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ





ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ARISTOTELIS

DE COLORIBUS

DE AUDIBILIBUS

PHYSIOGNOMONICA

DE PLANTIS

DE MIRABILIBUS AUSCULTATIONIBUS

MECHANICA

DE LINEIS INSECABILIBUS

VENTORUM SITUS ET NOMINA

DE XENOPHANE ZENONE ET GORGIA

EX RECENSIONE

IMMANUELIS BEKKERI.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXVII.

INDEX CODICUM.

E. Parisiensis Regius 1853.
L. Vaticanus 253.
M. Urbinas 37.
N. Vaticanus 258.
P. Vaticanus 1339.
Q. Marcianus 200.
X. Ambrosianus H 50.
B^a. Palatinus Vaticanus 162.
G^a. Marcianus 212.
H^a. Marcianus 214.
I^a. Laurentianus 57 33.
K^a. Marcianus Append. 4 58.
L^a. Marcianus 263.
M^a. Coislinianus 173.
N^a. Marcianus 215.
O^a. Marcianus 216.
P^a. Parisiensis 2069.
Q^a. Urbinas 38.
R^a. Vaticanus 1302.
S^a. Laurentianus 60 19.
T^a. Laurentianus 86 3.
U^a. Ottobonianus 45.
V^a. Urbinas 108.
W^a. Urbinas 44.
Z^a. Laurentianus 87 21.
c. Parisiensis 1861.
i. Parisiensis 2032.
n. Urbinas 39.
p. Coislinianus 323.
q. Urbinas 76.
z. Parisiensis 2277.
Lps. codex Lipsiensis.

ΠΕΡΙ ΧΡΩΜΑΤΩΝ.

ΑΠΛΑ τῶν χρωμάτων ἐστὶν ὅσα τοῖς στοιχείοις συνακολουθεῖ, οἷον πυρὶ [a] καὶ ἀέρι καὶ ὕδατι καὶ γῇ. [1] Ἀὴρ μὲν [b] γὰρ καὶ ὕδωρ καθ' ἑαυτὰ τῇ φύσει λευκά, τὸ δὲ πῦρ καὶ ὁ ἥλιος ξανθά. Καὶ ἡ γῆ δ' ἐστὶ φύσει λευκή, παρὰ δὲ τὴν βαφὴν πολύχρους φαίνεται. Δῆλον δ' ἐπὶ τῆς τέφρας τοῦτ' ἐστίν· 2 ἐκκαυθέντος γὰρ τοῦ τὴν βαφὴν πεποιηκότος ὑγροῦ λευκὴ γίνεται, οὐ παντελῶς δὲ διὰ τὸ τῷ καπνῷ βεβάφθαι μέλανι ὄντι. Διὸ καὶ ἡ κονία ξανθὴ γίνεται, τοῦ φλογοειδοῦς καὶ μέλανος ἐπιχρώζοντος τὸ ὕδωρ. Τὸ δὲ μέλαν χρῶμα συνα- 3 κολουθεῖ τοῖς στοιχείοις εἰς ἄλληλα μεταβαλλόντων. Τὰ δ' ἄλλα [c] ἐκ τούτων εὐσύνοπτα τῇ μίξει κεραννυμένων ἀλλήλοις γίνεται. Τὸ δὲ σκότος ἐκλείποντος τοῦ φωτὸς γίνεται. [d] Τριχῶς γὰρ τὸ μέλαν ἡμῖν φαίνεται. [e] Ἡ γὰρ ὅλως 4 τὸ μὴ ὁρώμενόν ἐστι [e] τῇ φύσει [f] μέλαν (ἁπάντων γὰρ τῶν τοιούτων ἀνακλᾶταί τι φῶς [g] μέλαν), [h] ἢ ἀφ' ὧν μηδὲν ὅλως [i] φέρεται φῶς πρὸς τὰς ὄψεις· τὸ γὰρ μὴ ὁρώμενον, ὅταν ὁ περιέχων τόπος ὁρᾶται, φαντασίαν ποιεῖ μέλανος. Φαίνεται δὲ καὶ τὰ τοιαῦτα [k] ἡμῖν ἅπαντα [l] μέλανα, ἀφ' ὅσων ἀραιὸν καὶ ὀλίγον [m] ἰσχυρῶς ἀνακλᾶται τὸ φῶς. Διὸ καὶ αἱ 5 σκιαὶ φαίνονται μέλαιναι. [1] Ὁμοίως δὲ καὶ τὸ ὕδωρ, ὅταν [n] τραχυνθῇ, καθάπερ ἡ τῆς θαλάττης φρίκη· διὰ γὰρ τὴν τραχύτητα τῆς ἐπιφανείας ὀλίγων τῶν [o] αὐγῶν προσπιπτου-

Codices E.L.M.P.X.G[a].H[a]. et nonnullis locis Q.i.p.

[a] *καὶ ἀέρι* om. pr. G[a]. [b] *γὰρ*] *οὖν* P.X.p, om. E.M.i. [c] *εὐσύνοπτα ἐκ τούτων* H[a]. [d] *τριχῇ* L.i. [e] *τὴν φύσιν* G[a]. [f] *μέλαν* om. i. [g] *μέλαν* om. E.P.H[a]. [h] *ἢ* om. M. [i] *φαίνεται* i. [k] *ἅπαντα ἡμῖν* L.G[a].H[a]. [l] *μέλανα* om. pr. G[a]. [m] *ἰσχυρῶς* om. i. [n] *ταραχθῇ* L. [o] *αὐγῶν*] *αὐτῶν* P.

σῶν καὶ [p] διασπωμένου τοῦ φωτός, τὸ σκιερὸν μέλαν φαίνεται. Καὶ τὸ νέφος, ὅταν ᾖ πυκνὸν ἰσχυρῶς, διὰ τοῦτο. 6 [q] Κατὰ τὰ [r] αὐτὰ δὲ τούτοις καὶ τὸ ὕδωρ καὶ ὁ ἀήρ, ὅταν [s] ᾖ μὴ παντελῶς [t] διαδῦνον τὸ φῶς. Καὶ γὰρ ταῦτα [v] εἶναι δοκεῖ μέλανα, βάθος ἔχοντα, διὰ τὸ παντελῶς ἀραιὰς ἀνακλᾶσθαι τὰς ἀκτῖνας· τὰ γὰρ μεταξὺ [w] μόρια τοῦ φωτὸς αὐτῶν 7 ἅπαντα [x] εἶναι δοκεῖ [y] μέλανα διὰ τὸ σκότος. [v] Οτι δὲ τὸ σκότος οὐ χρῶμα ἀλλὰ στέρησίς ἐστι φωτός, οὐ χαλεπὸν ἐξ ἄλλων τε πολλῶν καταμαθεῖν, καὶ μάλιστα ἐκ τοῦ [z] μηδὲ αἰσθητὸν εἶναι τὸ πηλίκον καὶ ποιόν τι τῷ σχήματι τετύ- 8 χηκεν ὂν τὸ σκότος, καθάπερ ἐπὶ τῶν ἄλλων ὁρατῶν. Τὸ δὲ φῶς ὅτι πυρός ἐστι χρῶμα, δῆλον ἐκ τοῦ μηδεμίαν ἄλλην ἢ ταύτην [a] ἔχον εὑρίσκεσθαι χρόαν, καὶ διὰ τὸ [c] μόνον τοῦτο δι' ἑαυτοῦ ὁρατὸν γίνεσθαι, τὰ δ' ἄλλα διὰ τούτου. [d] Επισκεπτέον δὲ τοῦτο. [d] Ενια γὰρ οὐκ ὄντα πῦρ οὐδὲ πυρὸς 9 εἴδη τὴν φύσιν φῶς ποιεῖν φαίνεται. Εἰ μὴ ἄρα τὸ μὲν τοῦ πυρὸς [d] χρῶμα φῶς ἐστίν, οὐ μέντοι καὶ τὸ φῶς πυρός ἐστι χρῶμα [e] μόνου, ἀλλ' ἐνδέχεται μὴ μόνῳ μὲν ὑπάρχειν τῷ πυρὶ τὴν χρόαν ταύτην, εἶναι μέντοι χρῶμα τὸ φῶς αὐτοῦ. Οὐδενὶ [f] γοῦν ἄλλῳ τὴν ὅρασιν αὐτοῦ συμβαίνει γίνεσθαι πλὴν τῷ φωτί, καθάπερ καὶ τὴν τῶν ἄλλων [g] σωμάτων 10 ἁπάντων τῇ [h] τοῦ σώματος φαντασίᾳ. Τὸ δὲ μέλαν χρῶμα συμβαίνει γίνεσθαι, ὅταν [i] ὁ ἀὴρ καὶ [k] τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς διακαυθῇ, διὸ καὶ πάντα τὰ [l] καόμενα μελαίνεται, καθάπερ ξύλα καὶ ἄνθρακες σβεσθέντος τοῦ πυρός, καὶ ὁ ἐκ τοῦ κεράμου καπνὸς ἐκκρινομένου τοῦ ἐνυπάρχοντος ἐν τῷ κεράμῳ 11 ὑγροῦ [m] καὶ καομένου. Διὸ καὶ [n] τοῦ καπνοῦ γίνεται μελάν-

p διασπωμένων M.P. et pr. E. q κατὰ] καὶ E.M.G[a]. r αὐτὰ] τοιαῦτα M. et pr. E. s ἢ παντελῶς μὴ P, ἤδη παντελῶς M. et pr. E. t διαδὺν pr. G[a], διατεῖνον M. v εἶναι om. X. w μόρια τοῦ] μορίου M. x δοκεῖ εἶναι X.H[a]. y μέλαν H[a]. z μὴ X.G[a]. a ἔχον om. E.M.P.X. b καὶ om. E.M.P.X. c τοῦτο μόνον L.G[a].H[a]. d χρῶμα—ἐστι om. P. e μόνον L.X. f οὖν P, γὰρ L.H[a]. g ἁπάντων σωμάτων P. h τοῦ] τοῦδε τοῦ X. i ὁ om. M. et pr. E. k τὸ om. M. l καιόμενα X. m καὶ ante καομένου om. X. n τῶν καπνῶν P.p.

τατος ὁ ἀπὸ τῶν πιόνων καὶ λιπαρῶν, οἷον ἐλαίου [o] καὶ πίττης καὶ δᾳδός, διὰ τὸ μάλιστα ταῦτα κάεσθαι καὶ συνέχειαν ποιεῖν. Μέλανα δὲ καὶ ταῦτα γίνεται, δι' ὅσων ῥεῖ τὸ ὕδωρ, ὅταν [p] βρυωθέντων [q] πρῶτον ἀναξηρανθῇ τὸ ὑγρόν, καθάπερ καὶ τὰ ἐν [r] τοῖς τοίχοις κονιάματα. [t] Ὁμοίως δὲ καὶ 12
οἱ καθ' ὕδατος λίθοι· καὶ γὰρ οὗτοι [s] βρυωθέντες, ὕστερον [t] ἀποξηραινόμενοι τῷ χρώματι γίνονται μέλανες. Τὰ μὲν οὖν ἁπλᾶ τῶν χρωμάτων ταῦτα καὶ τοσαῦτά ἐστιν.

Τὰ δ' ἄλλα ἐκ τούτων τῇ κράσει [v] καὶ τῷ [w] μᾶλλον καὶ 2
[x] ἧττον γιγνόμενα πολλὰς καὶ ποικίλας [y] ποιεῖ χρωμάτων φαντασίας. Κατὰ μὲν τὸ μᾶλλον καὶ [z] ἧττον, ὥσπερ τὸ φοινικοῦν καὶ τὸ [a] ἀλουργές, κατὰ δὲ τὴν κρᾶσιν, ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν, ὅταν μιχθέντα φαιοῦ ποιήσῃ φαντασίαν. Διὸ τὸ μέλαν καὶ σκιερὸν τῷ φωτὶ [b] μιγνύμενον φοινικοῦν. Τὸ γὰρ μέλαν μιγνύμενον τῷ [c] τε τοῦ ἡλίου καὶ τῷ 2
ἀπὸ τοῦ πυρὸς φωτὶ [d] θεωροῦμεν ἀεὶ γιγνόμενον φοινικοῦν, καὶ τὰ μέλανα πυρωθέντα πάντα [e] εἰς χρῶμα [f] μεταβάλλοντα φοινικοῦν· αἵ τε γὰρ [g] καπνώδεις φλόγες καὶ οἱ ἄνθρακες, ὅταν δαὶ διακεκαυμένοι, φαίνονται χρῶμα ἔχοντες φοινικοῦν. Τὰ δ' [h] ἀλουργῆ εὐανθῆ μὲν γίνεται καὶ λαμπρόν, ὅταν τῷ 3
μετρίῳ [i] λευκῷ καὶ σκιερῷ κραθῶσιν ἀσθενεῖς αἱ τοῦ ἡλίου αὐγαί. Διὸ καὶ περὶ ἀνατολὰς καὶ δύσεις ὁ ἀὴρ [k] πορφυροειδὴς ἔστιν ὅτε φαίνεται, περὶ ἀνατολὴν καὶ δύσιν ὄντος τοῦ ἡλίου· ἀσθενεῖς γὰρ οὖσαι τότε μάλιστα πρὸς σκιερὸν ὄντα τὸν ἀέρα προσβάλλουσιν. Φαίνεται δὲ καὶ ἡ [l] θάλαττα 4
[m] πορφυροειδής, ὅταν τὰ κύματα μετεωριζόμενα κατὰ τὴν ἔγκλισιν σκιασθῇ· πρὸς γὰρ τὸν [n] ταύτης κλισμὸν ἀσθενεῖς

[o] καὶ post ἐλαίου om. P. [p] βρωθέντων X, κρυωθέντων L, βρυωθέντα B.M.Ga.Ha. [q] πρότερον X. [r] τοῖς om. L.Ga. [s] βρωθέντες X, κρυωθέντες L. [t] ἀποξηρανθέντες γίνονται τῷ χρώματι L.Ga.Ha. [v] καὶ τὸ L, καιτὰ τὰ P. [w] μᾶλλον] μᾶλλόν τε E.M.P.X. [x] ἧττον] τῷ ἧττον L.Ga.Ha. [y] χρωμάτων ποιεῖ E.P. [z] ἧττον] τὸ ἧττον E.L.P.Ga.Ha. [a] ἀλουργὲν L. [b] μιγνυμένων M. [c] τε] τε ἀπὸ L.Ga.Ha. [d] θεωρούμενον Ha. [e] εἰς] εἰσὶ M. [f] φοινικοῦν μετ. P. [g] καπνοειδεῖς Ga. et pr. Ha. [h] ἀλουργὲν Ga. [i] λευκῷ] λαμπρῷ X. [k] πορφυροειδεῖς L. [l] θάλασσα P. [m] πυροειδὴς E. [n] ταύτης om. X.

[o] αἱ τοῦ ἡλίου αὐγαὶ προσβάλλουσαι ποιοῦσι φαίνεσθαι τὸ χρῶμα ἀλουργές. [n]Ο καὶ ἐπὶ τῶν πτερωμάτων θεωρεῖται γιγνόμενον· ἐντεινόμενα γάρ [p]πως πρὸς τὸ φῶς ἀλουργὲς 5 ἔχει τὸ χρῶμα. [q]Ελάττονος δὲ τοῦ φωτὸς προσβάλλοντος ζοφερόν, ὃ καλοῦσιν ὄρφνιον· πολὺ δὲ καὶ τῷ πρώτῳ μέλανι κραθὲν [q]φοινικοῦν. Εὐανθὲς δ' [r]ὂν καὶ στίλβον εἰς τὸ φλογοειδὲς [s]χρῶμα μεταβάλλει. Κατὰ γὰρ τὴν πρὸς ἄλληλα κρᾶσιν οὕτως ληπτέον, ἐξ ὑποκειμένου τεθεωρημένου χρώματος ποιοῦντας τὴν μίξιν, ἀλλὰ μὴ πάντων ὁμοίαν γένεσιν 6 ποιοῦντας. [u]Εστι γὰρ [t]τῶν [v]χρωμάτων οὐχ [w]ἁπλᾶ μέν, λόγον δ' ἔχει πρός τινα [x]τὸν αὐτὸν τῶν συνθέτων ὅνπερ [y]τὰ ἁπλᾶ πρὸς ἑαυτά, διὰ τὸ τὰ ἁπλᾶ πρὸς μίξιν ἑνὸς ἔχειν, καὶ μὴ εὔσημον [z]ἐν τῷ παντί, καὶ προστεθεωρημένον κατα- 7 σκευάζειν ὁμοίως. Τὴν γὰρ τοῦ ἀλουργοῦ ἢ [a]φοινικοῦ κρᾶσιν λέγοντας ἀνάγκη ὁμοίως [b]τοῖς [c]ἐκ τούτων μιγνυμένοις καὶ ποιοῦσιν ἄλλην χρόαν τὴν γένεσιν [d]διηγεῖσθαι, καὶ 8 μὴ ὁμοίαν ἔμφασιν ποιεῖν. Διόπερ ἐκ τοῦ προκατεσκευασμένου ληπτέον καὶ θεωρητέον τὴν κρᾶσιν, οἷον ὅτι τὸ οἰνωπὸν χρῶμα γίνεται, ὅταν ἀκράτῳ τῷ μέλανι καὶ στίλβοντι κραθῶσιν αὐγαὶ ἠεροειδεῖς, ὥσπερ καὶ αἱ τῶν βοτρύων ῥᾶγες· καὶ γὰρ τούτων οἰνωπὸν φαίνεται τὸ χρῶμα ἐν τῷ πεπαίνεσθαι· [e]μελαινομένων γὰρ τὸ φοινικοῦν εἰς [f]τὸ ἀλουργὲς 9 μεταβάλλει. Κατὰ δὲ τὸν ὑποδεδειγμένον τρόπον θεωρητέον πάσας [g]τὰς [h]τῶν χρωμάτων διαφοράς, ἐκ κινήσεως τὴν ὁμοιότητα λαμβάνοντας [i]κατ' αὐτὸ τὸ φαινόμενον, τὴν ἐν ἑκάστῳ μίξιν ὁμοιοῦντας καὶ ἐπὶ τῶν κατὰ μέρος ἐν γενέσει τινὶ καὶ κράσει ποιούντων φαντασίαν, [k]καὶ πίστιν

[o] ἡ τοῦ ἡλίου αὐγὴ X. [p] πῶς om. M. [q] φοινικοῦν E.X. [r] ὂν post στίλβον $G^a.H^a$, utrobique L. [s] χρῶμα om. $G^a.H^a$. [t] τῶν om. P.X. [v] χρωμάτων εἴδη οὐχ X. [w] ἁπλῶς L. et pr. G^a. [x] τῶν αὐτῶν M. [y] τὰ ἁπλᾶ πρὸς] τὰ ἁπλᾶ πῶς L.P.Q.$G^a.H^a$.p. et corr. E, ἁπλᾶ πῶς X, πλάτος M.i. et pr. E. [z] καὶ προτεθεωρημένον ἐν τῷ παντὶ X. [a] φοινικοῦ L.P.X.$G^a.H^a$. [b] τοῖς] καὶ τοῖς P. [c] ἐκ om. E.M. [d] διηγουμένουε E.M.i, λέγειν γίνεσθαι P.X.p. [e] μελαινόμενον G^a. [f] τὸ post εἰς om. M. [g] τὰς om. P. [h] διαφορὰς τῶν χρωμάτων G^a. [i] καθ' αὐτὸ L.$G^a.H^a$. [k] καὶ τὴν πίστιν X.

προσφερομένους. Δεῖ δὲ καὶ πάντων τούτων ποιεῖσθαι τὴν θεωρίαν μὴ καθάπερ οἱ ζωγράφοι τὰ χρώματα ταῦτα [l]κεραννύντας, ἀλλ' ἀπὸ τῶν εἰρημένων τὰς ἀνακλωμένας αὐγὰς πρὸς [m]ἀλλήλας συμβάλλοντας· μάλιστα [n]γὰρ δύναιτ' ἄν τις κατὰ φύσιν θεωρῆσαι τὰς τῶν χρωμάτων κράσεις. Τὰς δὲ πίστεις καὶ τὰ ὅμοια δεῖ ἐν οἷς ἡ γένεσις ἔσται φανερὰ τῶν χρωμάτων. Ταῦτα δὲ μάλιστά ἐστι τό τ' ἀπὸ τοῦ ἡλίου φῶς καὶ τὸ ἀπὸ τοῦ πυρὸς καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ· κεραννύμενα γὰρ τῷ [o]μᾶλλον καὶ ἧττον ταῦτα μάλιστα πάσας ὡς εἰπεῖν τὰς χρόας ἀποτελεῖ. [p]Ἐπιληπτέον δὲ [q]καὶ [r]ἀπὸ τῶν ἄλλων χρωμάτων ταῖς αὐγαῖς κεραννυμένων τὴν ὁμοιότητα· οἱ γὰρ ἄνθρακες καὶ ὁ καπνὸς καὶ ὁ ἰὸς καὶ τὸ θεῖον καὶ τὰ πτερώματα κεραννύμενα τὰ μὲν ταῖς τοῦ ἡλίου αὐγαῖς, τὰ δὲ ταῖς τοῦ πυρός, πολλὰς καὶ ποικίλας ποιοῦσι μεταβολὰς χρωμάτων. Τὰ δὲ καὶ τῇ πέψει θεωρητέον, [s]γινόμενα ἐν [t]φυτοῖς καὶ καρποῖς καὶ τριχώμασι καὶ πτερώμασι καὶ τοῖς τοιούτοις πᾶσιν. 10 11 12

Δεῖ δὲ μὴ λανθάνειν τὸ πολυειδὲς καὶ [v]τὸ ἄπειρον τῶν χρωμάτων, διὰ πόσα συμβαίνει γίνεσθαι. Εὑρήσομεν γὰρ [w]ἤτοι διὰ τὸ τῷ φωτὶ καὶ ταῖς σκιαῖς ἀνίσως καὶ ἀνωμάλως λαμβάνεσθαι· καὶ γὰρ αἱ σκιαὶ καὶ τὸ φῶς κατὰ τὸ μᾶλλον [x]καὶ ἧττον πολὺ διαφέρουσιν αὐτῶν, ὥστε καὶ καθ' αὑτὰς [y]καὶ μετὰ [z]τῶν χρωμάτων μιγνύμεναι ποιοῦσι μεταβολὰς χρωμάτων, ἢ τῷ τὰ κεραννύμενα τῷ πλήθει καὶ ταῖς δυνάμεσι διαφέρειν, ἢ [a]τῷ λόγους ἔχειν μὴ τοὺς αὐτούς. Πολλὰς γὰρ καὶ τὸ ἀλουργὲς ἔχει διαφορὰς καὶ τὸ [b]φοινικοῦν [c]καὶ τὸ λευκὸν καὶ τῶν ἄλλων ἕκαστον καὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον καὶ κατὰ τὴν πρὸς ἄλληλα μίξιν καὶ εἰλικρίνειαν αὐτῶν. Ποιεῖ δὲ διαφορὰν καὶ τὸ λαμπρὸν ἢ στίλβον εἶναι 3 2

l κεραννύντες Ha. m ἄλληλα E.M. n γὰρ om. P. o ἧττον καὶ μᾶλλον Ga. p ἐκληπτέον X. q καὶ om. X. r ἐπὶ Ha. s γενόμενα P. t φυτοῖς τε καὶ Ga.Ha. v τὸ post καὶ om. X. w ἤτι Ga, εἴτι M. x καὶ τὸ ἧττον X. y καὶ om. M. z τῶν om. X. a τῷ τοὺς λόγους P. b φοινικοῦν L.M.P.X.Ga.Ha. c καὶ τὸ λευκὸν om. X.

3 τὸ μιγνύμενον ἢ τοὐναντίον αὐχμηρὸν καὶ ἀλαμπές. Ἔστι δὲ τὸ στίλβον οὐκ ἄλλο τι ἢ συνέχεια φωτὸς καὶ πυκνότης. Τὸ [d] γὰρ χρυσοειδὲς γίνεται, ὅταν [e] τὸ ξανθὸν καὶ τὸ [f] ἡλιῶδες πυκνωθὲν ἰσχυρῶς στίλβῃ. Διὸ καὶ οἱ τῶν περιστερῶν τράχηλοι καὶ [g] τῶν ὑδάτων οἱ σταλαγμοὶ φαίνονται χρυσο-
4 ειδεῖς τοῦ φωτὸς ἀνακλωμένου. Ἔστι δὲ ἃ [h] λειούμενα τρίψει καὶ δυνάμεσί τισιν ἀλλοίας ἴσχει καὶ ποικίλας [i] χρόας, ὥσπερ καὶ ὁ ἄργυρος παρατριβόμενος καὶ χρυσὸς καὶ χαλκὸς
5 καὶ σίδηρος. Καί τινα γένη λίθων διαφόρους ποιεῖ χρόας, καθάπερ [k] καὶ . . . μέλαιναι [l] γὰρ οὖσαι λευκὰς γράφουσι γραμμάς, διὰ τὸ πάντων τῶν τοιούτων τὰς μὲν ἐξ ἀρχῆς συστάσεις ἐκ μικρῶν εἶναι μορίων καὶ πυκνῶν καὶ μελάνων, ὑπὸ δὲ τῆς ἐν [m] τῇ γενέσει βαφῆς ἁπάντων τῶν πόρων κε-
6 χρωσμένων δι' ὧν [n] διελήλυθεν αὐτῶν ἡ βαφή, ἄλλην ἐσχηκέναι τὴν τοῦ χρώματος φαντασίαν. [o] Ὁ δ' ἀποτριβόμενος [o] ἀπ' αὐτῶν οὐκέτι γίνεται χρυσοειδὴς οὐδὲ χαλκοειδὴς οὐδ' ἄλλην οὐδεμίαν [p] τοιαύτην ἔχων [q] χροιάν, ἀλλὰ πάντως [r] μέλας, διὰ τὸ τοὺς μὲν πόρους [s] παρατριβομένων αὐτῶν ἀναρρήγνυσθαι, δι' ὧν ἡ βαφὴ διελήλυθε, φύσει δὲ καὶ [t] τῶν αὐτῶν
7 εἶναι. Τοῦ γὰρ [v] προτέρου χρώματος οὐκέτι ὄντος ἡμῖν φανεροῦ παρὰ τὸ διασπᾶσθαι τὴν βαφήν, τὸ κατὰ φύσιν ὑπάρχον αὐτοῖς χρῶμα ὁρῶμεν· διὸ καὶ πάντα φαίνεται μέλανα. [u] Ἐν δὲ τῷ παρατρίβεσθαι πρὸς ὁμαλὲς [w] καὶ λεῖον [x] ἕκαστον τούτων, καθάπερ καὶ πρὸς τὰς βασάνους, [y] ἀποβάλλοντα ἀπολαμβάνει [z] πάλιν τὴν χρόαν ἐν τῇ συνάψει καὶ συνεχείᾳ,
8 τὸ τῆς βαφῆς διαφαινόμενον. [a] Ἐπὶ δὲ τῶν καυστῶν καὶ διαλυομένων καὶ τηκομένων ἐν τῷ πυρὶ [a] ταῦτα πλείστας ἔχει

d γὰρ] δὲ L. e τὸ ξ. καὶ om. Q.G^a. f ἰλυῶδες M, ὑλῶδες L.H^a. g οἱ ϛ. τῶν ὑδάτων P. h λυόμενα M.X. et fortasse pr. E. i χροιὰς E.P.X. k post καὶ M.i. lacunam litterarum sex septemve, E. trium. l γὰρ om. L.P.X.G^a.H^a. m τῇ om. P. n ἐλήλυθεν P.X. o ὑπ' E.X. p ἔχων τοιαύτην P. q χρόαν L. r μέλαν E.M.P.G^a. s περιτριβομένων G^a. t τὸν αὐτῶν E, τὸ αὐτῶν G^a.H^a, τὸν αὐτὸν M.P.X.i. v προτέρου τούτων χρ. M.P. w καὶ] τι καὶ P, om. E.M. x ἕκαστόν τι τούτων M, τούτων ἕκαστον L.G^a.H^a. y ἀποβαλόντα P, ἀποβάλλουσαι E.M. z πᾶσαν L.H^a. a ταύτας ἔχει πλείστας M.

χρόας, ὅσων ὁ καπνός ἐστι λεπτὸς καὶ ἀεροειδὴς καὶ τὰ χρώματα σκιώδη, ὥσπερ ὅ τε ἀπὸ τοῦ θείου καὶ τῶν ἰωμένων [b]χαλκείων, καὶ ὅσα ἐστὶ πυκνὰ καὶ λεῖα, καθάπερ ὁ ἄργυρος. [1]Ἐπὶ δὲ τῶν ἄλλων ὅσα σκιώδεις ἔχει τὰς [c]χρόας [d]καὶ λειό- 9
τητος μετέχει, ὥσπερ τὸ ὕδωρ καὶ τὰ νέφη καὶ τὰ [e]πτερώματα τῶν ὀρνίθων· καὶ γὰρ ταῦτα διά [f]τε [g]τὴν λειότητα καὶ τὰς προσπιπτούσας αὐγάς, ἄλλοτε [h]ἄλλως κεραννυμένας, ποιεῖ [i]διαφόρους τὰς χρόας, καθάπερ καὶ τὸ σκότος. Τῶν δὲ χρωμάτων οὐδὲν ὁρῶμεν [k]εἰλικρινὲς οἷόν ἐστιν, ἀλλὰ 10
πάντα κεκραμένα ἐν [l]ἑτέροις· καὶ γὰρ ἂν [m]μηδενὶ τῶν ἄλλων, ταῖς γε τοῦ φωτὸς αὐγαῖς καὶ ταῖς σκιαῖς κεραννύμενα ἀλλοῖα, καὶ οὐχ οἷά ἐστι, φαίνεται. Διὸ καὶ τὰ ἐν σκιᾷ 11
θεωρούμενα καὶ ἐν φωτὶ καὶ ἡλίῳ, καὶ σκληρᾷ αὐγῇ ἢ μαλακῇ, [n]καὶ κατὰ τὰς ἐγκλίσεις οὕτως ἢ οὕτως [o]ἔχοντι, καὶ κατὰ τὰς ἄλλας διαφοράς, ἀλλοῖα φαίνεται. Καὶ ταῖς πρὸς τῷ πυρὶ καὶ τῇ σελήνῃ, καὶ ταῖς τῶν λύχνων αὐγαῖς, [p]διὸ καὶ τὸ φῶς ἑκάστου τούτων ἀλλοιοτέραν ἔχει χρόαν. Καὶ 12
τῇ πρὸς ἄλληλα δὲ [q]μίξει τῶν χρωμάτων· δι' ἀλλήλων γὰρ [r]φερόμενα χρώζεται. Τὸ γὰρ φῶς ὅταν προσπεσὸν ὑπό τινων χρωσθῇ, καὶ [s]γένηται [t]φοινικοῦν ἢ ποῶδες, καὶ τὸ ἀνακλασθὲν προσπέσῃ πρὸς ἕτερόν τι χρῶμα, πάλιν ὑπ' ἐκείνου κεραννύμενον ἄλλην τινὰ λαμβάνει τοῦ χρώματος κρᾶσιν. Καὶ τοῦτο [v]πάσχον συνεχῶς μὲν οὐκ αἰσθητῶς δὲ ἐνίοτε 13
[w]παραγίνεται πρὸς τὰς ὄψεις ἐκ πολλῶν μὲν κεκραμένον χρωμάτων, ἑνὸς [x]δέ τινος τῶν μάλιστα ἐπικρατούντων [y]ποιοῦν τὴν αἴσθησιν. Διὸ καὶ καθ' ὕδατος ὑδατοειδῆ [z]μᾶλλον φαίνεται, καὶ τὰ ἐν τοῖς κατόπτροις ὁμοίας [a]ἔχοντα χρόας

[b] χαλκίων E.P, χαλκῶν X. [c] χροιὰς P.X. [d] καὶ om. L. [e] τῶν ὀρνίθων πτερώματα P. [f] τε] τε τὰς αὐγὰς καὶ E.L.M.P.X.G[a].H[a]. [g] τὰς λειότητας H[a]. [h] ἄλλως] ἄλλην L.H[a]. [i] διαφόρως P. [k] οἷον εἰλικρινές M. [l] ἑτέροις] ἀλλήλοις P. [m] μηδὲν X. [n] καὶ ante κατὰ om. H[a]. [o] ἔχοντα L.X. [p] διὸ—ἔχει] διὰ τὸ—ἔχειν L. [q] τῶν χρωμάτων μίξει L.G[a].H[a]. [r] φαινόμενα P. [s] γίνεται L.G[a].H[a]. [t] φοινικοῦν L.P.X.G[a].H[a]. [v] πάσχων X. [w] περιγίνεται pr. G[a]. [x] δὲ ἤ τινος E.M. [y] ποιεῖ P. [z] μᾶλλον om. P. [a] ἔχοντα τὰς χρόας X.

ταῖς τῶν κατόπτρων. [a]Ὃ καὶ περὶ τὸν ἀέρα οἰητέον συμ-
14 βαίνειν. [b]Ὥστε ἐκ τριῶν εἶναι τὰς χρόας [c]ἁπάσας μεμιγμέ-
νας, τοῦ φωτός, καὶ δι' ὧν φαίνεται τὸ φῶς, οἷον τοῦ τε ὕδα-
τος καὶ τοῦ ἀέρος, καὶ [d]τρίτου τῶν ὑποκειμένων χρωμάτων,
15 ἀφ' ὧν ἀνακλᾶσθαι συμβαίνει τὸ φῶς. Τὸ δὲ λευκὸν καὶ
διαφανὲς ὅταν [e]μὲν ἀραιὸν ᾖ σφόδρα, φαίνεται τῷ χρώματι
ἀεροειδές· [f]ἐπὶ δὲ τῶν πυκνῶν [f]ἐπὶ πάντων ἐπιφαίνεταί τις
ἀχλύς, καθάπερ ἐπὶ τοῦ ὕδατος καὶ [g]ὑάλου καὶ τοῦ ἀέρος,
ὅταν ᾖ παχύς. Τῶν γὰρ αὐγῶν διὰ τὴν πυκνότητα παντα-
χόθεν ἐκλειπουσῶν, οὐ δυνάμεθα τὰ ἐντὸς αὐτῶν ἀκριβῶς
16 διορᾶν. [h]Ὁ δ' ἀὴρ ἐγγύθεν μὲν θεωρούμενος οὐδὲν ἔχειν φαί-
νεται χρῶμα (διὰ γὰρ τὴν [i]ἀραιότητα ὑπὸ τῶν αὐγῶν κρα-
τεῖται, [j]χωριζόμενος ὑπ' αὐτῶν πυκνοτέρων οὐσῶν καὶ δια-
φαινομένων δι' αὐτοῦ), ἐν βάθει δὲ θεωρουμένου, ἐγγυτάτω
17 φαίνεται τῷ χρώματι κυανοειδὴς διὰ τὴν ἀραιότητα. [k]Ἡι
γὰρ λείπει τὸ φῶς, ταύτῃ σκότῳ διειλημμένος φαίνεται κυα-
νοειδής. [l]Ἐπιπυκνωθεὶς δέ, καθάπερ καὶ τὸ ὕδωρ, πάντων
[m]λευκότατόν ἐστιν.

4 Τὰ δὲ βαπτόμενα πάντα τὰς χρόας ἀπὸ τῶν βαπτόντων
λαμβάνει. Πολλὰ μὲν γὰρ τοῖς ἄνθεσι [n]βάπτεται τοῖς
φυομένοις, [o]πολλὰ [p]δὲ ῥίζαις, πολλὰ δὲ φλοιοῖς [q]ἢ ξύλοις
[r]ἢ φύλλοις ἢ καρποῖς. [s]Ἔτι δὲ [t]πολλὰ μὲν γῇ, πολλὰ δ'
ἀφρῷ, πολλὰ δὲ καὶ μελαντηρίᾳ. Τὰ δὲ καὶ τοῖς τῶν ζῴων
2 χυλοῖς, καθάπερ καὶ τὸ ἁλουργὲς τῇ πορφύρᾳ. Τὰ δὲ οἴνῳ,
τὰ δὲ καπνῷ, τὰ δὲ κονίᾳ, τὰ δὲ θαλάττῃ, ὥσπερ τὰ τριχώ-
ματα τῶν θαλαττίων· καὶ γὰρ ταῦτα [u]πάντα ὑπὸ τῆς θα-
λάττης γίγνονται πυρρά. Καὶ ὅλως ὅσα [v]χρόας ἰδίας ἔχει.
3 [w]Ἀεὶ γὰρ ἀπὸ πάντων αὐτῶν, ἅμα τῷ τε ὑγρῷ καὶ θερμῷ

[b] πάσας M. [c] τρίτον E.M.P.X. [d] ἀραιὸν μὲν H^a. [e] ἐπὶ] ἔτι M. [f] ἐπὶ πάντων φαίνεταί τις M, ἐπιφαίνεταί τις ἐπὶ πάντων H^a. [g] ὑέλου X. [h] καθαρότητα X. [i] χωρίζεται γρ. X. [k] λευκότατος M. [l] βάπτεται om. L. [m] πολλὰ δὲ ῥίζαις om. X. [n] δὲ om. H^a. [o] ἢ ξύλοις] πολλὰ δὲ P, om. E.M.X.i. [p] ἢ prius om. P. [q] γῇ μὲν πολλὰ P. [r] πάντα om. G^a.H^a. [s] ἔχει χρόας ἰδίας G^a.

τῶν χρωμάτων [t] συνεισιόντων εἰς τοὺς τῶν [v] βαπτομένων πόρους, ὅταν ἀποξηρανθῇ, τὰς ἀπ' ἐκείνων [w] χρόας λαμβάνει. Διὸ καὶ πολλάκις αὐτῶν ἐκπλύνεται, τῶν ἀνθῶν ἐκ τῶν πόρων [x] ἐκρυέντων. Πολλὰς δὲ καὶ αἱ στύψεις ἐν τῇ βαφῇ 4
[y] ποιοῦσι διαφορὰς καὶ μίξεις, καὶ τὰ [z] πάθη τῶν [a] βαπτομένων, ὥσπερ καὶ ἐπὶ τῆς κράσεως εἴρηται πρότερον. Βάπτεται δὲ καὶ τὰ μέλανα τῶν ἐρίων, οὐ μὴν ὁμοίως [b] γε τῷ χρώματι γίγνεται λαμπρά, διὰ τὸ βάπτεσθαι [c] τοὺς πόρους αὐτῶν εἰς τοὺς τῶν ἀνθῶν [d] εἰσιόντας, τὰ δὲ [e] μεταξὺ διαστήματα τῆς τριχὸς μηδεμίαν λαμβάνειν βαφήν. [f] Ταῦτα λευκὰ 5
μὲν ὄντα, καὶ παρ' ἄλληλα κείμενα τοῖς χρώμασι, ποιεῖ πάντα φαίνεσθαι [g] τὰ ἄνθη λαμπρότερα· τὰ μέλανα [h] δὲ τοὐναντίον σκιερὰ καὶ ζοφώδη. Διὸ καὶ τὸ καλούμενον ὄρφνιον εὐανθέστερον [i] γίνεται τῶν μελάνων ἢ τῶν λευκῶν· οὕτω γὰρ ἀκρατέστερον [k] αὐτῶν φαίνεται τὸ ἄνθος, κεραννύμενον ταῖς τοῦ μέλανος αὐγαῖς. Καθ' αὑτὸ μὲν γὰρ τὸ μεταξὺ διά- 6
στημα τῶν πόρων οὐχ ὁρᾶται διὰ σμικρότητα, καθάπερ οὐδὲ [l] καττίτερος τῷ χαλκῷ κραθείς, οὐδὲ τῶν ἄλλων οὐθὲν τῶν τοιούτων. Τῶν δὲ βαπτομένων τὰ χρώματα [m] ἀλλοιοῦται διὰ τὰς εἰρημένας αἰτίας.

Τὰ δὲ τριχώματα καὶ τὰ πτερώματα καὶ τὰ ἄνθη καὶ οἱ 5
καρποὶ καὶ τὰ φυτὰ πάντα ὅτι μὲν ἅμα τῇ πέψει πάσας [n] τὰς τῶν χρωμάτων λαμβάνει [o] μεταβολάς, φανερὸν ἐκ πολλῶν· τίνες δέ εἰσιν [p] ἑκάστοις τῶν φυομένων ἀρχαὶ τῶν χρωμάτων, καὶ [q] ποίας τὰς μεταβολὰς ἐκ ποίων λαμβάνουσι, καὶ δι' ἃς αἰτίας ταῦτα πάσχει, κἂν εἴ τινας ἄλλας ἀπορίας αὐ-

[t] συνιόντων P. [v] βλαπτομένων Ha. [w] λαμβάνει χρόας P.X, χρόας ἀπολαμβάνει L.Ga.Ha. [x] ἐκρυθέντων L, ἐρρυθέντων X, ἐρυθέντων c, ἐριρυθέντων E.M.P.i.p, ἐρυθρηθέντων Q.Ga.Ha. [y] ποιοῦσι καὶ διαφορὰς καὶ X. [z] βάθη pr. X. [a] βαπτόντων L.M.P.Q.X.Ga.Ha. [b] γε] τε X, γε καὶ L.Ga. γε τῷ χρώματι om. Ha. [c] τοὺς] εἰς τοὺς P. [d] εἰσιόντα P. [e] μεταξὺ καὶ διαστήματα P. [f] ταῦτα μὲν οὖν λευκὰ ὄντα P.X, ταῦτα μὲν λευκὰ μὲν ὄντα E, ταῦτα μὲν λευκὰ μένοντα M. [g] τὰ ἄνθη om. X. [h] δὴ M. [i] γίνεσθαι E.L.M.P.Ga.Ha. [k] αὐτοῖς X. [l] καττίτερον L. [m] ἀλλοιοῦνται P. [n] τὰς om. L. [o] διαφορὰς X. [p] ἕκαστοι M. [q] ποῖαι E.P.Ga.Ha.

τοῖς [r] συμβαίνει παρακολουθεῖν, [s] περὶ πάντων τούτων ἐπι-
2 σκεπτέον ἐκ τῶν τοιούτων. [1]Ἐν πᾶσι [t] δὴ τοῖς φυτοῖς ἀρχὴ
τὸ ποῶδές ἐστι τῶν χρωμάτων· καὶ γὰρ οἱ βλαστοὶ καὶ τὰ
φύλλα καὶ οἱ καρποὶ γίνονται κατ' ἀρχὰς ποώδεις. [1]Ἴδοι δ'
ἄν τις τοῦτο καὶ ἐπὶ τῶν ὑομένων ὑδάτων· ὅπου ἂν πλείονα
χρόνον συστῇ τὸ ὕδωρ, [v] πάλιν ἀποξηραινόμενον γίνεται τῷ
3 χρώματι ποῶδες. Κατὰ λόγον δὲ συμβαίνει καὶ τὸ πρῶτον
ἐν πᾶσι τοῖς φυομένοις τοῦτο συνίστασθαι τῶν χρωμάτων.
Τὰ γὰρ ὕδατα [w] πάντα χρονιζόμενα κατ' ἀρχὰς μὲν γίνεται
χλωρά, κεραννύμενα ταῖς τοῦ ἡλίου αὐγαῖς, κατὰ μικρὸν δὲ
4 μελαινόμενα, πάλιν μιγνύμενα τῷ χλωρῷ, γίνεται ποώδη. Τὸ
γὰρ [x] ὑγρόν, ὥσπερ εἴρηται, καθ' ἑαυτὸ παλαιούμενον [y] καὶ
καταξηραινόμενον μελαίνεται, καθάπερ καὶ τὰ ἐν ταῖς δεξα-
μεναῖς κονιάματα· καὶ γὰρ τούτων ὅσα μέν ἐστιν [z] ἀεὶ καθ'
ὕδατος, ταῦτα μὲν ἅπαντα γίγνεται μέλανα διὰ τὸ [a] καθ'
αὐτὰ μὴ ξηραίνεσθαι [b] διαψυχόμενον [c] τὸ ὑγρόν, ὅσον [d] δ'
ἀπαντλούμενον ἡλιοῦται, [e] τὸ [f] μὲν ποῶδες γίνεται διὰ τὸ [g] τὸ
5 ξανθὸν τῷ μέλανι κεράννυσθαι. Μᾶλλον μὲν οὖν τοῦ ὑγροῦ
μελαινομένου τὸ ποῶδες γίνεται κατακορὲς ἰσχυρῶς καὶ πρα-
σοειδές. Διὸ καὶ πάντων οἱ παλαιοὶ βλαστοὶ [h] πολὺ μᾶλ-
λόν εἰσι τῶν νέων μέλανες· οἱ δὲ ξανθότεροι διὰ τὸ ἠπω τὸ
6 ὑγρὸν ἐν αὐτοῖς [i] μελαίνεσθαι. Τῆς γὰρ αὐξήσεως αὐτῶν
βραδυτέρας [k] γιγνομένης, καὶ τῆς ὑγρασίας πολὺν χρόνον ἐμ-
μενούσης, διὰ τὸ ψυχόμενον ἰσχυρῶς μελαίνεσθαι τὸ ὑγρόν,
7 γίνεται πρασοειδὲς ἀκράτῳ τῷ μέλανι κεραννύμενον. [l]Ἐν
ὅσοις δὲ τὸ ὑγρὸν [m] μὴ μίγνυται ταῖς τοῦ ἡλίου αὐγαῖς, τού-
των διαμένει τὸ χρῶμα λευκόν, ἐὰν μὴ χρονιζόμενον καὶ κα-
ταξηραινόμενον μελανθῇ πρότερον. Διὸ καὶ τὰ μὲν ὑπὲρ

r συμβαίνοι M, συμβαίνη X. s περὶ] ἐπὶ M. t δὲ L. v πάλιν] πάντη πάλιν M.P.X. w πάντα om. P.X. x ὕδωρ P. y καὶ] καὶ μὴ P.X. z καθ' ὕδατος ἀεὶ X. a κατ' αὐτὰ μὲν ξ. X. b διὸ ψυχόμενον M, διαψυχόμενα P.X. c τῷ ὑγρῷ P.X. d δ' om. E.M.Ga.Ha. e τὸ] τοῦτο corr. X. f δὲ P.X. g τὸ tertium om. E.M.P.X. h πολλοὶ M, πολλῷ P. i μεμελάνθαι γρ. L. k γενομένης E.M.X. l ἐν] καὶ ἐν P. m μὴ om. P.

γῆς χλωρὰ πάντων [n] τῶν φυομένων [o] τὸ πρῶτόν ἐστι, τὰ δὲ κατὰ γῆς, [p] καυλοὶ καὶ ῥίζαι λευκαί. Καὶ οἱ βλαστοὶ [q] κα- 8
τὰ γῆς μὲν ὄντες εἰσὶ λευκοί, περιαιρεθείσης δὲ τῆς γῆς τὸ
μὲν ἐξ ἀρχῆς, [r] ὡς προείρηται, πάντες γίγνονται ποιώδεις
[s] διὰ τὸ καὶ τὴν ὑγρασίαν τὴν διὰ τῶν βλαστῶν εἰς [t] αὐ-
τοὺς διηθουμένην τοιαύτην [v] ἔχειν τὴν τοῦ χρώματος φύσιν,
καὶ ταχέως αὐτὴν εἰς τὴν αὔξησιν καταναλίσκεσθαι [w] τὴν τῶν
καρπῶν· ὅταν [x] δὲ μηκέτι αὐξάνωνται διὰ τὸ μὴ κρατεῖν
ἤδη τὸ θερμὸν τῆς ἐπιρρεούσης τροφῆς, ἀλλὰ [y] καὶ τοὐναν-
τίον [z] ἀναλύηται τὸ ὑγρὸν ὑπὸ τῆς θερμότητος. [v] Ὅταν δὲ 9
πεπαίνωνται οἱ καρποὶ πάντες, καὶ τῆς ὑπαρχούσης ἐν αὐ-
τοῖς ὑγρασίας [a] συνεψομένης ὑπό [b] τε τοῦ [c] ἡλίου καὶ τῆς
τοῦ ἀέρος θερμότητος ἕκαστοι [d] ἀπολαμβάνουσι τὰς ἀπὸ
τῶν φυτῶν χρόας, καθάπερ καὶ τὰ βαπτόμενα τῶν ἀνθῶν.
Διὸ κατὰ μικρὸν χρώζονται, καὶ μάλιστα αὐτῶν τὰ πρὸς 10
[e] τὸν ἥλιον ἐστραμμένα καὶ τὴν ἀλέαν. [f v] Ὥστε καὶ τὰς
χρόας αὐτῶν ἅμα ταῖς ὥραις ἁπάντων μεταβάλλειν. Φα-
νερὸν δὲ τοῦτο ἐστίν· οἱ γὰρ τοῦ πώδους χρώματος ἅπαν-
τες ἤδη πεπαινόμενοι μεταβάλλουσιν εἰς τὸ κατὰ φύσιν χρῶ-
μα. Καὶ γὰρ [g] λευκοὶ καὶ μέλανες καὶ φαιοὶ καὶ ξανθοὶ καὶ 11
μελανοειδεῖς [h] καὶ σκιοειδεῖς καὶ [i] φοινικιοῖ καὶ οἰνωποὶ καὶ
κροκοειδεῖς καὶ σχεδὸν ἁπάσας [k] ἔχοντες γίγνονται τὰς τῶν
χρωμάτων διαφοράς. [l] Ἐπεὶ δὲ [m] τὰ πλεῖστα γίνεται τῶν 12
χρωμάτων πλειόνων κεραννυμένων ἀλλήλοις, φανερὸν ὅτι καὶ
τὰς ἐν τοῖς φυτοῖς χρόας ἀνάγκη τὰς αὐτὰς ἔχειν κράσεις·
διὰ [n] γὰρ τούτων τὸ ὑγρὸν διηθούμενον, καὶ μεθ' ἑαυτοῦ [o] συν-

[n] τῶν om. E.M.P.X. [o] ἐστὶ τὸ πρῶτον P. [p] αὐλοὶ P. [q] κατὰ] δὲ κατὰ M. [r] ὥσπερ εἴρηται G^a. [s] διὰ τὸ] διὸ τὸ P, διὸ E.L.M.X.G^a.H^a. [t] αὐτοὺς] τοὺς X. [v] ἔχει P. [w] τὴν om. H^a. [x] δὴ μηκέτι αὔξωνται X. [y] καὶ om. P.X. [z] ἀναλύεται G^a, ἀναλίσκεται P.X. [a] συνεψημένης c. [b] τε] τῆς M. [c] ἀέρος καὶ τῆς τοῦ ἡλίου Q.G^a. [d] ἀπολαμβάνωσι G^a.H^a, λαμβάνωσι L.X, λαμβάνουσι E.M.P.c.i.p. [e] τὸν om. H^a. [f] ὥσπερ E.M.P.Q.G^a.H^a.i. [g] φαιοὶ καὶ μέλανες καὶ λευκοὶ G^a. [h] καὶ σκιοειδεῖς—σχεδὸν om. L.H^a. [i] φοινικοὶ Q.X.G^a. [k] γίγνονται ἔχοντες P. [l] τὰ] τὰ μὲν P.X. [m] γίνεται L. [n] γὰρ post τούτων P.X, om. E.M. [o] συνεκβλύζον L.H^a.

εκκλύζον, ἁπάσας [p]λαμβάνει τὰς τῶν χρωμάτων δυνάμεις.
13 Καὶ τούτου συνεψομένου [q]περὶ τὰς [r]τῶν καρπῶν [s]πέψεις
ὑπό [t]τε τοῦ ἡλίου καὶ τῆς τοῦ ἀέρος θερμότητος, ἕκαστα
καθ' ἑαυτὰ συνίσταται τῶν χρωμάτων, τὰ μὲν θᾶττον τὰ δὲ
βραδύτερον, καθάπερ συμβαίνει καὶ [v]περὶ τὴν βαφὴν τὴν τῆς
14 πορφύρας. Καὶ γὰρ ταύτην ὅταν κόψαντες ἅπασαν ἐξ αὐ-
τῆς τὴν ὑγρασίαν [w]ἐκκλύσωσι, καί ταύτην [x]ἐγχέαντες ἕψωσιν
ἐν [y]ταῖς χύτραις, τὸ μὲν πρῶτον οὐδὲν ὅλως ἐν τῇ βαφῇ τῶν
χρωμάτων φανερόν ἐστι διὰ τὸ κατὰ μικρὸν ἕκαστον αὐτῶν
[z]τοῦ ὑγροῦ συνεψομένου μᾶλλον καὶ τῶν ἔτι ὑπαρχόντων ἐν
αὐτοῖς χρωμάτων μιγνυμένων ἀλλήλοις πολλὰς καὶ ποικίλας
λαμβάνειν διαφοράς· καὶ γὰρ μέλαν καὶ λευκὸν καὶ [a]ὄρφνιον
καὶ ἀεροειδὲς καὶ τότε [b]ἅπαν γίνεται συνεψηθέντων, ὥστε
διὰ τὴν κρᾶσιν μηκέτι καθ' αὑτὸ μηδὲν τῶν [c]ἄλλων χρωμά-
15 των φανερὸν εἶναι. Τὸ δ' αὐτὸ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν
καρπῶν. [1]Ἐν πολλοῖς γὰρ διὰ τὸ μὴ [d]πάσας [e]ἅμα γίνε-
σθαι τὰς τῶν χρωμάτων πέψεις, ἀλλὰ τὰ μὲν αὐτῶν συν-
ίστασθαι πρότερον τὰ δ' ὕστερον, ἐξ ἑτέρων εἰς [f]ἕτερα με-
16 ταβάλλουσιν, ὥσπερ καὶ οἱ βότρυες καὶ οἱ φοίνικες. Καὶ
γὰρ τούτων [g]ἔνιοι τὸ μὲν πρῶτον γίνονται [h]φοινικοῖ, τοῦ
δὲ μέλανος ἐν αὐτῷ συνισταμένου μεταβάλλουσι πάλιν εἰς τὸ
οἰνωπόν· τὸ δὲ τελευταῖον γίνονται κυανοειδεῖς, ὅταν ἤδη καὶ
17 τὸ [i]φοινικιοῦν πολλῷ καὶ [k]ἀκράτῳ [l]τῷ μέλανι μιχθῇ. Τὰ
γὰρ ὕστερον ἐπιγινόμενα τῶν χρωμάτων, ὅταν κρατήσῃ, τὰς
[m]προτέρας χρόας ἐξαλλάττει. Μάλιστα δὲ τοῦτο ἐπὶ [n]τῶν
μελάνων καρπῶν φανερόν ἐστιν· σχεδὸν γὰρ αὐτῶν οἱ πλεῖ-

p λαμβάνειν E.L.M.P.G[a].H[a]. q παρὰ L, περί τε M. r τῶν om. X. s πέψεις om. M. t τε τῆς τοῦ ἡλίου θερμότητος καὶ ὑπὸ τοῦ ἀέρος G[a]. v παρὰ L. w ἐκλύσωσι L.X.G[a]. x ἐκχέαντες E.L.M.X. G[a].H[a]. y τοῖς χύτροις E.L.X.H[a]. z τοῦ] δι' E.L.M.P.X.G[a].H[a]. a ὄρφνινον E.L.H[a]. b ἅπαντα G[a]. c ἄλλων om.M. d πάσας om. G[a]. e ἅμα post χρωμάτων P.X.G[a], utrobique E.H[a]. f ἕτερα] ἑτέραν M. g ἔνιοι τὸ] ἐνίοτε E.L.M.G[a].H[a]. h φοινίκεοι E.M.P, φοινικεοὶ G[a], φοινίκειοι X. i φοινικοῦν L.M.P.X.G[a].H[a]. k ἄκρῳ M. l τῷ om. E.L.M.G[a].H[a]. m πρότερον P. n τῶν om. X.

στοι, καθάπερ εἴρηται, κατ' ἀρχὰς μὲν ἐκ τοῦ ποώδους μεταβάλλοντες μικρὸν ἐπιφοινικίζουσι καὶ γίνονται πυρροί, ταχὺ [o] δὲ μεθίστανται πάλιν ἐκ τοῦ πυρροῦ [p] καὶ ἀκράτου τοῦ μέλανος ἐν τοῖς τοιούτοις [q] ἐνυπάρχοντος. Δηλοῖ [r] δέ· καὶ 18
[s] γὰρ τὰ κλήματα καὶ τὰ [t] ἔρια καὶ τὰ φύλλα πάντων ἐστὶ τῶν τοιούτων μέλανα διὰ τὸ πλείστην ἐν αὐτοῖς ὑπάρχειν τὴν τοιαύτην χρόαν, ἐπεὶ διότι γε τῶν καρπῶν οἱ [v] μέλανες ἀμφοτέρων [w] τῶν χρωμάτων μετέχουσι, φανερόν ἐστιν· πάντων γὰρ ὁ χυλὸς [x] γίνεται τῶν τοιούτων οἰνωπός. Τὰ δὲ χρώματα ἐν τῇ γενέσει [y] προτερεῖ τὰ [z] φοινικιᾶ τῶν μελάνων. Δηλοῖ δέ· καὶ γὰρ τὰ ὑπὸ τοὺς σταλαγμοὺς ἐδάφη, καὶ ὅλως 19
ὅπου συμβαίνει γίνεσθαι μετρία ὑδάτων [a] ἔκρυσις ἐν τόποις σκιεροῖς, ἅπαντα μεταβάλλει πρῶτον ἐκ τοῦ ποώδους εἰς τὸ [b] φοινικιοῦν χρῶμα, καὶ γίνεται [c] τὸ ἔδαφος ὡς ἂν αἵματος ἀρτίως [d] ἐπεσφαγμένου κατὰ τὸν τόπον τοῦτον, καθ' ὃν ἂν λάβῃ τὸ ποῶδες τῶν χρωμάτων τὴν πέψιν· τὸ δὲ τελευταῖον καὶ τοῦτο μέλαν ἰσχυρῶς γίνεται καὶ κυανοειδές. [v]Οπερ συμ- 20
βαίνει καὶ ἐπὶ τῶν καρπῶν. [v]Οτι δὲ χρωμάτων [e] ὕστερον ἐπιγινομένων, ὅταν κρατῆται [f] τὰ [g] πρότερον, τὸ χρῶμα τῶν καρπῶν μεταβάλλει, καὶ διὰ τῶν τοιούτων ῥᾴδιον συνιδεῖν. Καὶ γὰρ τῆς [h] ῥοιᾶς ὁ καρπὸς καὶ τὰ τῶν ῥόδων φύλλα κατ' 21
ἀρχὰς [i] μὲν γίνεται λευκά, τὸ δὲ τελευταῖον ἤδη χρωζομένων ἐν [k] αὐτοῖς τῶν χυλῶν ὑπὸ τῆς πέψεως [l] ἀποχραίνεται, καὶ μεταβάλλει πάλιν εἰς τὸ τοῦ ἁλουργοῦ χρῶμα καὶ τὸ [m] φοινικιοῦν. Τὰ δὲ καὶ πλείους [n] ἐπ' [o] αὐτοῖς ἔχει χρόας, καθά- 22

o δὲ—πυρροῦ] δὲ πάλιν ἐκ τοῦ πυρροῦ μεθιστάμενοι P. p καὶ] γίνονται κυανοειδεῖς P, καὶ γίνονται κυανοειδεῖς X. q ὑπάρχοντος P. r δὲ] γὰρ G^a. s γὰρ om. X.G^a. t ἔρνα P.X. v μέλανες καὶ ἀμφοτέρων X. w μετέχουσι τῶν χρωμάτων L.G^a.H^a. x τῶν τοιούτων γίνεται M.X. y ὑστερεῖ L.G^a.H^a, ὑγροτερεῖ E, ὑγροτερῇ M. z φοινίκεια L.M.X. G^a.H^a. a ἔκκρισις P. b φοινικοῦν L.X.$G^a$$H^a$. c τὸ om. E.L. M.$G^a$.$H^a$. d ἐπεσταγμένου P.X. e ὑστέρων E.P.X.H^a. f τὰ om. E.M. g πρότερα E.P.X. h ῥόας X, ῥοᾶς M.P. i μὲν] μὲν ἤδη G^a, om. X. k ἑαυτοῖς E.M. l ἀπωχραίνεται L, ἀποχρώζεται P.X. m φοινικοῦν L.X.H^a. n ἐπ' L.P.X. o αὐτῆς M.

περ καὶ ἐπὶ τῆς μήκωνος ὁ ὀπὸς καὶ τῆς ἐλαίας [p] ὁ [q] ἀμόργης· [r] καὶ γὰρ οὗτος τὸ μὲν πρῶτον γίνεται λευκός, [s] καθάπερ καὶ ὁ τῆς [t] ῥοιᾶς καρπός, λευκανθεὶς δὲ πάλιν εἰς τὸ [v] φοινικιοῦν μεταβάλλει χρῶμα, τὸ δὲ τελευταῖον πολλῷ τῷ
23 μέλανι κραθεὶς γίνεται κυανοειδής. Διὸ καὶ τὰ τῆς μήκωνος φύλλα τὰ μὲν [w] ἄνω ἔχει [x] φοινικιοῦντα παρὰ τὸ γίνεσθαι ταχεῖαν αὐτῶν τὴν ἔκπεψιν, τὰ δὲ πρὸς ταῖς ἀρχαῖς μέλανα, ἤδη τούτου [y] τοῦ χρώματος ἐν αὐτοῖς ἐπικρατοῦντος, ὥσπερ καὶ ἐπὶ τοῦ καρποῦ· καὶ γὰρ τὸ τελευταῖον γίνεται μέλας.
24 Ἐν ὅσοις δ' ὑπάρχει τῶν φυτῶν ἓν χρῶμα μόνον, οἷον τὸ λευκὸν ἢ τὸ μέλαν ἢ τὸ [z] φοινικοῦν ἢ τὸ [a] ἀλουργές, τούτων [b] δὲ πάντων οἱ καρποὶ διαμένουσιν ἀεὶ τὴν αὐτὴν ἔχοντες τοῦ χρώματος φύσιν, ὅταν ἅπαξ ἐκ τοῦ ποώδους εἰς ἄλλην χρόαν
25 [c] μεταβάλλωσιν. Τὰ δ' ἄνθη τοῖς καρποῖς ἐπ' ἐνίων μὲν ὁμόχροα [d] συμβαίνει γίνεσθαι, καθάπερ ἔχει καὶ ἐπὶ τῆς [e] ῥοιᾶς· καὶ γὰρ ὁ καρπὸς αὐτῆς γίνεται [f] φοινικιοῦς καὶ τὸ ἄνθος· ἐπ' ἐνίων δὲ πολὺ τῷ χρώματι διαφέρει, οἷον ἐπί τε τῆς δάφνης καὶ [g] τοῦ κιττοῦ· τὸ μὲν γὰρ ἄνθος [h] ἐστὶν αὐτῶν ἁπάντων ξανθόν, ὁ δὲ καρπὸς [i] τῶν μὲν μέλας τῶν δὲ
26 φοινικιοῦς. [t] Ὁμοίως δ' ἔχει καὶ ἐπὶ τῆς μηλέας· καὶ [j] γὰρ ταύτης τὸ μὲν ἄνθος ἐστὶ λευκὸν ἐπιπορφυρίζον, ὁ δὲ καρπὸς ξανθός. Τῆς δὲ μήκωνος τὸ μὲν ἄνθος [f] φοινικιοῦν, ὁ δὲ καρπὸς ὁ μὲν μέλας ὁ δὲ λευκός, παρὰ τὸ [k] καὶ τὰς πέψεις τῶν ἐνυπαρχόντων [l] ἐν αὐτοῖς χυλῶν κατ' ἄλλους γίνεσθαι χρό-
27 νους. [t] Ῥᾴδιον δὲ τοῦτο ἐκ πολλῶν συνιδεῖν· καὶ γὰρ τῶν

[p] ὁ ante τῆς L, om. E.M.G[a].H[a]. [q] ἀμοργής E, ἀμοργός X. [r] καὶ γὰρ καὶ οὗτος X. [s] ὥσπερ E.M. [t] ῥόας X, ῥοᾶς E.M.P. [v] φοινικοῦν L.X.G[a].H[a]. [w] ἄνω] ἄλλα G[a]. [x] φοινικοῦντα X, φοινικοῦν L.H[a]. [y] τοῦ om. E. [z] φοινικοῦν L.M.X.H[a]. [a] ἁλουργόν L.X. [b] δὲ] δὴ X. [c] μεταβάλουσι P. [d] συμβαίνουσι (omisso γίνεσθαι) X. [e] ῥοᾶς E.M.P, ῥόας X. [f] φοινικοῦς, et sectt. 26 et 28 φοινικοῦν L.X.H[a]. [g] τοῦ] ἐπὶ P, τῆς X. [h] ἐστιν αὐτοῖς E.M, αὐτῶν ἐστὶν P. [i] τῶν μὲν φοινικοῦς τῶν δὲ μέλας· ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῆς P, τῶν μὲν (δὲ E.) μέλας τῶν δὲ φοινικοῦς καὶ τῆς E.M, τῶν δὲ μέλας καὶ φοινικοῦς δὲ καὶ ὁ τῆς L.G[a].H[a]. [j] γὰρ] γὰρ καὶ P. [k] καὶ om. X. [l] ἐν om. L.X.G[a].H[a].

καρπῶν ἔνιοι, καθάπερ εἴρηται, πολλὰς διαφορὰς ἅμα [m] τῇ πέψει λαμβάνουσιν. Διὸ καὶ τὰς ὀσμὰς καὶ τοὺς χυλοὺς πολὺ διαφόρους συμβαίνει τοῖς ἄνθεσι καὶ τοῖς καρποῖς συνακολουθεῖν. [n] Ἔτι δὲ μᾶλλον τοῦτό ἐστιν ἐπ' αὐτῶν τῶν 28
ἀνθῶν φανερόν· τοῦ γὰρ αὐτοῦ φύλλου τὸ μέν ἐστι μέλαν τὸ δὲ [o] φοινικιοῦν, ἐνίων δὲ τὸ μέν [p] τι λευκὸν τὸ δὲ πορφυροειδές. Οὐχ ἥκιστα δὲ τοῦτο φανερόν ἐστιν ἐπὶ τῆς ἴριδος· πολλὰς γὰρ ἔχει καὶ τοῦτο τὸ ἄνθος ἐν [q] αὑτῷ [r] ποικιλίας παρὰ τὰς τῆς πέψεως διαφοράς, ὥσπερ καὶ τῶν βοτρύων, ὅταν ἤδη πεπαινόμενοι τυγχάνωσιν. Διὸ καὶ πάν- 29
των μάλιστα συμβαίνει πέττεσθαι τῶν ἀνθῶν τὰ ἄκρα, τὰ δὲ πρὸς ταῖς ἀρχαῖς ἀχρούστερα [s] γίνεται πολλῷ. Σχεδὸν γὰρ ἐνίων ὥσπερ ἐκκάεται τὸ ὑγρὸν πρότερον ἢ λαβεῖν τὴν οἰκείαν πέψιν. Διὸ καὶ τὰ μὲν ἄνθη τῷ χρώματι διαμένει, 30
οἱ δὲ καρποὶ πεττόμενοι μεταβάλλουσιν· τὰ μὲν γὰρ διὰ μικρότητα τῆς τροφῆς ταχέως ἐκπέττεται, οἱ δὲ καρποὶ διὰ τὸ πλῆθος τῆς ὑγρασίας εἰς πάσας ἅμα τῇ πέψει τὰς κατὰ φύσιν [t] χρόας μεταβάλλουσιν. Φανερὸν δὲ τοῦτο ἐστί, καθάπερ εἴρηται πρότερον, [v] καὶ ἐπὶ τῶν βαπτομένων ἀνθῶν. Τὰ μὲν [w] γὰρ ἐξ ἀρχῆς, ὅταν βάπτοντες τὴν πορφύραν κα- 31
θιῶσι τὰς αἱματίδας, [x] ὄρφνιαι γίνονται καὶ [y] μέλαιναι καὶ ἀεροειδεῖς· τοῦ δ' ἄνθους συνεψηθέντος ἱκανῶς [z] ἀλουργὲς γίνεται [a] εὐανθὲς καὶ λαμπρόν. [v] Ὥστ' ἀνάγκη καὶ τῶν ἀνθῶν 32
ὁμοίως πολλὰ τοῖς χρώμασι τῶν καρπῶν διαλλάττειν, καὶ τὰ μὲν ὑπερβαίνειν τὰ δὲ ἀπολείπειν τῶν κατὰ φύσιν χρωμάτων, διὰ τὸ τῶν μὲν ἀτελῆ τῶν δὲ τελείαν γίνεσθαι τὴν πέψιν. Τὰ μὲν οὖν ἄνθη καὶ τοὺς καρποὺς διὰ ταύτας τὰς 33
αἰτίας συμβαίνει τοῖς χρώμασιν [b] ἀλλήλων διαφέρειν· τὰ δὲ

[m] τῇ πέψει] περι E.M.X, παρα P. [n] ἔτι τοῦτό ἐστι μᾶλλον ἐπ' M. [o] φοινικοῦν L.X.H[a]. [p] τι] τοι M.P, ἐστι L.G[a]. [q] ἑαυτῷ M. [r] ποικίλους διαφορὰς παρὰ τῆς πέψεως P. [s] γίνεσθαι P. [t] χρόας] ἅμα χρόας E.M.X. [v] καὶ om. X. [w] γὰρ om. X. [x] ὄρφνιναι E.L.M.G[a].H[a], ὄρφνια X. [y] μέλανα καὶ ἀεροειδῆ X. [z] ἁλουργὸν L. [a] εὐανθὲς ante γίνεται E.L.M.G[a].H[a], om.X. [b] ἀλλήλοις H[a].

[c] φύλλα τῶν πλείστων δένδρων τὸ τελευταῖον γίνεται ξανθὰ διὰ τὸ τῆς τροφῆς [d] ὑπολειπούσης φθάνειν αὐτὰ καταξηραινόμενα πρότερον ἢ μεταβάλλειν εἰς τὸ κατὰ φύσιν χρῶμα, ἐπεὶ καὶ τῶν [e] ἀπορρεόντων καρπῶν ἔνιοι γίνονται [f] τῷ χρώματι ξανθοὶ διὰ τὸ καὶ τούτων τῆς πέψεως πρότερον τὴν
34 τροφὴν ὑπολείπειν. [1] Ἔτι δὲ ὅ τε σῖτος καὶ τὰ φυόμενα [g] πάντα· καὶ γὰρ ταῦτα τὸ τελευταῖον [h] γίνεται ξανθά. Τὸ γὰρ ὑγρὸν ἐν αὐτοῖς οὐκέτι μελαινόμενον διὰ τὸ καταξηραί-
35 νεσθαι ταχέως ποιεῖ τὴν τοῦ χρώματος μεταβολήν. Μελαινόμενον γὰρ καὶ τῷ χλωρῷ κεραννύμενον γίνεται, καθάπερ εἴρηται, ποῶδες· ἀσθενεστέρου δὲ τοῦ μέλανος ἀεὶ γινομένου, [i] πάλιν κατὰ μικρὸν εἰς τὸ χλωρὸν μεταβάλλει χρῶμα, καὶ τὸ τελευταῖον γίνεται ξανθόν, ἐπεὶ τά γε τῆς ἀπίου φύλλα καὶ τῆς ἀνδράχνης καὶ τινων ἄλλων πεττόμενα γίνεται [j] φοι-
36 νικιᾶ. Πλὴν ὅσα [k] καὶ τούτων καταξηραίνεται ταχέως, ταῦτα γίνεται ξανθὰ διὰ τὸ τούτων πρὸ τῆς πέψεως [l] τὴν τροφὴν ὑπολείπειν. Τὰς μὲν οὖν τῶν φυτῶν διαφορὰς [m] μάλιστα εὔλογον συμβαίνειν διὰ τὰς εἰρημένας αἰτίας.

6 Γίνεται δὲ καὶ τὰ τριχώματα καὶ τὰ πτερώματα καὶ τὰ δέρματα καὶ ἵππων καὶ βοῶν καὶ προβάτων καὶ ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων ἁπάντων καὶ λευκὰ καὶ [n] φαιὰ καὶ πυρρὰ καὶ μέλανα διὰ τὴν αὐτὴν αἰτίαν, λευκὰ μὲν ὅταν ἔτι ὑπὸ τῆς πέψεως τὸ ὑγρὸν τὸ οἰκεῖον ἔχον χρῶμα καταξηρανθῇ, μέλανα δὲ τοὐναντίον ὅταν [o] αὐτῶν ἐν τῇ γενέσει [p] τὸ περὶ τὸν χρῶτα ὑγρόν, καθάπερ ἐν τοῖς ἄλλοις ἅπασι, παλαιούμενον καὶ χρονιζόμενον διὰ τὸ πλῆθος μελανθῇ· πάντων γὰρ τῶν
2 τοιούτων ὅ τε χρὼς καὶ τὰ δέρματα γίνεται μέλανα. Φαιὰ δὲ καὶ [q] πυρρὰ καὶ ξανθὰ καὶ τὰς ἄλλας ἔχοντα χρόας, ὅσα

[c] φύλλα] πολλὰ E.L.M.P.X.G[a].H[a]. [d] ἀπολειπούσης L.P.X. [e] ἐπιρρεόντων E.L.M.G[a].H[a]. [f] τῷ χρώματι om. X. [g] ἅπαντα M. [h] γίνονται M. [i] πάλιν] πάντα H[a]. [j] φοινίκεα G[a].H[a], φοινίκεια L. [k] καταξηραίνεται καὶ τούτων P. [l] ὑπολείπειν τὴν τροφὴν P. [m] εὔλογον μάλιστα L. [n] πυρρὰ καὶ φαιὰ X. [o] αὐτὴν E.M.G[a].H[a], αὐτὸ L. [p] τὸ περιττὸν χρῶμα E.L.M.G[a].H[a]. [q] ξανθὰ καὶ πυρρὰ P.

φθάνει καταξηραινόμενα πρότερον ἢ τελέως [r]ἐν αὐτοῖς μεταβάλλειν εἰς τὸ μέλαν χρῶμα τὸ ὑγρόν. Οἷς δ' [s]ἂν ἀνωμάλως τοῦτο συμβῇ, καὶ τὰ χρώματα τοιαῦτα γίνεται ποικίλα. Διὸ καὶ [t]πάντα τοῖς δέρμασι καὶ τῷ χρώματι [v]συνακολουθεῖ, 3 ἐπεὶ καὶ τῶν ἀνθρώπων τῶν [w]ἐμπύρρων καὶ τὰ [x]τριχώματα [y]γίνεται λευκόπυρρα, τῶν δὲ μελάνων μέλανα· κἂν κατὰ μέρος τι τοῦ σώματος ἐξανθήσῃ [z]λεύκη, καὶ [a]τὰς τρίχας ἴσχουσιν [b]ἅπαντες λευκὰς κατὰ τὸν τόπον τοῦτον, καθάπερ καὶ τὰ ποικίλα τῶν ζῴων. Οὕτως ἅπαντα [c]τὰ τριχώματα καὶ [d]τὰ 4 πτερώματα τοῖς δέρμασι [e]συνακολουθεῖ, καὶ τὰ κατὰ μέρος καὶ τὰ κατὰ σῶμα [f]ὅλον. [t]Ομοίως δὲ τούτοις [g]ὁπλαὶ καὶ χηλαὶ καὶ ῥύγχη καὶ κέρατα· καὶ γὰρ ταῦτα τῶν [h]μὲν μελάνων γίνεται μέλανα, τῶν δὲ λευκῶν λευκά, διὰ τὸ καὶ τούτοις ἅπασι διὰ τοῦ δέρματος τὴν τροφὴν εἰς τὴν ἐκτὸς περιοχὴν διηθεῖσθαι. [u]Οτι δὲ τοῦτό ἐστιν αἴτιον, οὐ χαλεπὸν 5 ἐκ πολλῶν συνιδεῖν. Τῶν [i]τε γὰρ παιδίων ἁπάντων αἱ κεφαλαὶ κατ' ἀρχὰς μὲν γίνονται πυρραὶ διὰ τὴν ὀλιγότητα τῆς τροφῆς. Φανερὸν δὲ τοῦτό ἐστιν· καὶ γὰρ ἀσθενεῖς αἱ τρίχες καὶ ἀραιαὶ καὶ βραχεῖαι τὸ πρῶτον ἅπασιν ἐπιγίνονται τοῖς παιδίοις. Προϊούσης δὲ τῆς ἡλικίας μελαίνονται 6 πάλιν [k]χρωζομένοις [l]αὐτοῖς διὰ τὸ πλῆθος τῆς ἐπιρρεούσης τροφῆς. [m][t]Ομοίως δὲ καὶ περὶ τὴν ἥβην καὶ τὸ γένειον, ὅταν ἄρχωνται τὸ πρῶτον ἡβᾶν καὶ γενειᾶν, καὶ αὗται γίνονται κατ' ἀρχὰς μὲν πυρραὶ ταχέως διὰ τὴν ὀλιγότητα τῆς ὑγρασίας ἐν αὐταῖς καταξηραινομένης, [n]τῆς τροφῆς δὲ πλέον ἐπὶ τὸν τόπον [o]ἐπιφερομένης [p]μελαίνονται [q]πάλιν. Αἱ δὲ ἐπὶ τοῦ σώματος πλεῖστον χρόνον πυρραὶ διαμένουσι 7

[r] ἐν αὐτοῖς om. X. [s] ἂν codicibus deest. [t] editi πάντως τοῖς δέρμασι τὰ τριχώματα. [v] συνεπακολουθεῖ L, συνακολουθεῖ καὶ τὰ κατὰ μέρος X. [w] ἐμπύρων E.M.P. [x] χρώματα X. [y] γίνονται G[a].H[a]. [z] λευκὸν L.H[a], λευκῶς G[a]. [a] τὰς om. X. [b] λευκὰς ἅπαντες X. [c] τὰ] καὶ τὰ P. [d] τὰ om. P. [e] ἀκολουθεῖ P. [f] μόνον E.L.M.G[a].H[a]. [g] ὁπλὰς L. [h] μὲν om. E.M.P.X. [i] τε om. X. [k] χρωιζομένης E.H[a], χρονιζομένης P.X. [l] αὐτῆς P. [m] ὅμως M. [n] τῆς δὲ τροφῆς P, τῆς τροφῆς δὴ E. [o] φερομένης L.X.G[a].H[a]. [p] μελαίνοντα H[a]. [q] πάντα H[a], πᾶσαι L.

διὰ τὴν ἔνδειαν τῆς τροφῆς, ἐπεὶ καθ' ὃν ἂν χρόνον αὐξηθῶσι, καὶ [r] ταύτας [s] ὁμοίως συμβαίνει μελαίνεσθαι καθάπερ καὶ τὰς ἐπὶ τῆς ἥβης [t] καὶ τῆς κεφαλῆς. Φανερὸν δ' ἐστίν· καὶ [v] γὰρ ὅσα μῆκος ἔχει τῶν τριχωμάτων, ὡς τὸ πολύ ἐστι τὰ μὲν πρὸς [w] τῷ σώματι μελάντερα, τὰ δὲ πρὸς τοῖς ἄκροις ξαν-
8 θότερα. Καὶ αἱ [x] μὲν τῶν προβάτων καὶ ἵππων καὶ ἀνθρώπων, διὰ τὸ [y] τὴν τροφὴν ἐλαχίστην [z] αὐτοῖς ἐπὶ τούτους φέρεσθαι τοὺς τόπους, καὶ καταξηραίνεσθαι ταχέως. Γίνονται δὲ καὶ [a] τὰ πτερώματα τῶν μελάνων ὀρνίθων τὰ μὲν πρὸς τῷ σώματι μελάντερα πάντων, τὰ δὲ πρὸς τοῖς ἄκροις ξαν-
9 θότερα. Τὸν αὐτὸν δὲ [b] τρόπον τοῦτον καὶ τὰ περὶ τὸν τράχηλον, καὶ ὅλως ὅσα βραχεῖαν τὴν τροφὴν [c] λαμβάνει. Δῆλον δέ· καὶ γὰρ [d] πρὸ τῆς [e] πολιώσεως ἅπαντα τὰ τριχώματα μεταβάλλει καὶ γίνεται πυρρὰ διὰ τὸ πάλιν τὴν
10 τροφὴν [f] ὑπολείπουσαν καταξηραίνεσθαι ταχέως. Τὸ δὲ τελευταῖον λευκά, πρότερον ἢ μελανθῆναι τὸ ὑγρόν, τῆς τροφῆς ἐν αὐτοῖς ἐκπεττομένης. Μάλιστα δὲ τοῦτο ἐπὶ τῶν [g] ὑποζυγίων φανερόν [h] ἐστιν· πάντων γὰρ τὰ τριχώματα γίνεται λευκά. Τῶν γὰρ τόπων οὐ δυναμένων ὁμοίως ἐπισπᾶσθαι τὴν τροφὴν διὰ τὴν ἀσθένειαν [i] τὴν τοῦ θερμοῦ,
11 ταχέως καταξηραινόμενον τὸ ὑγρὸν [k] γίνεται λευκόν. Καὶ τὰ περὶ τοὺς κροτάφους μάλιστα πάντων [l] πολιοῦνται, καὶ ὅλως [m] περὶ τοὺς ἀσθενεῖς καὶ πεπονηκότας τῶν τόπων. Παρὸ καὶ παρὰ [n] πάντα μάλιστα εἰς τοῦτο τὸ χρῶμα με-
12 ταβάλλει, ὅταν τὴν φύσιν παραλλάξῃ τὴν οἰκείαν. Καὶ γὰρ λαγὼς ἤδη γέγονε λευκός, καὶ μέλας [o] δέ ποτε πέφηνε καὶ ἔλαφος καὶ ἄρκτος, ὁμοίως δὲ τούτοις καὶ [p] ὄρτυξ καὶ

[r] ταῦτα E.G[a].H[a]. [s] συμβαίνει ὁμοίως G[a]. [t] καὶ τῆς] καὶ τὰς ἐπὶ τῆς L.G[a].H[a]. [v] γὰρ om. L.H[a]. [w] τοῦ σώματος L. [x] μὲν om. L.G[a].H[a]. [y] τὴν om. X. [z] αὐτοῖς om. L.G[a].H[a]. [a] τὰ post καὶ om. M. [b] τοῦτον τρόπον P. [c] λαμβάνουσι L. [d] πρὸ] ὑπὸ L.G[a].H[a], πρὸ τῆς ὑπὸ E, om. P. [e] λειώσεως E, τελειώσεως L.M.G[a].H[a]. [f] ἀπολείπουσαν P. [g] ὑποζύγων P. [h] ἐστιν om. P. [i] τὴν ante τοῦ om. L. [k] γίνεται] φαίνεται λευκὸν γεγονός P. [l] τελειοῦνται P. [m] παρὰ H[a]. [n] πάντα τὰ χρώματα μάλιστα εἰς τοῦτο μεταβάλλει X. [o] δή L. [p] ὄρυξ E.M.P.X.

πέρδιξ καὶ χελιδών. [v]Ὅταν γὰρ ἀσθενήσωσι τῇ γενέσει, πάντα τὰ τοιαῦτα διὰ τὴν ὀλιγότητα τῆς τροφῆς πρὸ ὥρας ἐκπεττόμενα γίνεται λευκά. Οὕτως καὶ τὰ τῶν παίδων εὐθὺς 13
καὶ τὰς κεφαλὰς [q]ἴσχει λευκὰς καὶ τὰ βλέφαρα καὶ τὰς ὀφρῦς, ὥσπερ καὶ τῶν ἄλλων ἑκάστῳ πρὸς τὸ γῆρας φανερῶς ἅπασι δι' ἀσθένειαν καὶ ὀλιγότητα [r]τῆς τροφῆς] συμβαίνει [s]τὸ πάθος. Διὸ καὶ τὰ πλεῖστα τῶν ζῴων ἀσθενέ- 14
στερα [t]γίνεται [v]τὰ λευκὰ τῶν μελάνων· [w]πρότερον [x]γὰρ ἢ τὴν αὔξησιν αὐτῶν τελειωθῆναι διὰ τὴν ὀλιγότητα τῆς τροφῆς ἐκπεττόμενα γίνεται λευκά, καθάπερ καὶ τῶν καρπῶν ὅσοι νενοσηκότες τυγχάνουσιν· καὶ γὰρ οὗτοι πολὺ μᾶλλον δι' ἀσθένειαν ἐκπέττονται. [y]Ὅσα δὲ [z]γίνεται λευκά, 15
πολὺ διαφέροντα ἐκ τῶν ἄλλων, οἷον ἵπποι καὶ κύνες. Τὰ [a]δὲ τοιαῦτα [b]μεταβάλλει πάντα ἐκ τοῦ κατὰ φύσιν χρώματος εἰς τὸ λευκὸν διὰ τὴν εὐτροφίαν. Τὸ γὰρ ὑγρὸν ἐν τοῖς τοιούτοις οὐ χρονιζόμενον, [c]ἀλλ' ἀναλισκόμενον διὰ τὴν αὔξησιν, [c]οὐ γίνεται μέλαν. Τὰ πλεῖστα γάρ ἐστι τῶν τοι- 16
ούτων ὑγρὰ καὶ [d]εὔσαρκα διὰ τὴν εὐτροφίαν. Διόπερ οὐδὲ μεταβάλλει τὰ λευκὰ τῶν τριχωμάτων. Φανερὸν δὲ τοῦτο ἐστίν· καὶ γὰρ τὰ μέλανα πρότερον τῆς πολιώσεως [e]γίνεται πυρρά, ἤδη τῆς τροφῆς ἐν αὐτοῖς [f]ὑπολειπούσης καὶ μᾶλλον ἐκπεττομένης, τὸ δὲ τελευταῖον λευκά. Καίτοι τινὲς ὑπο- 17
λαμβάνουσι μέλανα γίνεσθαι πάντα διὰ τὸ συγκάεσθαι τὴν τροφὴν [g]αὐτῶν ὑπὸ τοῦ θερμοῦ καθάπερ καὶ τὸ αἷμα καὶ τῶν ἄλλων ἕκαστον, διαμαρτάνοντες. [v]Ἔνια γὰρ [h]καὶ τῶν ζῴων εὐθὺς ἐν ἀρχῇ γίνεται μέλανα, οἷον κύνες καὶ αἶγες καὶ βόες, καὶ ὅλως ὅσων τὰ δέρματα καὶ τὰ τριχώματα κατ' ἀρχὰς ἔχει τροφήν, προιούσης δὲ τῆς ἡλικίας ἧττον. Καίτοι 18

q ἔχει L.Ha. r τῆς τροφῆς om. E.L.M.P.X.Ga.Ha. s τὸ πάθος] τοῦτο X. t γίνονται P.X. v τὰ] τὰ δὲ X. w πρότερα Ha. x γὰρ ἢ] τοῦ γὰρ P, γὰρ E. y ὅσα] τὰ L. z γίνονται L.P.X.Ga.Ha. a δὴ X. b πάντα μεταβάλλει L.Ga.Ha. c ἀλλ' et οὐ om. E.L.M.Ga.Ha. d εὔκαρπα E.L.M.Ga.Ha. e γίνονται L.M.Ga.Ha. f ἀπολειπούσης E.L.M. g αὐτοῦ E.L.M.P.Ga.Ha. h καὶ om. P.X.

i γε οὐκ ἐχρῆν, ἀλλὰ πάντων k ἔδει καὶ τὰ τριχώματα k μελαίνεσθαι κατὰ τὴν l ἀκμήν, καθ' ὃν m ἂν χρόνον μάλιστα αὐτῶν ἰσχύῃ n καὶ τὸ θερμόν, καὶ μᾶλλον ἅπαντα o πολιοῦσθαι κατ' ἀρχάς. Πολὺ γὰρ ἁπάντων p ἀπὸ πρώτης ἀσθενέστερόν τι γίνεται τὸ θερμὸν ἢ καθ' ὃν χρόνον ἄρχεται τὰ τριχώματα
19 αὐτῶν λευκαίνεσθαι. Φανερὸν δὲ τοῦτο ἐστὶ καὶ ἐπὶ τῶν λευκῶν. q Ἔνια μὲν γὰρ εὐθὺς ἴσχει τὸ χρῶμα λευκότατον, ὅσα καὶ τούτων q πλείστην ἔχει κατ' ἀρχὰς τροφήν, καὶ μὴ r πρὸ ὥρας ἐν αὐτῇ s καταξηραίνεται τὸ ὑγρόν· προϊούσης δὲ τῆς ἡλικίας t ξανθά, v τροφῆς αὐτοῖς ἐλάττονος w ὕστερον ἐπιρρε-
20 ούσης. Τὰ δὲ ἐν ἀρχῇ μὲν γίνεται ξανθά, κατὰ δὲ τὴν ἀκμὴν λευκότατα, καθάπερ καὶ τῶν ὀρνίθων μεταβάλλουσι τὰ χρώματα x πάλιν τῆς τροφῆς ἐν αὐτοῖς ὑπολειπούσης. Δηλοῖ δὲ· y πάντα γὰρ αὐτὰ γίνεται ξανθὰ καὶ περὶ τὸν τράχηλον, καὶ ὅλως ὅσα σπανίζει τροφῆς τῆς ἐν αὐτοῖς ὑπολειπούσης.
21 Δῆλον δὲ· ὥσπερ z γὰρ καὶ τὸ πυρρὸν εἰς τὸ a μέλαν μεταβάλλει καὶ τὸ μέλαν πάλιν εἰς τὸ πυρρόν, οὕτω καὶ τὸ λευκὸν εἰς τὸ ξανθόν. Συμβαίνει δὲ τοῦτο καὶ ἐπὶ τῶν φυτῶν· ἔνια γὰρ ἐκ τῆς ὑστέρας πέψεως ἀνατρέχει b πάλιν ἐπὶ τὴν προτέραν. Μάλιστα δὲ τοῦτο καὶ ἐπὶ τῆς c ῥοιᾶς φα-
22 νερόν ἐστιν. Τὸ μὲν d γὰρ ἐξ ἀρχῆς οἱ e κόκκοι γίνονται f φοινικοῖ, καὶ τὰ φύλλα, δι' ὀλιγότητα τῆς τροφῆς ἐκπεττομένης· ὕστερον δὲ b πάλιν μεταβάλλουσιν εἰς τὸ ποῶδες χρῶμα, g πολλῆς τροφῆς ἐπιρρεούσης καὶ τῆς πέψεως οὐχ ὁμοίως δυναμένης κρατεῖν· τὸ τελευταῖον δὲ πεττομένης ἤδη

i γε om. P. k δεῖ E.L.M.G^a.H^a, omissis mox μελαίνεσθαι κατὰ. l ἀρχήν P. m ἂν post αὐτῶν E.L.M, om. P. n καὶ om. G^a. o πονοῦσθαι E.M.i, πονεῖσθαι γρ. P. p ἀπὸ πρώτης post θερμόν P. q πλείστην κατ' ἀρχὰς ἔχει P.H^a, κατ' ἀρχὰς ἔχει πλείστην G^a, κατ' ἀρχὰς πλείστην ἔχει L. r πρὸ ὥρας] προέφθασεν P.X. s καταξηραίνεσθαι E.M.P.X. t ξανθόν P.X. v τροφῆς ἐν αὐτοῖς X. w ὕστερον ante ἐλάττονος L.G^a.H^a, om. X. x πάλιν om. P. y πάντα—δῆλον δέ om. P. z γὰρ] δὲ E.M.P.X, om. L. a μέλαν] λευκὸν L.G^a.H^a. b πάλιν] utrobique πάντα L. c ῥοᾶς E.M.P, ῥόας X. d γὰρ om. L. e κότινοι E.L.M.P.X. et corr. G^a, κόκινοι H^a. f φοινίκεοι E.M.P, φοινικεοὶ G^a, φοινίκειοι X. g τροφῆς πολλῆς X.

τῆς τροφῆς [h]πάλιν γίνεται τὸ χρῶμα [i]φοινικιοῦν. Καθό- 23
λου δὲ εἰπεῖν καὶ περὶ τῶν ἄλλων τριχωμάτων [k]καὶ πτερω-
μάτων, ἅπαντα λαμβάνει τὰς μεταβολάς, οἷς μέν, καθάπερ
εἴρηται, τῆς τροφῆς ἐν αὐτοῖς ὑπολειπούσης, οἷς δὲ τοὐναν-
τίον πλεοναζούσης. Διόπερ ἄλλα κατ' [l]ἄλλους χρόνους 24
τῆς ἡλικίας καὶ λευκότατα καὶ [m]μελάντατα γίνεται [n]τῶν
τριχωμάτων, ἐπεὶ καὶ τῶν κοράκων τὰ πτερώματα τὸ τελευ-
ταῖον [o]εἰς τὸ ξανθὸν χρῶμα μεταβάλλει, τῆς τροφῆς ἐν
αὐτοῖς ὑπολειπούσης. Τῶν δὲ τριχωμάτων οὐδὲν οὔτε [p]φοι- 25
νικιοῦν οὔθ' ἁλουργὲς οὔτε πράσινον οὔτε [q]ἄλλην οὐδεμίαν
ἔχον τοιαύτην γίνεται χρόαν, διὰ τὸ πάντα τὰ τοιαῦτα
χρώματα γίνεσθαι μιγνυμένων αὐτοῖς τῶν τοῦ ἡλίου αὐγῶν,
[r]ἔτι δὲ τῶν τριχωμάτων ἁπάντων τῶν ὑγρῶν [s]ἐντὸς τῆς
σαρκὸς [t]συμβαίνειν τὰς μεταβολάς, καὶ μηδεμίαν [v]αὐτὰ
λαμβάνειν μίξιν. Δῆλον δ' ἐστίν· καὶ γὰρ τῶν πτερωμά- 26
των [w]τὸ μὲν ἐξ ἀρχῆς οὐδὲν γίνεται τῷ [x]χρώματι τοιοῦτον,
ἀλλὰ καὶ τὰ ποικίλα τῶν ὀρνέων πάνθ' ὡς εἰπεῖν μέλανα,
οἷον ὅ τε ταὼς καὶ ἡ περιστερὰ καὶ ἡ χελιδών· [y]ὕστερον δὲ
λαμβάνει πάσας [z]τὰς τοιαύτας [a]ποικιλίας, [b]ἤδη τῆς πέψεως
αὐτῶν ἔξω τοῦ σώματος γιγνομένης, ἔν τε τοῖς [c]πτερώμασι
καὶ τοῖς [d]καλαίοις· ὥστε συμβαίνει, [e]καθάπερ καὶ ἐπὶ τῶν
φυτῶν, [f]καὶ τούτων ἔξω [g]τοῦ σώματος γίγνεσθαι τὴν [h]τῶν
χρωμάτων πέψιν. Διὸ καὶ τὰ λοιπὰ τῶν ζῴων, τά τ' ἔνυ- 27
δρα καὶ [i]τὰ ἑρπετὰ καὶ [k]τὰ κογχύλια, [l]παντοδαπὰς ἴσχει

[h] πάντι L. [i] φοινικοῦν L.X.G[a].H[a]. [k] καὶ ante πτ. om. E. [l] ἄλλους τοὺς χρόνους P. [m] μέλανα P. [n] τῶν] καὶ τῶν E.M.P.X. [o] εἰς ξανθὸν X, ἐκξηρανθὲν P. [p] φοινικοῦν L.X.H[a]. [q] οὐδεμίαν ἄλλην L.G[a].H[a]. [r] ἔτι] ἔστι E.M.G[a].H[a]. [s] ἐντὸς] ἐν τῇ H[a], ἐν τῷ E.L.M.G[a]. [t] συμβαίνει E.L.H[a]. [v] αὐτῶν M. [w] τὸ] τὰ L. [x] τριχώματι M.P. [y] ὕστερον] ἕτερον E, ἕτερα M. [z] τὰς] ἤδη τὰς M. [a] ποικιλίας] ἤδη ποικιλίας E. [b] τῆς πέψεως αὐτῶν ἤδη τοῦ σώματος ἔξω P. [c] πτερυγώμασι P. [d] κάλοις E.M, καυλοῖς X, λόφοις P. [e] καθάπερ om. G[a]. [f] καὶ τούτων om. X. [g] τοῦ] τῶν τοῦ E.L.M.G[a].H[a]. [h] τῶν χρωμάτων om. G[a]. [i] τὰ ante ἑρπ. om. X. [k] τὰ om. E.M.P. [l] πάντα δ' ἁπάσας E.P.X.

χρωμάτων [m] μορφάς, πολλῆς καὶ [n] τούτοις τῆς πέψεως [o] γινομένης. Τὴν μὲν οὖν [p] περὶ τὰ χρώματα θεωρίαν μάλιστ' ἄν τις ἐκ τῶν εἰρημένων δύναιτο [q] συνιδεῖν.

[m] διαφορὰς X. [n] τούτων G^a. [o] γενομένης P. [p] περὶ] ἐκ τῶν περὶ E.M.P.X. [q] post συνιδεῖν p: † ὁ τῆς περιστερᾶς τράχηλος διαφόρων χρωμάτων φαντασίαν ποιεῖ διὰ τὴν τοῦ ἡλίου ἀκτῖνα. Προσβαλλούσης γὰρ αὐτῆς τῷ τραχήλῳ τῆς ἀκτῖνος παρὰ τὴν τοῦ ὄμματος θέσιν πρὸς ἄλλην καὶ ἄλλην θέσιν τοῖς μὲν κυανοῦς φαίνεται, τοῖς δὲ χρυσίζων, τοῖς δὲ μέλας, ἄλλοις ἀλλοῖος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΕΚ ΤΟΥ ΠΕΡΙ ΑΚΟΥΣΤΩΝ.

ΤΑΣ δὲ φωνὰς ἁπάσας συμβαίνει γίγνεσθαι καὶ τοὺς ψόφους ἢ τῶν σωμάτων ἢ τοῦ ἀέρος πρὸς τὰ σώματα προσπίπτοντος, οὐ τῷ τὸν ἀέρα σχηματίζεσθαι, καθάπερ οἴονταί τινες, ἀλλὰ τῷ κινεῖσθαι παραπλησίως αὐτὸν συστελλόμενον καὶ ἐκτεινόμενον καὶ καταλαμβανόμενον, ἔτι δὲ συγκρούοντα διὰ τὰς τοῦ πνεύματος καὶ τῶν χορδῶν γιγνομένας πληγάς. Ὅταν γὰρ τὸν ἐφεξῆς ἀέρα πλήξῃ τὸ πνεῦμα τὸ 2
ἐμπῖπτον αὐτῷ, ὁ ἀὴρ ἤδη φέρεται βίᾳ, τὸν ἐχόμενον αὐτοῦ προωθῶν ὁμοίως, ὥστε πάντῃ τὴν φωνὴν διατείνειν τὴν αὐτήν, ἐφ' ὅσον συμβαίνει γίγνεσθαι καὶ τοῦ ἀέρος τὴν κίνησιν. Διαχεῖται γὰρ ἐπὶ πλέονα ἡ βία τῆς κινήσεως αὐτοῦ γιγνομένης, ὥσπερ καὶ τὰ πνεύματα τὰ ἀπὸ τῶν ποταμῶν καὶ ἀπὸ τῆς χώρας ἀποπνέοντα. Τῶν δὲ φωνῶν τυφλαὶ 3
μέν εἰσι καὶ νεφώδεις ὅσαι τυγχάνουσιν αὐτοῦ καταπεπνιγμέναι· λαμπραὶ δὲ οὖσαι πόρρω διατείνουσι, καὶ πάντα πληροῦσι τὸν συνεχῆ τόπον. Ἀναπνέομεν δὲ τὸν μὲν ἀέρα πάντες τὸν αὐτόν, τὸ δὲ πνεῦμα καὶ τὰς φωνὰς ἐκπέμπομεν ἀλλοίας διὰ τὰς τῶν ὑποκειμένων ἀγγείων διαφοράς, δι' ὧν ἑκάστου τὸ πνεῦμα περαιοῦται [τὰ] πρὸς τὸν ἔξω τόπον. Ταῦτα δέ ἐστιν ἥ τε ἀρτηρία καὶ ὁ πνεύμων καὶ τὸ στόμα. 4
Πλείστην μὲν οὖν διαφορὰν ἀπεργάζονται τῆς φωνῆς αἵ τε τοῦ ἀέρος πληγαὶ καὶ οἱ τοῦ στόματος σχηματισμοί. Φα- 5
νερὸν δ' ἐστίν· καὶ γὰρ τῶν φθόγγων αἱ διαφοραὶ πᾶσαι γίγνονται διὰ ταύτην τὴν αἰτίαν, καὶ τοὺς αὐτοὺς ὁρῶμεν μιμουμένους καὶ ἵππων φωνὰς καὶ βατράχων καὶ ἀηδόνων καὶ γεράνων καὶ τῶν ἄλλων ζῴων σχεδὸν ἁπάντων, τῷ αὐτῷ χρωμένους πνεύματι καὶ ἀρτηρίᾳ, παρὰ τὸν ἀέρα διαφόρως ἐκπέμπειν αὐτοὺς ἐκ τοῦ στόματος. Πολλὰ δὲ καὶ 6

τῶν ὀρνέων, ὅταν ἀκούσωσι, μιμοῦνται τὰς τῶν ἄλλων φωνὰς διὰ τὴν εἰρημένην αἰτίαν. 6 Ὁ δὲ πνεύμων ὅταν ᾖ μικρὸς καὶ πυκνὸς καὶ σκληρός, οὔτε δέχεσθαι τὸν ἀέρα δύναται πολὺν εἰς αὐτὸν οὔτε ἐκπέμπειν πάλιν ἔξω, οὐδὲ τὴν πληγὴν 7 ἰσχυρὰν οὐδὲ εὔρωστον ποιεῖσθαι τὴν τοῦ πνεύματος. Διὰ γὰρ τὸ εἶναι σκληρὸς καὶ πυκνὸς καὶ συνδεδεμένος οὐ δύναται λαμβάνειν τὴν διαστολὴν ἐπὶ πολὺν τόπον, οὐδὲ πάλιν ἐκ πολλοῦ διαστήματος συνάγων ἑαυτὸν ἐκθλίβειν βίᾳ τὸ πνεῦμα, καθάπερ οὐδ' ἡμεῖς ταῖς φύσαις, ὅταν ὦσι σκληραὶ καὶ 8 μήτε διαστέλλεσθαι μήτε πιέζεσθαι δύνωνται ῥᾳδίως. Τοῦτο γάρ ἐστι τὸ ποιοῦν τὴν τοῦ πνεύματος πληγὴν εὔρωστον, ὅταν ὁ πνεύμων ἐκ πολλοῦ διαστήματος συνάγων αὐτὸν ἐκθλίβῃ τὸν ἀέρα βιαίως. Δῆλον δὲ τοῦτ' ἐστίν· οὐδὲ γὰρ τῶν ἄλλων μορίων οὐθὲν ἐκ μικρᾶς ἀποστάσεως δύναται 9 ποιεῖσθαι τὴν πληγὴν ἰσχυράν. [a] Οὔτε γὰρ τῷ σκέλει δυνατόν ἐστιν οὔτε τῇ χειρὶ πατάξαι σφοδρῶς οὐδὲ ἀπορρῖψαι πόρρω τὸ πληγέν, ἐὰν μή τις [b] αὐτῶν ἑκατέρῳ ἐκ πολλοῦ λάβῃ τῆς πληγῆς τὴν [c] ἀπόστασιν. Εἰ δὲ μή, σκληρὰ μὲν ἡ πληγὴ γίγνεται διὰ τὴν συντονίαν, ἐκβιάζεσθαι δὲ οὐ δύναται πόρρω τὸ πληγέν, ἐπεὶ οὔθ' οἱ καταπέλται μακρὰν δύνανται βάλλειν οὔθ' ἡ σφενδόνη οὔτε τόξον, ἂν ᾖ σκληρὸν καὶ μὴ [d] δύνηται κάμπτεσθαι, μηδὲ τὴν ἀναγωγὴν 10 ἡ νευρὰ λαμβάνειν ἐπὶ πολὺν τόπον. 11 Ἐὰν δὲ μέγας ὁ πνεύμων ᾖ καὶ μαλακὸς καὶ εὔτονος, πολὺν τὸν ἀέρα δύναται δέχεσθαι, καὶ τοῦτον ἐκπέμπειν πάλιν, ταμιευόμενος ὡς ἂν βούληται διὰ τὴν μαλακότητα καὶ διὰ τὸ ῥᾳδίως αὐτὸν συστέλλειν. 12 Ἡ δὲ ἀρτηρία μακρὰ μὲν ὅταν ᾖ καὶ στενή, χαλεπῶς ἐκπέμπουσιν ἔξω τὴν φωνὴν καὶ μετὰ βίας πολλῆς 11 διὰ τὸ μῆκος τῆς τοῦ πνεύματος φορᾶς. Φανερὸν δ' ἐστίν· πάντα γὰρ τὰ τοὺς τραχήλους ἔχοντα μακροὺς φθέγγονται βιαίως, οἷον οἱ χῆνες καὶ γέρανοι καὶ ἀλεκτρυόνες. Μᾶλ-

Codex Ma.

a οὐδὲ γὰρ Ma. b αὐτὸν ἑκατέρῳ ποιήσας ἐκ Ma. c ἀνάστασιν Ma. d δύναται λάμπεσθαι Ma.

λον δὲ τοῦτο καταφανές ἐστιν ἐπὶ τῶν αὐτῶν· πάντες γὰρ χαλεπῶς πληροῦσι τοὺς βόμβυκας καὶ μετὰ συντονίας πολλῆς διὰ τὸ μῆκος τῆς ἀποστάσεως. Ἔτι δὲ τὸ πνεῦμα 12
διὰ τὴν στενοχωρίαν ὅταν ἐντὸς θλιβόμενον εἰς τὸν ἔξω [e]τόπον ἐκπέσῃ, παραχρῆμα διαχεῖται καὶ σκεδάννυται, καθάπερ καὶ τὰ ῥεύματα φερόμενα διὰ τῶν εὐρίπων, ὥστε μὴ δύνασθαι τὴν φωνὴν συμμένειν μηδὲ διατείνειν ἐπὶ πολὺν τόπον. Ἅμα δὲ καὶ δυσταμίευτον ἀνάγκη πάντων τῶν τοιούτων εἶναι τὸ πνεῦμα καὶ μὴ ῥᾳδίως ὑπηρετεῖν. Ὅσων 13
δέ ἐστι [f]μέγα τὸ διάστημα τῆς ἀρτηρίας, τῶν δὲ τοιούτων ἔξω μὲν περαιοῦσθαι συμβαίνει τὸ πνεῦμα ῥᾳδίως, ἐντὸς δὲ φερόμενον διαχεῖσθαι διὰ τὴν εὐρυχωρίαν, καὶ τὴν φωνὴν γίνεσθαι κενὴν καὶ μὴ συνεστῶσαν, ἔτι δὲ μὴ δύνασθαι διαιρεῖσθαι τῷ πνεύματι τοὺς τοιούτους διὰ τὸ μὴ συνερείδεσθαι τὴν ἀρτηρίαν αὐτῶν. Ὅσων δ' ἐστὶν ἀνωμάλως καὶ μὴ πάν- 14
τοθεν ἔχει τὴν διάστασιν ὁμοίαν, τούτους ἀναγκαῖον ἁπασῶν μετέχειν τῶν δυσχερειῶν. Καὶ γὰρ ἀνωμάλως αὐτοῖς ἀνάγκη τὸ πνεῦμα ὑπηρετεῖν καὶ θλίβεσθαι καὶ καθ' ἕτερον τόπον διαχεῖσθαι πάλιν. Βραχείας δὲ τῆς ἀρτηρίας οὔσης 15
ταχὺ μὲν ἀνάγκη τὸ πνεῦμα ἐκπέμπειν καὶ τὴν πληγὴν ἰσχυροτέραν γίνεσθαι τὴν τοῦ ἀέρος, πάντας δὲ τοὺς τοιούτους ὀξύτερον φωνεῖν διὰ τὸ τάχος τῆς τοῦ πνεύματος φορᾶς. Οὐ μόνον δὲ συμβαίνει τὰς τῶν ἀγγείων διαφοράς, ἀλλὰ καὶ τὰ πάθη πάντα τὰς φωνὰς ἀλλοιοῦν. Ὅταν μὲν γὰρ 16
ὦσιν ὑγρασίας πλήρη πολλῆς ὅ τε πνεύμων καὶ ἡ ἀρτηρία, διασπᾶται τὸ πνεῦμα καὶ οὐ δύναται περαιοῦσθαι εἰς τὸν ἔξω τόπον συνεχῶς διὰ τὸ προσκόπτειν καὶ γίνεσθαι παχὺν καὶ ὑγρὸν καὶ δυσκίνητον, καθάπερ καὶ περὶ τοὺς κατάρρους καὶ τὰς μέθας. Ἐὰν δὲ ξηρὸν ᾖ τὸ πνεῦμα παντελῶς, σκλη- 17
ροτέρα ἡ φωνὴ γίγνεται καὶ διεσπασμένη· συνέχει γὰρ ἡ νοτίς, ὅταν ᾖ λεπτή, τὸν ἀέρα, καὶ ποιεῖ τινὰ τῆς φωνῆς ἁπλότητα. Τῶν μὲν οὖν ἀγγείων [g]αἱ διαφοραὶ καὶ τῶν

[e] τόπον om. Ma. [f] μέγα] μετὰ Ma. [g] αἱ om. Ma.

παθῶν τῶν περὶ [h] αὐτὰ γιγνομένων τοιαύτας [i] ἔκασται τὰς
18 φωνὰς ἀποτελοῦσιν. Αἱ δὲ φωναὶ δοκοῦσι μὲν εἶναι καθ'
οὓς ἂν [k] ἕκασται γίγνωνται τόπους, ἀκούομεν δὲ πασῶν αὐ-
τῶν, ὅταν ἡμῖν προσπέσωσι πρὸς τὴν ἀκοήν. [t]Ὁ γὰρ ὠσθεὶς
ὑπὸ τῆς πληγῆς ἀὴρ μέχρι μέν τινος φέρεται συνεχής, ἔπει-
τα κατὰ μικρὸν ἀεὶ διακινεῖται μᾶλλον, καὶ τούτῳ γιγνώ-
σκομεν πάντας τοὺς ψόφους καὶ τοὺς πόρρω γιγνομένους
19 καὶ τοὺς ἐγγύς. Δῆλον δ' ἐστίν· ὅταν γάρ τις λαβὼν κέ-
ραμον ἢ αὐλὸν ἢ σάλπιγγα, προσθείς τε ἑτέρῳ πρὸς τὴν
ἀκοήν, διὰ τούτων λαλῇ, πᾶσαι δοκοῦσιν αἱ φωναὶ παντελῶς
εἶναι πλησίον τῆς ἀκοῆς διὰ τὸ μὴ σκεδάννυσθαι τὸν ἀέρα
φερόμενον, ἀλλὰ διατηρεῖσθαι τὴν φωνὴν ὁμοίαν ὑπὸ τοῦ
20 περιέχοντος ὀργάνου. Καθάπερ [l] οὖν καὶ ἐπὶ τῆς γραφῆς,
ὅταν τις τοῖς χρώμασι τὸ μὲν ὅμοιον ποιήσῃ τῷ πόρρω τὸ
δὲ τῷ πλήσιον, τὸ μὲν ἡμῖν ἀνακεχωρηκέναι δοκεῖ τῆς γρα-
φῆς τὸ δὲ [m] προέχειν, ἀμφοτέρων αὐτῶν ὄντων ἐπὶ τῆς αὐ-
τῆς ἐπιφανείας, οὕτω καὶ ἐπὶ τῶν ψόφων καὶ τῆς φωνῆς,
ὅταν [n] ἡ μὲν ἤδη διαλελυμένη προσπίπτῃ πρὸς τὴν ἀκοὴν ἡ
δέ τις συνεχής, ἀμφοτέρων αὐτῶν ἀφικνουμένων πρὸς τὸν
αὐτὸν τόπον, ἡ μὲν ἀφεστηκέναι πόρρω δοκεῖ τῆς ἀκοῆς ἡ
δ' εἶναι σύνεγγυς, διὰ τὸ τὴν [o] μέντοι πόρρωθεν ὁμοίαν εἶναι,
21 τὴν δὲ πλησίον. Σαφεῖς δὲ μάλιστα αἱ φωναὶ γίγνονται
παρὰ τὴν ἀκρίβειαν [p] τὴν τῶν φθόγγων. [s]Ἀδύνατον γὰρ
μὴ τελέως τούτων διηρθρωμένων τὰς φωνὰς εἶναι σαφεῖς, κα-
θάπερ καὶ τὰς τῶν δακτυλίων σφραγῖδας, ὅταν μὴ διατυπω-
θῶσιν ἀκριβῶς. Διόπερ οὔτε τὰ παιδία δύνανται διαλέγε-
σθαι σαφῶς, οὔτε οἱ μεθύοντες, οὔτε οἱ γέροντες, οὔθ' ὅσοι
φύσει τραυλοὶ τυγχάνουσιν ὄντες, οὔθ' ὅλως ὅσων εἰσὶν αἱ
22 γλῶτται καὶ τὰ στόματα δυσκίνητα. [v]Ὥσπερ γὰρ καὶ τὰ
[q] χαλκεῖα καὶ τὰ κέρατα συνηχοῦντα ποιεῖ τοὺς ἀπὸ τῶν
ὀργάνων φθόγγους σαφεστέρους, οὕτως καὶ ἐπὶ τῆς δια-

h αὐτὰ] τὰ αὐτὰ Ma. i ἕκαστα Ma. k ἕκασται] ἐν ἑκάστῃ Ma.
l οὖν om. Ma. m περιέχειν Ma. n ἡ] γὰρ ἡ Ma. o μέντοι] μὲν τῇ?
p τὴν ante τῶν om. Ma. q χαλκία Ma.

λέκτου πολλὴν ἀσάφειαν ἀπεργάζεται τὰ ἐκπίπτοντα τῶν πνευμάτων [r] ἐκ τοῦ στόματος, ὅταν μὴ διατυπωθῶσιν ὁμοίως. Οὐ μόνον [s] δὲ ἑαυτῶν τινὰ παρεμφαίνουσιν ἀσάφειαν, ἀλλὰ 23
καὶ τοὺς διηρθρωμένους τῶν φθόγγων ἐμποδίζουσιν, ἀνομοίας αὐτῶν γιγνομένης τῆς περὶ τὴν ἀκοὴν κινήσεως. Διὸ καὶ μᾶλλον ἑνὸς ἀκούοντες συνίεμεν ἢ πολλῶν ἅμα ταὐτὰ λεγόντων, καθάπερ καὶ ἐπὶ τῶν χορδῶν· καὶ πολὺ ἧττον, ὅταν προσαυλῇ τις ἅμα καὶ κιθαρίζῃ, διὰ τὸ συγχεῖσθαι τὰς φωνὰς ὑπὸ τῶν ἑτέρων. Οὐχ ἥκιστα δὲ τοῦτο ἐπὶ τῶν συμ- 24
φωνιῶν φανερόν ἐστιν· ἀμφοτέρους γὰρ ἀποκρύπτεσθαι τοὺς ἤχους συμβαίνει ὑπ' ἀλλήλων. [t] Ἀσαφεῖς μὲν οὖν φωναὶ γίγνονται διὰ τὰς εἰρημένας αἰτίας, λαμπραὶ δὲ γίνονται καθάπερ ἐπὶ τῶν χρωμάτων· καὶ γὰρ ἐκεῖ τὰ μάλιστα δυνάμενα τὰς ὄψεις κινεῖν, ταῦτα εἶναι συμβαίνει τῶν χρωμάτων λαμπρότατα. [t] Τὸν αὐτὸν τρόπον τῶν φωνῶν ταύτας 25
ὑποληπτέον εἶναι λαμπροτάτας, ὅσαι μάλιστα δύνανται προσπίπτουσαι [v] κινεῖν τὴν ἀκοήν. Τοιαῦται [w] δέ εἰσιν αἱ σαφεῖς καὶ πυκναὶ καὶ καθαραὶ καὶ πόρρω δυνάμεναι διατείνειν· καὶ γὰρ ἐν τοῖς ἄλλοις αἰσθητοῖς ἅπασι τὰ ἰσχυρότερα καὶ πυκνότερα καὶ καθαρώτερα σαφεστέρας ποιεῖ τὰς αἰσθήσεις. Δῆλον δέ· τὸ γὰρ τελευταῖον αἱ φωναὶ πᾶσαι γίγνονται 26
κωφαί, τοῦ ἀέρος ἤδη διαχεομένου. Δῆλον δ' ἐστὶ κἀπὶ τῶν αὐλῶν. Τὰ γὰρ ἔχοντα τῶν δευτέρων τὰς γλώττας πλαγίας μαλακωτέραν μὲν ἀποδίδωσι τὴν φωνήν, οὐχ ὁμοίως δὲ λαμπράν· τὸ γὰρ πνεῦμα φερόμενον εὐθέως εἰς εὐρυχωρίαν ἐμπίπτει, καὶ οὐκέτι φέρεται σύντονον οὐδὲ συνεστηκός, ἀλλὰ διεσκεδασμένον. [t] Ἐν δὲ ταῖς [x] σκληροτέραις γλώτ- 27
ταις ἡ φωνὴ γίνεται σκληροτέρα καὶ λαμπροτέρα, ἂν πιέσῃ τις αὐτὰς μᾶλλον τοῖς χείλεσι, διὰ τὸ φέρεσθαι τὸ πνεῦμα βιαιότερον. Αἱ μὲν οὖν λαμπραὶ τῶν φωνῶν γίγνονται διὰ τὰς εἰρημένας αἰτίας· παρὸ καὶ δοκοῦσιν οὐ χείρους εἶναι τῶν λευκῶν αἱ καλούμεναι φαιαί. Πρὸς γὰρ τὰ πάθη καὶ τὰς 28

[r] ἐκ τοῦ στόματος om. Ma. [s] δὲ om. Ma. [t] τὸν om. Ma. [v] κινεῖν] λιπεῖν Ma. [w] δέ] δαί Ma. [x] συγκροτέραις γλώσσαις Ma.

πρεσβυτέρας ἡλικίας μᾶλλον ἁρμόττουσιν αἱ τραχύτεραι καὶ μικρὸν [y] ὑποσυγκεχυμέναι καὶ μὴ λίαν ἔχουσαι τὸ λαμπρὸν [z] ἐκφανές. [v] Ἅμα δὲ καὶ διὰ τὴν συντονίαν οὐχ ὁμοίως εἰσὶν [a] εὐπειθεῖς. Τὸ γὰρ βίᾳ φερόμενον δυσταμίευτον. Οὔτε
29 γὰρ ἐπιτεῖναι ῥᾴδιον, ὡς βούλεταί τις, οὔτε ἀνιέναι. [d] Ἐπὶ δὲ τῶν αὐλῶν γίγνονται αἱ φωναὶ λαμπραί, καὶ τῶν ἄλλων ὀργάνων, ὅταν τὸ ἐκπῖπτον πνεῦμα πυκνὸν ᾖ καὶ σύντονον.
[d] Ἀνάγκη γὰρ καὶ τοῦ ἔξωθεν ἀέρος τοιαύτας γίγνεσθαι τὰς πληγάς, καὶ μάλιστα τὰς φωνὰς οὕτω διαπέμπεσθαι συνεστώσας πρὸς τὴν ἀκοήν, ὥσπερ καὶ τὰς ὀσμὰς καὶ τὸ φῶς
30 καὶ τὰς θερμότητας. Καὶ γὰρ πάντα ταῦτα ἀραιότερα φαινόμενα πρὸς τὴν αἴσθησιν ἀσημότερα γίγνεται, καθάπερ καὶ οἱ χυλοὶ κραθέντες τῷ ὕδατι καὶ ἑτέροις χυλοῖς. Τὸ γὰρ ἑαυτοῦ παρέχον αἴσθησιν ἀσαφεῖς ἑκάστῳ ποιεῖ τὰς
31 δυνάμεις. [d] Ἀπὸ δὲ τῶν ἄλλων ὀργάνων οἱ τῶν κεράτων ἦχοι πυκνοὶ καὶ συνεχεῖς πρὸς τὸν ἀέρα προσπίπτοντες ποιοῦσι τὰς φωνὰς ἀμαυράς· διὸ δεῖ τὸ κέρας τὴν φύσιν ἔχειν τῆς αὐξήσεως ὁμαλὴν καὶ λείαν καὶ μὴ ταχέως ἐκδεδραμη-
32 κυῖαν. [d] Ἀνάγκη γὰρ μαλακώτερα καὶ χαυνότερα γίγνεσθαι τὰ τοιαῦτα τῶν κεράτων, ὥστε τοὺς ἤχους διασπᾶσθαι καὶ μὴ συνεχεῖς ἐκπίπτειν δι' αὐτῶν μηδὲ γεγωνεῖν ὁμοίως διὰ
33 τὴν μαλακότητα καὶ τὴν ἀραιότητα τῶν πόρων. Μηδὲ πάλιν εἶναι δυσαυξῆ τὴν φύσιν, μηδὲ τὴν σύμφυσιν ἔχειν πυκνὴν καὶ σκληρὰν καὶ δύσφορον· καθ' ὅ τι γὰρ ἂν προσκόψῃ φερόμενος ὁ ἦχος, αὐτοῦ λαμβάνει τὴν κατάπαυσιν καὶ οὐκέτι περαιοῦται πρὸς τὸν ἔξω τόπον, ὥστε κωφοὺς καὶ ἀνωμάλους ἐκπίπτειν τοὺς ἤχους ἐκ τῶν τοιούτων κεράτων.
34 [v] Ὅτι δὲ ἡ φορὰ γίγνεται κατὰ τὴν εὐθυπορίαν, φανερόν ἐστιν ἐπὶ τῶν ἱστῶν καὶ ὅλως ἐπὶ τῶν ξύλων τῶν μεγάλων, ὅταν αὐτὰ βασανίζωσιν. [v] Ὅταν γὰρ κρούσωσιν ἐκ τοῦ ἑτέρου ἄκρου, κατὰ τὸ ἕτερον ὁ ἦχος φέρεται συνεχής, ἐὰν μή τι ἔχῃ σύντριμμα τὸ ξύλον· εἰ δὲ μή, μέχρι τούτου [b] προελ-

[y] ἀποσυγκεχυμέναι Ma. [z] ἐμφανές Ma. [a] ἀπειθεῖς Ma. [b] προσελθὼν Ma.

θὼν αὐτοῦ καταπαύεται διασπασθείς. Περικάμπτει δὲ καὶ 35
τοὺς ὄζους, καὶ οὐ δυνατὸς δι' αὐτῶν εὐθυπορεῖν. Κατάδη-
λον δὲ τοῦτό ἐστι καὶ ἐπὶ τῶν χαλκείων, ὅταν ῥινῶσι τὰς
ἀπηρτημένας στολίδας τῶν ἀνδριάντων ἢ τὰ πτερύγια, τῷ
συμμύειν· διὸ ῥοῖζον καὶ πολὺν ἦχον ἀφιᾶσι καὶ ψόφον.
Ἂν δέ τις αὐτὰ ταινίᾳ διαδήσῃ, παύεσθαι συμβαίνει τὸν 36
ἦχον· ἕως γὰρ τούτου προελθών ὁ τρόμος, ὅταν [c]προσκόψῃ
πρὸς τὸ μαλακόν, αὐτοῦ ποιεῖται τὴν κατάπαυσιν. [d]Πολὺ
δὲ καὶ ἡ ὄπτησις ἡ τῶν κεράτων συμβάλλεται καὶ πρὸς εὐ-
φωνίαν. Μᾶλλον μὲν γὰρ κατοπτηθέντα παραπλήσιον τὸν 37
ἦχον ἔχουσι τῷ κεράμῳ διὰ τὴν σκληρότητα καὶ τὴν σύγκαυ-
σιν· ἐὰν δέ τις αὐτὰ καταδεέστερον ὀπτήσῃ, ἀπαλώτερον μὲν
ἀφίησι διὰ τὴν μαλακότητα τὸν ἦχον, οὐ δύναται δὲ γεγω-
νεῖν ὁμοίως. Διὸ καὶ τὰς ἡλικίας ἐκλέγονται· τὰ μὲν γὰρ 38
τῶν γερόντων ἐστὶ ξηρὰ καὶ πεπωρωμένα καὶ χαῦνα, τὰ δὲ
τῶν νέων ἁπαλὰ παντελῶς καὶ πολλὴν ἔχοντα ἐν αὐτοῖς
ὑγρασίαν. Δεῖ δὲ εἶναι, καθάπερ εἴρηται, τὸ κέρας ξηρὸν
καὶ πυκνὸν ὁμαλῶς καὶ εὐθύπορον καὶ λεῖον. Οὕτω γὰρ 39
ἂν μάλιστα συμβαίνοι καὶ τοὺς ἤχους πυκνοὺς καὶ λείους
[e]καὶ ὁμαλοὺς φέρεσθαι δι' αὐτῶν, καὶ τοῦ ἔξωθεν ἀέρος τὰς
πληγὰς γίγνεσθαι τοιαύτας, ἐπεὶ καὶ τῶν χορδῶν εἰσὶν αἱ
λειόταται βέλτισται καὶ τοῖς πᾶσιν ὁμαλώταται, καὶ τὴν κα-
τεργασίαν ἔχουσι πάντοθεν ὁμοίαν, καὶ τὰς συμβολὰς ἀδή-
λους τὰς τῶν νεύρων· οὕτω γὰρ συμβαίνει καὶ ταύτας ποιεῖ-
σθαι τὰς τοῦ ἀέρος πληγὰς ὁμοιοτάτας. Δεῖ δὲ καὶ τῶν 40
αὐλῶν εἶναι τὰς γλώττας πυκνὰς καὶ λείας καὶ ὁμαλάς, ὅπως
ἂν καὶ τὸ πνεῦμα διαπορεύηται δι' αὐτῶν λεῖον καὶ ὁμα-
λὸν καὶ μὴ διεσπασμένον. Διὸ καὶ τὰ βεβρεγμένα τῶν
ζευγῶν καὶ τὰ πεπωκότα τὸ σίαλον εὐφωνότερα γίγνεται,
τὰ δὲ ξηρὰ κακόφωνα, [f]Ὁ γὰρ ἀὴρ διὰ ὑγροῦ καὶ λείου
φέρεται μαλακὸς καὶ ὁμαλός. Δῆλον δέ· καὶ γὰρ αὐτὸ τὸ 41
πνεῦμα, ὅταν ἔχῃ νοτίδα, πολὺ ἧττον προσκόπτει πρὸς τὰ

c προκόψῃ Ma. d πολλὴ Ma. e καὶ ὁμαλοὺς om. Ma.

ζεύγη καὶ διασπᾶται· τὸ δὲ ξηρὸν μᾶλλον ἀντιλαμβάνεται καὶ τὴν πληγὴν ποιεῖται σκληροτέραν διὰ τὴν βίαν. Αἱ μὲν οὖν διαφοραὶ τῶν ἤχων γίγνονται διὰ τὰς εἰρημένας
42 αἰτίας. Σκληραὶ δ' εἰσὶ τῶν φωνῶν ὅσαι βιαίως πρὸς τὴν ἀκοὴν προσπίπτουσι· διὸ καὶ μάλιστα παρέχουσι τὸν [f]τόνον. Τοιαῦται δ' εἰσὶν αἱ δυσκινητότεραι καὶ μετὰ πλείστης φερόμεναι βίας· τὸ γὰρ ὑπεῖκον ταχέως οὐ δύναται
43 τὴν πληγὴν ὑπομένειν, ἀλλ' ἀποπηδᾷ πρότερον. Δῆλον δέ· τὰ γὰρ ὑπέρογκα τῶν βελῶν βιαιοτάτην φέρεται τὴν φοράν, καὶ τὰ ῥεύματα φερόμενα διὰ τῶν εὐρίπων· καὶ γὰρ ταῦτα γίγνεται σφοδρότατα περὶ αὐτὰς τὰς στενοχωρίας οὐ δυνάμενα ταχέως ὑπείκειν, ἀλλὰ ὑπὸ πολλῆς ὠθούμενα βίας. [g]Ὁμοίως δὲ τοῦτο συμβαίνει καὶ [g]περὶ τὰς
44 φωνὰς καὶ τοὺς ψόφους. Φανερὸν δ' ἐστίν· πάντες γὰρ οἱ βίαιοι γίγνονται σκληροί, καθάπερ καὶ τῶν κιβωτίων καὶ τῶν στροφέων, ὅταν ἀνοίγωνται βιαίως, καὶ τοῦ χαλκοῦ καὶ [h]τοῦ σιδήρου. Καὶ γὰρ ἀπὸ τῶν ἀκμόνων γίγνεται σκληρὸς καὶ μαλακός, ὅταν ἐλαύνωσι κατεψυγμένον καὶ σκληρὸν ἤδη
45 τὸν σίδηρον. [i]Ἔτι δὲ ἀπὸ τῆς ῥίνης, ὅταν ῥινῶσι καὶ [i]χαράττωσι τὰ σιδήρια καὶ τοὺς πρίονας, ἐπεὶ καὶ τῶν βροντῶν αἱ βιαιόταται γίγνονται σκληρόταται καὶ τῶν ὑδάτων τὰ καλούμενα ῥαγδαῖα τὴν βίαν. [k]Ἡ μὲν γὰρ ταχυτὴς τοῦ πνεύ-
46 ματος ποιεῖ τὴν φωνὴν ὀξεῖαν, ἡ δὲ βία σκληράν. Διόπερ οὐ μόνον συμβαίνει τοὺς αὐτοὺς ὁτὲ μὲν ὀξυτέραν ὁτὲ δὲ βαρυτέραν, ἀλλὰ καὶ σκληροτέραν καὶ μαλακωτέραν. Καίτοι τινὲς ὑπολαμβάνουσι διὰ τὴν σκληρότητα τῶν ἀρτηριῶν τὰς φωνὰς γίγνεσθαι σκληράς, διαμαρτάνοντες· τοῦτο μὲν γὰρ βραχύ τι συμβάλλεται παντελῶς, ἀλλ' ἡ τοῦ πνεύματος
47 γιγνομένη πληγὴ βιαίως ὑπὸ τοῦ πνεύμονος. [l]Ὥσπερ γὰρ καὶ τὰ σώματα τῶν μέν ἐστιν ὑγρὰ καὶ μαλακὰ τῶν δὲ σκληρὰ καὶ σύντονα, τὸν αὐτὸν τρόπον καὶ ὁ πνεύμων. Διόπερ τῶν μὲν μαλακὸν ἐκπίπτει τὸ πνεῦμα, τῶν δὲ σκληρὸν καὶ

[f] *πόνον* Ma. [g] libri *παρὰ*. [h] *τοῦ* om. Ma. [i] *χαράσσωσι* Ma.

βίαιον, ἐπεὶ διότι γε τὴν ἀρτηρίαν αὐτὴν μικράν τινα συμβαίνει παρέχεσθαι δύναμιν, ῥᾴδιον συνιδεῖν. Οὐδεμία γάρ 48
ἐστιν ἀρτηρία σκληρὰ τοῖς αὐλοῖς ὁμοίως· ἀλλ' οὐθὲν ἧττον
δι' αὐτοῦ καὶ διὰ τούτων φερομένου τοῦ πνεύματος οἱ μὲν μα-
λακῶς αὐλοῦσιν οἱ δὲ σκληρῶς. Δῆλον δὲ τοῦτ' ἐστὶ καὶ ἐπ'
αὐτῆς τῆς αἰσθήσεως· καὶ γὰρ ἂν ἐπιτείνῃ τις τὸ πνεῦμα
βιαιότερον, εὐθέως ἡ φωνὴ γίγνεται σκληροτέρα διὰ τὴν
βίαν, κἂν ᾖ μαλακωτέρα. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς 49
σάλπιγγος· διὸ καὶ πάντες, ὅταν κωμάζωσιν, ἀνιᾶσιν ἐν τῇ
σάλπιγγι τὴν τοῦ πνεύματος συντονίαν, ὅπως ἂν ποιῶσι τὸν
ἦχον ὡς μαλακώτατον. Φανερὸν δ' ἐστὶ καὶ ἐπὶ τῶν ὀργά-
νων. Καὶ γὰρ αἱ κατεστραμμέναι χορδαί, καθάπερ εἴρηται,
τὰς φωνὰς ποιοῦσι σκληροτέρας, καὶ τὰ κατωπτημένα τῶν
κεράτων. Κἄν [k]τις ἅπτηται τῶν χορδῶν ταῖς χερσὶ βιαίως 50
καὶ μὴ μαλακῶς, ἀνάγκη καὶ τὴν ἀνταπόδοσιν αὐτὰς οὕτω
πάλιν ποιεῖσθαι βιαιοτέραν. Αἱ δὲ ἧττον κατεστραμμέναι
καὶ τὰ ὠμότερα τῶν κεράτων τὰς φωνὰς ποιεῖ μαλακωτέρας,
καὶ τὰ μακρότερα τῶν ὀργάνων. Αἱ γὰρ τοῦ ἀέρος πληγαὶ 51
καὶ [l]βραδύτεραι καὶ μαλακώτεραι γίγνονται διὰ τὰ μήκη
τῶν τόπων, αἱ δ' ἐπὶ τῶν βαρυτέρων σκληρόταται διὰ τὴν κα-
τάτασιν τῶν χορδῶν. Δῆλον δ' ἐστίν· καὶ γὰρ αὐτοῦ τοῦ
ὀργάνου σκληροτέρας συμβαίνει γίγνεσθαι τὰς φωνάς, ὅταν
μὴ κατὰ μέσον [m]τις ἅπτηται τῶν χορδῶν, διὰ τὸ μᾶλλον
αὐτῶν τὰ πρὸς αὐτῷ τῷ ζυγῷ καὶ τῷ χορδοτόνῳ κατατε-
τάσθαι. Συμβαίνει δὲ καὶ τὰ ναρθήκινα τῶν ὀργάνων τὰς 52
φωνὰς ἔχειν ἁπαλωτέρας· οἱ γὰρ ἦχοι πρὸς μαλακὸν προσ-
πίπτοντες οὐχ ὁμοίως ἀποπηδῶσι μετὰ βίας. Τραχύνεσθαι
δὲ συμβαίνει τὰς φωνάς, ὅταν ἡ πληγὴ μὴ μία γένηται τοῦ
ἀέρος παντός, ἀλλὰ πολλαχῇ κατὰ μικρὰ διεσπασμένη.
Καθ' αὐτὸ γὰρ ἕκαστον τῶν τοῦ ἀέρος μορίων προσπῖπτον 53
πρὸς τὴν ἀκοήν, ὡς ἂν ἀπὸ πληγῆς ἑτέρας ὄν, διεσπασμένην
ποιεῖ τὴν αἴσθησιν, ὥστε τὴν μὲν διαλείπειν τὴν φωνήν, τὴν

[k] τις om. Ma. [l] βαρύτεραι Ma. [m] τι Ma.

δὲ προσπίπτειν βιαιότερον, καὶ γίγνεσθαι τὴν ἀφὴν τῆς ἀκοῆς ἀνομοίαν, ὥσπερ [n]καὶ ὅταν τι τῶν τραχέων ἡμῖν προσ-
54 πίπτῃ πρὸς τὸν χρῶτα. Μάλιστα δὲ τοῦτο συμφανές ἐστιν ἐπὶ τῆς ῥίνης· διὰ γὰρ τὸ τὴν τοῦ ἀέρος πληγὴν ἅμα γίγνεσθαι [o]κατὰ μικρὰ καὶ πολλά, τραχεῖς οἱ ψόφοι προσπίπτουσιν ἀπ' αὐτῶν πρὸς τὴν ἀκοήν, καὶ μᾶλλον, ὅταν πρὸς σκληρόν τι παρατρίβωνται, καθάπερ καὶ ἐπὶ τῆς ἁφῆς· τὰ γὰρ σκληρὰ καὶ τραχέα βιαιότερον ποιεῖται τὴν αἴσθησιν.
55 Δῆλον δὲ τοῦτό ἐστι καὶ ἐπὶ τῶν ῥευμάτων· τοῦ γὰρ ἐλαίου γίνεται πολὺ πάντων τῶν ὑγρῶν ὁ ψόφος ἀδηλότερος διὰ τὴν συνέχειαν τὴν τῶν μορίων. Λεπταὶ δ' εἰσὶ τῶν φωνῶν, ὅταν
56 ὀλίγον ᾖ τὸ πνεῦμα τὸ ἐκπῖπτον. Διὸ καὶ τῶν παιδίων γίγνονται λεπταί, καὶ τῶν γυναικῶν καὶ τῶν εὐνούχων, ὁμοίως δὲ καὶ τῶν διαλελυμένων διὰ νόσον ἢ πόνον ἢ ἀτροφίαν· οὐ δύνανται γὰρ πολὺ τὸ πνεῦμα διὰ τὴν ἀσθένειαν ἐκπέμπειν.
57 Δῆλον δ' ἐστὶ καὶ ἐπὶ τῶν χορδῶν· ἀπὸ γὰρ τῶν λεπτῶν καὶ τὰ φωνία γίγνεται λεπτὰ καὶ στενὰ καὶ τριχώδη, διὰ τὸ καὶ τοῦ ἀέρος τὴν πληγὴν γίγνεσθαι [p]κατὰ στενόν. Οἵας γὰρ ἂν τὰς ἀρχὰς ἔχωσι τῆς κινήσεως αἱ τοῦ ἀέρος πληγαί, τοιαύτας καὶ τὰς φωνὰς συμβαίνει γίγνεσθαι προσπιπτούσας πρὸς τὴν ἀκοήν, οἷον ἀραιὰς ἢ πυκνάς, ἢ μαλακὰς ἢ σκληράς, ἢ
58 λεπτὰς ἢ παχείας. [q]Αἰεὶ γὰρ ὁ ἕτερος ἀὴρ τὸν ἕτερον κινῶν ὡσαύτως ποιεῖ τὴν φωνὴν ἅπασαν [r]ὁμοίαν, καθάπερ ἔχει καὶ ἐπὶ τῆς ὀξύτητος καὶ τῆς βαρύτητος· καὶ γὰρ τὰ τάχη τὰ τῆς πληγῆς τὰ ἕτερα τοῖς ἑτέροις συνακολουθοῦντα διαφυ-
59 λάττει τὰς φωνὰς ταῖς ἀρχαῖς ὁμοίως. Αἱ δὲ πληγαὶ γίνονται μὲν τοῦ ἀέρος ὑπὸ τῶν χορδῶν πολλαὶ καὶ κεχωρισμέναι, διὰ δὲ μικρότητα τοῦ μεταξὺ χρόνου τῆς ἀκοῆς οὐ δυναμένης συναισθάνεσθαι τὰς [s]διαλείψεις, μία καὶ συνεχὴς ἡμῖν ἡ φωνὴ φαίνεται, καθάπερ καὶ ἐπὶ τῶν χρωμάτων· καὶ γὰρ τούτων τὰ διεστηκότα δοκεῖ πολλάκις ἡμῖν συνάπτειν ἀλλή-
60 λοις, ὅταν φέρωνται ταχέως. Τὸ δὲ αὐτὸ συμβαίνει τοῦτο

n καὶ om. Ma. o κατὰ] καὶ γὰρ Ma. p κατάστενον Ma. q ὁμοίως Ma. r διαλήψεις Ma.

καὶ περὶ τὰς συμφωνίας. Διὰ γὰρ τὸ περισυγκαταλαμβάνεσθαι τοὺς ἑτέρους ἤχους ὑπὸ τῶν ἑτέρων, καὶ γίγνεσθαι τὰς καταπαύσεις αὐτῶν ἅμα, λανθάνουσιν ἡμᾶς αἱ μεταξὺ γιγνόμεναι φωναί. Πλεονάκις μὲν γὰρ ἐν πάσαις ταῖς συμφω- 61
νίαις ὑπὸ τῶν ὀξυτέρων φθόγγων αἱ τοῦ ἀέρος γίγνονται πληγαὶ διὰ τὸ τάχος τῆς κινήσεως· [s]τὸν δὲ τελευταῖον τῶν ἤχων ἅμα συμβαίνει προσπίπτειν ἡμῖν πρὸς τὴν ἀκοὴν καὶ τὸν ἀπὸ τῆς βραδυτέρας γιγνόμενον. [v]Ὥστε τῆς ἀκοῆς οὐ 62
δυναμένης αἰσθάνεσθαι, καθάπερ εἴρηται, τὰς μεταξὺ φωνάς, ἅμα δοκοῦμεν ἀμφοτέρων τῶν φθόγγων ἀκούειν συνεχῶς. Παχεῖαι δ' εἰσὶ τῶν φωνῶν τοὐναντίον, ὅταν ᾖ τὸ πνεῦμα πολὺ καὶ ἀθρόον ἐκπῖπτον· διὸ καὶ τῶν ἀνδρῶν εἰσὶ παχύτεραι καὶ τῶν τελείων αὐλῶν, καὶ μᾶλλον ὅταν πληρώσῃ τις αὐτοὺς τοῦ πνεύματος. Φανερὸν δ' ἐστίν· καὶ γὰρ ἂν πιέσῃ 63
τις τὰ ζεύγη, μᾶλλον ὀξυτέρα ἡ φωνὴ γίγνεται καὶ λεπτοτέρα. Κἂν κατασπάσῃ τις τὰς σύριγγας, κἂν δὲ ἐπιλάβῃ, [t]παμπλείων ὁ ὄγκος γίγνεται τῆς φωνῆς διὰ τὸ πλῆθος τοῦ πνεύματος, καθάπερ καὶ ἀπὸ τῶν παχυτέρων χορδῶν. Παχεῖαι δὲ γίγνονται καὶ τῶν τραγιζόντων καὶ τῶν βραγχιώντων, καὶ μετὰ τοὺς ἐμέτους, διὰ τὴν τραχύτητα τῆς ἀρτηρίας καὶ διὰ τὸ μὴ ὑπεξάγειν ἀλλ' αὐτοῦ προσκόπτουσαν ἀνειλεῖσθαι τὴν φωνὴν καὶ λαμβάνειν ὄγκον, καὶ μάλιστα διὰ τὴν ὑγρότητα τοῦ σώματος. Λιγυραὶ δ' εἰσὶ τῶν φωνῶν αἱ 65
λεπταὶ καὶ πυκναί, καθάπερ καὶ ἐπὶ τῶν τεττίγων καὶ τῶν ἀκρίδων καὶ αἱ τῶν ἀηδόνων, καὶ ὅλως ὅσαις λεπταῖς οὔσαις μηθεὶς ἀλλότριος ἦχος παρακολουθεῖ. [v]Ὅλως γὰρ οὐκ ἔστιν οὔτ' ἐν ὄγκῳ φωνῆς τὸ λιγυρόν, οὔτ' ἐν τόνοις ἀνειμένοις καὶ βαρέσιν, οὔτ' ἐν ταῖς τῶν φθόγγων ἁφαῖς, ἀλλὰ μᾶλλον ὀξύτητι καὶ λεπτότητι καὶ ἀκριβείᾳ. Διὸ καὶ τῶν ὀργάνων 66
τὰ λεπτὰ καὶ σύντονα καὶ μὴ ἔχοντα κέρας τὰς φωνὰς ἔχει λιγυρωτέρας· ὁ γὰρ ἀπὸ τῶν ὑδάτων ἦχος, καὶ ὅλως ὅταν ἀπό τινος γιγνόμενος παρακολουθῇ, συνέχει τὴν ἀκρίβειαν

[s] τὸ Ma. [t] παμπλείων habeat Ma. necne non liquet.

τὴν τῶν φθόγγων. Σαθραὶ δ' εἰσὶ καὶ [v] παρερρυηκυῖαι τῶν φωνῶν ὅσαι μέχρι τινὸς φερόμεναι συνεχεῖς διασπῶνται.
67 Φανερώτατον δὲ τοῦτ' ἐστὶν ἐπὶ τοῦ κεράμου· πᾶς γὰρ ὁ ἐκ πληγῆς ῥαγεὶς ποιεῖ τὸν ἦχον σαθρόν, διασπωμένης τῆς κινήσεως κατὰ τὴν πληγήν, ὥστε μηκέτι γίγνεσθαι τοὺς ἐκπίπτοντας ἤχους συνεχεῖς. [t] Ὁμοίως δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν ἐρρωγότων κεράτων καὶ ἐπὶ τῶν χορδῶν [w] τῶν παρα-
68 νενευρισμένων. [u] Ἐπὶ πάντων [x] γὰρ τῶν τοιούτων μέχρι μέν τινος ὁ ἦχος φέρεται συνεχής, ἔπειτα διασπᾶται, καθ' ὅ τι ἂν ᾖ μὴ συνεχὲς τὸ ὑποκείμενον, ὥστε μὴ μίαν γίγνεσθαι πληγὴν ἀλλὰ διεσπασμένην, καὶ φαίνεσθαι τὸν ἦχον σαθρόν.
69 Σχεδὸν γὰρ παραπλήσιαι τυγχάνουσιν οὖσαι ταῖς τραχείαις· πλὴν ἐκεῖναι μέν εἰσιν ἀπ' ἀλλήλων κατὰ μικρὰ μέρη διεσπασμέναι, τῶν δὲ σαθρῶν αἱ πλεῖσται τὰς μὲν ἀρχὰς ἔχουσι συνεχεῖς, ἔπειτ' εἰς πλείω μέρη τὴν διαίρεσιν λαμβάνουσιν.
70 Δασεῖαι δ' εἰσὶ τῶν φωνῶν ὅσαις ἔσωθεν τὸ πνεῦμα εὐθέως συνεκβάλλομεν μετὰ τῶν φθόγγων, ψιλαὶ δ' εἰσὶ τοὐναντίον ὅσαι γίγνονται χωρὶς τῆς τοῦ πνεύματος ἐκβολῆς. [y] Ἀπορρήγνυσθαι δὲ συμβαίνει τὰς φωνάς, ὅταν μηκέτι δύνωνται τὸν ἀέρα μετὰ πληγῆς ἐκπέμπειν, ἀλλ' ὁ περὶ τὸν πνεύμονα τό-
71 πος αὐτῶν ὑπὸ τῆς διαστάσεως ἐκλυθῇ. [v] Ὥσπερ γὰρ καὶ τὰ σκεύη καὶ τοὺς ὤμους ἐκλύεσθαι συμβαίνει τὸ τελευταῖον συντόνως, οὕτως καὶ τὸν περὶ τὸν πνεύμονα τόπον. Κοῦφον γὰρ ἔξω φέρεσθαι τὸ πνεῦμα διὰ τὸ μὴ γίνεσθαι βίαιον αὐτοῦ τὴν πληγήν. [v] Ἅμα δὲ καὶ διὰ τὸ τετραχύνθαι τὴν ἀρτηρίαν αὐτῶν ἰσχυρῶς, οὐ δύναται τὸ πνεῦμα ἔξω φέρεσθαι συνεχές, ἀλλὰ διεσπασμένον, ὡς ἀπερρωγυίας γίγνεσθαι τὰς
72 φωνὰς αὐτῶν. Καί τινες οἴονται διὰ τὴν τοῦ [z] πνεύμονος γλισχρότητα τὸ πνεῦμα οὐ δύνασθαι περαιοῦσθαι περὶ τὸν ἔξω τόπον, διαμαρτάνοντες· φθέγγονται μὲν γὰρ ἀλλ' οὐ δύνανται γεγωνεῖν διὰ τὸ μὴ γίνεσθαι μετὰ συντονίας τὴν

[v] παρερρυκυῖαι Ma. [w] τῶν παρα om. Ma. [x] γὰρ]μὲν Ma. [y] προσρήγνυσθαι Ma. [z] πνεύματος Ma.

τοῦ ἀέρος πληγήν, ἀλλὰ μόνον φωνοῦσιν, ὡς ἂν ἀπ' αὐτοῦ τοῦ φάρυγγος τὸ πνεῦμα βιαζόμενον. Τῶν δ' ἰσχνοφώνων 73
οὔτε περὶ τὰς φλέβας οὔτε περὶ τὰς ἀρτηρίας ἐστὶ τὸ πάθος, ἀλλὰ περὶ τὴν κίνησιν τῆς γλώττης. Χαλεπῶς γὰρ αὐτὴν μεταφέρουσιν, ὅταν ἕτερον δέῃ φθόγγον εἰπεῖν. Διὸ καὶ πολὺν χρόνον τὸ αὐτὸ ῥῆμα λέγουσιν, οὐ δυνάμενοι τὸ ἑξῆς εἰπεῖν, ἀλλὰ συνεχῶς τῆς κινήσεως καὶ τοῦ πνεύμονος αὐτῶν ἐπὶ τὴν αὐτὴν ὁρμὴν φερομένου διὰ τὸ πλῆθος καὶ τὴν βίαν τοῦ πνεύματος. Ὥσπερ γὰρ καὶ τὸ σῶμα ὅλον τῶν 74
τρεχόντων βιαίως χαλεπόν ἐστιν ἐκ τῆς ὁρμῆς εἰς ἄλλην κίνησιν μεταστῆσαι, τὸν αὐτὸν τρόπον καὶ κατὰ μέρος. Διὸ καὶ πολλάκις τὸ μὲν ἑξῆς εἰπεῖν οὐ δύνανται, τὸ δὲ μετὰ τοῦτο λέγουσι ῥᾳδίως, ὅταν ἄλλην ποιήσωνται τῆς κινήσεως ἀρχήν. Δῆλον δ' ἐστίν· καὶ γὰρ τοῖς ὀργιζομένοις τοῦτο συμβαίνει πολλάκις διὰ τὸ βίαιον αὐτῶν γίγνεσθαι τὴν τοῦ πνεύματος φοράν.

[a]ΦΥΣΙΟΓΝΩΜΟΝΙΚΑ.

[v]Ὅτι [b]αἱ διάνοιαι ἕπονται τοῖς σώμασι, καὶ οὐκ εἰσὶν αὐτα-
ὶ [c]καθ' ἑαυτὰς ἀπαθεῖς οὖσαι τῶν τοῦ σώματος κινήσεων.
Τοῦτο δὲ δῆλον πάνυ γίνεται ἔν τε ταῖς μέθαις καὶ ἐν ταῖς
ἀρρωστίαις· πολὺ γὰρ ἐξαλλάττουσαι φαίνονται αἱ διάνοιαι
2 ὑπὸ τῶν τοῦ σώματος παθημάτων. Καὶ τοὐναντίον δὴ τοῖς
τῆς ψυχῆς παθήμασι τὸ σῶμα συμπάσχον φανερὸν γίνεται
περί τε τοὺς ἔρωτας καὶ τοὺς φόβους τε καὶ τὰς λύπας καὶ
τὰς ἡδονάς. [vi]Ἔτι δὲ ἐν τοῖς φύσει γινομένοις μᾶλλον ἄν
τις συνίδοι [d]ὅτι οὕτως ἔχει πρὸς ἄλληλα σῶμά τε καὶ ψυχὴ
[e]συμφυῶς ὥστε τῶν πλείστων ἀλλήλοις αἴτια γίνεσθαι πα-
3 θημάτων. Οὐδὲν γὰρ πώποτε ζῷον γεγένηται τοιοῦτον ὃ
τὸ μὲν εἶδος ἔσχεν ἑτέρου ζῴου, τὴν δὲ διάνοιαν ἄλλου, ἀλλ'
ἀεὶ τοῦ αὐτοῦ τό τε σῶμα καὶ τὴν ψυχήν, ὥστε ἀναγκαῖον
ἕπεσθαι τῷ τοιῷδε σώματι τοιάνδε [f]διάνοιαν. [vii]Ἔτι δὲ καὶ
τῶν ἄλλων ζῴων οἱ περὶ ἕκαστον ἐπιστήμονες ἐκ τῆς ἰδέας
4 δύνανται θεωρεῖν, ἱππικοί τε ἵππους καὶ κυνηγέται κύνας. Εἰ
δὲ ταῦτα ἀληθῆ εἴη (ἀεὶ δὲ ταῦτα ἀληθῆ ἐστίν), εἴη ἂν φυσι-
ογνωμονεῖν. Οἱ μὲν οὖν προγεγενημένοι φυσιογνώμονες κατὰ
τρεῖς τρόπους ἐπεχείρησαν φυσιογνωμονεῖν, ἕκαστος καθ' ἕνα.
Οἱ μὲν γὰρ ἐκ τῶν γενῶν τῶν ζῴων φυσιογνωμονοῦσι, τιθέ-
5 μενοι καθ' ἕκαστον γένος εἶδός τι ζῴου καὶ διάνοιαν. Οἱ δ'
[g]ἐπὶ τούτοις σῶμά τι, εἶτα τὸν ὅμοιον τῷ [h]σώματι σῶμα
[i]ἔχοντα καὶ τὴν ψυχὴν ὁμοίαν ὑπελάμβανον. [viii]Ἄλλοι δέ
τινες τοῦτο μὲν ἐποίουν, οὐκ ἐξ ἁπάντων δὲ τῶν ζῴων ἐδοκί-

Codices $I^a.K^a.L^a.$ [a] *φυσιογνωμικά* $I^a.$
[b] *αἱ*] *καὶ* $I^a.K^a.$ [c] *μεθ'* $I^a.$ [d] *ὅτι*] *ὡς* I^a, om. $K^a.$ [e] *συμφυῆ* $I^a.K^a.$
[f] *διάθεσιν* $I^a.K^a.$ [g] *ἐπί τε τῶν τοιούτων σ.* $I^a.K^a.$ [h] *σώματι*] *τὸ* $I^a.K^a.$
[i] *ἔχοντι* $I^a.K^a.$

μαζον, ἀλλ' ἐξ αὐτοῦ τοῦ τῶν ἀνθρώπων [k] γένους, διελόμενοι κατὰ τὰ ἔθνη, ὅσα διέφερε τὰς ὄψεις καὶ τὰ ἤθη, οἷον Αἰγύπτιοι καὶ Θρᾷκες καὶ Σκύθαι, ὁμοίως τὴν ἐκλογὴν τῶν σημείων ἐποιοῦντο. Οἱ δέ τινες [l] ἐκ τῶν ἠθῶν τῶν ἐπιφαινο- 6
μένων, οἵᾳ διαθέσει ἕπεται [m] ἕκαστον ἦθος, τῷ ὀργιζομένῳ, τῷ φοβουμένῳ, τῷ ἀφροδισιάζοντι, καὶ τῶν ἄλλων δὴ παθημάτων ἑκάστῳ. Ἔστι δὲ κατὰ πάντας τούτους τοὺς τρόπους φυσιογνωμονεῖν, καὶ ἔτι κατ' ἄλλους, καὶ τὴν ἐκλογὴν τῶν σημείων ἀνομοίως ποιεῖσθαι. Οἱ μὲν οὖν κατὰ τὰ ἤθη 7
μόνον [n] φυσιογνωμονοῦντες [o] ἁμαρτάνουσιν, πρῶτον μὲν ὅτι ἔνιοι οὐχ οἱ αὐτοὶ ὄντες τὰ ἐπὶ τῶν προσώπων [p] ἤθη τὰ αὐτὰ ἔχουσιν, οἷον ὅ τε ἀνδρεῖος καὶ [q] ὁ ἀναιδὴς τὰ αὐτὰ ἔχουσι, τὰς διανοίας πολὺ κεχωρισμένοι, δεύτερον δὲ ὅτι κατὰ χρόνους τινὰς τὰ ἤθη οὐ τὰ αὐτὰ ἀλλ' ἑτέρων ἔχουσιν· δυσανίοις τε γὰρ οὖσιν ἐνίοτε συνέβη τὴν ἡμέραν ἡδέως διαγαγεῖν καὶ τὸ ἦθος λαβεῖν τὸ τοῦ εὐθύμου, καὶ τοὐναντίον εὔθυμον λυπηθῆναι, ὥστε τὸ ἦθος τὸ ἐπὶ τοῦ προσώπου μεταβαλεῖν. Ἔτι πρὸς τούτοις περὶ ὀλίγων ἄν [r] τις τοῖς ἐπιφαινομένοις 8
τεκμαίροιτο. Οἱ δ' ἐκ τῶν θηρίων φυσιογνωμονοῦντες οὐκ ὀρθῶς τὴν ἐκλογὴν τῶν σημείων ποιοῦνται. Οὐ γὰρ δὴ ἑκάστου τῶν ζῴων τὴν ἰδέαν διεξελθόντα ἔστιν εἰπεῖν ὅτι, [s] ὃς ἂν ὅμοιος τούτῳ τὸ σῶμα ᾖ, καὶ τὴν ψυχὴν ὅμοιος ἔσται. Πρῶτον μὲν γὰρ ὡς ἁπλῶς εἰπεῖν οὕτως ὅμοιον θηρίῳ ἄνθρωπον οὐδεὶς ἂν εὕροι, ἀλλὰ προσεοικότα [t] μέν τι. Ἔτι 9
πρὸς τούτοις τὰ ζῷα ὀλίγα μὲν τὰ ἴδια ἔχει σημεῖα, πολλὰ δὲ τὰ κοινά· ὥστε ἐπειδὰν [v] ὁμοιός τις ᾖ μὴ κατὰ τὸ ἴδιον ἀλλὰ κατὰ τὸ κοινόν, τί μᾶλλον οὗτος λέοντι ἢ ἐλάφῳ [w] ὁμοιότερος; Εἰκὸς [x] γὰρ τὰ μὲν ἴδια τῶν σημείων ἰδιόν τι σημαίνειν, τὰ δὲ κοινὰ κοινόν. Τὰ μὲν οὖν κοινὰ τῶν σημείων οὐδὲν ἂν διασαφηθείη τῷ [y] φυσιογνωμονοῦντι. Εἰ δέ 10

k γένος Ia. l ἐκ τῶν ἐπιφαινομένων ἠθῶν Ia.Ka. m ἑκάστω La. n φυσιογνωμοῦντες Ka. o ἁμαρτάνουσι] ἂν Ka. et, addito ἁμαρτάνοιεν post μέν, Ia. p ἤθη οὐχὶ τὰ La. q ὁ om. Ia.Ka. r τις om. Ia.Ka.La. s ὃς ἀνόμοιος Ia. t μέν τι om. Ia. v ὅμοιός τις ᾖ] ὅμοια τῶν La. w ὁμοιότερον Ia. x μὲν γὰρ τὰ La. y φυσιογνωμοῦντι Ka.

τις τὰ ἴδια ἑκάστου τῶν θηρίων ἐκλέξειεν, οὐκ ἂν ἔχοι ἀποδοῦναι οὗ ἐστὶ [z] ταῦτα σημεῖα. Εἰκὸς γὰρ τοῦ ἰδίου, ἴδιον δὲ οὐδενὸς οὐδὲν τῶν ζῴων τῶν φυσιογνωμονουμένων ἕν [a] γε τῇ διανοίᾳ ἔχοι ἄν τις λαβεῖν· οὔτε γὰρ ἀνδρεῖον μόνον ὁ λέων ἐστίν, ἀλλὰ καὶ ἄλλα πολλά, οὔτε δειλὸν ὁ λαγωός,
11 ἀλλὰ καὶ ἄλλα μυρία. Εἰ οὖν μήτε τὰ κοινὰ σημεῖα ἐκλέξαντι σαφές [b] τι γίνεται μήτε [c] τὰ ἴδια, οὐκ ἂν εἴη καθ' ἕκαστον τῶν ζῴων σκέπτεσθαι, ἀλλ' ἐξ ἀνθρώπων τὴν ἐκλογὴν ποιητέον τῶν τὸ αὐτὸ πάθος πασχόντων, οἷον, ἂν μὲν ἀνδρείου ἐπισκοπῇ τις τὰ σημεῖα, τὰ ἀνδρεῖα τῶν ζῴων εἰς ἓν λαβόντα δεῖ ἐξετάσαι, ποῖα παθήματα τούτοις μὲν ἅπασιν
12 ὑπάρχει, τῶν δὲ ἄλλων ζῴων οὐδενὶ συμβέβηκεν. Εἰ γὰρ οὕτω τις ἐκλέξειεν, ὅτι ταὐτά ἐστι τὰ σημεῖα ἀνδρείας τοῖς προκριθεῖσι ζῴοις, μὴ [d] μόνον ἀνδρείας κοινὸν ὑπάρχειν πάθημα τῶν [e] ἐν τῇ διανοίᾳ, ἀλλὰ καὶ ἄλλο [f] τι· οὕτω δ' ἂν [g] ἀπορήσειε πότερον ἀνδρείας ἢ θατέρου τὰ σημεῖά ἐστιν. [h] Ἀλλὰ δεῖ ἐκ πλείστων τε ἐκλέγεσθαι ζῴων, καὶ μηδὲν πάθος κοινὸν ἐχόντων ἐν τῇ διανοίᾳ ἄλλο τι, οὗ ἂν τὰ ση-
13 μεῖα σκοπῇ. [v]Οσα [i] μὲν οὖν τῶν σημείων μόνιμά ἐστι, μόνιμον ἄν τι καὶ σημαίνοι· ὅσα δὲ [k] ἐπιγινόμενά τε καὶ ἀπολείποντα, πῶς ἂν τὸ σημεῖον ἀληθὲς εἴη τοῦ ἐν τῇ διανοίᾳ μὴ μένοντος; Εἰ μὲν γὰρ μόνιμον ἐπιγινόμενόν τε καὶ ἀπολεῖπον σημεῖόν τις ὑπολάβοι, ἐνδέχοιτο μὲν ἂν αὐτὸ ἀληθὲς εἶναι, οὐ μὴν ἐπιεικὲς ἂν εἴη, [l] μὴ ἀεὶ τῷ πράγματι παρεπό-
14 μενον. [v]Οσα δὲ παθήματα ἐγγινόμενα τῇ ψυχῇ μηδέν τι ἐνδιαλλάττει τὰ σημεῖα τὰ ἐν τῷ σώματι, οἷς χρῆται ὁ φυσιογνώμων, οὐκ ἂν εἴη τὰ τοιαῦτα γνωρίσματα τῇ τέχνῃ, οἷον τὰ περὶ τὰς δόξας καὶ τὰς ἐπιστήμας [m] ἰατρὸν ἢ κιθαριστὴν οὐκ ἐνδέχεται γνωρίζειν· ὁ γὰρ μαθὼν ὅ τι μάθημα, οὐδὲν ἐξήλλαξε τῶν σημείων οἷς χρῆται ὁ φυσιογνώμων.

[z] ταῦτα τὰ σημεῖα I^a. [a] τε $K^a.L^a$. [b] τι om. $I^a.K^a$. [c] τὰ] κατὰ τὰ $K^a.L^a$. [d] μόνον δ' ἀνδρείας L^a. [e] ἐν om. $I^a.K^a$. [f] τι] τι οὕτως ἔστιν L^a. [g] εὐπορήσεις L^a. [h] ἀλλὰ δὲ ἐκ L^a. [i] μὲν οὖν] τε μὲν L^a. [k] ἐπιγινόμενα καὶ ἀπογινόμενά τε καὶ ἀπ. $I^a.K^a$. [l] μὴ] μὲν $I^a.K^a$. [m] ἰατρὸς ἢ καθαριστὴς $I^a.K^a.L^a$.

Δεῖ [n] δὴ οὖν ὁρίσαι περὶ ποῖα ἄττα ἐστὶν ἡ φυσιογνω- 2
μονία, ἐπειδὴ οὐ περὶ πάντα, καὶ ἐκ τίνων ἕκαστα σημεῖα
λαμβάνεται, ἔπειτ' ἐφεξῆς καθ' ἓν ἕκαστον περὶ τῶν ἐπι-
φανεστέρων δηλῶσαι. [t]Ἡ μὲν οὖν φυσιογνωμονία ἐστί, κα-
θάπερ καὶ τοὔνομα αὐτῆς λέγει, περὶ τὰ φυσικὰ παθήματα
τῶν ἐν τῇ διανοίᾳ, καὶ τῶν ἐπικτήτων ὅσα παραγινόμενα
μεθίστησι τῶν σημείων τῶν φυσιογνωμονουμένων. [t]Οποῖα
δὲ ταῦτά ἐστιν, ὕστερον [o]δηλωθήσεται. [t]Ἐξ ὧν δὲ γενῶν 2
τὰ σημεῖα λαμβάνεται, νῦν ἐρῶ, καὶ ἔστιν ἅπαντα· ἔκ τε
γὰρ τῶν κινήσεων φυσιογνωμονοῦσι, καὶ ἐκ τῶν [p]σχημάτων,
καὶ ἐκ τῶν χρωμάτων, καὶ ἐκ τῶν ἠθῶν τῶν ἐπὶ τοῦ προσώ-
που ἐμφαινομένων, καὶ ἐκ τῶν [q]τριχωμάτων, [r]καὶ ἐκ τῆς
λειότητος, καὶ ἐκ τῆς φωνῆς, καὶ [s]ἐκ τῆς σαρκός, καὶ ἐκ τῶν
μερῶν, καὶ [t]ἐκ τοῦ τύπου ὅλου τοῦ σώματος. Καθόλου μὲν 3
[v]οὖν τοιαῦτά ἐστιν ἃ λέγουσιν οἱ φυσιογνώμονες περὶ ὅλων
τῶν γενῶν ἐν οἷς ἐστὶ τὰ σημεῖα. Εἰ μὲν οὖν ἀσαφὴς ἢ μὴ
[w]εὔσημος ἦν ἡ τοιαύτη διέξοδος, ἀπέχρησεν ἂν τὰ εἰρημένα.
Νυνὶ δ' ἴσως βέλτιόν ἐστι καθ' ἕκαστον [x]περὶ πάντων, ὅσα 4
ἐπιφανῆ [y]παρὰ τῶν φυσιογνωμονουμένων, ἀκριβέστερον φρά-
σαι, τά τε σημεῖα λέγοντα, οἵά τ' ἐστὶν ἕκαστα [z]καὶ ἐπὶ τί
ἀναφέρεται, ὅσα [a]μὴ ἐν τοῖς προειρημένοις δεδήλωται. Αἱ
μὲν οὖν χροιαὶ σημαίνουσιν αἱ μὲν ὀξεῖαι θερμὸν καὶ ὕφαι-
μον, αἱ δὲ λευκέρυθροι εὐφυΐαν, ὅταν ἐπὶ λείου χρωτὸς συμβῇ
τοῦτο τὸ χρῶμα. Τὰ δὲ τριχώματα τὰ μὲν μαλακὰ δειλόν, 5
τὰ δὲ σκληρὰ ἀνδρεῖον. Τοῦτο δὲ τὸ σημεῖον εἴληπται ἐξ
ἁπάντων τῶν ζῴων. Δειλότατον μὲν γάρ ἐστιν ἔλαφος λα-
γωὸς πρόβατα, καὶ τὴν [b]τρίχα μαλακωτάτην ἔχει· ἀνδρειό-
τατον δὲ λέων, ὗς ἄγριος, καὶ τρίχα σκληροτάτην φέρει.
[t]Εστι δὲ καὶ ἐν τοῖς ὄρνισι τὸ αὐτὸ τοῦτο ἰδεῖν· καθόλου 6
τε γὰρ ὅσοι μὲν σκληρὸν τὸ πτερὸν ἔχουσιν, ἀνδρεῖοι, ὅσοι

n δὲ Ia. o στηλωθήσεται La. p σχημάτων—ἐκ τῶν ante τριχ. om. Ia. q χρωμάτων Ia.Ka. et corr. La. r καὶ primum ante ἐκ τῆς om. Ia. s ἐκ ante τῆς σαρκος om. Ia.Ka.La. t ἐκ ante τοῦ om. Ia.Ka. v οὖν] οὖν αὖ La. w ἄσημος La. x περὶ τῶν πάντων Ia.Ka. y περὶ La. z καὶ ἐπὶ τί om. Ia.Ka.La. a μὴ] μὲν Ia.Ka. b τρίχαν Ia.

δὲ μαλακόν, δειλοί, καὶ κατὰ μέρη ἔστι [c]ταὐτὸ τοῦτο ἰδεῖν
7 ἔν τε τοῖς ὄρτυξι καὶ ἐν τοῖς ἀλεκτρυόσιν. [b]Ὁμοίως δὲ καὶ
ἐπὶ τῶν γενῶν τῶν ἀνθρώπων ταὐτὸ τοῦτο συμπίπτει· οἱ
μὲν γὰρ ὑπὸ [d]ταῖς ἄρκτοις οἰκοῦντες ἀνδρεῖοί τε εἰσι καὶ
σκληρότριχες, οἱ δὲ πρὸς μεσημβρίαν δειλοί τε καὶ μαλακὸν
τρίχωμα φέρουσιν. [b]Ἡ δὲ δασύτης ἡ περὶ [e]τὴν κοιλίαν λα-
8 λιὰν σημαίνει. Τοῦτο δὲ ἀναφέρεται εἰς τὸ γένος τῶν ὀρνί-
θων· ἴδιον γὰρ ὄρνιθος τῶν περὶ τὸ σῶμα ἡ δασύτης ἡ περὶ
τὴν κοιλίαν, τῶν δὲ [f]περὶ διάνοιαν ἡ λαλιά. [b]Ἡ δὲ σὰρξ ἡ
μὲν σκληρὰ καὶ εὐεκτικὴ φύσει ἀναίσθητον σημαίνει, ἡ δὲ
λεία καὶ εὐφυέα καὶ ἀβέβαιον, ἐὰν μὴ ἐπ' ἰσχυροῦ σώματος
9 καὶ τὰ ἀκρωτήρια ἐγκρατῆ ἔχοντος τοῦτο συμβῇ. Αἱ δὲ
κινήσεις αἱ μὲν νωθραὶ μαλακὴν διάνοιαν, αἱ δὲ ὀξεῖαι ἔνθερ-
μον. [b]Ἐπὶ δὲ τῆς φωνῆς ἡ μὲν [g]βαρεῖα καὶ ἐπιτεινομένη
ἀνδρεῖον, ἡ δὲ ὀξεῖα καὶ ἀνειμένη δειλόν. Τὰ δὲ σχήματα
καὶ [h]τὰ παθήματα τὰ ἐπιφαινόμενα ἐπὶ τῶν προσώπων κατὰ
10 τὰς ὁμοιότητας λαμβάνεται τῷ πάθει. [b]Ὅταν γὰρ πάσχῃ
τι, γίνεται οἷον εἰ [i]τοιοῦτον [k]ἔχει ὅταν τις ὀργίζηται, ὀρ-
γίλον τὸ σημεῖον τοῦ αὐτοῦ γένους. Τὸ [l]δὲ ἄρρεν τοῦ θή-
λεος μεῖζον καὶ ἰσχυρότερον, καὶ τὰ ἀκρωτήρια τοῦ σώματος
ἰσχυρότερα καὶ λιπαρώτερα [m]καὶ εὐεκτικώτερα καὶ βελτίω
11 κατὰ πάσας τὰς ἀρετάς. [b]Ἰσχυρότερα δὲ τῶν ἐπὶ τοῖς μέ-
ρεσι σημείων ἐστὶ τὰ ἐν τοῖς ἤθεσι τοῖς ἐν τοῖς ἐπιφαινο-
μένοις λαμβανόμενα καὶ [n]τὰ κατὰ τὰς κινήσεις καὶ τὰ σχή-
ματα. [b]Ὅλως δὲ [o]τὸ ἐνὶ μὲν πιστεύειν τῶν σημείων εὔηθες·
ὅταν δὲ πλείω συμφωνοῦντα καθ' ἑνὸς λάβῃ, μᾶλλον ἤδη
κατὰ τὸ εἰκὸς ἄν τις ὑπολαμβάνοι ἀληθῆ εἶναι τὰ σημεῖα.
12 [b]Ἔστι δὲ ἄλλος τρόπος καθ' ὃν ἄν τις φυσιογνωμονοίη· οὐδ-
εὶς μέντοι ἐπικεχείρηκεν. Οἷον εἰ ἀνάγκη ἐστὶ τὸν ὀργίλον
καὶ τὸν δυσάνιον καὶ μικρὸν τὸ ἦθος φθονερὸν εἶναι, εἰ καὶ

[c] αὐτὸ L^a. [d] τοῖς L^a. [e] τὴν om. I^a. [f] περὶ τὴν διάνοιαν L^a. [g] βραβεῖα K^a. [h] τῶν παθῶν L^a. [i] τοιοῦτο L^a. [k] ἔχοι K^a. [l] δὲ om. L^a. [m] καὶ τὰ εὐεκτικώτερα $I^a.K^a.L^a$. [n] τὰ om. $I^a.K^a$. [o] τὸ] τῷ L^a.

μή τι φθονεροῦ [p] σημεῖα, ἐξ ἐκείνων δὲ τῶν προτέρων ἐνδέχοιτο ἂν τῷ φυσιογνώμονι καὶ τὸν φθονερὸν εὑρίσκειν, μάλιστα μὲν [q] ἂν ὁ τοιοῦτος ἴδιος τρόπος εἴη τοῦ πεφιλοσοφηκότος. Τὸ γὰρ δύνασθαι τινῶν ὄντων ἀναγκαῖον εἶναι, ἴδιον [13] [r] ὑπολαμβάνοιμεν φιλοσοφίας· ὅπερ ἐστὶν [s] ὅτε ἐναντιοῦται [t] τούτῳ κατὰ τὰ πάθη φυσιογνωμονεῖν καὶ τὰ κακά.

[v] Περὶ φωνῆς κατὰ μὲν τὸ πάθος ἐπισκοπῶν ὀξεῖαν οἰη- [14] θείη ἄν τις [w] δυεῖν ἕνεκεν τιθέναι τοῦ θυμοειδοῦς. [x] Ὁ γὰρ ἀγανακτῶν καὶ ὀργιζόμενος ἐπιτείνειν εἴωθε τὸν φθόγγον καὶ ὀξὺ φθέγγεσθαι, ὁ δὲ ῥαθύμως διακείμενος τόν τε τόνον ἀνίησι καὶ βαρὺ φθέγγεται. Τῶν δ' αὖ ζῴων τὰ μὲν ἀν- [15] δρεῖα βαρύφωνά ἐστι, τὰ δὲ δειλὰ ὀξύφωνα, λέων μὲν καὶ ταῦρος, καὶ κύων ὑλακτικός, καὶ τῶν ἀλεκτρυόνων οἱ [x] εὔψυχοι βαρύφωνοι φθέγγονται· ἔλαφος δὲ καὶ [y] λαγὼς ὀξύφωνά ἐστιν. [z] Ἀλλ' ἴσως καὶ ἐν τούτοις κρεῖσσόν ἐστι [z] μὴ [16] ἐν τῷ βαρεῖαν ἢ ὀξεῖαν εἶναι τὴν φωνὴν αὐτῶν ἀνδρεῖον ἢ δειλὸν τιθέναι, ἀλλ' ἐν τῷ τὴν μὲν ἐρρωμένην [a] ἀνδρείου τὴν δὲ ἀνειμένην καὶ ἀσθενῆ δειλοῦ ὑποληπτέον εἶναι. [b] Ἔστι [17] δὲ κράτιστον, ὅταν τὰ σημεῖα μὴ ὁμολογούμενα ἀλλ' ὑπεναντιούμενα, [c] μηδὲν τιθέναι, εἰ [d] μή ἐστι [e] τῶν διῃρημένων ποῖα ποίων πιστότερα, καὶ μάλιστα μὲν εἰς εἴδη ἀλλὰ μὴ εἰς ὅλα τὰ γένη ἀναφέρειν. [f] Ὁμοιότερα γάρ ἐστι τῷ ζητουμένῳ· οὐ γὰρ ὅλον τὸ γένος τῶν ἀνθρώπων φυσιογνωμονοῦμεν, ἀλλά τινα τῶν ἐν τῷ γένει.

[f] Ἀνδρείου σημεῖα τρίχωμα σκληρόν, τὸ σχῆμα τοῦ 3 σώματος ὀρθόν, ὀστᾶ καὶ πλευραὶ καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἰσχυρὰ καὶ μεγάλα, καὶ κοιλία πλατεῖα καὶ προσεσταλμένη· ὠμοπλάται πλατεῖαι καὶ διεστηκυῖαι, οὔτε λίαν

p σημεῖα—φθονερὸν om. L^a. q ἂν] ὅταν $I^a.K^a$. r ὑπολαμβάνη μὲν K^a. s ὅτε om. L^a. t τοῦτο L^a. v περὶ φωνῆς in margine K^a, om. $I^a.L^a$. w δεῖν L^a, omisso ἕνεκεν. x ἔμψυχοι βαρύφωνα L^a. y λαγωὸς $I^a.K^a$. z μὴ] μὲν $I^a.K^a$. a ἀνδρείαν L^a. b ἔτι L^a. c οὐδὲν L^a. d μή] μέν $I^a.K^a$. e τωνδὶ εἰρημένα L^a. f ἀνδρείου σημεῖα in margine K^a, om. $I^a.L^a$. et perinde δειλοῦ σημεῖα sect. 2. εὐφυοῦς σημεῖα sect. 3. similesque indices.

συνδεδεμέναι οὔτε παντάπασιν ἀπολελυμέναι· τράχηλος ἐρρωμένος, οὐ σφόδρα σαρκώδης· τὸ στῆθος σαρκῶδές τε καὶ πλατύ, ἰσχίον προσεσταλμένον, γαστροκνημίαι κάτω προσεσπασμέναι· ὄμμα χαροπόν, οὔτε λίαν [g] ἀνεπτυγμένον οὔτε παντάπασι συμμύον· αὐχμηρότερον τὸ χρῶμα τὸ ἐπὶ τοῦ σώματος· ὀξὺ μέτωπον, εὐθύ, οὐ μέγα, [h] ἰσχνόν, οὔτε λεῖον
2 οὔτε παντάπασι ῥυτιδῶδες. Δειλοῦ σημεῖα [i] τριχωμάτιον μαλακόν, [k] τὸ σῶμα συγκεκαθικός, οὐκ ἐπισπερχής· αἱ [l] δὲ γαστροκνημίαι ἄνω ἀνεσπασμέναι· περὶ τὸ πρόσωπον ὕπωχρος· ὄμματα ἀσθενῆ καὶ [m] σκαρδαμύττοντα, καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἀσθενῆ, καὶ μικρὰ σκέλη, καὶ χεῖρες λεπταὶ καὶ μακραί· ὀσφὺς δὲ μικρὰ καὶ ἀσθενής· τὸ σχῆμα σύντονον ἐν ταῖς κινήσεσιν· [n] οὐκ ἰταμὸς ἀλλ' ὕπτιος καὶ τεθαμβηκώς· τὸ ἦθος τὸ ἐπὶ τοῦ προσώπου εὐμετάβολον,
3 [o] κατηφής. Εὐφυοῦς σημεῖα σὰρξ ὑγροτέρα καὶ ἁπαλωτέρα, οὐκ εὐεκτικὴ οὐδὲ πιμελώδης σφόδρα· τὰ περὶ [p] τὰς ὠμοπλάτας καὶ τράχηλον ἰσχνότερα, καὶ τὰ περὶ τὸ πρόσωπον, [q] καὶ σύνδετα τὰ περὶ [p] τὰς ὠμοπλάτας, καὶ τὰ κάτω ἀφειμένα· [r] εὔλυτα τὰ περὶ τὰς πλευράς· καὶ τὸν νῶτον ἀσαρκότερος· τὸ σῶμα λευκέρυθρον καὶ καθαρόν· τὸ δερμάτιον λεπτόν, [s] τριχωμάτιον [t] μὴ λίαν σκληρὸν μηδὲ λίαν
4 μέλαν, ὄμμα χαροπόν, ὑγρόν. [u] Ἀναισθήτου σημεῖα τὰ περὶ τὸν αὐχένα καὶ τὰ σκέλη σαρκώδη καὶ συμπεπλεγμένα καὶ συνδεδεμένα, κοτύλη στρογγύλη, ὠμοπλάται ἄνω ἀνεσπασμέναι, μέτωπον μέγα [v] περιφερὲς σαρκῶδες, ὄμμα χλωρὸν κωφόν, κνῆμαι περὶ σφυρὸν παχεῖαι σαρκώδεις στρογγύλαι, σιαγόνες μεγάλαι σαρκώδεις, ὀσφὺς σαρκώδης, σκέλη μακρά, τράχηλος παχύς, πρόσωπον σαρκῶδες, ὑπόμακρον ἱκανῶς. Τὰς δὲ [w] κινήσεις καὶ τὸ σχῆμα καὶ τὸ ἦθος τὸ ἐπὶ τοῦ προσώπου ἐπιφαινόμενον κατὰ τὰς ὁμοιότητας ἀναλαμ-

g ἐπτυγμένον Ka. h ἰσχυὸν La. i τρίχωμα La. k τῷ σώματι Ia.Ka. l δὴ Ka. m σκαρδαμύττει Ia.Ka. n οὐχ ἰταμὸς Ka.La. o κατηφές La. p τὰς] τοὺς utrobique Ia. q καὶ om. La. r ἄλυτα La. s τρίχωμα τὸ La. t μὴ] μὲν Ia.Ka. v περιβερὲς Ia. w κνήσεις Ia.

βάνει. [4]Αναιδοῦς σημεῖα ὀμμάτιον ἀνεπτυγμένον καὶ λαμ- 5
πρόν, βλέφαρα ὕφαιμα καὶ παχέα· μικρὸν [x]ἔγκυρτος· ὠμο-
πλάται ἄνω ἐπηρμέναι· τῷ σχήματι μὴ ὀρθὸς ἀλλὰ μικρῷ
[y]προπετέστερος, ἐν ταῖς κινήσεσιν ὀξύς, [z]ἐπίπυρρος τὸ σῶ-
μα· τὸ χρῶμα ὕφαιμον· [a]στρογγυλοπρόσωπος· τὸ στῆθος
ἀνεσπασμένον. Κοσμίου σημεῖα. [4]Ἐν ταῖς κινήσεσι βρα- 6
δύς, καὶ [b]διάλεκτος βραδεῖα καὶ φωνὴ πνευματώδης καὶ
[c]ἀσμενής, ὀμμάτιον ἀλαμπὲς μέλαν καὶ μήτε λίαν ἀνεπτυ-
γμένον μήτε παντάπασι [d]συμμεμυκός, σκαρδαμυκτικὸν βρα-
δέως· τὰ μὲν γὰρ ταχέως σκαρδαμύττοντα τῶν ὀμμάτων τὰ
μὲν δειλὸν τὰ δὲ θερμὸν σημαίνει. Εὐθύμου σημεῖα μέτω- 7
πον εὐμέγεθες καὶ σαρκῶδες καὶ λεῖον, τὰ περὶ τὰ ὄμματα
[e]ταπεινότερα. Καὶ ὑπνωδέστερον τὸ πρόσωπον φαίνεται,
μήτε δεδορκὸς μήτε σύννουν. [f][4]Ἐν τε ταῖς κινήσεσι βραδὺς
ἔστω καὶ ἀνειμένος· τῷ σχήματι καὶ τῷ ἤθει τῷ ἐπὶ τοῦ
προσώπου μὴ ἐπισπερχὴς ἀλλὰ ἀγαθὸς φαινέσθω. [4]Αθύ- 8
μου σημεῖα. Τὰ ῥυτιδώδη τῶν προσώπων καὶ ἰσχνὰ ὄμ-
ματα κατακεκλασμένα, ἅμα δὲ καὶ [g]τὰ κεκλασμένα τῶν
ὀμμάτων, δύο σημαίνει, τὸ μὲν μαλακὸν καὶ θῆλυ, τὸ δὲ
κατηφὲς [h]καὶ ἄθυμον. [4]Ἐν τῷ σχήματι ταπεινὸς καὶ ταῖς
κινήσεσιν ἀπηγορευκώς. Κιναίδου σημεῖα ὄμμα κατακε- 9
κλασμένον, γονύκροτος· ἐγκλίσεις τῆς κεφαλῆς εἰς τὰ δεξιά·
αἱ φοραὶ τῶν χειρῶν ὕπτιαι καὶ ἔκλυτοι, καὶ βαδίσεις διτ-
ταί, ἡ μὲν περινεύοντος, ἡ δὲ [i]κρατοῦντος τὴν ὀσφύν· καὶ
τῶν ὀμμάτων περιβλέψεις, [k]οἷος ἂν εἴη Διονύσιος ὁ σοφι-
στής. Πικροῦ σημεῖα τὸ πρόσωπον σεσηρός· μελανόχρως, 10
ἰσχνός· τὰ περὶ τὸ πρόσωπον διεξυσμένα, τὸ πρόσωπον [l]ῥυ-
τιδῶδες ἄσαρκον· εὐθύθριξ καὶ μελάνθριξ. Θυμώδους ση- 11
μεῖα. [4]Ορθὸς τὸ σῶμα, τῷ σχήματι εὔπλευρος, εὔθυμος,

x ἔγκυρτον La. y προπετέστερον La. z ἐπίπυρος Ia.Ka.La. a στρογγυλοπρόσωπον Ia.Ka. b διαλεκτικὸς Ia.Ka.La. c ἀσμενὲς Ka.La, ἀσθενὲς Ia. d συμβεβηκὸς Ia. e ταπεινότερον La, ταπεινότης Ia. f ἔν] ὂν La. g τὰ] κατὰ La. h καὶ post κατηφὲς om. Ia.Ka. i ἐκρατοῦντος La. k οἷον ἂν εἴη διονύσιον La. l ῥυτιδώδης Ia.Ka.

[m] ἐπίπυρρος· ὠμοπλάται διεστηκυῖαι καὶ μεγάλαι καὶ πλατεῖαι· ἀκρωτήρια μεγάλα καὶ ἐγκρατῆ· λεῖος καὶ περὶ τὰ στήθη καὶ περὶ βουβῶνας, εὐπώγων· [n] εὐαυξὴς ὁ περίδρομος
12 τῶν τριχῶν, κάτω κατελήλυθώς. Πραέος σημεῖα. [1]Ἰσχυρὸς τὸ εἶδος, εὔσαρκος· ὑγρὰ σὰρξ καὶ πολλή· [o] εὐμεγέθης καὶ σύμμετρος· ὕπτιος τῷ σχήματι· ὁ περίδρομος τῶν τριχῶν ἀνεσπασμένος. Εἴρωνος σημεῖα πίονα τὰ περὶ τὸ πρόσωπον, καὶ τὰ περὶ τὰ ὄμματα ῥυτιδώδη· ὑπνώδες τὸ
13 πρόσωπον τῷ ἤθει φαίνεται. Μικροψύχου σημεῖα. Μικρομελής, μικρογλάφυρος, [p] ἰσχνός, μικρόμματος καὶ μικροπρόσωπος, οἷος ἂν εἴη Κορίνθιος ἢ Λευκάδιος. Φιλόκυβοι [q] γαλεαγκῶνες καὶ ὀρχησταί. [r] Φιλολοίδοροι οἷς τὸ ἄνω χεῖλος μετέωρον· καὶ τὰ εἴδη προπετεῖς, [s] ἐπίπυρροι.
14 [t] [1]Ἐλεήμονες ὅσοι γλαφυροὶ καὶ λευκόχροοι καὶ λιπαρόμματοι καὶ τὰ ῥινία ἄνωθεν διεξυσμένοι, καὶ ἀεὶ δακρύουσιν. Οἱ αὐτοὶ οὗτοι καὶ [v] φιλογύναιοι καὶ θηλυγόνοι καὶ περὶ τὰ ἤθη ἐρωτικοὶ καὶ ἀειμνήμονες καὶ εὐφυεῖς καὶ ἔνθερμοι. Τούτων δὲ σημεῖα εἴρηται. [1]Ἐλεήμων ὁ σοφὸς καὶ δει-
15 λὸς καὶ [w] κόσμιος, [x] ἀνελέητος ἀμαθὴς καὶ ἀναιδής. [1]Ἀγαθοὶ φαγεῖν οἷς τὸ ἀπὸ τοῦ ὀμφαλοῦ πρὸς στῆθος μεῖζόν ἐστιν ἢ τὸ ἐντεῦθεν πρὸς τὸν αὐχένα. Λάγνου σημεῖα. Λευκόχρως [y] καὶ δασὺς εὐθείαις θριξὶ καὶ παχείαις καὶ μελαίναις· καὶ οἱ κρόταφοι δασεῖς εὐθείαις θριξί· λιπαρὸν τὸ ὀμ-
16 μάτιον καὶ μάργον. Φίλυπνοι οἱ τὰ ἄνω μείζω ἔχοντες καὶ γυπώδεις καὶ θερμοί, εὐεκτικὴν σάρκα ἔχοντες, καὶ γλαφυροὶ τὰ εἴδη, καὶ δασεῖς τὰ περὶ τὴν κοιλίαν. Μνήμονες οἱ τὰ ἄνω ἐλάττονα ἔχοντες καὶ γλαφυρὰ καὶ σαρκωδέστερα.

4 Δοκεῖ δέ μοι ἡ [z] ψυχὴ καὶ τὸ σῶμα συμπαθεῖν ἀλλήλοις· καὶ ἡ τῆς [a] ψυχῆς ἕξις ἀλλοιουμένη συναλλοιοῖ τὴν τοῦ

m ἐπίπυρος I^a.K^a.L^a. n εὐαξὴς L^a. o ἀμεγέθης L^a. p ἰσχνὸς καὶ μικρ. I^a. q γαλιαγκῶνες L^a. r φιλόδωροι I^a. s ἐπίπυροι I^a.K^a. t ἐλεήμονες ὅσοι γλαφυροὶ om. L^a. v φιλογέναιοι L^a. w κόσμος K^a. x ἀνελέσητος I^a.K^a. y καὶ] δὲ καὶ L^a. z ψυχή τε καὶ L^a. a ψυχῆς om. I^a.

σώματος μορφήν, πάλιν τε ἡ τοῦ σώματος μορφὴ ἀλλοιουμένη συναλλοιοῖ τὴν τῆς ψυχῆς ἕξιν. [1]Ἐπειδὴ γάρ ἐστι [b]ψυχῆς τὸ ἀνιᾶσθαί τε καὶ εὐφραίνεσθαι, καταφανὲς ὅτι οἱ ἀνιώμενοι σκυθρωπότεροί εἰσι καὶ [c]οἱ εὐφραινόμενοι ἱλαροί. Εἰ μὲν οὖν [d]ἦν τῆς ψυχῆς λελυμένης [e]ἔτι τὴν ἐπὶ τοῦ 2 σώματος μορφὴν [f]μένειν, ἦν μὲν ἂν καὶ οὕτως ἡ ψυχή τε καὶ τὸ σῶμα [g]συμπαθῆ, οὐ μέντοι συνδιατελοῦντα ἀλλήλοις. Νῦν δὲ καταφανὲς ὅτι ἑκάτερον ἑκατέρῳ ἕπεται. Μάλιστα μέντοι ἐκ τοῦδε δῆλον γένοιτο. Μανία γὰρ δοκεῖ εἶναι περὶ 3 ψυχήν, καὶ οἱ ἰατροὶ φαρμάκοις καθαίροντες τὸ σῶμα καὶ διαίταις τισὶ πρὸς [h]αὐτοῖς χρησάμενοι ἀπαλλάττουσι τὴν ψυχὴν τῆς μανίας. Ταῖς [i]δὴ τοῦ σώματος θεραπείαις καὶ ἅμα ἥ τε τοῦ σώματος μορφὴ λέλυται καὶ ἡ ψυχὴ μανίας ἀπήλλακται. [1]Ἐπειδὴ οὖν ἅμα [k]ἀμφότερα λύονται, 4 δῆλον ὅτι συνδιατελοῦσιν ἀλλήλοις. Συμφανὲς δὲ καὶ ὅτι ταῖς δυνάμεσι τῆς ψυχῆς ὅμοιαι αἱ μορφαὶ τοῖς σώμασιν ἐπιγίνονται, ὥστ' ἐστὶν ἅπαντα [l]ἐν τοῖς ζῴοις τοῦ αὐτοῦ τινὸς δηλωτικά. Πολλὰ δὲ καὶ ὧν [m]διαπράττεται [n]τὰ ζῷα, τὰ μὲν ἴδια ἑκάστου γένους πάθη τῶν ζῴων ἐστί, [o]τὰ δὲ κοινά. [1]Ἐπὶ μὲν οὖν τοῖς ἰδίοις ἔργοις τῆς ψυχῆς ἴδια τὰ πάθη 5 κατὰ τὸ σῶμα, ἐπὶ δὲ τοῖς κοινοῖς τὰ κοινά. Κοινὰ μὲν οὖν ἐστὶν ὕβρις τε καὶ ἡ περὶ τὰ ἀφροδίσια [p]ἔκστασις. Τῶν μὲν οὖν [q]λοφούρων κοινόν ἐστιν ὕβρις, τῶν δὲ ὄνων τε καὶ συῶν ἡ περὶ τὰ ἀφροδίσια ἕξις. [1]Ἴδιον δ' ἐστὶν ἐπὶ μὲν τῶν 6 κυνῶν τὸ λοίδορον, ἐπὶ δὲ τῶν ὄνων τὸ ἄλυπον. [r]Ὡς μὲν οὖν τὸ κοινόν τε καὶ τὸ ἴδιον χρὴ διελέσθαι, εἴρηται. Δεῖ μέντοι πρὸς ἅπαντα πολλῆς συνηθείας, εἰ [r]μέλλει τις αὐτὸς ἔσεσθαι ἱκανὸς περὶ τούτων ἕκαστα λέγειν. [1]Ἐπειδὴ γὰρ τὰ 7 ὁρώμενα ἐπὶ τῶν σωμάτων λέγεται ἀναφέρεσθαι ἐπὶ τὰς

[b] ψυχὴ L^a. [c] οἱ post καὶ om. $I^a.K^a.L^a$. [d] ἦν] ἔτι $I^a.K^a$. [e] ἔτι om. $I^a.K^a$. [f] μένειν] οὖσαν $I^a.K^a$. [g] συμπαθῆ — ὅτι ἑ. om. L^a. [h] αὐτὸ $I^a.K^a$. [i] δὲ I^a, om. L^a. [k] ἀμφοτέρως I^a. [l] ἐν] ὅμοια ἐν L^a. [m] διαπέπρακται $I^a.K^a$. [n] τὰ ante ζῷα om. L^a. [o] τὰ om. $I^a.K^a$. [p] ἔκτασις L^a. [q] λοφούρων] λοφούρων λοθούρων $I^a.K^a$, λοφούρων νοθούρων L^a. [r] μέλλοι τις αὐτῆς L^a.

ὁμοιότητας τάς τε ἀπὸ τῶν ζῴων καὶ τὰς ἀπὸ τῶν πράξεων γινομένας, καὶ ἰδέαι τινὲς ἄλλαι ἀπὸ [s] θερμοτήτων καὶ [t] ἀπὸ ψυχροτήτων γίνονται, ἔστι τε [v] τούτων ἕνια τῶν ἐπιφαινομένων ἐπί τε τοῖς σώμασι μικραῖς διαφοραῖς κεχρημένα καὶ τῷ αὐτῷ ὀνόματι προσαγορευόμενα, οἷον αἵ τε ἀπὸ φόβων ὠχρότητες καὶ ἀπὸ πόνων (αὗται γὰρ ὀνόματί τε τῷ αὐτῷ κέχρηνται, καὶ διαφορὰν μικρὰν ἔχουσι πρὸς ἀλλήλας), μικρᾶς δὲ οὔσης τῆς διαφορᾶς οὐ ῥᾴδιον γινώσκειν ἀλλὰ ἢ ἐκ τῆς συνηθείας τῆς μορφῆς τὴν ἐπιπρέπειαν εἰληφότα, ἔστι μὲν οὖν καὶ [w] τάχιστος καὶ ἄριστος ὁ ἀπὸ τῆς ἐπιπρεπείας, καὶ
8 ἔστι γε οὕτως τούτῳ χρώμενον πολλὰ διαγινώσκειν. Καὶ οὐ μόνον καθόλου χρήσιμόν ἐστιν, ἀλλὰ καὶ πρὸς τὴν τῶν σημείων ἐκλογήν· ἕκαστον γὰρ τῶν ἐκλεγομένων καὶ πρέ-
9 πειν δεῖ τοιοῦτον οἷον τὸ ἐκλεγόμενον θέλει. [1] Ἔτι τε [x] κατὰ τὴν ἐκλογὴν τῶν σημείων, καὶ τῷ συλλογισμῷ, ᾧ δεῖ χρῆσθαι ὅπου ἄν [y] τι τύχῃ, προστιθέντας τοῖς προσοῦσι τὰ προσήκοντα, οἷον εἰ ἀναιδής τε εἴη καὶ μικρολόγος, καὶ κλέπτης [z] ἂν εἴη καὶ ἀνελεύθερος, καὶ κλέπτης μὲν ἑπομένως τῇ ἀναιδείᾳ, τῇ δὲ μικρολογίᾳ ἀνελεύθερος. [1] Ἐπὶ μὲν οὖν τῶν τοιούτων ἑκάστου δεῖ τοῦτον τὸν τρόπον προσαρμόζοντα τὴν μέθοδον ποιεῖσθαι.

5 Νυνὶ δὲ πρῶτον πειράσομαι τῶν ζῴων διελέσθαι, ὁποῖα αὐτῶν προσήκει διαλλάττειν πρὸς τὸ εἶναι ἀνδρεῖα καὶ δειλὰ καὶ δίκαια καὶ ἄδικα. Διαιρετέον δὲ τὸ τῶν ζῴων γένος εἰς δύο μορφάς, εἰς ἄρσεν καὶ θῆλυ, προσάπτοντα τὸ πρέπον
2 ἑκατέρᾳ μορφῇ. [1] Ἔστι [a] δὲ ὅμοια. [b] [1] Ἐπιχειροῦμεν [c] οὖν τρέφειν τῶν θηρίων προσηνέστερα καὶ μαλακώτερα τὰς ψυχὰς τὰ θήλεα τῶν ἀρρένων, ἧττόν τε ῥωμαλεούμενα, τάς τε τροφὰς καὶ τὰς χειροηθείας μᾶλλον προσδεχόμενα. [v] Ὥστε
3 τοιαῦτα ὄντα εἴη που ἂν ἀθυμότερα τῶν ἀρρένων. Καταφανὲς δὲ τοῦτο ἐξ ἡμῶν πού ἐστιν, ὅτι [d] ἐπὰν ὑπὸ θυμοῦ

[s] θερμόντων La. [t] ἀπὸ om. La. [v] τάτων ἕνια La. [w] τάχιστον καὶ ἄριστον La. [x] κατὰ] καὶ Ia. [y] τι] τι τὸ La. [z] ἂν—κλέπτης om. La. [a] δὲ] γὰρ La. [b] ἐπιχειρῶν μὲν Ia.Ka. [c] οὖν om. La. [d] ἐπὴν La.

κρατηθῶμεν, δυσπαραπιστότεροί τε, καὶ μάλιστα [e]ἐρρώμεθα πρὸς τὸ μηδαμῇ μηδὲν [f]εἶξαι, ἐπὶ τὸ βιάζεσθαι δὲ καὶ πρᾶξαι φερόμεθα, πρὸς ὃ ἂν ὁ θυμὸς ὁρμήσῃ. Δοκεῖ δέ μοι 4
καὶ κακουργότερα γίνεσθαι τὰ θήλεα τῶν ἀρρένων, καὶ προπετέστερά [g]τε καὶ ἀναλκέστερα. Αἱ μὲν οὖν γυναῖκες καὶ [h]τὰ περὶ ἡμᾶς τρεφόμενα καὶ πάνυ που φανερὰ ὄντα· τὰ δὲ περὶ τὴν ὕλην πάντες ὁμολογοῦσιν οἱ νομεῖς τε καὶ θηρευταὶ ὅτι τοιαῦτά ἐστιν οἷα προείρηται. [1]Ἀλλὰ μὴν καὶ τόδε 5
δῆλον, ὅτι ἕκαστον ἐν ἑκάστῳ γένει θῆλυ ἄρρενος μικροκεφαλώτερόν ἐστι καὶ στενοπροσωπότερον καὶ λεπτοτραχηλότερον, καὶ τὰ στήθη ἀσθενέστερα ἔχει, καὶ ἀπλευρότερά ἐστι, τά τε ἰσχία καὶ τοὺς μηροὺς περισαρκότερα τῶν ἀρρένων, γονύκροτα δὲ καὶ τὰς κνήμας λεπτὰς ἔχοντα, τούς τε πόδας κομψοτέρους, τήν τε τοῦ σώματος [i]ὅλην μορφὴν ἡδίω μάλιστ' ἂν ἢ γενναιοτέραν, ἀνευρότερα δὲ καὶ μαλακώτερα, ὑγροτέραις σαρξὶ [k]κεχρημένα. Τὰ δὲ ἄρρενα τού- 6
τοις ἅπασιν ἐναντία, τὴν φύσιν ἀνδρειοτέραν καὶ δικαιοτέραν εἶναι γένει, τὴν δὲ τοῦ θήλεος δειλοτέραν καὶ ἀδικωτέραν. Τούτων οὕτως ἐχόντων, φαίνεται τῶν ζῴων ἁπάντων λέων τελεώτατα μετειληφέναι τῆς τοῦ ἄρρενος ἰδέας. [1]Ἔστι γὰρ 7
ἔχων στόμα εὐμέγεθες, τὸ δὲ πρόσωπον τετραγωνότερον, οὐκ ἄγαν ὀστῶδες, τὴν ἄνω τε γένυν οὐ προεξεστηκυῖαν ἀλλὰ ἰσορροποῦσαν [l]τῇ κάτω, ῥῖνα δὲ παχυτέραν ἢ λεπτοτέραν, χαροποὺς ὀφθαλμοὺς ἐγκοίλους, οὐ σφόδρα περιφερεῖς οὔτε ἄγαν προμήκεις, μέγεθος δὲ μέτριον, ὀφρὺν εὐμεγέθη, μέτωπον τετράγωνον, ἐκ μέσου [m]ὑποκοιλότερον, πρὸς δὲ τὰς ὀφρῦς καὶ [n]τὴν ῥῖνα ὑπὸ [o]τοῦ μετώπου οἷον νέφος ἐπανεστηκός. [1]Ἄνωθεν δὲ τοῦ μετώπου κατὰ τὴν ῥῖνα ἔχει τρί- 8
χας ἐκκλινεῖς οἷον ἂν ἄσιλον, κεφαλὴν μετρίαν, τράχηλον εὐμήκη, [p]πάχει σύμμετρον, θριξὶ ξανθαῖς κεχρημένον, οὐ φριξαῖς οὔτε ἄγαν ἀπεστραμμέναις· τὰ περὶ τὰς κλεῖδας

[e] ὁρώμενα Ia. [f] εἶναι Ia. [g] τε om. Ia. [h] τὰ om. Ia.Ka. [i] ὅλα Ia.Ka. [k] κεχρημένα La. [l] τὴν La. [m] ὑποκοιλότερος Ia. [n] τῇ ἀ ῥίνα Ia, τηὰ ῥῖνα Ka.Na.Oa. [o] τοῦ om. Ia. [p] πάχυ Ia.Ka.

εὐλυτώτερα μᾶλλον ἢ συμπεφραγμένα· ὦμους ῥωμαλέους, καὶ στῆθος νεανικόν, καὶ τὸ μετάφρενον πλατὺ καὶ εὔπλευρον καὶ εὔνωτον ἐπιεικῶς· ζῷον ἀσαρκότερον τὰ ἰσχία καὶ τοὺς μηρούς· σκέλη ἐρρωμένα καὶ νευρώδη, βάσιν [q] τε νεανικήν, καὶ ὅλον τὸ σῶμα [r] ἀρθρῶδες καὶ νευρῶδες, οὔτε λίαν σκλη-
9 ρὸν οὔτε λίαν ὑγρόν. Βαδίζον δὲ βραδέως, καὶ μεγάλα διαβαῖνον, καὶ [s] διασαλεῦον ἐν τοῖς ὤμοις, ὅταν πορεύηται. Τὰ μὲν οὖν περὶ τὸ σῶμα τοιοῦτον· τὰ δὲ περὶ τὴν ψυχὴν δοτικὸν καὶ ἐλεύθερον, μεγαλόψυχον καὶ [t] φιλόνικον, καὶ πρᾷον καὶ δίκαιον καὶ φιλόστοργον πρὸς [v] ἃ ἂν ὁμιλήσῃ.
10 [x] Ἡ δὲ πάρδαλις τῶν ἀνδρείων εἶναι δοκούντων θηλυμορφότερόν ἐστιν, ὅτι μὴ κατὰ τὰ σκέλη· τούτοις δὲ συνεργεῖ καί
11 τι ἔργον ῥώμης ἀπεργάζεται. [y] Ἔστι γὰρ ἔχον πρόσωπον μικρόν, στόμα μέγα, ὀφθαλμοὺς μικρούς, ἐκλεύκους, [w] ἐγκοίλους, αὐτοὺς δὲ περιπολαιοτέρους· μέτωπον προμηκέστερον, πρὸς τὰ ὦτα περιφερέστερον ἢ ἐπιπεδώτερον· τράχηλον μακρὸν ἄγαν καὶ λεπτόν, στῆθος ἄπλευρον, καὶ μακρὸν νῶτον, ἰσχία σαρκώδη καὶ μηρούς, τὰ δὲ περὶ τὰς λαγόνας καὶ γαστέρα ὁμαλὰ μᾶλλον· τὸ δὲ χρῶμα ποικίλον, καὶ ὅλον
12 ἄναρθρόν τε καὶ ἀσύμμετρον. [x] Ἡ μὲν οὖν τοῦ σώματος ἰδέα τοιαύτη, τὰ δὲ περὶ τὴν ψυχὴν μικρὸν καὶ [x] ἐπίκλοπον καὶ ὅλως εἰπεῖν δολερόν. Τὰ μὲν οὖν ἐκπρεπέστερα μετειληφότα ζῷα τῶν δοκούντων ἀνδρείων εἶναι τῆς τε τοῦ ἄρρενος ἰδέας καὶ τῆς τοῦ θήλεος εἴρηται. Τὰ δ' ἄλλα οἷα τυγχάνει, ῥᾴδιον ἤδη μετιέναι. [v] Ὅσα δὲ πρὸς τὸ φυσιογνωμονῆσαι συνιδεῖν ἁρμόττει ἀπὸ τῶν ζῴων, ἐν τῇ τῶν σημείων ἐκλογῇ ῥηθήσεται.

6 [y] Ἡ δὲ ἐκλογὴ τῶν σημείων ἡ κατὰ τοὺς ἀνθρώπους ὧδε λαμβάνεται. [v] Ὅσοις οἱ πόδες εὐφυεῖς τε καὶ μεγάλοι διηρθρωμένοι τε καὶ νευρώδεις, ἐρρωμένοι τὰ περὶ [z] τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν γένος. [v] Ὅσοι δὲ τοὺς πόδας

q τε] τὴν I^a. r ἀνθρῶδες L^a. s διασαλεῦσιν K^a, διὰ σαλεῦσιν I^a. t φιλόνεικον $I^a.K^a.L^a$. v ἃ] οὗ L^a. w ἐγκοίους I^a, ἐγκύλους L^a. x ἐπίκολπον $I^a.K^a$. y Ἡ—λαμβάνεται om. I^a. z τὴν om. L^a.

μικροὺς στενοὺς ἀνάρθρους ἔχουσιν, ἡδίους τε ἰδεῖν ἢ ῥωμαλεωτέρους, μαλακοὶ τὰ περὶ τὴν ψυχήν· ἀναφέρεται [a]ἐπὶ τὸ θῆλυ [b]γένος. Οἷς τῶν ποδῶν οἱ δάκτυλοι καμπύλοι, 2
ἀναιδεῖς, καὶ ὅσοις ὄνυχες [c]καμπύλαι· ἀναφέρεται ἐπὶ [d]τοὺς ὄρνεις τοὺς γαμψώνυχας. Οἷς τῶν ποδῶν τὰ δάκτυλα συμπεφραγμένα ἐστί, [e]δειμαλέοι· ἀναφέρεται ἐπὶ τοὺς ὄρτυγας τοὺς στενόποδας τῶν [f]λιμναίων. [v]Ὅσοις τὰ περὶ τὰ σφυρὰ 3
νευρώδη τε καὶ διηρθρωμένα ἐστίν, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν γένος. [g][v]Ὅσοι τὰ σφυρὰ σαρκώδεις καὶ ἄναρθροι, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ γένος. [v]Ὅσοι τὰς κνήμας ἔχουσιν ἠρθρωμένας τε καὶ νευ- 4
ρώδεις καὶ ἐρρωμένας, εὔρωστοι τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. [v]Ὅσοι δὲ τὰς κνήμας λεπτὰς νευρώδεις ἔχουσι, λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας. [h][v]Ὅσοι τὰς κνήμας περιπλέους σφόδρα ἔχουσιν, οἷον [i]ὀλίγου διαρρηγνυμένας, βδελυροὶ καὶ ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. 5
[k]Οἱ [l]γονύκροτοι κίναιδοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἱ τοὺς μηροὺς ὀστώδεις καὶ νευρώδεις ἔχοντες [m]εὔρωστοι· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Οἱ δὲ τοὺς μηροὺς ὀστώδεις καὶ [n]περιπλέους ἔχοντες μαλακοί· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. [v]Ὅσοι δὲ πῦγα ὀξεῖαν ὀστώδη ἔχουσιν, εὔ- 6
ρωστοι, ὅσοι δὲ σαρκώδη πίονα ἔχουσι, μαλακοί. [v]Ὅσοι δὲ ἔχουσιν [o]ὀλίγην σάρκα, οἷον [p]ἀπωμοργμένα, κακοήθεις· 7
ἀναφέρεται [q]ἐπὶ τοὺς πιθήκους. Οἱ ζωνοὶ φιλόθηροι· ἀναφέρεται [q]ἐπὶ τοὺς λέοντας καὶ τοὺς κύνας. [r][v]Ἴδοι δ' ἄν τις καὶ τῶν κυνῶν τοὺς φιλοθηροτάτους ζωνοὺς ὄντας. Οἷς τὰ περὶ τὴν κοιλίαν λαπαρά, [r]εὔρωστοι· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. [v]Ὅσοι δὲ μὴ λαπαροί, μαλακοί· ἀναφέρεται ἐπὶ 8
τὴν ἐπιπρέπειαν. [v]Ὅσοις [s]τὸ νῶτον εὐμέγεθές τε καὶ ἐρ-

a ἐπὶ] δὲ ἐπὶ La. b γένος om. La. c καμπύλοι Ia.La. d τὰς ὄρνεις τὰς La. e δεισαλέοι Ka.La. f διμναίων La. g ὅσοις La. h ὅσοι δὲ τὰς La. i ὀλίγον Ia. k οἱ—ἐπιπρέπειαν om. La. l γονύκρατοι Ka. m ἄρωστοι La. n περιπλοίους La. o ὀλίγην τὴν σάρκα Ia. p ἀπομοργμένα La, ἀποβρυγμένα Ia, ἀπομορουμένα Ka. q ἐπὶ] δὲ ἐπὶ utrobique Le. r εὐπάρωστοι Ka.La. s τὸν Ia.

ρωμένον, εὔρωστοι τὰς ψυχάς· [t]ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. [v]Ὅσοι δὲ [v]τὸ νῶτον στενὸν καὶ ἀσθενὲς ἔχουσι, μαλακοί·
9 ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Οἱ εὔπλευροι εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Οἱ δὲ ἄπλευροι μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. [v]Ὅσοι δὲ ἐκ τῶν πλευρῶν περίογκοί εἰσιν, οἷον πεφυσημένοι, λάλοι καὶ μωρολόγοι· ἀναφέρεται ἐπὶ τοὺς βοῦς ἢ [w]ἐπὶ τοὺς βατράχους.
10 [v]Ὅσοι δὲ τὸ ἀπὸ τοῦ ὀμφαλοῦ πρὸς τὸ ἀκροστήθιον μεῖζον ἔχουσιν ἢ τὸ ἀπὸ τοῦ ἀκροστηθίου πρὸς τὸν τράχηλον, [x]βοροὶ καὶ ἀναίσθητοι, [x]βοροὶ μὲν ὅτι τὸ τεῦχος μέγα ἔχουσιν ᾧ [y]δέχονται τὴν τροφήν, ἀναίσθητοι δὲ ὅτι στενώτερον τὸν τόπον ἔχουσιν αἱ αἰσθήσεις, [z]συνενωμένον τε τῷ τὴν τροφὴν δεχομένῳ, ὥστε τὰς αἰσθήσεις βεβα-
11 ρύνθαι διὰ τὰς τῶν σιτίων πληρώσεις [a]ἢ ἐνδείας. [v]Ὅσοι δὲ τὰ [b]στηθία ἔχουσι μεγάλα καὶ διηρθρωμένα, εὔρωστοι
12 τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. [c][v]Ὅσοι δὲ τὸ μετάφρενον ἔχουσι μέγα καὶ [d]εὔσαρκον καὶ ἀρθρώδες, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. [v]Ὅσοι δ' ἀσθενὲς καὶ ἄσαρκον καὶ ἄναρθρον, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. [v]Ὅσοις δὲ τὸ μετάφρενον κυρτόν ἐστι σφόδρα οἵ τε ὦμοι πρὸς τὸ στῆθος συνηγμένοι, κακοήθεις· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν, ὅτι ἀφανίζεται τὰ
13 ἔμπροσθεν προσήκοντα φαίνεσθαι. [v]Ὅσοι δὲ τὸ μετάφρενον ὕπτιον ἔχουσι, χαῦνοι καὶ ἀνόητοι· ἀναφέρεται ἐπὶ τοὺς ἵππους. [t]Ἐπεὶ δὲ [e]οὔτε κυρτὸν σφόδρα δεῖ εἶναι οὔτε
14 κοῖλον, τὸ μέσον ζητητέον τοῦ εὖ πεφυκότος. [v]Ὅσοις αἱ ἐπωμίδες ἐξηρθρωμέναι καὶ οἱ ὦμοι, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. [v]Ὅσοις δὲ οἱ ὦμοι ἀσθενεῖς, ἄναρθροι, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ.

t ἀναφέρεται ἐπὶ τὸ ἄρρεν om. L^a. v τὸν $I^a.L^a$. w ἐπὶ post ἢ om. L^a. x μοροὶ utrobique I^a. y χέονται $I^a.K^a.L^a$. z συνενομένοι $I^a.K^a$, συνεσωσμένοι L^a. a ἢ] καὶ L^a. b στήθη L^a. c ὅσοι—ἄρρεν om. L^a. d ἄσαρκον ἀρθρώδεις τε καὶ εὔρωστοι $I^a.K^a$. e οὔτε κυρτὸν] οὕτω κυρτὸν L^a.

Ταὐτὰ λέγω ἅπερ περὶ [f] ποδῶν καὶ μηρῶν. Ὅσοις ὦμοι εὔ- 15
λυτοί εἰσιν, ἐλεύθεροι τὰς ψυχάς· ἀναφέρεται δὲ [g] ἀπὸ τοῦ
φαινομένου, ὅτι πρέπει τῇ φαινομένῃ μορφῇ ἐλευθεριότης.
Ὅσοις δὲ οἱ ὦμοι [h] δύσλυτοι συνεσπασμένοι, ἀνελεύθεροι· ἀνα-
φέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἷς τὰ περὶ τὰς κλεῖδας 16
εὔλυτα, αἰσθητικοί· εὐλύτων γὰρ ὄντων τῶν περὶ τὰς κλεῖ-
δας εὐκόλως τὴν κίνησιν τῶν αἰσθήσεων [i] δέχονται. Οἷς δὲ
τὰ περὶ τὰς κλεῖδας [k] συμπεφραγμένα ἐστίν, [l] ἀναίσθητοι·
δυσλύτων γὰρ ὄντων τῶν περὶ τὰς κλεῖδας ἐξαδυνατοῦσι τὴν
κίνησιν παραδέχεσθαι τῶν αἰσθήσεων. Ὅσοι τὸν τράχη-
λον παχὺν ἔχουσιν, [m] εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ 17
τὸ ἄρρεν. Ὅσοι δὲ [n] λεπτόν, ἀσθενεῖς· ἀναφέρεται ἐπὶ τὸ
θῆλυ. Οἷς τράχηλος παχὺς καὶ [o] πλέως, θυμοειδεῖς· ἀνα-
φέρεται ἐπὶ τοὺς θυμοειδεῖς ταύρους. Οἷς δὲ εὐμεγέθης μὴ
ἄγαν παχύς, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας.
Οἷς λεπτὸς μακρός, δειλοί· ἀναφέρεται ἐπὶ τοὺς ἐλάφους.
Οἷς δὲ βραχὺς ἄγαν, ἐπίβουλοι· ἀναφέρεται ἐπὶ τοὺς λύ-
κους. Οἷς τὰ χείλη λεπτὰ καὶ ἐπ' ἄκραις ταῖς συγχειλίαις 18
χαλαρά, ὡς ἐπὶ τοῦ ἄνω χείλους πρὸς τὸ κάτω ἐπιβεβλῆ-
σθαι τὸ πρὸς τὰς συγχειλίας, μεγαλόψυχοι· ἀναφέρεται
ἐπὶ τοὺς λέοντας. Ἴδοι δ' ἄν τις τοῦτο καὶ ἐπὶ τῶν μεγά-
λων καὶ εὐρώστων κυνῶν. Οἷς τὰ χείλη λεπτὰ σκληρά, κατὰ 19
τοὺς κυνόδοντας τὸ ἐπανεστηκός, οἱ οὕτως ἔχοντες εὐγενεῖς·
ἀναφέρεται ἐπὶ τοὺς ὗς. Οἱ δὲ τὰ χείλη [p] ἔχοντες παχέα
καὶ τὸ ἄνω τοῦ κάτω προκρεμώμενον μωροί· ἀναφέρεται ἐπὶ
τοὺς ὄνους τε καὶ πιθήκους. Ὅσοι δὲ τὸ ἄνω χεῖλος καὶ τὰ
οὖλα προεστηκότα ἔχουσι, φιλολοίδοροι· ἀναφέρεται ἐπὶ
τοὺς κύνας. Οἱ δὲ τὴν ῥῖνα ἄκραν παχεῖαν ἔχοντες ῥάθυμοι· 20
ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ δὲ τὴν ῥῖνα ἀκρόθεν παχεῖαν
ἔχοντες ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὗς. Οἱ τὴν ῥῖνα

[f] μηρῶν καὶ ποδῶν La. [g] ἐπὶ La. [h] δύσλυτοι συνεσπασμένοι om. Ia. [i] παραδέχονται La. [k] συμπεριπεφραγμένα Ia.Ka. [l] ἀναίσθητος Ia. [m] ῥωστοι La. [n] λεπτοὶ Ia.Ka.La. [o] πλέος La. [p] παχέα ἔχοντες Ia.Ka.

q ἄκραν r ὀξεῖαν ἔχοντες δυσόργητοι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ δὲ τὴν ῥῖνα περιφερῆ ἔχοντες ἄκραν, ἀμβλεῖαν
21 δέ, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δὲ τὴν ῥῖνα ἄκραν λεπτὴν ἔχοντες ὀρνιθώδεις. Οἱ ἐπίγρυπον ἀπὸ τοῦ μετώπου εὐθὺς ἀγομένην ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς κόρακας. Οἱ δὲ γρυπὴν ἔχοντες καὶ τοῦ μετώπου διηρθρω-
22 μένην μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς ἀετούς. Οἱ δὲ τὴν ῥῖνα ἔγκοιλον ἔχοντες τὰ πρὸ τοῦ μετώπου περιφερῆ, τὴν δὲ περιφέρειαν ἄνω ἀνεστηκυῖαν, λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ἀλεκτρυόνας. Οἱ δὲ σιμὴν ἔχοντες λάγνοι· ἀναφέρεται
s ἐπὶ τοὺς ἐλάφους. Οἷς δὲ οἱ μυκτῆρες ἀναπεπταμένοι, θυμώδεις· ἀναφέρεται ἐπὶ τὸ πάθος τὸ ἐν τῷ θυμῷ t γινόμενον.
23 Οἱ τὸ πρόσωπον σαρκῶδες ἔχοντες ῥάθυμοι· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ τὰ πρόσωπα ἰσχνὰ ἔχοντες ἐπιμελεῖς, οἱ δὲ v σαρκώδη δειλοί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους καὶ τὰς ἐλάφους. Οἱ w μικρὰ τὰ πρόσωπα ἔχοντες μικρόψυχοι· ἀναφέρεται ἐπὶ αἴλουρον καὶ πίθηκον. Οἷς τὰ πρόσωπα
24 μεγάλα, νωθροί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους καὶ βοῦς. [1]Επεὶ x δὲ οὔτε μικρὸν οὔτε μέγα δεῖ εἶναι, ἡ μέση ἕξις εἴη ἂν τούτων ἐπιεικής. Οἷς δὲ τὸ πρόσωπον φαίνεται μικροπρεπές,
25 ἀνελεύθεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἷς τὸ ἀπὸ τῶν ὀφθαλμῶν οἷον y κύστιδες z προκρέμανται, οἰνόφλυγες. [1]Αναφέρεται ἐπὶ τὸ πάθος· ἔστι γὰρ τοῖς σφόδρα ἐμπεπτωκόσι τὰ πρὸ τῶν ὀφθαλμῶν οἷον κύστιδες. [1]Εφεστήκασι, φίλυπνοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς ἐξ ὕπνου ἀνε-
26 στηκόσιν a ἐπικρέμαται τὰ ἐπὶ τοῖς ὀφθαλμοῖς. Οἱ τοὺς ὀφθαλμοὺς μικροὺς ἔχοντες μικρόψυχοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν καὶ ἐπὶ πίθηκον. Οἱ δὲ μεγαλόφθαλμοι νωθροί· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Τὸν ἄρα εὖ φύντα δεῖ μήτε μικροὺς μήτε μεγάλους ἔχειν τοὺς ὀφθαλμούς. Οἱ δὲ κοίλους

q μακρὰν I^a. r ὀξεῖαν om. $I^a.K^a$. s ἐπὶ] δὲ ἐπὶ L^a. t γενόμενον I^a. v σαρκώδεις $I^a.K^a$. w μικρὰ τὰ πρόσωπα] μικρὸν νῶτον $I^a.L^a$, μικρὸν νῶται K^a. x δὲ om. L^a. y κυστίαις L^a. z προκρέμνανται K^a. a ἐπικρέμμαται K^a, ἐπικρέμμανται I^a.

ἔχοντες κακοῦργοι· ἀναφέρεται ἐπὶ πίθηκον. [v]Οσοι ἐξόφθαλμοι, ἀβέλτεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειάν τε καὶ [b]τοὺς ὄνους. [d]Επεὶ [c] δὲ οὔτε ἐξόφθαλμον οὔτε κοιλόφθαλμον δεῖ 27
εἶναι, ἡ μέση ἕξις ἂν κρατοίη. [v]Οσοις ὀφθαλμοὶ μικρὸν ἐγκοιλότεροι, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἷς δ' ἐπὶ πλεῖον, πραεῖς· ἀναφέρεται ἐπὶ [d]τοὺς [e]βοῦς. Οἱ τὸ 28
μέτωπον μικρὸν ἔχοντες ἀμαθεῖς· ἀναφέρεται ἐπὶ [f]τοὺς ὗς. Οἱ δὲ μέγα ἄγαν ἔχοντες νωθροί· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ δὲ περιφερὲς ἔχοντες ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. Οἱ μακρότερον ἐπίπεδον ἔχοντες [g]ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ δὲ τετράγωνον σύμμετρον τῷ 29
μετώπῳ ἔχοντες μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δὲ συννεφὲς ἔχοντες αὐθάδεις· ἀναφέρεται ἐπὶ ταῦρον καὶ λέοντα. Οἱ δ' [h]ἀτενὲς ἔχοντες κόλακες· ἀναφέρεται ἐπὶ τὸ γιγνόμενον πάθος. [d]Ιδοι δ' ἄν τις ἐπὶ τῶν κυνῶν, ὅτι οἱ κύνες ἐπειδὰν [i]θωπεύωσι, γαληνὲς τὸ [k]μέτωπον ἔχουσιν. [d]Επειδὴ οὖν ἥ τε [l]συννεφὴς ἕξις αὐθάδειαν ἐμφαίνει ἥ τε 30
[m]γαληνὴ κολακείαν, ἡ μέση ἂν τούτων [n]ἕξις εὐαρμόστως ἔχοι. Οἱ σκυθρωπὰ μέτωπα ἔχοντες δυσάνιοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ [o]ἀνιώμενοι σκυθρωποί εἰσιν. Οἱ δὲ κατηφεῖς ὀδύρονται· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ὀδυρόμενοι κατηφεῖς. Οἱ τὴν κεφαλὴν μεγάλην ἔχοντες αἰσθη- 31
τικοί· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ δὲ μικρὰν ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. Οἱ τὰς κεφαλὰς [p]φοξοὶ ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς γαμψώνυχας. Οἱ τὰ ὦτα μικρὰ ἔχοντες πιθηκώδεις, οἱ δὲ μεγάλα ὀνώδεις· ἴδοι δ' ἄν τις καὶ τῶν κυνῶν τοὺς ἀρίστους μέτρια [q]ἔχοντας ὦτα.

Οἱ ἄγαν μέλανες δειλοί· ἀναφέρεται ἐπὶ τοὺς Αἰγυπτί- 32
ους, Αἰθίοπας. Οἱ δὲ λευκοὶ [r]ἄγαν δειλοί· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. Τὸ δὲ πρὸς ἀνδρείαν συντελοῦν χρῶμα μέσον

[b] τοὺς om. I[a].K[a]. [c] δὴ L[a]. [d] τοὺς om. I[a].K[a].L[a]. [e] βοῦν L[a]. [f] τὰς L[a]. [g] ἀναίσθητοι—ἔχοντες om. L[a]. [h] ἀτανὲς I[a]. [i] ἀνθρωπεύωσι L[a]. [k] πρόσωπον I[a]. [l] συνεφὶς L[a]. [m] γαλήνη I[a].L[a]. [n] εὐαρμόστως ἔχοι ἕξις I[a]. [o] ἀνιώμενοι—ὅτι οἱ om. I[a]. [p] ὀξοὶ I[a].K[a], λοξοὶ L[a]. [q] ὦτα ἔχοντας I[a].K[a]. [r] ἄγαν] εἶαν L[a].

δεῖ τούτων εἶναι. Οἱ ξανθοὶ εὔψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ πυρροὶ ἄγαν πανοῦργοι· ἀναφέρεται ἐπὶ τὰς
33 ἀλώπεκας. Οἱ δὲ ἔνωχροι [s] καὶ τεταραγμένοι τὸ χρῶμα δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος τὸ ἐκ τοῦ φόβου γιγνόμενον. Οἱ δὲ μελίχλωροι ἀπεψυγμένοι εἰσίν· τὰ δὲ ψυχρὰ δυσκίνητα· δυσκινήτων δὲ ὄντων τῶν κατὰ τὸ σῶμα εἶεν ἂν βραδεῖς. Οἷς τὸ χρῶμα ἐρυθρόν, ὀξεῖς, ὅτι πάντα τὰ κατὰ τὸ
34 σῶμα ὑπὸ κινήσεως ἐκθερμαινόμενα ἐρυθραίνεται. Οἷς δὲ τὸ χρῶμα φλογοειδές, μανικοί, ὅτι τὰ κατὰ τὸ σῶμα σφόδρα ἐκθερμανθέντα φλογοειδῆ χροιὰν ἴσχει· οἱ δὲ ἄκρως θερμανθέντες μανικοὶ ἂν εἴησαν. Οἷς δὲ περὶ τὰ στήθη ἐπιφλεγές ἐστι [t] τὸ χρῶμα, δυσόργητοι· ἀναφέρεται ἐπὶ τὸ πάθος·
35 τοῖς γὰρ ὀργιζομένοις ἐπιφλέγεται τὰ περὶ τὰ στήθη. Οἷς τὰ περὶ τὸν τράχηλον καὶ τοὺς κροτάφους αἱ φλέβες κατατεταμέναι εἰσί, δυσόργητοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς ὀργιζομένοις ταῦτα συμβαίνει. Οἷς τὸ πρόσωπον ἐπιφοινίσσον ἐστίν, αἰσχυντηλοί εἰσιν· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς αἰσχυνομένοις ἐπιφοινίσσεται τὸ πρόσωπον.
36 Οἷς αἱ γνάθοι ἐπιφοινίσσουσιν, οἰνόφλυγες· ἀναφέρεται ἐπὶ τὸ [v] πάθος, ὅτι τοῖς μεθύουσιν ἐπιφοινίσσουσιν αἱ γνάθοι. Οἷς δὲ [w] οἱ ὀφθαλμοὶ ἐπιφοινίσσουσιν, [x] ἐκστατικοὶ ὑπὸ ὀργῆς· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι [w] οἱ ὑπ' ὀργῆς ἐξεστη-
37 κότες ἐκφοινίσσονται τοὺς ὀφθαλμούς. Οἷς δὲ [y] οἱ ὀφθαλμοὶ ἄγαν μέλανες, δειλοί· ἡ γὰρ ἄγαν [z] μελαίνη χρόα ἐφάνη δειλίαν σημαίνουσα. Οἱ δὲ μὴ ἄγαν μέλανες ἀλλὰ κλίνοντες πρὸς τὸ ξανθὸν χρῶμα εὔψυχοι. Οἷς δὲ οἱ ὀφθαλμοὶ γλαυκοὶ ἢ λευκοί, δειλοί· ἐφάνη γὰρ τὸ λευκὸν χρῶμα δειλίαν σημαῖνον. Οἱ δὲ μὴ γλαυκοὶ ἀλλὰ χαροποὶ εὔψυχοι· ἀναφέ-
38 ρεται ἐπὶ λέοντα καὶ ἀετόν. Οἷς δὲ [a] οἰνωποί, μάργοι· ἀναφέρεται ἐπὶ τὰς αἶγας. Οἷς δὲ [b] πυρώδεις, ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ [c] ὠχρόμματοι ἐντεταραγμένους

[s] καὶ om. Ia.Ka.La. [t] τὸ ante χρῶμα om. Ia.Ka. [v] στῆθος La. [w] οἱ utrobique om. La. [x] ἐκτατικοὶ La, [y] οἱ om. Ka.La. [z] μελαίνη] μελανὴ Ka.La. [a] ἠνωποὶ La. [b] πυρρώδεις La. [c] ὠχρόμματι Ka, ἐνχρώματι Ia, ἐνχρώμματοι La.

ἔχοντες τοὺς ὀφθαλμοὺς δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ φοβηθέντες ἔνωχροι γίνονται [d] χρώματι οὐχ ὁμαλῷ. Οἱ δὲ τοὺς ὀφθαλμοὺς στιλπνοὺς ἔχοντες λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ἀλεκτρυόνας καὶ κόρακας.

[e] Οἱ δασείας ἔχοντες τὰς κνήμας λάγνοι· ἀναφέρεται ἐπὶ 39
τοὺς τράγους. Οἱ δὲ περὶ τὰ στήθη καὶ [f] τὴν κοιλίαν ἄγαν δασέως ἔχοντες οὐδέποτε πρὸς [g] τοῖς αὐτοῖς διατελοῦσιν· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας, ὅτι ταῦτα τὰ στήθη καὶ τὴν κοιλίαν δασυτάτην ἔχουσιν. Οἱ τὰ στήθη ψιλὰ ἄγαν ἔχοντες ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. [i] Ἐπειδὴ οὖν [h] οὔτε ἄγαν δασέα δεῖ εἶναι οὔτε ψιλά, ἡ μέση ἕξις κρατίστη. Οἱ 40
τοὺς ὤμους δασεῖς ἔχοντες οὐδέποτε πρὸς τοῖς αὐτοῖς [i] διατελοῦσιν· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας. Οἱ τὸν νῶτον δασὺν ἔχοντες ἄγαν ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὰ θηρία. Οἱ δὲ τὸν αὐχένα ὄπισθεν δασὺν ἔχοντες [k] ἐλευθέριοι· [l] ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δὲ ἀκρογένειοι εὔψυχοι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ δὲ συνόφρυες δυσάνιοι· ἀναφέρεται ἐπὶ 41
τὴν τοῦ πάθους ὁμοιότητα. Οἱ δὲ τὰς ὀφρῦς κατεσπασμένοι [m] πρὸς τῆς ῥινός, ἀνεσπασμένοι δὲ πρὸς τὸν [n] κρόταφον εὐήθεις· ἀναφέρεται ἐπὶ τοὺς σῦς. Οἱ [o] φριξὰς τὰς τρίχας ἔχοντες ἐπὶ τῆς κεφαλῆς δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι [p] καὶ οἱ ἔκφοβοι γιγνόμενοι φρίσσουσιν. Οἱ τὰς τρί- 42
χας σφόδρα οὔλας ἔχοντες δειλοί· ἀναφέρεται ἐπὶ τοὺς Αἰθίοπας. [i] Ἐπειδὴ οὖν αἵ τε φριξαὶ καὶ αἱ σφόδρα οὖλαι δειλίαν ἀναφέρουσιν, [q] αἱ ἄκρουλοι ἂν εἶεν πρὸς εὐψυχίαν [r] ἄγουσαι· ἀναφέρεται δὲ καὶ ἐπὶ [s] τὸν λέοντα. Οἱ τοῦ 43
μετώπου τὸ πρὸς τῇ κεφαλῇ ἀναστεῖλον ἔχοντες ἐλευθέριοι· [t] ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ ἐπὶ τῆς κεφαλῆς προσπεφυκυίας ἔχοντες τὰς τρίχας ἐπὶ τοῦ μετώπου κατὰ τὴν

d χρώματα I^a. e οἱ δὲ δασείας I^a. f τὴν om. L^a. g τοῖς] τοῖς μήποτε θέλη ἀνθρώποις $I^a.K^a$. h οὐδὲ $K^a.L^a$. i διαγελοῦσιν L^a. k ἐλεύθεροι $I^a.K^a$. l ἀναφέρονται L^a. m πρὸ L^a. n ἀκρότατον L^a. o θριξὰς L^a. p καὶ om. I^a. q αἱ ἄκρ.] εἰ ἄκρ. L^a. r ἄγασα I^a, ἄγουσιν L^a. s τὸν om. L^a. t ἀναφέρονται $K^a.L^a$.

ῥῖνα [t] ἀνελεύθεροι· [v] ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν, [w] ὅτι δουλοπρεπὲς τὸ φαινόμενον.

44 Μακροβάμων καὶ [x] βραδυβάμων εἴη ἂν νωθρεπιθέτης [y] τελεστικός, ὅτι τὸ μακρὰ βαίνειν ἀνυστικόν, τὸ [z] βραδέως δὲ μελλητικόν. Βραχυβάμων βραδυβάμων νωθρεπιθέτης οὐ τελεστικός, ὅτι τὸ βραχέα βαίνειν [a] καὶ [b] βραδέως οὐκ ἀνυστικόν. Μακροβάμων ταχυβάμων οὐκ ἐπιθετικός, τελεστικός, ὅτι τὸ μὲν τάχος [c] τελεστικόν, ἡ δὲ μακρότης οὐκ ἀνυστικόν.

45 Βραχυβάμων ταχυβάμων ἐπιθετικός, οὐ [d] τελεστικός. Περὶ δὲ χειρὸς καὶ πήχεος καὶ βραχίονος φορᾶς, αἱ αὐταὶ ἀναφέρονται. Οἱ δὲ τοῖς ὤμοις ἐπισαλεύοντες [e] ὀρθοῖς ἐκτετα-

46 μένοις [f] γαλεαγκῶνες· ἀναφέρεται ἐπὶ τοὺς ἵππους. Οἱ τοῖς ὤμοις [h] ἐπενσαλεύοντες [i] ἐγκεκυφότες μεγαλόφρονες· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δὲ [k] τοῖς ποσὶν ἐξεστραμμένοις πορευόμενοι καὶ ταῖς κνήμαις θηλείαις· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. Οἱ δὲ τοῖς σώμασι περικλώμενοι

47 καὶ ἐντριβόμενοι κόλακες· ἀναφέρεται ἐπὶ τὸ πάθος. Οἱ ἐγκλινόμενοι εἰς τὰ δεξιὰ ἐν τῷ πορεύεσθαι [l] κίναιδοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἱ εὐκινήτους τοὺς ὀφθαλμοὺς ἔχοντες ὀξεῖς, [m] ἁρπαστικοί· ἀναφέρεται ἐπὶ τοὺς ἱέρακας. Οἱ σκαρδαμύκται δειλοί, ὅτι ἐν τοῖς ὄμμασι [n] πρῶ-

48 τα [o] τρέπονται. Οἱ κατιλλαντιωρίαν τε, καὶ [p] οἷς τὸ ἕτερον βλέφαρον ἐπιβέβηκε τοῖς ὀφθαλμοῖς, κατὰ μέσον τῆς ὄψεως ἑστηκυίας, καὶ οἱ ὑπὸ βλέφαρα τὰ ἄνω τὰς [q] ὀψίας ἀνάγοντες, μαλακόν τε βλέποντες, καὶ οἱ τὰ βλέφαρα ἐπιβεβληκότες, ὅλως [r] τε πάντες οἱ μαλακόν τε καὶ διακεχυμένον βλέποντες, [s] ἀναφέρονται ἐπὶ τὴν ἐπιπρέπειαν καὶ

[t] ἐλεύθεροι I^a, ἐλευθέριοι $K^a.L^a$. [v] ἀναφέρονται $K^a.L^a$. [w] ὅτι —φαινόμενον om. I^a. [x] βραχυβάμων $I^a.K^a.L^a$. [y] λεστικὸς I^a. [z] βραχυδέως $I^a.K^a$. [a] καὶ] καὶ τὸ I^a. [b] βραχέως L^a. [c] εὐτελεστικὸν $I^a.K^a$. [d] post τελεστικὸς L^a. ἀπὸ χειρῶν φόβου, K^a. ἀπὸ χειρῶν φορᾶς. [e] ὀρθροῖς $I^a.K^a$. [f] γαλαγκῶνες K^a, γαλεαγῆνες I^a. [h] ἐπενασσαλεύοντες L^a. [i] ἐκκεκυφότες $I^a.K^a$. [k] τοῖς om. I^a. [l] κίναιδοι om. L^a. [m] ἁρπακτικοὶ L^a. [n] πρῶτοι $I^a.K^a.L^a$. [o] in vocem τρέπονται desinit L^a. [p] οἷς] εἰς I^a. [q] ὄψιας K^a. [r] τε] τε καὶ $I^a.K^a$. [s] ἀναφέρεται I^a.

τὰς γυναῖκας. Οἱ τοὺς ὀφθαλμοὺς διὰ συχνοῦ χρόνου κι- 49
νοῦντες, ἔχοντές τε βάμμα [t]λευκώματος ἐπὶ τῷ ὀφθαλμῷ, ὡς
προσεστηκότας, ἐννοητικοί· ἂν γὰρ πρός τινι ἐννοίᾳ σφόδρα
γένηται ἡ ψυχή, ἵσταται καὶ ἡ ὄψις.

Οἱ μέγα [v]φωνοῦντες βαρύτονον ὑβρισταί· ἀναφέρεται 50
ἐπὶ τοὺς ὄνους. [v]Ὅσοι δὲ φωνοῦσιν ἀπὸ [w]βαρέος ἀρξά-
μενοι, τελευτῶσι δὲ εἰς ὀξύ, δυσθυμικοί, ὀδύρται· ἀναφέρεται
ἐπὶ τοὺς βοῦς καὶ ἐπὶ τὸ πρέπον [x]τῇ φωνῇ. [v]Ὅσοι δὲ
ταῖς φωναῖς ὀξείαις μαλακαῖς κεκλασμέναις διαλέγονται,
κίναιδοι· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας καὶ ἐπὶ τὴν ἐπιπρέ-
πειαν. [v]Ὅσοι [y]βαρύτονον φωνοῦσι μέγα, μὴ [z]πεπλεγμένον, 51
ἀναφέρεται ἐπὶ τοὺς εὐρώστους κύνας καὶ ἐπὶ τὴν ἐπιπρέ-
πειαν. [v]Ὅσοι μαλακὸν ἄτονον φωνοῦσι, πραεῖς· ἀναφέρεται
ἐπὶ τὰς ὄϊς. [v]Ὅσοι δὲ φωνοῦσιν ὀξὺ καὶ [a]ἐγκεκραγός, μάρ-
γοι· ἀναφέρεται ἐπὶ τὰς αἶγας.

Οἱ μικροὶ ἄγαν ὀξεῖς· τῆς γὰρ τοῦ αἵματος φορᾶς μι- 52
κρὸν τόπον κατεχούσης καὶ αἱ κινήσεις ταχὺ ἄγαν ἀφι-
κνοῦνται ἐπὶ τὸ φρονοῦν. Οἱ δὲ ἄγαν μεγάλοι βραδεῖς· τῆς
γὰρ τοῦ αἵματος φορᾶς μέγαν τόπον κατεχούσης αἱ κινή-
σεις βραδέως ἀφικνοῦνται ἐπὶ τὸ φρονοῦν. [v]Ὅσοι τῶν μι- 53
κρῶν ξηραῖς σαρξὶ κεχρημένοι εἰσὶν ἢ καὶ χρώμασιν, [b]ἃ διὰ
θερμότητα τοῖς σώμασιν ἐπιγίνονται, οὐδὲν ἀποτελοῦσιν·
οὔσης γὰρ τῆς φορᾶς ἐν μικρῷ καὶ ταχείας διὰ τὸ πυρῶδες,
οὐδέποτε κατὰ ταὐτόν ἐστι [c]τὸ φρονεῖν, ἀλλὰ ἄλλοτ' ἐπ'
ἄλλων, πρὶν τὸ ὑπερέχον περᾶναι. [v]Ὅσοι δὲ τῶν μεγάλων 54
ὑγραῖς σαρξὶ κεχρημένοι, ἢ καὶ χρώμασιν [d]ἃ διὰ ψυχρότη-
τα ἐγγίνονται, οὐδὲν ἐπιτελοῦσιν· οὔσης γὰρ τῆς φορᾶς ἐν
μεγάλῳ τόπῳ καὶ βραδείας [e]διὰ τὴν ψυχρότητα, οὐ συνα-
νύει ἀφικνουμένην ἐπὶ τὸ φρονοῦν. [v]Ὅσοι δὲ τῶν μικρῶν 55
ὑγραῖς σαρξὶ κεχρημένοι εἰσὶ καὶ [f]χρώμασι διὰ ψυχρότητα,

[t] λευκόμματος $I^{a}.K^{a}$. [v] φρωνοῦντες I^{a}. [w] βαρέως I^{a}. [x] τῆς φωνῆς I^{a}. [y] βαρύκοινον $I^{a}.K^{a}$. [z] πεπλεγμένην I^{a}. [a] ἐγκεκλαγός $I^{a}.K^{a}$. [b] ἃ] ἡ καὶ $I^{a}.K^{a}$. [c] τὸ φρονεῖν] φρονῦν I^{a}. [d] ἃ om. $I^{a}.K^{a}$. [e] διὰ om. $I^{a}.K^{a}$. [f] χρώματος διὰ ψυχρότητος I^{a}.

γίνονται ἐπιτελεστικοί· οὔσης γὰρ τῆς κινήσεως ἐν μικρῷ, τὸ δυσκίνητον τῆς κράσεως συμμετρίαν παρέσχε τὸ πρῶτον
56 ἐπιτελεῖν. [v]Ὅσοι δὲ τῶν μεγάλων ξηραῖς σαρξὶ κεχρημένοι εἰσὶ καὶ [g]χρώμασι διὰ θερμότητα, γίνονται ἐπιτελεστικοὶ καὶ [h]αἰσθητικοί· τὴν γὰρ τοῦ μεγέθους ὑπερβολὴν σαρκῶν τε καὶ χρώματος ἡ θερμότης ἠκέσατο, ὥστε σύμμετρον
57 εἶναι πρὸς τὸ ἐπιτελεῖν. Τὰ μὲν οὖν μεγέθεσιν ὑπερβάλλοντα τῶν σωμάτων ἢ σμικρότησιν ἐλλείποντα, ὡς τυχόντα ἐπιτελεστικά ἐστι καὶ ὡς ἀτελῆ, εἴρηται. [i]Ἡ δὲ τούτων μέση φύσις πρὸς τὰς αἰσθήσεις κρατίστη καὶ τελεστικωτάτη, οἷς ἂν ἐπιθῆται· αἱ γὰρ κινήσεις [i]οὐ διὰ πολλοῦ οὖσαι ῥᾳδίως ἀφικνοῦνται πρὸς τὸν νοῦν· οὖσαί τε οὐ κα-
58 τὰ μικρὸν ὑπερχωροῦσιν. [v]Ὥστε τὸν τελεώτατον πρὸς τὸ ἐπιτελεῖν τε ἃ ἂν προθῆται καὶ αἰσθάνεσθαι μέλλοντα μέτριον [k]δεῖ εἶναι τὸ μέγεθος. Οἱ ἀσύμμετροι πανοῦργοι· ἀναφέρεται ἐπὶ τὸ πάθος καὶ τὸ θῆλυ. Εἰ γὰρ οἱ ἀσύμμετροι πανοῦργοι, οἱ σύμμετροι δίκαιοι ἂν εἶησαν καὶ ἀν-
59 δρεῖοι. Τὴν δὲ τῆς συμμετρίας ἀναφορὰν πρὸς τὴν τῶν σωμάτων εὐαγωγίαν καὶ εὐφυΐαν ἀνοιστέον, ἀλλ' οὐ πρὸς τὴν τοῦ ἄρρενος ἰδέαν, ὥσπερ ἐν ἀρχῇ διῃρέθη. Καλῶς δ' ἔχει καὶ πάντα τὰ σημεῖα, ὅσα προείρηται, ἀναφέρειν ἐπὶ τὴν ἐπιπρέπειαν καὶ εἰς ἄρρεν καὶ θῆλυ· ταῦτα γὰρ τελεωτάτην διαίρεσιν διῄρηται, καὶ ἐδείχθη ἄρρεν θήλεος δικαι-
60 ότερον καὶ ἀνδρειότερον καὶ ὅλως εἰπεῖν ἄμεινον. [l]Ἐν ἁπάσῃ δὲ τῇ τῶν σημείων ἐκλογῇ ἕτερα ἑτέρων σημεῖα μᾶλλον δηλοῦσιν ἐναργῶς τὸ ὑποκείμενον. [l]Ἐναργέστερα δὲ τὰ ἐν
61 ἐπικαιροτάτοις τόποις [l]ἐγγινόμενα. [l]Ἐπικαιρότατος δὲ τόπος ὁ περὶ τὰ ὄμματά τε καὶ τὸ μέτωπον καὶ κεφαλὴν καὶ πρόσωπον, δεύτερος δὲ ὁ περὶ τὰ στήθη καὶ ὤμους,

[g] χρώματα διὰ θερμότητος Ia. [h] post αἰσθητικοί Q.Ia.Ka.Na.Oa. οὔσης γὰρ τῆς τε φορᾶς ἐν μεγάλοις τόποις (sect. 54.)—συνανύει τι ἀφικνουμένη ἐπὶ τὸ φρονοῦν (sect. 56). ὅσοι δὲ (δὲ ἐπὶ Q.Na.) τῶν μεγάλων —καὶ χρώματα—αἰσθητικοί (sect. 56.) [i] οὐ διὰ] οὐδὲ I.Ka. [k] δεῖ] δὲ Ia. [l] ἐγγενόμενα Ia.Ka.

ἔπειτα περὶ τὰ σκέλη τε καὶ πόδας· τὰ δὲ περὶ τὴν κοιλίαν ἥκιστα. Ὅλως δὲ εἰπεῖν οὗτοι οἱ τόποι ἐναργέστατα σημεῖα [m] παρέχονται, ἐφ' ὧν καὶ φρονήσεως πλείστης [n] ἐπιπρέπεια γίνεται.

[m] παρέχοντες Ia.Ka. [n] ἐπιπρέπειαν Ka.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

[a]ΠΕΡΙ ΦΥΤΩΝ.

ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΕΡΜΗΝΕΩΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΦΥΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

ΤΩΙ τῆς Ἀριστοτελικῆς ἀειθαλεῖ φιλοσοφίας λειμῶνι πολλαὶ μὲν καὶ ἄλλαι δέλτοι κατὰ τὰ εὐγενῆ παραπεφύκασι τῶν φυτῶν, παμφόρους μὲν οἷς θεωροῦμεν, πολύχοας δὲ καὶ οἷς διαπραττόμεθα
2 προϊέμεναι τοὺς καρπούς. Ἦν δὲ πρὸς ταῖς ἄλλαις καὶ ἡ περὶ τῶν φυτῶν ὅσα καὶ φυτὸν εὐφυὲς βραχὺ μέν, ἀλλὰ συχναῖς ταῖς χάρισι βρύον καὶ καλλίστοις ἐκφορίοις τοὺς τῶν λόγων ἐραστὰς δεξιούμενον, οὐ μόνον [b]λέγω τοὺς ἡμετέρους, τοὺς πάνυ, τοὺς περιφανεῖς τὰ ἐς λόγους καὶ τὴν σοφίαν ἀπαραμίλλους καὶ τὴν σύνεσιν Αὔσονας, ἀλλὰ καὶ τοὺς ἐκ μοίρας Ἰταλικῆς, καὶ οὐ τούτους μόνον, ἀλλὰ καὶ ὅσους τοιούτους οἶδεν ἡ τῶν εὐδαιμόνων Ἀράβων τρέφειν καὶ
3 τῶν Ἰνδῶν. Συχνὸν γὰρ ἐνέβαλεν ἵμερον τῶν ἑαυτοῦ συγγραμμάτων τοῖς ὁπουδήποτε φιλοσόφοις ὁ ἐκ Σταγείρων ἄκρος φιλόσοφος. Ἀλλὰ τὸ τοιοῦτον φυτὸν οὐκ οἶδ' ὅπως οὐ μόνον αὔανσιν πέπονθε παρ' ἡμῖν, ἀλλοίωσίν τινα τάχα περὶ τὸ χεῖρον, οἷα φιλεῖ ὁ χρόνος ποιεῖν, ἀλλὰ καὶ προθέλυμνον ἐκκοπὴν καὶ εἰς τὸ μὴ ὂν ἀποστροφήν, ὡς οὐδ' ἄν ποτε φυτηκόμον εἶδεν, οὐδ' εἰ προῆλθεν
4 εἰς φῶς. Ὑπέστη τὰ ἴσα καὶ Ἰταλὸς μακρὸν χρόνον σὺν ἡμῖν χηρεύων τοῦ χρήματος. Τοῖς Ἄραψιν ἐγνωρίζετο μόνοις, καὶ
5 μόνοι τῶν τούτου καρπῶν ἀφθόνως ἀπήλαυον. Ἀλλά τις Κελτὸς μὲν τὸ γένος, ἐς τοσοῦτον δὲ τῆς τῶν Ἰταλῶν σοφίας ἐλάσας ὡς τῶν πρωτείων παραχωρεῖν μηδενί, εἶτα βραχὺ τοῦτο, καίπερ ὂν τοσοῦτον, καθ' ἑαυτὸν οἰηθείς, ἂν μὴ καὶ τὴν τῶν Ἀράβων μετὰ [c]τὴν τῶν Λατίνων [d]μεταλάβοι γνῶσιν καὶ τὴν καλλίστην ἕξιν ἀσκήσειεν, ὅλος γίνεται τοῦ ἔργου, καὶ εἰς πέρας τὴν γνώμην ἀγα-

Codices Na.Pa. [a] Tit. *ἀνωνύμου τινὸς εἰς τὰ Ἀριστοτέλους περὶ φυτῶν προοίμιον* Pa. *προθεωρία τοῦ περὶ φυτῶν Ἀριστοτέλους* c. deest præfatio Parisiensi 1848. et Oxoniensi Coll. Corp. Christi.
[b] λέγω] λόγω Na. [c] *τὴν* post *μετὰ* om. Pa. [d] *μεταλάβῃ* Pa.

γεῖν θέλει καὶ τυχεῖν παντοίως τοῦ ἐφετοῦ. Στέλλεται λοιπὸν τὴν 6
ἀλλοδαπήν, χρῆται τοῖς Ἄραψι παιδευταῖς, καὶ τῇ εὐφυΐᾳ συμμε-
τρήσας σπουδὴν τοσοῦτον [e] εὐμοίρησε παιδείας, φασίν, ὡς δύνασθαι
[f] καὶ τὰ τῶν Ἀράβων εἰς Ἰταλοὺς καὶ τὰ τῶν Ἰταλῶν μεταπορ-
θμεύειν εἰς Ἄραβας. Οὗτος οὖν πρός τισιν ἄλλαις καὶ τὴν περὶ
φυτῶν τήνδε βίβλον μεθερμηνεύει, κἀκ τῶν λογικῶν Ἀραβικῶν
λειμώνων ὅσα καὶ φυτὸν εὐγενὲς εἰς τὰς Ἰταλικὰς μετακηπεύει
φυταλιάς. Ἔχαιρε γοῦν Ἰταλὸς ἐπὶ τούτῳ, καὶ τὰ μεγάλα ἐκόμ- 7
παζε· ταῖς Ἀριστοτελικαῖς γὰρ φιλοτιμεῖσθαι βίβλοις ὑπὲρ πάντας
βρενθύεται· καὶ τοσοῦτον ἐνεκαυχᾶτο τῷ χρήματι, Ξέρξης οὐχ
ἧττον ἐκεῖνος εἰς ἣν ὑπεσκιάσθη καὶ ἣν χρυσέαν ἔδειξε πλάτανον.
Ἦλθον εἰς ἐπιθυμίαν (μακρὸς ἐξότου χρόνος) κἀγὼ τοῦ φυτοῦ·
λόγοι γάρ μοι τῶν τοῦ κόσμου πάντων χρῆμα [g] τὸ τιμιώτατον.
Ἐπόθουν ἐμφορηθῆναι τῶν τούτου καρπῶν, τῶν νοημάτων εἰς ἕξιν 8
ἐλθεῖν. Ἐψυχαγώγει μοι τὴν ἐπιθυμίαν ἐλπίς, καὶ τὴν ἐλπίδα
πάλιν εὐχὴ διεδέχετο. Ἀλλὰ μέχρι πολλοῦ τὰ τῆς ἐπιθυμίας
ἀτέλεστα, ἡ ἐλπὶς καὶ μόνον ἐλπίς· τὰ δὲ τῆς εὐχῆς ἐπετείνετο.
Τί δ' ἡ τῶν ἀγαθῶν ἁπάντων παντελὴς αἰτία καὶ ὑπερτελὴς καὶ
προτέλειος; Ἡρεμίαν τῇ ἐπιθυμίᾳ χορηγεῖ, τῇ ἐλπίδι πέρας, καὶ
τὰ τῆς αἰτήσεως τῇ εὐχῇ. Ἰταλὸς γάρ τις ἔκποθεν ἡμῖν αἰφνιδίως 9
ἀναφανείς, ἱκανῶς ἔχων λογικῆς παιδείας καὶ γνώσεως, πρόσεισιν
ὡς ἡμᾶς, ἀσπάζεται χαριέντως, τὰ φιλικὰ προσλαλεῖ, εἶτα τὴν
ποθουμένην βίβλον ἡμῖν ἐγχειρίζεται. Ἠὐφράνθην ἐγὼ ὡς ἐφ'
ἑρμαίῳ τῷ χρήματι. Ἐδεξάμην τὴν βίβλον ἐκθύμως. Ὅλος αὖ- 10
τῆς ἐγενόμην, τὸν ἐγκείμενον νοῦν ἀνελεξάμην ἐπιμελῶς, καὶ οἷον
ὡς ἐν ἐσόπτρῳ τῇδε ἐκ πρώτης αὐτῆς βαλβῖδος τὸν Ἀριστοτέλην
[h] ἔγνων καὶ τοὺς Ἀριστοτελικοὺς κατὰ τῶν πάλαι φιλοσοφούντων
ἀντιλογικοὺς ἐτασμούς. Ἀδικεῖν δ' ᾠήθην, μὰ τοὺς λόγους, τοὺς 11
λόγους αὐτοὺς καὶ τοὺς αὐτῶν ἐραστάς, καὶ γραφῆναι βασκάνου
ψυχῆς ἠὐλαβήθην, ἂν μὴ ταύτην ἱκανῶς ἔχων ὑπὸ τῆς ἄνωθεν
χάριτος πρὸς τὴν Ἑλλάδα μεθερμηνεύσαιμι γλῶτταν καὶ ταῖς λοι-
παῖς Ἀριστοτελικαῖς δέλτοις δείξαιμι συναρίθμιον. Τῷ τοι καὶ 12
σὺν θεῷ τὸ ἔργον διήνυσα, καὶ εἰς κοινὴν προὐθέμην τὴν βίβλον
τοῖς αἱρουμένοις ἀπόλαυσιν, πολλὴν εὑρὼν τὴν δυσχέρειαν καὶ τὴν
τῶν ὀνομάτων σύγχυσιν διὰ τὰς συχνὰς τῶν μεθερμηνεύσεων με-
ταβολὰς ἐκ τῆς ἡμετέρας εἰς τὴν τῶν Ἰταλῶν, εἰς τοὺς Ἄραβας

[e] εὐμοιρῆσαι Na.Pa. [f] καὶ om. Pa. [g] τὸ om. Na. [h] ἀνέ-
γνων Na.

ἐκεῖθεν, καὶ πάλιν ἐξ Ἀράβων εἰς Ἰταλούς, καὶ εἰς ἡμᾶς ἐκ τούτων
13 ἐπ' ἔσχατον. Οὐ γὰρ διπρόσωπος, ὅσον ἐπὶ ταύτῃ τῇ βίβλῳ, ὁ Σταγειρίτης ὤφθη κατὰ τὸν θρυλλούμενον Ἰάνον ἐκεῖνον, ὃν καὶ εἰς χρόνον ἄγει λόγος ἰσχνός, ἀλλὰ πολύμορφος κατὰ τὸν Πρωτέα
14 τὸν Φάριον. Ἐπεὶ δὲ πᾶσα δέλτος ἐκ μιᾶς πρὸς ἑτέραν μεταφερομένη διάλεκτον ἢ κατὰ λέξιν ἢ κατ' ἔννοιαν προχωρεῖ, καὶ ἡ μὲν ὑστέρα τὸ σαφὲς ἔχουσα τοῦ [i] ἀκριβοῦς ἀπολείπεται, ἡ δ' ἑτέρα καὶ προτέρα προσόντος τοῦ ἀκριβοῦς εἰς ἀσάφειαν καταστρέφεται, ἡμεῖς ὡς ἀσφαλεστέρῳ [k] τούτῳ τῷ μέρει καὶ ἀδιαβλήτῳ στοιχοῦντες, καθὼς καὶ ἐν ἑτέραις πεποιήκαμεν δέλτοις, τῆς ἀκριβείας ἐχό-
15 μεθα. Ἵνα δὲ μὴ φαινοίμεθα καὶ χώραν τῇ ἀσαφείᾳ διδόντες, ἣν κακίαν παντελῆ τοῖς λόγοις ἐγνώκαμεν, ἐπανερμηνείαις τισὶ καὶ σχολικαῖς παρασημειώσεσιν, εἴ τι που ἐκ τῆς ἀσαφείας ἄχαρι καὶ ἀτερπές, ἐψυχαγωγήσαμεν, κἀκ τῆς σκληρᾶς καὶ τραχείας τοὺς λογικοὺς ὁδίτας εἰς τὴν λείαν τε καὶ πλατεῖαν ἐχειραγωγήσαμεν, καὶ [l] τῷ ὑπὲρ ἡμᾶς τὴν εὐχαριστίαν καὶ τήν, ὡς εἰκός, ἀνθομολό-
16 γησιν ἀπενείμαμεν. Τοῦτο γὰρ ἀφ' ἡμῶν ἀπαιτεῖ τῶν ὑπὸ χεῖρα ὁ μόνος σοφὸς καὶ δυνατὸς θεὸς κατὰ τὸν θεῖον ἀπόστολον. Τίνος γὰρ ἄλλου δεῖται παρ' ἡμῶν, ὃς διά τινος τῶν προφητῶν περὶ ἑαυτοῦ λέγει "τὸν οὐρανὸν [m] πληρῶ καὶ τὴν γῆν," καὶ οὗ ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς, κατὰ τὸν Δαβίδ, καὶ μεθ' οὗ πᾶς ἀγρὸς παντοίοις ὡραϊσμένος φυτοῖς;

Ἡ ΖΩΗ ἐν τοῖς ζῴοις καὶ ἐν τοῖς φυτοῖς εὑρέθη. Ἀλλ' ἐν μὲν τοῖς ζῴοις φανερὰ καὶ πρόδηλος, ἐν τοῖς φυτοῖς δὲ κεκρυμμένη καὶ οὐκ ἐμφανής. Εἰς τὴν ταύτης γοῦν βεβαίωσιν πολλὴν ἀνάγκη ἐστὶ [a] ζήτησιν προηγήσασθαι. Συνίσταται
2 γὰρ πότερον ἔχουσιν ἢ οὐχὶ τὰ φυτὰ ψυχὴν καὶ δύναμιν ἐπιθυμίας ὀδύνης τε καὶ ἡδονῆς καὶ διακρίσεως. Ἀναξαγόρας μὲν οὖν καὶ Ἐμπεδοκλῆς ἐπιθυμίᾳ ταῦτα κινεῖσθαι λέγουσιν, αἰσθάνεσθαί τε καὶ λυπεῖσθαι καὶ ἥδεσθαι διαβε-

[i] ἀκριβοῦς Pa. [k] καὶ ἀδιαβλήτω τούτω τῶ μέρει Na. [l] τὴν εὐχαριστίαν τῶ ὑπὲρ ἡμᾶς Pa. [m] πληροῦν Pa.

Codices Na.Pa.n, Pa. post caput 1. paucis locis inspectus.

[a] ζήτησιν] γρ. ἀπορίαν Pa.

βαιοῦνται. [1] Ὧν ὁ μὲν [a] Ἀναξαγόρας καὶ ζῷα εἶναι καὶ ἥδεσθαι καὶ λυπεῖσθαι εἶπε, τῇ τε ἀπορροῇ τῶν φύλλων καὶ τῇ αὐξήσει [b] τοῦτο ἐκλαμβάνων, ὁ δὲ [a] Ἐμπεδοκλῆς [c] γένος ἐν τούτοις κεκραμένον εἶναι ἐδόξασεν. [d] Ὡσαύτως καὶ ὁ Πλάτων 3
ἐπιθυμεῖν μόνον αὐτὰ διὰ τὴν σφοδρὰν τῆς θρεπτικῆς δυνάμεως ἀνάγκην ἔφησεν. [e] Ὃ ἐὰν συσταίη, ἥδεσθαι ὄντως αὐτὰ καὶ λυπεῖσθαι αἰσθάνεσθαί τε σύμφωνον ἔσται. [e] Ἂν δὲ συσταίη τοῦτο, τῷ ἐπιθυμεῖν, εἰ καὶ ἀεὶ τῷ ὕπνῳ ἀνακτῶνται καὶ ἐγείρονται ταῖς ἐγρηγόρσεσι, σύμφωνον [f] ἔσται. [d] Ὡσαύτως καὶ ἐὰν ζητήσωμεν εἰ πνοὴν καὶ γένος ἐκ συγκρά- 4
σεως ἔχουσιν ἢ [g] τὸ ἐναντίον, πολλὴν ἂν τὴν περὶ τούτου ἀμφιβολίαν καὶ μακρὰν [h] ποιήσωμεν τὴν ζήτησιν. Τὸ δὲ τὰ τοιαῦτα παραλιμπάνειν καὶ μὴ εὐαναλώτοις περὶ τὰ καθ' ἕκαστον ἐρεύναις ἐνδιατρίβειν πρέπον ἐστίν. Τίνες δὲ ἔχειν 5
ψυχὰς τὰ φυτὰ εἶπον, ὅτι γεννᾶσθαι τρέφεσθαι καὶ αὐξάνεσθαι, νεάζειν καὶ χλοάζειν γήρᾳ τε διαλύεσθαι τεθεωρήκασιν, ἐπείπερ οὐδὲν ἄψυχον ταῦτα μετὰ τῶν φυτῶν ἔχει κοινά. Διότι δὲ ἔχουσι ταῦτα τὰ φυτά, καὶ τὸ ἐπιθυμίᾳ ὡσαύτως κατέχεσθαι ἐπίστευον. [d] Ἀλλὰ πρῶτον τοῖς φανεροῖς, εἶτα [i] καὶ τοῖς κεκρυμμένοις ἀκολουθήσωμεν. Λέγο- 6
μεν τοίνυν ὡς ἐὰν εἴ τι τρέφεται, ἤδη καὶ ἐπιθυμεῖ, καὶ [j] ἡδύνεται μὲν τῷ κόρῳ, [k] λυπεῖται δὲ ὅτε πεινᾷ· καὶ οὐκ ἐμπίπτουσιν αὗται αἱ διαθέσεις εἰ μὴ μετὰ αἰσθήσεως. Τούτου ἄρα θαυμάσιος μέν, οὐ μὴν φαῦλος πλανᾶται σκοπός, ὃς καὶ τὰ φυτὰ αἰσθάνεσθαι καὶ ἐπιθυμεῖν ἐδόξασεν. [d] Ὁ δὲ [a] Ἀναξ- 7
αγόρας καὶ ὁ Δημόκριτος καὶ ὁ [a] Ἐμπεδοκλῆς καὶ νοῦν καὶ γνῶσιν [l] εἶπον ἔχειν τὰ φυτά. [d] Ἡμεῖς δὲ τὰ τοιαῦτα ὡς φαῦλα ἀποτρεπόμενοι τῷ ὑγιεῖ ἐνστῶμεν λόγῳ. Λέγομεν [m] οὖν ὅτι τὰ φυτὰ οὔτε ἐπιθυμίαν οὔτε αἴσθησιν ἔχουσιν. [d] Ἡ γὰρ ἐπιθυμία οὐκ ἔστιν εἰ μὴ ἐξ αἰσθήσεως, καὶ τὸ τοῦ ἡμετέρου [n] δὲ θελήματος τέλος πρὸς τὴν αἴσθησιν ἀποστρέ-

[b] τοῦτο om. Pa. [c] γάνος Na. [d] ἔσται om. Na.n. [e] τοὐναντίον Pa. [f] ποιήσομεν Na. [g] καὶ om. Pa. [h] ἡδύνηται Pa. [i] λυπῆται Pa. [k] ἔχειν τὰ φυτὰ εἶπον Na, ἔχειν εἶπον τὰ φυτά n. [l] γοῦν n. [m] δὲ om. Pa.

8 φεται. Οὐχ εὑρίσκομεν [n] γοῦν ἐν [o] τοῖς τοιούτοις αἴσθησιν οὔτε μέλος αἰσθανόμενον, οὔτε ὁμοιότητα αὐτοῦ, οὔτε εἶδος διωρισμένον, οὔτε τι ἀκόλουθον τούτῳ, οὔτε [p] τοπικὴν κίνησιν, οὔτε ὁδὸν πρός τι αἰσθητόν, οὔτε σημεῖόν τι δι' οὗ ἂν [q] κρίνωμεν ταῦτα αἴσθησιν ἔχειν, [r] καθὼς σημεῖα δι' ὧν ἐπιστάμεθα ταῦτα καὶ τρέφεσθαι καὶ [s] αὐξάνεσθαι εὑρίσκομεν.
9 Οὐδὲ συνίσταται παρ' ἡμῶν τοῦτο εἰ μὴ διότι τὸ θρεπτικὸν καὶ αὐξητικὸν νοοῦμεν μέρη εἶναι τῆς ψυχῆς. [t] Ὁπόταν γοῦν τὸ [t] τοιοῦτον φυτὸν εὑρίσκωμέν τι μέρος ψυχῆς τοιαύτης ἐν ἑαυτῷ ἔχον, ἐξ ἀνάγκης νοοῦμεν καὶ ψυχὴν ἔχειν αὐτό· ὅτε δὲ στερεῖται αἰσθήσεως, τότε αἰσθητικὸν αὐτὸ μὴ εἶναι μὴ ἐγχωρεῖν οὐ δεῖ· ἡ γὰρ αἴσθησις αἰτία ἐστὶν ἐλλάμψεως
10 ζωῆς. Τὸ δὲ θρεπτικὸν αἰτία ἐστὶν αὐξήσεως πράγματός τινος ζῶντος. Αὗται δὲ αἱ διαφοραὶ προβαίνουσιν ἐν τῷ τόπῳ τούτῳ, ὅτι [v] δυσχερὲς ἐν ταὐτῷ μεταξὺ ζωῆς καὶ τῆς στερήσεως αὐτῆς μέσον τι καταλαβεῖν. [w] Εἴποι δέ τις ἂν ὡς ἐπεὶ τὸ φυτὸν ζῶν ἐστίν, ἤδη τοῦτο καὶ ζῷον εἴποιμεν ἄν.
11 Οὐδαμῶς. Καὶ γὰρ [x] δυσνόητόν ἐστι τὴν διοίκησιν τοῦ φυτοῦ ἀποδιδόναι τῇ διοικήσει τῆς ψυχῆς τοῦ ζῴου. Τὸ γὰρ τὰ φυτὰ τοῦ ζῆν ἀποφάσκον οὕτως, τοῦτο ἐστὶν ὅτι οὐκ [y] αἰσθάνονται. Καὶ γάρ εἰσι καί τινα ζῷα γνώσεως ἐστερη-
12 μένα. [z] Ἐπεὶ δὲ ἡ φύσις τὴν τοῦ ζῴου ζωὴν ἐν τῷ θανάτῳ φθείρουσα, πάλιν ἐν τῷ ἰδίῳ γένει ταύτην διὰ γενέσεως συντηρεῖ, πάντῃ ἀσύμφωνόν ἐστιν ἵνα μέσον ἐμψύχου τε καὶ ἀψύχου ἄλλο τι μέσον τιθῶμεν. [z] Ἐπιστάμεθα δὲ ὅτι καὶ τὰ κογχύλιά εἰσι ζῷα, γνώσεως ἐστερημένα, διότι εἰσὶ φυτὰ
13 ἐν ταὐτῷ καὶ ζῷα. Μόνη ἄρα ἡ αἴσθησίς ἐστιν αἰτία δι' ἣν ταῦτα λέγονται ζῷα. Τὰ γὰρ γένη διδόασι τοῖς οἰκείοις εἴδεσιν ὀνόματα καὶ ὁρισμούς, τὰ δὲ εἴδη τοῖς οἰκείοις ἀτόμοις ὀνόματα. Δεῖ [a] τε τὸ γένος ἐκ μιᾶς καὶ κοινῆς αἰτίας

[n] οὖν Na. [o] τοῖς τοιούτοις] τούτοις Na.n. [p] τοπικὴν om. Na.n. [q] διακρίνωμεν Na.n. [r] καθὼς καὶ σ. Pa. [s] αὔξανειν Na.n. [t] τοιοῦτο Pa. [v] δυσχερὲς] δυσνόητον Pa. [w] εἶπη n. [x] δυσχερές Pa. [y] αἰσθάνεται Na. [z] δὲ om. Pa. [a] τε] δὲ n.

εἶναι ἐν τοῖς πολλοῖς, καὶ οὐκ ἐκ πολλῶν. [1] Ὁ λόγος δὲ τῆς 14
αἰτίας, δι' ἣν βεβαιοῦται τὸ γένος, οὐ τῷ τυχόντι ἐστὶ γνώ-
ριμος. Πάλιν εἰσὶ ζῷα ἅπερ στεροῦνται γένους θήλεος,
ἕτερα ἅπερ οὐ γεννῶσιν, ἕτερα ἅπερ κίνησιν οὐκ ἔχουσιν·
καὶ εἰσὶν ἄλλα διαφόρων χρωμάτων, καὶ εἰσί τινα [b] ἃ ποιοῦσι
τόκον ἑαυτοῖς ἀνόμοιον, εἰσί τε ἄλλα ἃ αὐξάνουσιν ἐκ τῆς
γῆς ἢ ἐκ δένδρων. Τίς οὖν ἐστὶν ἡ ἀρχὴ ἡ ἐν τῇ ψυχῇ τοῦ 15
ζῴου; Τί ἄλλο εἰ μὴ τὸ εὐγενὲς ζῷον, ὃ τὸν οὐρανὸν περιο-
δεύει, τὸν ἥλιον, τὰ ἄστρα καὶ τοὺς πλάνητας, τὰ ἀπὸ τῆς
ἐνειρμένης ἐξωτερικὰ ἀμφιβολίας, ἃ δὴ καὶ ἀπαθῆ εἰσίν; ἡ
γὰρ αἴσθησις τῶν αἰσθανομένων πάθος. [1] Ἰστέον δὲ καὶ ὅτι 16
οὐκ ἔχουσι τὰ φυτὰ κίνησιν ἐξ ἑαυτῶν· τῇ γὰρ γῇ εἰσὶ πε-
πηγότα, ἡ δὲ γῆ ἀκίνητός ἐστι. Συλλογισώμεθα τοίνυν
πόθεν ἂν ταύτῃ [c] ζωή, ἵνα ποιήσωμεν καὶ αὐτὰ αἰσθητικά.
Οὐ γὰρ περιέχει ταῦτα ἓν πρᾶγμα κοινόν. Λέγομεν δὲ ὅτι
τῆς ζωῆς τῶν ζῴων κοινή ἐστιν αἰτία ἡ αἴσθησις. Αὕτη δὲ
ποιεῖ διάκρισιν μέσον ζωῆς καὶ θανάτου. [1] Ὁ οὐρανὸς δὲ ἐπεὶ 17
[d] ἔχει διοίκησιν εὐγενεστέραν καὶ ἀξιολογωτέραν τῆς ἡμετέ-
ρας διοικήσεως, ἀπεμακρύνθη τούτων. Δεῖ τοίνυν ἵνα τὸ
ζῷον τὸ τέλειον καὶ τὸ ἠλαττωμένον ἔχῃ τι κοινόν· καὶ
τοῦτο ἐστὶν ὁ σκοπὸς τῆς ζωῆς. Τῇ ταύτης γοῦν στερήσει
δεῖ ἵνα πᾶς τις ἀποχωρῇ τῶν τοιούτων ὀνομάτων, ὅτι οὐκ
ἔστι μέσον. [1] Ἡ δὲ ζωή ἐστι μέσον· τὸ γὰρ ἄψυχον οὐκ 18
ἔχει ψυχὴν οὐδέ τι τῶν μερῶν αὐτῆς. Τὸ δὲ φυτὸν οὐκ ἔστιν
ἐκ τῶν στερουμένων ψυχῆς, ὅτι ἐν αὐτῷ ἐστί τι μέρος ψυ-
χῆς· ἀλλ' οὐκ ἔστι ζῷον, ὅτι οὐδὲ αἴσθησις ἐν αὐτῷ. [1] Ἐξέρ-
χεται [e] δὲ ἐκ ζωῆς εἰς μὴ ζωὴν κατὰ βραχύ, ὡς καὶ τὰ καθ'
ἕκαστον. Δυνάμεθα δὲ καὶ ἄλλως λέγειν, ὅτι [f] ἔστιν ἔμ- 19
ψυχον τὸ φυτόν, καὶ οὐ λέγομεν ὅτι ἄψυχον. Εἰ ἔχει δὲ
ψυχήν, οὐ λέγομεν ὅτι καί τινα ἤδη ἔχει αἴσθησιν. Πρᾶγμα
γὰρ τὸ τρεφόμενον οὐκ ἔστιν ἄνευ ψυχῆς. Πᾶν δὲ ζῷον
ἔχει ψυχήν. Τὸ δὲ φυτόν ἐστιν ἀτελὲς πρᾶγμα. Πάλιν

b ἃ—ἃ] ἅπερ—ἅπερ n. c ζωήν Na.Pa.n. d ἔχειν Na.n. e δὲ καὶ ἐκ Na.n. f ἔστιν om. Pa.

20 τὸ ζῷον ἔχει μέλη διωρισμένα, τὸ φυτὸν ἀδιόριστα. [f]Ἔχει δὲ ὕλην [g] οἰκείαν κινήσεως, ἣν ἔχει ἐν ἑαυτῷ. Πάλιν δυνάμεθα λέγειν τὰ φυτὰ ψυχὴν ἔχειν, ὅτι ψυχή ἐστιν ἡ ποιοῦσα ἐν αὐτοῖς γεννᾶσθαι τὰς κινήσεις. [f]Ἐπιθυμία δὲ καὶ κίνησις ἡ ἐν τόποις οὐκ ἔστιν εἰ μὴ κατὰ αἰσθήσεως. Πάλιν τὸ ἕλκειν τροφήν ἐστιν ἐξ ἀρχῆς φυσικῆς, καὶ τοῦτ' αὐτό ἐστι τὸ
21 κοινὸν ζῴου καὶ φυτοῦ. Οὐκ ἔσται δὲ φροντὶς [h] ἐπὶ τῇ ἑλκύσει τῆς τροφῆς αἰσθήσεως τὸ παράπαν, ὅτι πᾶν τὸ τρεφόμενον χρῄζει ἐν τῇ οἰκείᾳ τροφῇ δύο ποιοτήτων τινῶν, θερμότητός φημι καὶ ψυχρότητος· καὶ διὰ τοῦτο δεῖται τροφῆς ὑγρᾶς ὁμοίως καὶ ξηρᾶς· ἡ δὲ θερμότης καὶ [i] ἡ ψυ-
22 χρότης εὑρίσκεται ἐν βρώμασι ξηροῖς καὶ ὑγροῖς. Οὐδεμία δὲ τῶν τοιούτων φύσεων χωρίζεται τῆς συμμετόχου αὐτῆς. Διὰ τοῦτο γὰρ καὶ πρώτως ἐγένετο ἡ τροφὴ τῷ τρέφοντι συνεχὴς ἕως καὶ εἰς αὐτὴν τὴν ὥραν τῆς φθορᾶς· καὶ ὀφείλουσι χρῆσθαι ταύτῃ τὸ ζῷον καὶ τὸ [k] φυτὸν τοιαύτῃ ὁποίόν ἐστιν ἑκάτερον αὐτῶν.

2 [l]Διερευνήσωμεν οὖν καὶ τοῦτο, ὃ προηγήσατο ἐν τῷ ἡμετέρῳ λόγῳ, περὶ ἐπιθυμίας φυτοῦ καὶ κινήσεως αὐτοῦ καὶ ψυχῆς ἰδίας, καὶ εἴ τι ἀναλύεται ἀπ' αὐτοῦ τοῦ φυτοῦ, ὅσον εἰς πνοήν. [f]Ἀναξαγόρας γὰρ εἶπε ταῦτα ἔχειν καὶ πνοήν. Καὶ πῶς, εἴπερ εὑρίσκομεν πολλὰ [m] ζῷα μὴ ἔχοντα πνοήν,
καὶ πάλιν εὑρίσκομεν ἀκριβῶς ὅτι τὰ φυτὰ οὔτε ὑπνώττουσιν
2 οὔτε γρηγοροῦσιν. Τὸ γὰρ γρηγορεῖν οὐδέν ἐστιν εἰ μὴ ἀπὸ διαθέσεως τῆς αἰσθήσεως, τὸ δὲ ὑπνώττειν οὐδὲν εἰ μὴ ἀσθένεια αὐτῆς· καὶ οὐχ [n] εὑρίσκεταί τι τούτων ἐν πράγματι [o] τρεφομένῳ μὲν πάσαις ὥραις κατὰ διοίκησιν μίαν, ἐν τῇ
3 οἰκείᾳ δὲ φύσει μὴ [o] αἰσθανομένῳ. [p]Τὸ γὰρ ζῷον ὅτε τρέφεται, τί συμβαίνει; τὸ ἀναβαίνειν ἀναθυμίασιν ἀπὸ τῆς τροφῆς πρὸς τὴν κεφαλὴν αὐτοῦ, καὶ ὑπνώττειν ἐντεῦ-

[g] οἰκείαν ἐκ κινήσεως N^{a}.n. [h] ἐν N^{a}. [i] ἡ post καὶ om. N^{a}.n. [k] φυτὸν τῇ τοιαύτῃ N^{a}. [l] διερευνήσομεν N^{a}. [m] ζῷα] τῶν ζώων N^{a}. [n] εὑρίσκονται P^{a}. [o] τρεφομένων et mox αἰσθανομένων N^{a}.n. [p] τῷ γὰρ ζώω N^{a}.

θεν πάντως· καὶ ὅταν καταναλωθῇ ἡ ἀναθυμίασις ἡ ἀναβαίνουσα πρὸς τὴν κεφαλήν, τότε γρηγορεῖ. [a]Ἐν τισι δὲ τῶν ζῴων ἐστὶν αὕτη ἡ ἀναθυμίασις πολλή, καὶ τέως ὀλίγον ὑπνώττουσιν. [b]Ὁ δὲ νυσταγμός ἐστι συνοχὴ τῆς 4
κινήσεως, ἡ δὲ συνοχὴ πάλιν ἠρεμία πράγματος κινουμένου. [c]Ὁ δὲ μάλιστα καὶ κυρίως ἐστὶ ζητητέον ἐν ταύτῃ τῇ ἐπιστήμῃ, τοῦτο ἐστὶν ὅπερ εἶπεν ὁ [d]Ἐμπεδοκλῆς, ἤγουν εἰ εὑρίσκεται ἐν τοῖς φυτοῖς γένος θῆλυ καὶ γένος ἄρρεν, καὶ εἰ ἔστιν εἶδος κεκραμένον ἐκ τούτων τῶν δύο γενῶν. Λέγομεν 5
τοίνυν ὅτι τὸ ἄρρεν, ὅτε γεννᾷ, εἰς ἄλλο γεννᾷ, καὶ εἰσὶν ἄμφω κεχωρισμένα ἀπ' ἀλλήλων. [e]Ἐπεὶ γοῦν εὑρίσκεται ἐν 6
τοῖς φυτοῖς ὅτι ἔχει τὰ φυτὰ γένος ἄρρεν καὶ θῆλυ, καὶ πάντως τὸ μὲν ἄρρεν ἐστὶ τραχύτερον καὶ σκληρότερον καὶ μᾶλλον φρίσσον, τὸ δὲ θῆλυ ἀσθενέστερον καὶ καρποφόρον πλέον, πάλιν ὀφείλομεν ζητεῖν πότερον εὑρίσκονται ταῦτα τὰ δύο γένη κεκραμένα ἅμα ἐν τοῖς φυτοῖς, ὡς εἶπεν [f]Ἐμπεδοκλῆς. [g]Ἀλλ' ἐγὼ οὐχ ὑπολαμβάνω τοῦτο τὸ πρᾶγμα 7
οὕτως ἔχειν. Τὰ γὰρ κεκραμένα ὀφείλουσιν εἶναι πρῶτον ἁπλᾶ ἐν ἑαυτοῖς, καὶ εἶναι καθ' αὑτὸ μὲν τὸ ἄρρεν καθ' αὑτὸ δὲ τὸ θῆλυ, κἀντεῦθεν κιρνᾶσθαι. [h]Ἡ δὲ κρᾶσις οὐκ ἔσται εἰ μὴ διὰ τὴν οἰκείαν γένεσιν. Εὑρέθη [i]γοῦν ἐν τοῖς φυτοῖς 8
πρὸ τῆς κράσεως κρᾶσις, ἣ καὶ ὀφείλει εἶναι αἰτία ποιητικὴ καὶ παθητικὴ ἐν μιᾷ ὥρᾳ· ἀλλ' οὐχ εὑρίσκεται ἀρρενότης καὶ θηλύτης ἡνωμέναι ἔν τινι τῶν φυτῶν. Εἰ δὲ τοῦτο οὕτως ἦν, τάχα ἂν τὸ φυτὸν ἦν τελειότερον τοῦ ζῴου. Καὶ πῶς, 9
εἴπερ τὸ ζῷον οὐ δεῖται ἐν τῇ οἰκείᾳ γενέσει πράγματός τινος ἐξωτερικοῦ, τὸ δὲ φυτὸν τοῦτο δεῖται ἐν τοῖς καιροῖς τοῦ ἔτους; Δεῖται γὰρ ἡλίου καὶ εὐκρασίας καὶ τοῦ [j]ἀέρος πλέον· καὶ [k]τούτων δεῖται μᾶλλον ἐν τῇ ὥρᾳ τῆς ἐκφύσεως αὐτοῦ.
[l]Ἔστι δὲ καί τις ἀρχὴ τῆς μὲν τροφῆς τῶν φυτῶν ἀπὸ τῆς 10
γῆς, καὶ πάλιν ἀρχὴ ἑτέρα [m]τῆς γενέσεως ἀπὸ τοῦ ἡλίου. Εἶπε δὲ καὶ [n]Ἀναξαγόρας ὅτι ἡ ὑγρότης τούτων ἐστὶν ἀπὸ

[i] οὖν Na. [j] ἔαρος Na.Pa. [k] τούτου Na.n. [m] ἀπὸ τῆς γενέσεως Pa.

τῆς γῆς, καὶ διὰ τοῦτο ἔφη πρὸς Λεχίνεον ὅτι ἡ γῆ μήτηρ
11 μέν ἐστι τῶν φυτῶν, ὁ δὲ ἥλιος πατήρ. Ἀλλὰ τὴν κρᾶσιν
τοῦ ἄρρενος τῶν φυτῶν καὶ τοῦ θήλεος ὀφείλομεν διατυπώ-
σασθαι οὐχ οὕτως ἀλλ' ἄλλῳ τινὶ τρόπῳ, οἷον ὅτι τὸ σπέρ-
μα τοῦ φυτοῦ ὁμοιόν ἐστιν ἐγκυμονήσει ζῴου, ἥτις ἐστὶ μί-
12 ξις ἄρρενός τε καὶ θήλεος. Καὶ ὥσπερ ἐστὶν ἐν τοῖς ᾠοῖς ὅτε
γίνεται νεοσσός, ἔστιν ἐντεῦθεν καὶ ἡ τροφὴ αὐτοῦ μέχρι καὶ
αὐτῆς τῆς ὥρας τῆς συμπληρώσεως καὶ τῆς οἰκείας ἐξόδου, καὶ
τότε τὸ θῆλυ ἐκτίθησι τὸν νεοσσὸν ἐν μιᾷ ὥρᾳ· οὕτω καὶ τὸ
13 σπέρμα τοῦ φυτοῦ. Εἶπε [v] δὲ πάλιν [t] Ἐμπεδοκλῆς ὅτι τὰ
φυτά, εἰ καὶ [w] νεοσσοὺς οὐ γεννῶσι, διότι τὸ γεννώμενον οὐ
γεννᾶται εἰ μὴ ἐκ τῆς φύσεως τοῦ σπέρματος, καὶ [x] ὅτι ὅπερ
[y] μένει ἐξ [z] αὐτοῦ ἐν τῇ ἀρχῇ τροφὴ γίνεται τῆς ῥίζης, καὶ τὸ
γεννώμενον κινεῖ αὐτὸ ἑαυτὸ παραυτίκα, ὅμως οὕτως ὀφείλο-
μεν ὑπολαμβάνειν καὶ ἐν τῇ μίξει τῶν ἀρρένων καὶ [a] τῶν
θηλέων φυτῶν, ὡς ἐπὶ τῶν ζῴων, ὅτι καὶ ἡ μίξις τῶν φυτῶν
ἐστὶν ἐν διοικήσει τινί· ἀλλ' ἐν τοῖς ζῴοις, [b] ὅτε μίγνυνται,
τὰ γένη μίγνυνται καὶ αἱ δυνάμεις τῶν γενῶν, αἳ ἦσαν πρό-
τερον κεχωρισμέναι, καὶ προῆλθεν ἐκ τούτων ἀμφοτέρων
14 πρᾶγμά τι ἕν· ὃ δὴ οὐκ ἔστιν ἐν τοῖς φυτοῖς. Οὐ γὰρ [b] ὅτε
μίγνυνται τὰ γένη, καὶ αἱ δυνάμεις αὐτῶν μετὰ ταῦτα γίνον-
ται κεχωρισμέναι. Εἰ γοῦν ἡ φύσις ἔμιξε τὸ ἄρρεν μετὰ
τοῦ θήλεος, καλῶς προέβη, ὅτι οὐχ εὑρίσκομεν ἐνέργειάν τινα
15 ἐν τοῖς φυτοῖς παρὰ τὴν γένεσιν τῶν καρπῶν. Οὐδὲ γάρ
ἐστι ζῷον κεχωρισμένον τοῦ θήλεος εἰ μὴ ἐν ὥραις αἷς οὐ συν-
άπτεται. Τοῦτο δέ ἐστι διὰ [c] τὰς πολλὰς ἐνεργείας αὐτοῦ
16 καὶ διὰ τὰς πολλὰς αὐτοῦ ἐπιστήμας. Εἰσὶ δὲ οἵτινες τὰ
φυτὰ πεπληρωμένα ὑπολαμβάνουσι, καὶ τὴν χάριν τῆς ζωῆς
αὐτῶν εἶναι διὰ τὰς δύο δυνάμεις ἃς ἔχει, ἤγουν διὰ τὴν τρο-
φὴν τὴν ἐπιτηδείαν εἰς τὸ τρέφειν αὐτὰ καὶ διὰ τὴν μακρότη-

[v] δὲ om. Na.Pa. [w] νεοσσὸς Pa. [x] ὅτι om. Pa. [y] μένει] μὲν εἰ Na.Pa. [z] αὐτῶν Na.n. [a] τῶν ante θ. om. n. [b] utrobique ὅταν Na.n. [c] prius τὰς cum τε mutat Pa, om. n.

τα τῆς [d] οἰκείας [e] ὑπάρξεως καὶ τοῦ καιροῦ ὁπόταν βλαστάνῃ καὶ καρποφορῇ ἡ ζωὴ αὐτῶν, καὶ στρέφηται πρὸς αὐτὰ ἡ νεότης αὐτῶν, καὶ οὐ [f] γίνηται ἐν αὐτοῖς τι περιττόν. Οὐ 17
δεῖται δὲ τὸ φυτὸν ὕπνου διὰ πολλὰς αἰτίας, ὅτι [g] κεῖται τὸ φυτὸν ἐν τῇ γῇ, καὶ δεσμεῖται ὑπ' αὐτῆς, καὶ οὐκ ἔχει κίνησιν ἐν ἑαυτῷ, οὐδὲ ὅρον διωρισμένον ἐν τοῖς οἰκείοις μέρεσιν οὔτε αἴσθησιν ἔχει, οὔτε κίνησιν αὐτοπροαίρετον, οὔτε ψυχὴν τελείαν· τοῦτο δὲ ἔχει μᾶλλον [h] μέρος μέρους ψυχῆς. Καὶ τὸ 18
φυτὸν οὐκ ἐδημιουργήθη [i] εἰ μὴ διὰ τὸ ζῷον, τὸ δὲ ζῷον οὐκ ἐδημιουργήθη διὰ τὸ φυτόν. Καὶ πάλιν ἐὰν εἴπῃ τις ὅτι τὸ φυτὸν δεῖται μὲν τροφῆς εὐτελοῦς καὶ μοχθηρᾶς, εἰ καὶ δεῖται δὲ τοιαύτης, ὅμως κατὰ πολὺ σταθηρᾶς καὶ συνεχοῦς καὶ μὴ ῥᾳδίως διαφθειρομένης, κἀντεῦθεν συνίσταται ἵνα τὸ φυτὸν ἔχῃ τι κρεῖττον παρὰ τὸ ζῷον, καὶ διὰ τοῦτο ἀνάγκη καὶ πράγματα ἄψυχα εἶναι εὐγενέστερα τῶν ἐμψύχων. Ἀλ- 19
λὰ ἔργον ἓν τοῦ ζῴου ἐστὶ κρεῖττον παρὰ πᾶν ἔργον τοῦ φυτοῦ. Ἄλλως τε εὑρίσκομεν καὶ ἐν τῷ ζῴῳ πάσας τὰς δυνάμεις τὰς ἐν τῷ φυτῷ, καὶ ἄλλας πολλάς, οὐ μὴν καὶ ἔμπαλιν. Εἶπε πάλιν ὁ Ἐμπεδοκλῆς ὅτι τὰ φυτὰ ἔχουσι γένεσιν ἐν κόσμῳ ἠλαττωμένῳ καὶ οὐ τελείῳ κατὰ τὴν συμπλήρωσιν αὐτοῦ, ταύτης δὲ συμπληρουμένης οὐ γεννᾶται ζῷον. Ἀλλ' οὗτος ὁ λόγος ἀνάρμοστός ἐστι, διότι ὁ κόσμος ὅλο- 20
τελής ἐστι καὶ διηνεκής, καὶ οὐκ ἔπαυσε πώποτε γεννᾶν ζῷα καὶ φυτὰ καὶ πάντα ἀλλοῖα εἴδη. Ἐν ἑκάστῳ δὲ εἴδει τῶν φυτῶν ἔστι θερμότης καὶ ὑγρότης φυσική, ἥτις ὁπόταν ἀναλωθείη, ἀσθενοῦσι τὰ φυτὰ καὶ γηράσκουσι καὶ φθίνουσι καὶ ξηραίνονται. Καὶ τινὲς μὲν λέγουσι τοῦτο φθοράν, ἄλλοι δ' οὐχί.

Τινὰ τῶν φυτῶν ἔχουσί τι ὑγρὸν ὡς ῥητίνην, ὡς κόμι, ὡς 3
σμύρναν, ὡς θυμίαμα καὶ ὡς κόμι Ἀραβικόν. Πάλιν τινὰ δένδρα ἔχουσι δεσμοὺς καὶ φλέβας καὶ κοιλίαν καὶ φιτροὺς

[d] ἰδίας Na. [e] ἐπάρξεως Pa. [f] γίνεται Pa. [g] κεῖται] μένει n.
[h] μέρος om. Na. [i] εἰ μὴ—ἐδημιουργήθη om. Pa.

καὶ φλοιὸν καὶ μυελὸν ἐντός. Καὶ τινὰ ὡς ἐπὶ τὸ πλεῖστόν
2 εἰσι φλοιός. Καὶ τινῶν μὲν ὁ καρπὸς ὑπὸ τὸν φλοιὸν ἤγουν
ἐντὸς τοῦ φλοιοῦ καὶ τοῦ φιτροῦ. Καὶ τινὰ μὲν μέρη τοῦ
δένδρου εἰσὶν ἁπλᾶ, ὡς ὁ χυμὸς ὁ εὑρισκόμενος ἐν αὐτοῖς καὶ
οἱ δεσμοὶ καὶ αἱ φλέβες· τινὰ δέ εἰσι σύνθετα ἐκ τούτων,
ὡς κλάδοι καὶ λύγοι καὶ φύλλα. Ταῦτα δὲ πάντα οὐχ εὑ-
3 ρίσκομεν ἐν πᾶσι τοῖς φυτοῖς. Τινὰ γὰρ τῶν φυτῶν ἔχουσι
καὶ ταῦτα καὶ ἄλλα μέρη, λύγους, φύλλα, κλάδους, ἄνθη καὶ
βλαστοὺς καὶ φλοιὸν τὸν περικυκλοῦντα τὸν καρπόν. Καὶ
καθὼς εἰσι καὶ ἐν τοῖς ζῴοις μέλη ὁμοιομερῆ, οὕτω καὶ ἐν τοῖς
4 φυτοῖς. Καὶ ἕκαστα τῶν μερῶν τοῦ φυτοῦ σύνθετα εἰσὶν
ὅμοια μέλεσι ζῴου· ὁ δὲ φλοιὸς τοῦ φυτοῦ ὅμοιός ἐστι φυ-
σικῶς [k] δέρματι ζῴου, οἱ δὲ δεσμοὶ πάλιν ὅμοιοι νεύροις ζῴου.
5 [b] Ὁμοίως καὶ τὰ λοιπὰ τὰ ἐν αὐτῷ. Καὶ τινὰ μὲν τῶν μερῶν
διαιροῦνταί πως διὰ μερῶν ἀνομοίων, τινὰ [l] δὲ δι' ὁμοίων, οἷον
ὡς ἐπὶ τοῦ πηλοῦ· οὗτος γὰρ ἑνὶ τρόπῳ διαιρεῖται διὰ τῆς
γῆς μόνον, καὶ ἀλλοτρόπως διὰ τῶν στοιχείων. [b] Ὡσαύτως ὁ
πνεύμων καὶ ἡ σὰρξ διαιροῦνται μὲν πρώτως, καὶ εἰσὶ μέρη
τούτων σὰρξ καὶ πνεύμων· ἄλλως δὲ διαιροῦνται καὶ διὰ τῶν
6 στοιχείων. [b] Ὁμοίως καὶ αἱ τῶν φυτῶν ῥίζαι. Πλὴν οὐ
διαιρεῖται καὶ ἡ χεὶρ εἰς ἄλλην χεῖρα, οὐδὲ ἡ ῥίζα εἰς ἄλλην
ῥίζαν, οὐδὲ τὰ φύλλα εἰς ἄλλα φύλλα. [b] Ἐν ταύταις [m] γοῦν
ταῖς ῥίζαις καὶ ἐν αὐτοῖς τοῖς φύλλοις ἐστὶν ἡ σύνθεσις. Πά-
λιν τινὲς μὲν τῶν καρπῶν εἰσὶν ἐκ μερῶν ὀλίγων συγκείμενοι,
7 τινὲς δὲ ἐκ μερῶν πολλῶν, ὡς ἐπὶ τῶν ἐλαιῶν. Αὗται γὰρ
ἔχουσι φλοιὸν σάρκα καί τι ὀστρακῶδες καὶ σπέρμα καὶ καρ-
πόν. [n] Τινὰ δὲ ἔχουσι καὶ περικαλύμματα. Πάντα δὲ τὰ
8 σπέρματά εἰσιν ἐκ δύο φλοιῶν. Καὶ μέρη μὲν τῶν φυτῶν εἰ-
σὶν ἅπερ εἴπομεν, ἡ δ' ἀκρότης τοῦ παρόντος λόγου ἐστὶ
διορίσασθαι ταῦτα τὰ μέρη τῶν φυτῶν, τὰ περικαλύμματα
αὐτῶν καὶ τὰς [o] αὐτῶν διαφοράς· ὅπερ ἐστὶ πάνυ δυσχερές,

[k] στόματι Na n. [l] δὲ δι'] δ' n, δι' Na. [m] γὰρ Na. [n] τινὰ δὲ] τινά τε Na. [o] διαφορὰς αὐτῶν n.

καὶ ἐξαιρέτως τὸ διορίσασθαι τὴν οὐσίαν αὐτῶν καὶ τὸ χρῶμα καὶ τὸν καιρὸν τῆς διαμονῆς αὐτῶν καὶ τὰς συνοχὰς τὰς περιπιπτούσας αὐτοῖς, καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ ἤθη ψυχῆς, οὐδὲ διάθεσιν ἴσην διαθέσει ψυχῆς. [1]Ἐὰν γοῦν 9
κατὰ ἀναλογίαν θῶμεν τὰ μέρη τῆς ψυχῆς μετὰ τῶν μερῶν τοῦ φυτοῦ, μηκυνθήσεται ὁ λόγος, καὶ τυχὸν οὐδὲ δυνηθείημεν διεξελθεῖν ἂν ταῦτα, μεγάλαις διαφοραῖς ἀπαριθμοῦντες τὰ μέρη τῶν φυτῶν. Καὶ γὰρ μέρος ἑκάστου πράγματος ἐκ τοῦ ἰδίου γένους ἐστὶ καὶ ἐκ τῆς ἰδίας οὐσίας. Καὶ ὅταν 10
γεννηθῇ τι εἶδος φυτοῦ, μένει ἐν τῇ οἰκείᾳ διαθέσει, ἂν μή τινι χρονικῇ ἀσθενείᾳ καὶ βαρείᾳ τῆς οἰκείας ἐκπέσῃ τοιᾶσδε διαθέσεως. Τῶν ἀνθέων τοίνυν καὶ τῶν καρπῶν καὶ τῶν φύλλων τῶν ἐν [p]τοῖς φυτοῖς τινὰ μὲν ἐν παντὶ ἔτει εἰσί, τινὰ δὲ οὐχ οὕτως ἔχει οὐδὲ διαμένουσιν, ὡς ὁ φλοιὸς καί τι σῶμα πῖπτον ἀπὸ πράγματος τοῦ ἀπορρίπτοντος τοῦτο διά τινα αἰτίαν. Οὐ μένουσι δὲ ταῦτα ἐν τῷ φυτῷ, ὅτι πολλάκις 11
πίπτουσιν ἐξ αὐτοῦ μέρη τινὰ μὴ διωρισμένα, ὡς τρίχες ἐξ ἀνθρώπων καὶ ὄνυχες. Πλὴν γεννῶνται τρίχες ἢ ἐν αὐτοῖς τοῖς μέρεσιν ὅθεν ἐξέπεσον, ἢ ἐκτὸς ἐν ἄλλοις. Καὶ ἤδη φανερὸν γέγονεν ὅτι τὰ μέρη τοῦ φυτοῦ οὐκ εἰσὶ διωρισμένα, εἴτε [q]καὶ μή, ἀλλὰ μόνον ἀδιόριστα. [t]Ἡμῖν δὲ αἰσχρόν ἐστι 12
λέγειν πράγματά τινα μεθ' ὧν αὐξάνεται τὸ ζῷον καὶ συμπληροῦται μετ' αὐτῶν, μὴ εἶναι μέρη [r]αὐτοῦ, ἀλλ' εἶναι κατὰ τὰ φύλλα καὶ πάντα τὰ τοιαῦτα τὰ ἐν τῷ φυτῷ, κἂν καὶ οὐκ ὦσι διωρισμένα τὰ τοιαῦτα μέρη τοῦ ζῴου, κἂν καὶ κατὰ μικρὸν ἐκπίπτωσιν, ὡς τὰ κέρατα τῆς ἐλάφου καὶ κόμαι τινῶν ζῴων καὶ τρίχες ἄλλων, ἃ δὴ κρύπτουσιν ἑαυτὰ κατὰ τὸν χειμερινὸν καιρὸν ἐν ὀπαῖς καὶ [s]ὑπὸ γῆν πίπτουσι, κἂν καὶ τὸ τοιοῦτον πάθος παρόμοιον ἔχωσι τῇ πτώσει τῶν φυτῶν. [t]Ὀφείλομεν 13
οὖν εἰπεῖν περὶ τῶν πραγμάτων ὧν πρότερον ἱστορήσαμεν, καὶ ἄρξασθαι ἀπαριθμεῖν τὰ ἴδια μέρη τῶν φυτῶν καὶ τὰ κοινὰ καὶ τὰς τούτων διαφοράς. Λέγομεν τοίνυν ὡς ἐπὶ τοῖς

[p] τοῖς om. Na. [q] καὶ om. n. [r] αὐτῶν Na. [s] ὑπὸ τὴν γῆν n. [t] γοῦν n.

μέρεσι τῶν φυτῶν ἐστὶ μεγάλη διαφορὰ [v]ἐν τῷ πλήθει καὶ ἐν τῇ ὀλιγότητι, ἐν τῷ μεγέθει καὶ ἐν τῇ σμικρότητι, ἐν τῇ
14 δυνάμει καὶ ἐν τῇ ἀσθενείᾳ. Τοῦτο δέ ἐστιν ὅτι ὁ χυμὸς ὁ ἐν τοῖς μεγάλοις δένδροις ἐν τισὶ μέν ἐστιν ὡς γάλα, οἷον ἐπὶ τῆς συκῆς, ἐν τισὶν ὅμοιος ὑγρᾷ πίσσῃ, ὡς ὁ χυμὸς ὁ στάζων ἐκ τῆς ἀμπέλου, ἐν τισὶ δὲ ἀρχέγονος, ὡς ἐν τῷ ὀριγάνῳ καὶ
15 [w]ἐν φυτῷ τῷ λεγομένῳ ὀπιγαΐς καὶ ἐν ἄλλοις. Πάλιν ἔστι φυτὸν τὸ ἔχον μέρη ξηρά, ἕτερον ὑγρά, καὶ τὰ τοιαῦτα. Καὶ ἔστι τὸ ἔχον μέρη [x]διακεκριμένα, οὔτε ὅμοια οὔτε ἴσα. Καὶ τινὰ ἔχει μέρη ὅμοια μέν, οὐκ ἴσα δέ· τινὰ ἴσα μέν, οὐχ
16 ὅμοια δέ. Καὶ ὅτι οὐδέ ἐστι τόπος ἐν τούτοις ὡρισμένος. Αἱ διαφοραὶ δὲ τῶν φυτῶν ἐν τοῖς οἰκείοις μέρεσι γινώσκονται καλῶς· ὁμοίως δὲ καὶ τὰ σχήματα αὐτῶν ἐκ τοῦ χρώματος, ἐκ τῆς ἀραιότητος, ἐκ τῆς πυκνότητος, ἐκ τῆς τραχύτητος, καὶ ἐκ πάντων ἄλλων τῶν συμβεβηκότων αὐτοῖς ἐν ἰσότητι, ἐν αὐξήσει φυσικῇ, ἐν διακρίσει, ἐν μεγέθει, ἐν σμικρότητι. Καὶ εἰσὶ μὲν ταῦτα τοιούτου τρόπου, ἔχουσι δὲ καὶ διαφορὰς πολλάς, καθὼς καὶ προείπομεν.

4 Καὶ πάλιν τῶν φυτῶν τινὰ προάγουσι καρπὸν ἐπάνω τῶν ἰδίων φύλλων, τινὰ δὲ ὑποκάτω τῶν φύλλων. Καὶ τινῶν μὲν ὁ καρπὸς ἀπῃώρηται τοῦ ἰδίου φιτροῦ, τινῶν δὲ ἀπὸ τῆς ῥίζης, ὡς τὰ ἐν Αἰγύπτῳ φυτὰ τὰ λεγόμενα μαργαρῖται. Τινῶν δὲ οἱ καρποὶ ἐν μέσῳ αὐτῶν. Καὶ τινῶν οἱ καρποὶ
2 καὶ τὰ φύλλα καὶ οἱ δεσμοὶ ἀδιάκριτοί εἰσι. Καὶ τινῶν τὰ φύλλα πρὸς ἄλληλα ὅμοια, ἄλλων δ' οὔ. Καὶ τινὰ μὲν ἔχουσι κλάδους ἴσους, τινὰ δὲ οὐ τοιούτους. Εἰσὶ δὲ καὶ
[y]τὰ μέρη ἅπερ ὠνομάσαμεν ἐν πᾶσι τοῖς δένδροις, αὔξησιν πάσχοντα καὶ πρόσθεσιν, ὡς ἡ ῥίζα, οἱ λύγοι, οἱ φιτροὶ καὶ οἱ κλάδοι· καὶ ταῦτα παρομοιοῦνται μέλεσιν ἀνθρώπων τοῖς
3 περιέχουσι πάντα τὰ ἄλλα μέλη. Καὶ ἡ μὲν ῥίζα μεσιτεύει ἔν τε τῷ φυτῷ καὶ ἐν τῇ τροφῇ, καὶ καλοῦμεν αὐτὴν οὐ μόνον ῥίζαν ἀλλὰ καὶ αἰτίαν ζωῆς· αὕτη γὰρ ζωὴν τοῖς φυτοῖς

[v] ἐν τῷ πλ. —σμικρότητι om. n. [w] ἐν τῷ φυτῷ n. [x] διακεκρυμμένα n. [y] τὰ om. n.

προσφέρει. Καὶ φιτρὸς μέν ἐστιν ὁ μόνος [z]γινόμενος ἀπὸ
τῆς γῆς, καὶ ἐστὶν ὅμοιος ἡλικίᾳ ἀνθρώπου· παραφυάδες δέ
εἰσι τὰ ἀπὸ τῆς ῥίζης τοῦ δένδρου βλαστάνοντα, κλάδοι δέ,
οἵτινες αὐξάνουσιν ἐπάνω τῶν παραφυάδων. Οὐχ εὑρίσκον- 4
ται δὲ ταῦτα ἐν πᾶσι τοῖς φυτοῖς. Καὶ πάλιν τῶν κλάδους
ἐχόντων τινὰ μέν εἰσι διηνεκῆ, τινὰ δὲ οὐχί, μᾶλλον δὲ ἀπὸ
ἔτους μετὰ ἔτος. Καὶ πάλιν εἰσὶ φυτὰ μὴ ἔχοντα κλάδους
μηδὲ φύλλα, ὡς οἱ μύκητες καὶ τὰ ὅμοια. Οἱ κλάδοι δὲ οἱ 5
γεννώμενοι ἐν τοῖς δένδροις καὶ οἱ φλοιοὶ καὶ οἱ φιτροὶ καὶ
οἱ μυελοὶ οὐ γεννῶνται εἰ μὴ ἀπ' αὐτοῦ τοῦ [a]χυμοῦ τῶν δέν-
δρων. Καί τινες καλοῦσιν αὐτὸν τὸν μυελὸν τὸν ἐν τοῖς
δένδροις μήτραν, ἄλλοι σπλάγχνα, ἕτεροι δὲ καρδίαν. Ταῦτα
δὲ καὶ αἱ φλέβες καὶ ἡ σὰρξ ὅλου τοῦ δένδρου ἐκ τῶν τεσ-
σάρων στοιχείων πεφύκασι. Καὶ πολλάκις εὑρίσκονται μέρη 6
τινὰ ἐπιτήδεια εἰς τὸ γεννᾶν φύλλα καὶ ἄνθη. Καὶ λύγοι
δέ τινες βραχεῖς εἰσίν, [b]εἰς τὸ γεννᾶν ἐπιτήδειοι ἄνθη, ὡς
ἐπὶ τῶν ἰτεῶν. Τινὲς δὲ καὶ ἄνθη καὶ καρποὺς ἐν τοῖς δέν-
δροις, καὶ ταλλ' ὁπόσα γεννῶνται ἐκ σπέρματος, καὶ ὅσα
περικαλύπτουσιν αὐτά. Καὶ πάλιν τῶν φυτῶν [c]τινὰ μέν 7
εἰσι δένδρα, τινὰ δὲ μέσον δένδρων καὶ βοτανῶν· καὶ ταῦτα
ὀνομάζονται θάμνοι. Καὶ τινὰ μέν εἰσι βοτάναι, τινὰ δὲ
λάχανα. Σχεδὸν μὲν οὖν πάντα τὰ φυτὰ τοῖς τοιούτοις
ὑποπίπτουσιν ὀνόμασι. Πάλιν εἰσὶ δένδρα ἅπερ ἔχουσιν ἐκ 8
τῆς οἰκείας ῥίζης φιτρόν, καὶ γεννῶνται ἐν αὐτοῖς κλάδοι
πολλοί, ὡς συκαῖ καὶ ἐλαῖαι· τινὰ δ' οὔ. Πάλιν εἰσὶν ἄλλα
φυτὰ μέσον, ὡς εἴπομεν, δένδρων καὶ βοτανῶν σμικρῶν, τὰ
λεγόμενα θάμνοι, ἔχοντα ἐν ταῖς ῥίζαις αὐτῶν πολλοὺς κλά-
δους, ὡς τὰ καλούμενα ἄγνοι καὶ βάτοι. Λάχανα δέ εἰσι 9
τὰ ἔχοντα πολλοὺς φιτροὺς ἐκ [d]μιᾶς ῥίζης καὶ πολλοὺς
κλάδους, ὡς τὸ πήγανον, αἱ κράμβαι καὶ τὰ τοιαῦτα. Εἰσὶ
δὲ καὶ βοτάναι αἵτινες οὐκ ἔχουσι φιτρὸν ἐκ τῆς οἰκείας ῥίζης,
ἀλλὰ παραυτίκα φέρουσι φύλλα. Καὶ τινὰ μὲν κατὰ πᾶν 10

[z] γενόμενος Na. [a] τῶν δένδρων χυμοῦ Na. [b] ἐπιτήδειοι εἰς τὸ γεννᾶν Na. [c] τὰ μέν n. [d] μιᾶς] τῆς n.

ἔτος γεννῶνται καὶ ξηραίνονται, ὡς σῖτος καὶ τὰ παραπλήσια, τινὰ δ' οὔ. Οὐ δυνάμεθα δὲ ταῦτα πάντα ἐπίστασθαι εἰ μὴ διὰ συλλογισμῶν καὶ παραδειγμάτων καὶ ὑπογραφῶν. Πάλιν εἰσὶ βοτάναι εἰς δύο ἄκρα κλίνουσαι, ὡς τὸ λεγόμενον
11 λάχανον βασιλικόν. Εἰσὶ δὲ ἄλλαι αἱ λεγόμεναι ἐν ταὐτῷ βοτάναι καὶ λάχανα· καί τινες ἄλλαι αἳ ἐν τῷ γεννᾶσθαι μὲν πρώτως φαίνονται ἐν σχήματι στάχυος, μετὰ ταῦτα δὲ γίνονται δένδρα, ὡς οἱ Ἀραβικοὶ βέντελοι καὶ τὸ φυτὸν τὸ
12 λεγόμενον ἡλιοσκόπιον. Μυρσίνη δὲ καὶ μηλέα καὶ ὄχνη καὶ τὰ λοιπὰ ὅμοια δένδρα εἰς τοῦτο τὸ γένος περιέχονται, ὧν πολλοὶ καὶ μάταιοί εἰσι κλάδοι, ἐκ τῶν ῥιζῶν αὐτῶν φυόμενοι. Καὶ διὰ τοῦτο πρέπον προσδιορίζειν ταῦτα, ἵνα ὦσιν εἰς παράδειγμα καὶ συλλογισμόν· οὐ γὰρ ὀφείλομεν διερευ-
13 νᾶν ὁρισμοὺς ἐν πᾶσι. Πάλιν τῶν φυτῶν τὰ μέν εἰσι κατοικίδια, τὰ δὲ κηπαῖα, καὶ ἕτερα ἄγρια. Τοιουτοτρόπως δὲ λέγομεν ὄχνας καὶ ἄλλα τοιαῦτα εἴδη φυτῶν ἄγρια, ὅτι οὐκ εἰσὶν ἐξ ἐπιμελείας γεωργικῆς. Πάλιν τῶν φυτῶν τινὰ μὲν ποιοῦσι καρπόν, τινὰ δ' οὔ, ὡς ἰτέαι καί τινα εἴδη δρυῶν.
14 Καὶ τινὰ μὲν ποιοῦσιν ἔλαιον, τινὰ δ' οὐχί. Καὶ τινὰ μὲν ποιοῦσι φύλλα, τινὰ δ' οὔ. Καὶ τινῶν πίπτουσι τὰ φύλλα, τινῶν δ' οὔ. Καὶ τισὶ μὲν γίνονται κλάδοι, τισὶ δ' οὔ. Περὶ διαφορᾶς γοῦν τῶν φυτῶν ἐν μεγέθει καὶ σμικρότητι, ἐν ὡραιότητι καὶ ἀμορφίᾳ, ἐν χρηστότητι καρπῶν καὶ κακίᾳ πολλὰ
15 ἔστιν εἰπεῖν. Πάλιν τὰ ἄγρια δένδρα μᾶλλον καρποφοροῦσι παρὰ τὰ κηπαῖα, καὶ οἱ καρποὶ τῶν κηπαίων κρείττονές εἰσι τῶν ἀγρίων. Καὶ τινὰ μὲν τῶν φυτῶν γεννῶνται ἐν τόποις ξηροῖς, τινὰ δὲ ἐν θαλάσσῃ· καὶ τινὰ μὲν ἐν ποταμοῖς, ἄλλα δὲ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ· καὶ τινὰ ἐν τόποις μὲν ἄλλοις
16 μεγάλα, ἐν ἑτέροις δὲ μικρά. Καὶ τινὰ μὲν γεννῶνται ἐν ὄχθαις ποταμῶν, τινὰ δὲ ἐν λίμναις. Καὶ τῶν γεννωμένων ἐν τόποις ξηροῖς τινὰ μὲν γεννῶνται ἐν ὄρεσι, τινὰ δὲ ἐν πεδιάσι. Καὶ τινὰ ζῶσιν ἐν τόποις ξηροτάτοις, ὡς τὰ ἐν τῇ γῇ τῶν Αἰθιόπων, καὶ ἐκεῖσε κρειττόνως αὐξάνουσι παρὸ ἀλ-
17 λαχοῦ. Καὶ τινὰ μὲν ζῶσιν ἐν τόποις ὑψηλοῖς, τινὰ δὲ ἐν

χθαμαλοῖς. Καὶ τινὰ μὲν ζῶσιν ἐν τόποις ὑγροῖς, τινὰ δὲ ἐν ξηροῖς, τινὰ [e] δὲ ἐν ἑκατέροις, ὡς ἡ ἰτέα. Τὰ γοῦν φυτὰ κατὰ πολὺ ἐναλλάττονται τῇ διαφορᾷ τῶν τόπων, καὶ ἐντεῦθεν χρὴ κατανοεῖν καὶ τὰς διαφορὰς αὐτῶν.

Πάλιν τῶν φυτῶν τινὰ μὲν τῇ γῇ πεπήγασι καὶ οὐ φι- 5
λοῦσι χωρίζεσθαι ἀπ' αὐτῆς· τινὰ δὲ ἐν τόποις κρείττοσι [f] μετατίθενται. [r] Ὁμοίως τινὲς τῶν καρπῶν κρείττονές εἰσιν ἐν τῷδε τῷ τόπῳ παρὸ ἐν ἑτέρῳ. Καὶ τινῶν μὲν φυτῶν τὰ φύλλα σκληρά εἰσι, τινῶν δὲ λεῖα· καὶ τινῶν μὲν ἐσχισμένα, ὡς τὰ τῶν ἀμπέλων καὶ τῶν συκῶν, τινῶν δ' οὔ· ἑτέρων δὲ κατὰ πολὺ ἐσχισμένα, ὡς τὰ τῆς πεύκης. Τινὰ δὲ φυτά 2
εἰσιν ὅλως φλοιὸς μεσιτεύων. Καὶ τινὰ ἔχουσι δεσμούς, ὡς οἱ κάλαμοι, τινὰ δ' οὔ. Καὶ τινὰ ἔχουσιν ἀκάνθας, ὡς αἱ ῥάμνοι, τινὰ δὲ [g] ἐστέρηνται ἀκανθῶν. Καὶ τινὰ ἔχουσι πολλοὺς κλάδους, ὡς ἡ ἀγρία [h] μορέα, [i] τινὰ δ' οὔ. Καὶ τινὰ 3
μὲν ἔχουσι διαφορὰς ἄλλας ἐξ ὧν προβαίνουσι παραφυάδες καὶ ἐξ ὧν οὐχί· τοῦτο δὲ οὐκ ἄλλοθέν ἐστιν εἰ μὴ ἐκ τῆς διαφορᾶς τῶν ῥιζῶν. Τινὰ δὲ ἔχουσι μίαν ῥίζαν, ὡς ἡ σκίλλα· αὕτη δὲ γεννᾶται ἐκ τοῦ ἐδάφους, καὶ ἀραιῶς πρόεισιν, ὅτι ὑποκάτω πλατύνεται, καὶ ἀκολουθοῦσα μᾶλλον διακρίνεται τῷ ἡλίῳ· ὅταν γὰρ προσβάλλῃ αὐτῇ, αὐξάνει. Οὗτος δὲ 4
ταύτης καὶ τὰς παραφυάδας κάτωθεν ἐκμυζᾷ. Πάλιν τῶν χυλῶν τῶν ἐν τοῖς καρποῖς οἱ μέν εἰσι ποτοί, οἱ δὲ οὐ ποτοί· καὶ ποτοὶ μὲν οἱ τῶν σταφυλῶν καὶ τῶν ῥοιῶν καὶ λοιπῶν ἄλλων πολλῶν, ἄποτοι δὲ ἄλλων φυτῶν. Καὶ τινῶν μέν 5
εἰσι λιπαροί, ὡς οἱ τῆς ἐλαίας, τῆς πεύκης καὶ τῆς καρύας, τινῶν δ' οὔ. Καὶ τινῶν μὲν γλυκεῖς καὶ μελιηδεῖς, ὡς τῶν φοινίκων καὶ τῶν συκῶν· καὶ τινῶν μὲν θερμοὶ καὶ δριμεῖς, ὡς τοῦ ὀριγάνου καὶ τοῦ σινήπιος, τινῶν δὲ πικροί, ὡς τοῦ ἀψινθίου καὶ τῆς κενταυρέας. Πάλιν τῶν καρπῶν οἱ μέν εἰσι σύνθετοι ἐκ σαρκῶν καὶ κόκκων καὶ λεμμάτων, ὡς οἱ σικυοί, τινὲς δὲ ἐκ χυμοῦ καὶ κόκκων, ὡς αἱ ῥοιαί. Καὶ τινὰ μὲν 6

[e] δὲ ante ἐν ἑκ. om. n. [f] μετατίθεται Na. [g] ἐστέρηται n. [h] μορία Na.n. [i] καὶ τινὰ δ' Na.

τοὺς φλοιοὺς ἔχουσιν ἐκτός, τὴν δὲ σάρκα ἐντός, τινὰ δὲ τὸ ὀστοῦν ἐντὸς καὶ τὴν σάρκα ἐκτός. Τινὰ δέ εἰσιν ἐν οἷς παραυτίκα γίνεται τὸ σπέρμα καὶ τὸ περικάλυμμα ᾧ περι-
7 καλύπτονται, ὡς οἱ καρποὶ τῶν φοινίκων καὶ τῶν ἀμυγδα-
λῶν· τινῶν δ' οὐχί. Καὶ τινὲς καρποί εἰσι βρώσιμοι καὶ κατὰ συμβεβηκὸς ἄβρωτοι· καὶ τινὲς καρποὶ ἡμῖν μὲν ἄβρω-τοι, ἄλλοις δὲ βρώσιμοι, ὡς ὁ ὑοσκύαμος καὶ ὁ ἑλλέβορος ἀνθρώποις μὲν δηλητήριον, τροφὴ δὲ τοῖς ὄρτυξι. Πάλιν τινὲς τῶν καρπῶν εἰσὶν ἐν θήκαις, ὡς οἱ κόκκοι τοῦ κυάμου· τινὲς ἐν περικαλύμματι καὶ [k] ἐν λέμματι οἷον ὑφάσματί τινι,
8 ὡς ἐν σίτῳ εὑρίσκεται καὶ τοῖς λοιποῖς. Καὶ τινὲς μὲν ἐν σαρκί εἰσιν, ὡς οἱ τῶν φοινίκων καρποί, τινὲς δὲ οἷον ἐν οἰκί-σκοις, ὡς αἱ βάλανοι, ἄλλοι δ' ἐν οἰκίσκοις πολλοῖς [l] καὶ λέμ-
9 μασι καὶ ὀστράκοις, ὡς τὰ κάρυα. Καὶ τινὲς μὲν ὀξέως πε-παίνονται, ὡς οἱ καρποὶ τῆς [m] μορέας καὶ τῆς κεράσου, τινὲς δὲ βραδέως, ὡς πάντες οἱ καρποὶ οἱ ἄγριοι ἢ οἱ πλείονες αὐ-τῶν. Καὶ τινὰ μὲν φυτὰ ὀξέως προάγουσι φύλλα καὶ καρ-πούς, τινὰ δὲ βραδέως· καὶ τούτων τινὰ τῷ χειμῶνι ἀκολου-
10 θοῦσι, πρὶν ἂν πεπανθῶσι. Καὶ πάλιν τὰ χρώματα τῶν φύλλων καὶ τῶν καρπῶν καὶ τῶν οἷον ἐπ' αὐτοῖς ὑφασμάτων λίαν εἰσὶ διάφορα· τινὰ γὰρ τῶν φυτῶν ἐν τῇ οἰκείᾳ ὁλότητι εἰσὶ χλοάζοντα, καὶ τινὰ μὲν ἐκκλίνουσιν εἰς μελανίαν, τινὰ δὲ εἰς λευκότητα, καὶ τινὰ εἰς ἐρυθρότητα διὰ τὴν θερμότητα τὴν ἐκκαίουσαν τὸν ἀέρα τὸν κεκραμένον μετὰ τοῦ προσγείου.
11 Πάλιν τὰ σχήματα τῶν καρπῶν, εἰ εἰσὶν ἄγρια, καὶ διαφό-ρων εἰσὶ θέσεων· οὐδὲ γὰρ πάντες οἱ καρποί εἰσι γωνιώδεις, οὐδὲ πάντες διὰ γραμμῆς εὐθείας.

6 Πάλιν τῶν ἀρωματοφόρων δένδρων τινῶν μὲν ἡ ῥίζα ἀρω-ματική ἐστιν, τινῶν ὁ φλοιός, τινῶν τὸ ξύλον· ἄλλων τὰ μέρη ὅλα εἰσὶν ἀρωματικά, ὡς τὸ βάλσαμον. Πάλιν τῶν δένδρων τὰ μὲν γεννῶνται ἐκ σπέρματος, τὰ δὲ δι' ἑαυτῶν.
2 Καὶ πάλιν τὰ μὲν ἀπὸ ῥιζῶν ἐκσπῶνται καὶ μεταφυτεύονται,

[k] ἐν post καὶ om. n. [l] καὶ ἐν λ. Na. [m] μορίας Na.n, et c. 6. sect. 4. μορία.

τὰ δὲ ἐκ τοῦ φιτροῦ, τὰ δὲ ἐκ τῶν κλάδων ἢ ἀπὸ τοῦ σπέρματος. Καὶ τινὰ [n]μὲν δι' ἑαυτῶν κατὰ μικρὸν ἐκτείνονται, τινὰ δὲ ἐν τῇ γῇ. Καὶ τινὰ μὲν ἐν τοῖς δένδροις φυτεύονται, ὡς τὰ ἐγκεντριζόμενα. [o]Ἐστι δὲ βελτίων ὁ ἐγκεντρισμὸς ὁμοίων εἰς ὅμοια. [o]Ἐστι δὲ καὶ ἀναλογία ἄλλη τις, 3 δι' ἧς ἀρίστως συμβαίνουσι τὰ ἀνόμοια, ὡς αἱ μηλέαι μετὰ τῶν ὀχνῶν. [t]Ἐν δὲ τοῖς ὁμοίοις, ὡς συκῆ ἐν συκῇ καὶ ἄμπελος ἐν ἀμπέλῳ καὶ ἀμυγδαλῆ [p]ἐν ἀμυγδαλῇ. [q]Ἐστι 4 δὲ καὶ ἄλλος ἐμφυλλισμὸς ἐν ἄλλοις διαφόροις γένεσιν, ὡς ἀρτεμισία εἰς ἀγρίαν ἀρτεμισίαν καὶ καλλιέλαιος εἰς ἀγριέλαιον καὶ ἡ [q]μορέα εἰς πολλὰ δένδρα. Τῶν δένδρων πάλιν τὰ ἄγρια καὶ τὰ κηπαῖα, καὶ πᾶν φυτὸν οὐ προάγει σπέρμα ὅμοιον τῷ σπέρματι ἐξ οὗ ἀνεφύη ἕκαστον. Τινὰ 5 γὰρ κρεῖττον σπέρμα ποιοῦσι, τινὰ χεῖρον. Καὶ ἐκ τινῶν κακῶν σπερμάτων καλὰ δένδρα προβαίνουσιν, ὡς τὰ ἐξ ἀμυγδαλῆς μικρᾶς καὶ ῥοιᾶς ὀξώδους. Τινῶν δένδρων πάλιν σπέρμα ἂν ἀσθενὲς γένηται, ἐκλείπει τὸ γενέσθαι καλὰ αὐτά, ὡς αἱ πεῦκαι καὶ οἱ φοίνικες. Οὐ [r]προέρχονται δὲ ῥᾳδίως 6 ἐκ σπέρματος κακοῦ καλὰ δένδρα, [s]οὐδ' ἐκ σπέρματος ἀγαθοῦ κακὰ δένδρα. Τὸ δὲ ἐκ πονηροῦ γενέσθαι ἀγαθόν, καὶ τὸ ἐναντίον, ἐν τοῖς ζῴοις πολλάκις εὑρίσκεται. Πάλιν δένδρον τὸ ἔχον σκληρὸν λίαν τὸν φλοιὸν στεῖρον ἀποκαθίσταται· ἐὰν δὲ σχισθῇ ἡ ῥίζα αὐτοῦ καὶ τῇ σχισμῇ λίθος ἐμβληθῇ, εὔφορον γίνεται. [t]Ἐν δὲ τοῖς φοίνιξιν ἂν 7 φύλλα ἢ ψῆνες ἢ φλοιὸς τοῦ ἄρρενος φοίνικος τοῖς φύλλοις τοῦ θήλεος συντεθείη, ἵνα πως συναφθῶσι, ταχέως πεπαίνονται οἱ καρποί, κωλύεται δὲ καὶ ἡ πτῶσις αὐτῶν. Διακρίνεται δὲ ὁ ἄρρην ἀπὸ τοῦ θήλεος, ὅτι πρώτως βλαστάνουσι [t]τὰ τούτου φύλλα, ἃ εἰσι παρὰ τὰ τοῦ θήλεος μικρότερα· ἀλλὰ καὶ διὰ τῆς εὐωδίας. [t]Ἀλλαχοῦ δὲ ἔκ τινος 8 τούτων ἢ ἐκ πάντων συμβαίνει. Τυχὸν δὲ καὶ εἰ ἐκ τῆς εὐω-

[n] μὲν] δὲ Na. [o] ἔστι δὲ—ἀνόμοια om. n. [p] ἐν post ἀμυγδαλῇ om. n. [q] μορία Na.n. [r] προέρχεται Na. [s] οὐδὲ—δένδρα om. Na. [t] τὰ om. n.

δίας τοῦ ἄρρενος ἐπαγάγῃ τι ἄνεμος πρὸς τὸν θῆλυν, πεπαίνονται καὶ οὕτως οἱ καρποί, ὥσπερ ὁπόταν τὰ φύλλα τοῦ
9 ἄρρενος τῷ θήλει ἀπαιωρῶνται. Συκαῖ ὡσαύτως ἄγριαι εἰς τὴν γῆν ἐξαπλωθεῖσαι συμβάλλονται τὰ πολλὰ ταῖς κηπαίαις συκαῖς. Τὰ [v] βαλαύστια ταῖς ἐλαίαις συμβάλλουσιν, ὅταν ὁμοῦ φυτεύωνται.

7 Πάλιν τῶν φυτῶν τινὰ μεταλλάττονται, ὡς φασίν, εἰς ἄλλο εἶδος, ὡς ἡ καρύα, [w] ὅταν γηράσῃ. Λέγουσι πάλιν ὡς ἡ καλαμίνθη μεταβάλλεται εἰς ἡδύοσμον· καὶ τὸ τράγιον δὲ τμηθὲν καὶ φυτευθὲν παρὰ τὴν θάλασσαν τυχὸν ἔσται σισύμβριον. Φασὶ πάλιν ὡς ὁ σῖτος καὶ τὸ λίνον μετα-
2 βάλλονται εἰς ἕτερον εἶδος. Βελένιον δὲ τὸ δηλητηριῶδες, τὸ γινόμενον ἐν τῇ [x] Περσίδι, μεταφυτευόμενον ἐν Αἰγύπτῳ ἢ ἐν Παλαιστίνῃ γίνεται βρώσιμον. [t]Ωσαύτως ἀμυγδαλῆ καὶ ῥοιὰ μεταβάλλονται ἀπὸ τῆς ἰδίας κακίας διὰ [y] γεηποσ-
3 νίαν εἰς τὸ χρηστότερον. [t]Αλλ' αἱ ῥοιαὶ μὲν χοιρείας κόπρου ἐμβεβλημένης ταῖς ῥίζαις, καὶ δι' ὕδατος γλυκέος καὶ ψυχροῦ [z] ποτιζόμεναι βελτιοῦνται· ἀμυγδαλαῖ δὲ ἤλων ἐμπηγνυμένων αὐταῖς, καὶ [a] κόμεος διὰ πολλοῦ καιροῦ ἐντεῦθεν [b] ἐκβαλλομένου. Πολλὰ δὲ φυτὰ ἄγρια διὰ ταύτης τῆς ἐπι-
4 τεχνήσεως γίνονται κηπαῖα. Τόπος δὲ καὶ [c] γεηπονία σφόδρα τούτοις συμβάλλονται, καὶ μᾶλλον ὁ τοῦ ἔτους καιρός, οὗ χρῄζουσι μᾶλλον οἱ φυτευταί. Πάλιν τῶν φυτῶν τὰ πλείονα φυτεύονται ἐν ἔαρι, ὀλίγα ἐν χειμῶνι καὶ φθινοπώρῳ, καὶ
5 ὀλίγιστα ἐν θέρει μετὰ τὴν ἐπιτολὴν τοῦ κυνάστρου. [t]Εν ὀλίγοις δὲ τόποις γίνεται ἡ τοιαύτη φυτεία, καὶ οὐδέποτε γίνεται εἰ μὴ ἀραιός, ὡς ἐν τῇ [t]Ρώμῃ κατὰ τήνδε τὴν ὥραν. [t]Εν Αἰγύπτῳ δὲ οὐ γίνεται ἡ φυτεία εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ. Πάλιν τινὰ τῶν φυτῶν ἐκ τῶν οἰκείων ῥιζῶν φύλλα προβάλλονται, τινὰ ἐκ τῶν οἰκείων κόμεων ἢ ἐκ τῶν οἰκείων
6 ξύλων. Καὶ τινὰ μὲν πλησίον τῆς γῆς, τινὰ δὲ πόρρω, τινὰ

[v] βαλαύτια n. [w] ὁπόταν n. [x] περσία Na.n. [y] γεοπονίαν Na. [z] πιεζίμεναι Na. [a] κόμεως Na. [b] ἐμβαλλομένου βελτιοῦνται. πολλὰ n. [c] γηπονία n, πηγονία Na.

ἐν μέσῳ. Καὶ τινὰ μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ καρποφοροῦσι, τινὰ δὲ πλειστάκις, ἀλλ' οὐ πεπαίνονται οἱ καρποὶ αὐτῶν, ἀπομένουσι δὲ ὠμοί. Καὶ τινὰ δένδρα εἰσὶν εὔφορα διὰ πολ- 7
λῶν χρόνων, ὡς αἱ συκαῖ· τινὰ ἐν ἑνὶ καρποφοροῦσιν ἔτει, ἐν δὲ τῷ ἑτέρῳ ἀνακτῶνται ἑαυτά, ὡς [d] αἱ ἐλαῖαι [e] πολλοὺς κλάδους προβαλλόμεναι, οἷς καὶ περικαλύπτονται. Καὶ τινὰ μὲν τῶν φυτῶν εὐφορώτερά εἰσιν ἐν γήρᾳ, τινὰ δὲ ἐκ τοῦ ἐναντίου μᾶλλον καρποφοροῦσιν ἐν νεότητι, ὡς ἀμυγδαλαῖ καὶ ὄχναι καὶ αἴγειροι. [f] Ἡ διαφορὰ δὲ τῶν φυτῶν τῶν ἀγρίων 8
καὶ τῶν κηπαίων διακρίνεται δι' ἀρρένων καὶ θηλέων, ὁπόταν ἕκαστον αὐτῶν γνωρισθείη διὰ τῶν ἰδιωμάτων τῶν εὑρισκομένων ἐν αὐτοῖς, ὅτι τὸ μὲν ἄρρεν ἐστὶ πυκνότερον σκληρότερον καὶ [f] πολυκλονώτερον, ἧττον ὑγρόν, καὶ [g] ταχύτερον εἰς πέπανσιν, καὶ φύλλα ἔχον διάφορα καὶ παραφυάδας. Τὸ δὲ θῆλυ ἐπ' ἔλαττον ἔχει ταῦτα. Δεῖ τοίνυν, ὅταν κα- 9
τανοήσωμεν ταῦτα, πάλιν [h] στοχάσασθαι πῶς ἂν γνοίημεν τὰ δένδρα καθ' αὑτὰ καὶ τὰ γένη καθ' αὑτά. Καὶ περὶ τῶν βοτανῶν ὡσαύτως, πῶς ἂν κατανοήσωμεν ἃ εἶπον οἱ παλαιοί. Πῶς; [i] Ἐὰν ἐπιμελῶς σκοπήσωμεν τὰς βίβλους αὐ- 10
τῶν, ἃς ἔγραψαν, καὶ δυνηθείημεν διερευνῆσαι τούτων τὸν μυελὸν ἐρεύνῃ συνοπτικῇ, καὶ γνωρίσαι βοτάνας τὰς ἐλαιώδεις καὶ βοτάνας τὰς σπέρμα μόνον ἐχούσας, καὶ τὰς βοήθειαν χορηγούσας, καὶ τὰς ἰατρικὰς καὶ τὰς φθοροποιούς. [i] Ὡσαύτως καὶ τὰ δένδρα μετὰ τῶν βοτανῶν. Πρὸς δὲ τὸ 11
μαθεῖν καὶ τὰς αἰτίας αὐτῶν ὀφείλομεν ζητῆσαι τὴν γένεσιν τούτων, πῶς τινὰ μὲν γεννῶνται ἐν τισὶ τόποις, ἐν ἄλλοις δ' οὔ· ἔτι δὲ καὶ τὰς φυτείας αὐτῶν καὶ τὰς ῥίζας, καὶ τὰς διαφορὰς τῶν χυλῶν καὶ τῶν [j] ὀδμῶν καὶ τοῦ [k] γάλακτος καὶ τοῦ κόμεος, καὶ τὴν χρηστότητα καὶ τὴν κακίαν ἑκάστων, καὶ τὰς διαμονάς, πῶς τινῶν μὲν διαμένουσιν οἱ καρποὶ τινῶν δ' οὔ, καὶ δι' ἣν αἰτίαν τινῶν μὲν σήπονται συντόμως τινῶν δὲ

[d] αἱ om. N^a.n. [e] πολλοὺς δὲ κλ. N^a. [f] πολυκλωνότερον N^a. [g] ταχύτερον n. [h] στοχάζεσθαι N^a. [i] ὀσμῶν, γρ. ὄγμων καὶ οἰγμῶν, P^a. [k] γάλακτος, γρ. ὀποῦ, P^a.

βραδέως, ἐρευνῆσαί τε καὶ [l]τὰς ἰδιότητας τῶν φυτῶν, καὶ μᾶλλον τῶν ῥιζῶν· καὶ πῶς τινῶν μὲν καρποὶ μαλθάσσονται, τινῶν δ' οὔ· καὶ πῶς τινὲς ἀφροδίτην προκαλοῦνται, τινὲς δὲ ὕπνον, τινὲς δὲ καὶ διαφθείρουσι, καὶ πολλὰς ἄλλας διαφορὰς· καὶ πῶς τινῶν μὲν οἱ καρποὶ ποιοῦσι [m]γάλα, τινῶν δ' οὔ.

[n]B.

Τὸ δένδρον τρεῖς ἔχει δυνάμεις, πρώτην ἐκ τοῦ γένους τῆς γῆς, δευτέραν ἐκ τοῦ γένους τοῦ ὕδατος, τρίτην ἐκ τοῦ γένους τοῦ πυρός. [1]Ἀπὸ τῆς γῆς γάρ ἐστιν ἡ ἔκφυσις τῆς βοτάνης, ἀπὸ τοῦ ὕδατος ἡ σύμπηξις, ἀπὸ τοῦ πυρὸς ἡ ἕνωσις τῆς συμπήξεως τοῦ φυτοῦ. Βλέπομεν δὲ πολλὰ τούτων καὶ
2 ἐν τοῖς [o]ὀστρακώδεσιν. Εἰσὶ γὰρ ἐν τούτοις τρία, πηλός, ἐξ οὗ γίνεται πλίνθος ὀστρακώδης, δεύτερον ὕδωρ, ὅπερ ἐστὶ τὸ στερεοῦν τὰ ὀστρακώδη, τρίτον τὸ πῦρ τὸ συνάγον τὰ μέρη αὐτοῦ, ἔστ' ἂν δι' αὐτοῦ πληρωθείη ἡ τούτου γένεσις. [1]Ἡ φανέρωσις γοῦν ὅλης τῆς ἑνώσεως τούτων ἀπὸ τοῦ πυρός ἐστιν, ὅτι ἀραιότης ἔνεστι τοῖς ὀστρακώδεσι κατὰ τὰ ἴδια
3 μέρη. Καὶ ὁπόταν μίξῃ ταῦτα τὸ πῦρ, τελειοῦται ἡ ὕλη τοῦ ὑγροῦ, καὶ συγκολλῶνται τὰ μέρη τοῦ πηλοῦ, προέρχεταί τε ξηρότης ἐν τῷ τόπῳ τοῦ ὑγροῦ. Καὶ διὰ τὴν ἐπικράτειαν ἕπεται πέψις ἐν παντὶ ζῴῳ καὶ φυτῷ καὶ μετάλλοις. Πέψις γάρ ἐστιν, ὅπου ὑγρότης καὶ θερμότης ἰδίῳ
4 πέρατι ἀκολουθεῖ. [1]Ἔστι δὲ τοῦτο ἐν τῇ πέψει τοῦ λίθου καὶ τῶν μετάλλων ἐκφανές· ἐν τῷ ζῴῳ δὲ καὶ τῷ φυτῷ οὐχ οὕτως, ὅτι τούτων τὰ μέρη οὐκ εἰσὶ συμπεπηγότα εἰς ἓν ὡς τοῖς λίθοις, καὶ ὅτι ἐκ τούτων καταρροή τις προβαίνει, ἐκ δὲ τῶν λίθων καὶ τῶν μετάλλων οὐκ ἔξεισι καταρροὴ ἥ τις
5 ἱδρώς. Τὰ γὰρ μέρη αὐτῶν οὐκ εἰσὶν ἀραιά, κἀντεῦθεν οὐδέ τινα ἀπ' αὐτῶν ἐξέρχονται, ὡς ἀπὸ τοῦ ζῴου καὶ τοῦ φυτοῦ περιττώματα, οὐδὲ γίνεται ἔξοδός τις ἄλλη ἀπὸ τῆς ἀραιό-

[l] τὰς om. n. [m] φύλλα n.
Codices Na.Qa. [n] Tit. περὶ τῶν ἐν ταῖς βοτάναις τριῶν δυνάμεων βιβλίον β. Na. [o] ὀστρεώδεσιν Na.

τητος. [4]Ἐν ᾧ γὰρ ἀραιότης οὐκ ἔστιν, ἀπ' αὐτοῦ παντελῶς
οὐδέν τι ἐξέρχεται. Διὰ τοῦτο στερεόν ἐστιν, εἰς ὃ αὐξά-
νεσθαί [p]τι οὐ πέφυκε. Καὶ γὰρ τὸ αὐξάνεσθαι πεφυκὸς 6
δεῖται τόπου, ἐν ᾧ ἂν πλατυνθείη καὶ περατωθείη. Λίθοι δὲ
καὶ ὄστρακα καὶ τὰ τοιαῦτα ἀεί εἰσιν ἐν ταὐτῷ, οὔτε αὐξά-
νουσιν οὔτε ἐκτείνονται. Πάλιν τοῖς φυτοῖς δευτέρῳ τρόπῳ
ἔνεστι κίνησις, ἔστι καὶ ἐφέλκυσις, ἥτις ἐστὶ δύναμις ἐκ τῆς
γῆς ἐφελκομένη τὸ ὑγρόν. [4]Ἔστι [q]δὲ τῇ ἐφελκύσει κίνησις 7
ἥτις ἔρχεται εἰς τόπον, καὶ τελειοῦταί πως ἡ πέψις· καὶ διὰ
τοῦτο ὡς ἐπὶ τὸ πλεῖστον αἱ μικραὶ βοτάναι μιᾷ ὥρᾳ μιᾶς
ἡμέρας γεννῶνται. Οὐκ ἔστι δὲ τοῦτο καὶ ἐν τοῖς ζῴοις· ἡ γὰρ
ὕλη ἐν τοῖς ζῴοις ἐστὶ καθ' ἑαυτὴν καὶ διῃρημένη. Οὐκ ἔστι
δὲ οὐδὲ ἡ πέψις εἰ μὴ ἐν χρήσει μάλιστα καὶ αὕτη. [t]Ἡ ὕλη 8
δὲ τοῦ φυτοῦ τούτῳ ἐστὶ πλησίον, καὶ διὰ τοῦτο ὀξυτέρα
ἐστὶν ἡ τούτου γένεσις. Γεννᾶται δὲ καὶ αὐξάνει καὶ ὅπερ
μᾶλλόν ἐστι λεπτὸν ἐν αὐτῷ, [r]παρὰ τὸ πυκνόν. Τὸ γὰρ
πυκνὸν πολυτρόπων δεῖται δυνάμεων διά τε τὴν [s]διαφορὰν
τοῦ οἰκείου σχήματος καὶ διὰ τὸ μῆκος τῶν μερῶν αὐτοῦ
πρὸς ἄλληλα. Κἀντεῦθεν ὀξυτέρα καὶ φυτοῦ γένεσις, διὰ 9
τὴν λεπτότητα ἑτέρου πρὸς ἕτερον, καὶ ταχυτέρα ἡ τελείω-
σις. Τὰ μέρη τῶν φυτῶν ὡς ἐπὶ τὸ πλεῖστόν εἰσιν ἀραιά,
ὅτῑ ἡ θερμότης [t]αὐτῶν τὴν ὑγρότητα πρὸς τὰ ἄκρα τῶν
φυτῶν ἐφέλκεται. Διασπείρεταί τε ἡ ὕλη ἡ θρεπτικὴ εἰς ὅλα
τὰ μέρη αὐτῶν· ὃ δὲ περιττεύει, ἐκχεῖται. [v]Ὥσπερ [v]δὲ ἐν 10
τοῖς βαλανείοις ἡ θερμότης τὴν ὑγρότητα ἐφέλκεται καὶ ταύ-
την εἰς ἀτμίδα μεταστρέφει, αὕτη δὲ κουφιζομένη, ὁπόταν
περιττεύσῃ, μεταβάλλεται εἰς σταγόνας, οὕτως καὶ ἐν τοῖς
ζῴοις καὶ ἐν τοῖς φυτοῖς [w]τὰ περιττώματα ἀναβαίνουσιν
ἀπὸ τῶν κατωτέρων εἰς τὰ ἀνώτερα, [x]καὶ καταβαίνουσιν ἀπὸ
τῶν ἀνωτέρων εἰς τὰ κατώτερα. Τοιουτοτρόπως δὲ καὶ οἱ 11
ποταμοὶ οἱ ὑπὸ τὴν γῆν γεννῶνται ἀπὸ τῶν ὀρέων. [4]Ὑλη
γὰρ αὐτῶν εἰσὶν οἱ ὑετοί· καὶ ὅταν πληθυνθῶσι τὰ ὕδατα

p τι] τε Na. q τε Na. r παρὸ Na. s φορὰν Na. t αὐτοῦ Na.Qa.
v δὲ ἐν] καὶ ἐν P. w τὰ om. Na. x καὶ κ.—κατώτερα om. Na.

καὶ στενοχωρῶνται ἐντός, γίνεται ἐκ τούτων ἀτμὶς περιττή, ἥτις διὰ τὸν ἐντὸς συμπιεσμὸν σχίζει τὴν γῆν· καὶ οὕτω φαίνονται πηγαὶ καὶ ποταμοὶ οἱ πρότερον μὴ φαινόμενοι ἀλλ' ἐγκεκρυμμένοι τυγχάνοντες.

2 [1]Εκτεθείκαμεν δὲ αἰτίας περὶ τῆς γενέσεως τῶν πηγῶν καὶ τῶν ποταμῶν ἐν τῷ ἡμετέρῳ βιβλίῳ [y]τῷ περὶ μετεώρων, ἐν ᾧ εἴπομεν καὶ περὶ σεισμῶν ὅτι πολλάκις δεικνύουσιν οὗτοι πηγὰς καὶ ποταμούς, οἳ πρότερον οὐκ ἐφαίνοντο, οἷον [z]ὅτε σχίζεται ἡ γῆ ἐκ τῆς ἀναθυμιάσεως. Πολλάκις δὲ εὑρίσκομεν ὅτι καὶ πηγαὶ καὶ ποταμοὶ συζεύγνυνται, ὅτε 2 γίνεται σεισμός. Τοῦτο δὲ τῷ φυτῷ οὐ συμβαίνει, ὅτι ἀὴρ ἐν τῇ ἀραιότητι τῶν μερῶν αὐτοῦ ἐστί, καὶ τοῦδε πάλιν σημεῖον, ὅτι [a]σεισμὸς οὐδὲ ἐν τοῖς τόποις τοῖς ψαμμώδεσι πέφυκε γίνεσθαι, ἀλλ' ἐν τόποις πυκνοῖς καὶ σκληροῖς, ὁποῖοί 3 εἰσιν οἱ τῶν ὑδάτων καὶ τῶν ὀρέων. Καὶ γὰρ συμβαίνει σεισμὸς ἐν τοῖς τόποις τούτοις, ὅτι τὸ ὕδωρ ἐστὶ στερρὸν καὶ οἱ λίθοι στερροί· τῇ φύσει δὲ τοῦ ἀέρος τοῦ θερμοῦ καὶ ξηροῦ ἔνεστι τὸ ἀναβαίνειν ἐκ τῆς κουφότητος. [v]Οτε γοῦν συνέλθωσι τὰ μέρη αὐτοῦ καὶ κατακυριεύσωσι, συνωθοῦσι τὸν τόπον, 4 καὶ ἐντεῦθεν ἐξέρχεται ἀπ' αὐτοῦ βιαία ἀναθυμίασις. [1]Εὰν δὲ ὁ τόπος ἦν ἀραιός, οὐκ ἂν ἐξήρχετο οὕτως, ἀλλ' ὡς ἐπὶ τῆς ψάμμου συμβαίνει. [1]Εξέρχεται γὰρ καὶ ἐντεῦθεν ἀναθυμίασις, ἀλλὰ κατὰ βραχύ· καὶ διὰ τοῦτο οὐ γίνεται σεισμός. [b]Απλῶς οὖν ἐν τοῖς στερεοῖς πᾶσι τοῦτο οὐ συμβαίνει, 5 λέγω τὸ κατὰ βραχὺ τὸν ἀέρα ἐξέρχεσθαι. Συναγόμενα γὰρ τὰ μέρη τούτου δύνανται τὴν γῆν σχίζειν, καὶ τοῦτο ἐστὶν αἰτία τοῦ σεισμοῦ ἐν σώμασι στερεοῖς. [1]Εν τοῖς μέρεσι δὲ τῶν φυτῶν καὶ τῶν ζῴων σεισμὸς οὐ γίνεται, ἀλλ' ἐν ἄλλοις πᾶσι, καὶ πλειστάκις ἔν τε τοῖς ὀστρακώδεσι καὶ [b]ἐν 6 ὑέλῳ καὶ λοιποῖς μετάλλοις. [1]Εν ᾧ γὰρ σώματί ἐστι πολλὴ ἀραιότης, ἔθος καὶ τὴν ἀναθυμίασιν ἀναβαίνειν· ὑποκουφίζει γὰρ αὐτὴν ὁ ἀήρ. Καὶ συχνάκις τοῦτο βλέπομεν,

[y] τῷ ante περὶ om. Na. [z] ὅτι Qa. [a] οὐδὲ σεισμὸς Na. [b] ἐν om. Na.

ὅταν βάλλωμεν χρυσὸν εἰς [c] τὸ ὕδωρ ἢ ἄλλο τι βαρύ, καὶ παραυτίκα βυθίζεται· καὶ πάλιν ὅταν βάλλωμεν ξύλον ἀραιὸν ἢ βραχύ, καὶ ἐπιπλέει καὶ οὐ βυθίζεται. [v]Οθεν οὐ διὰ τὰ 7
φύλλα οὐ καταδύεται τὸ καταδυόμενον πολλάκις ξύλον, οὐδὲ διὰ τὸ ὑποκείμενον τὸ βαρύ, ἀλλ' ὅτι τὸ μέν ἐστι στερρὸν καὶ πυκνόν, τὸ δὲ [d] ἀραιόν· τὸ δὲ ἀραιὸν παντάπαν οὐ βυθίζεται. [vi]Ἔβενος δὲ καὶ τὰ αὐτῷ παραπλήσια βυθίζονται, 8
ὅτι μικρὰ ἐστιν ἐν τούτοις ἡ ἀραιότης· καὶ οὐδὲ ἔστιν ἐν αὐτοῖς ἀὴρ ὁ δυνάμενος ταῦτα κουφίσαι. Καταδύονται δέ, ὅτι τὰ μέρη αὐτῶν λίαν εἰσὶ πυκνὰ καὶ στερρά. Πᾶν δὲ ἔλαιον καὶ πάντα τὰ φύλλα τοῦ ὕδατος ὑπερνήχονται. Καὶ τοῦτο 9
ἤδη ἀποδεικνύομεν. [vii]Ἐγνωμεν γὰρ ὅτι ἐν τούτοις ἐστὶν ὑγρότης καὶ θερμότης, καὶ ἔθος τοῦ ὑγροῦ ἐστὶ τοῖς τοῦ ὕδατος μέρεσι συνάπτεσθαι· ἡ δὲ θερμότης ποιεῖ ἀνάγεσθαι τὸ ὑγρόν, καθὼς παρέπεται ἐν τῷ καιρῷ τοῦ ἔαρος. [viii]Ἔθος δὲ καὶ τοῦ ὕδατος τὸ κουφίζειν πάντα πρὸς τὴν ἰδίαν ἐπιφάνειαν ἕως τῆς τοῦ ἀέρος ἐπιφανείας, ὥστε ποιεῖν αὐτὸν ἀνέρχεσθαι. Τὴν 10
δὲ ἐπιφάνειαν αὐτοῦ οὐχ ὑπερβαίνει τὸ ὕδωρ· ἡ γὰρ ὅλη ἐπιφάνεια αὐτοῦ μία ἐστὶ μετὰ τῆς τοῦ ἀέρος. Καὶ διὰ τοῦτο ἄνεισι καὶ τὸ ἔλαιον ὑπεράνω τοῦ ὕδατος. Εἰσὶ δὲ καί τινες λίθοι οἳ τοῦ ὕδατος ὑπερνήχονται, διὰ τὸ κενὸν μόνον τὸ ἐν τούτοις μεῖζον ὂν τῶν ἐν αὐτοῖς μερῶν, καὶ διὰ τὸ τὸν τόπον τοῦ ἀέρος μείζονα εἶναι τοῦ τόπου τοῦ σώματος τῆς γῆς. Φύσις γάρ ἐστι τοῦ ὕδατος ὑπεράνω βαίνειν τῆς γῆς, 11
τοῦ δὲ ἀέρος τὸ ὑπεράνω βαίνειν τοῦ ὕδατος. [ix]Ἡ τοῦ ἀέρος τοίνυν φύσις τοῦ ἐγκλειομένου τῷ λίθῳ ἀναβαίνει ἐπάνω τοῦ ὕδατος, καὶ τῷ ὅλῳ ἀέρι συνάπτεται· καὶ γὰρ ἕκαστον τὸ οἰκεῖον ὅμοιον ἐφέλκεται, καὶ συνακολουθεῖ ἡ φύσις τοῦ μέρους τῷ ὅλῳ ᾧ συζεύγνυται. Εἰ τοίνυν ἔσται τις ῥαχία κού- 12
φη, τὸ μὲν ἥμισυ αὐτῆς καταδύσεται ἐν ὕδατι, τὸ δὲ λοιπὸν ὑπερνήξεται, ὅτι μεῖζον ἐν αὐτῷ ὁ ἀὴρ τοῦ λοιποῦ σώματος τοῦ λίθου. Διὰ τοῦτο πάντα τὰ δένδρα βαρύτερά εἰσι τῶν

[c] τὸ om. N[a]. [d] ἀραιόν ubique Q[a].

τοιούτων λίθων. Οἱ ἐν τοῖς ὕδασι δὲ λίθοι γίνονται ἐκ τῆς
13 συγκρούσεως τῶν ὑδάτων τῆς ἰσχυρᾶς. Γίνεται γὰρ πρῶτον
ἀφρός, εἶτα συμπήγνυται οὕτως οἷόν τι γάλα λιπαρόν· καὶ
ὅτε τὸ ὕδωρ τῇ ψάμμῳ προστρίβεται, συναθροίζει ἡ ψάμ-
μος τὴν λιπότητά πως τοῦ ἀφροῦ, ξηραίνει τε αὐτὴν ἡ ξηρό-
της τῆς θαλάσσης μετά περιττῆς τῆς ἀλυκότητος· καὶ οὕτω
συνάγονται τὰ μέρη τῆς ψάμμου, καὶ τῷ ἐπιμήκει τοῦ χρό-
14 νου γίνονται λίθοι. [t]Η δήλωσις δὲ ὅτι ἡ θάλασσα ποιεῖ
καθ' ἑαυτὴν ψάμμον, οὕτως ἐστίν, ὅτι πᾶσα γῆ οὐκ ἔστι
γλυκεῖα· ὅτε [e]οὖν στῇ ἐν αὐτῇ τι ὕδωρ, κωλύεται ὁ ἀὴρ ἀλ-
15 λοιῶσαι αὐτό. [u]Ἔτι δὲ χρονίζοντος τῷ τόπῳ τοῦ ἐμπεριει-
λημμένου ὕδατος, ἐπεὶ οὐ δύναται τοῦτο παρομοιῶσαι ἑαυτῷ
ὁ ἀήρ (κυριεύουσι γὰρ ἐν αὐτῷ τῷ ὕδατι [f]τὰ μέρη τὰ γεώδη,
ἃ εἰσιν ἁλυκά), ἀνάγκη ἐπὶ πλέον θερμανθέντα κατὰ βραχὺ
16 καὶ ἄμφω ποιῆσαι πηλὸν ἔμφυτον. Τοῦτο δὲ οὐ δύναται
γενέσθαι ἐν ὕδασι γλυκεροῖς διὰ τὴν γλυκύτητα καὶ τὴν
λεπτότητα αὐτῶν, ἀλλ' ἐν τοῖς ἁλμυροῖς, ὅτι κυριεύει ἐν τού-
τοις ἡ ξηρότης τῆς γῆς, καὶ ἢ μεταβάλλει τὸ ὕδωρ εἰς τὸ εἶ-
δος αὐτῆς, ἢ πλησίον αὐτῆς τοῦτο ποιεῖ, καὶ ἑκάτερον ἀλλοι-
17 οῦται. Σκληρύνουσα δὲ ἡ σκληρότης τῆς γῆς κατὰ τὴν δύ-
ναμιν τῆς συμπήξεως αὐτῆς τὴν ὑπόστασιν τοῦ ὕδατος, διαιρεῖ
τὸν πηλὸν εἰς ἴδια μέρη σμικρά· καὶ διὰ τοῦτο γίνεται ἡ γῆ
ἡ τῇ [g]θαλάσσῃ πλησιάζουσα ψαμμώδης. Οὕτως καὶ αἱ πε-
διάδες, αἵτινες οὐκ ἔχουσιν ὅπερ ἂν περικαλύψῃ αὐτὰς ἀπὸ τοῦ
ἡλίου, εἰσί τε καὶ μεμακρυσμέναι ἀπὸ ὕδατος γλυκεροῦ.
18 Ξηραίνει γὰρ ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος τῆς γλυκείας,
ἀπομένει δὲ ὅ ἐστιν ἐκ τοῦ γένους τῆς γῆς. Καὶ διότι ἐνδια-
τρίβει ὁ ἥλιος ἐν τούτῳ τῷ τόπῳ τῷ ἀπερικαλύπτῳ, διαχω-
ρίζονται τὰ μέρη τοῦ πηλοῦ, καὶ γίνεται ἐντεῦθεν ψάμμος.
Τούτου δὲ σημεῖόν ἐστιν, ὅτι ἐν τοιούτῳ τόπῳ [h]βαθὺ κοιλαί-
νομεν καὶ εὑρίσκομεν πηλὸν ἔμφυτον, καὶ ἔστιν οὗτος ῥίζα
19 ψάμμου. Οὐ γίνεται δὲ ψάμμος εἰ μὴ κατὰ συμβεβηκός.
Συμβαίνει δὲ τοῦτο, ὅτι ἔστι διατριβὴ τῆς κινήσεως τοῦ ἡλίου,

[e] γοῦν Na. [f] τὰ μερη om. Na. [g] θαλάττῃ Qa. [h] βαθεῖ Na.Qa.

ὡς ἔφημεν, καὶ μακρυσμὸς ἀπὸ ὕδατος γλυκεροῦ. Τοιουτοτρόπως νοητέον καὶ περὶ τῆς ἁλμυρότητος τῶν ὑδάτων τῆς θαλάσσης. [h]Ἡ ῥίζα μὲν γὰρ πάντων τῶν ὑδάτων ἐστὶ γλυκερά, καὶ οὐκ ἄλλως συμβαίνει αὐτῇ ἁλμυρότης εἰ μὴ κατὰ τὸν τρόπον τὸν λεχθέντα. Καὶ τοῦτο σημεῖόν ἐστιν 20
αἰσθητὸν ὅτι ἡ γῆ μέν ἐστιν ὑποκάτω τοῦ ὕδατος, τὸ δὲ ὕδωρ ὑπεράνω ἐξ ἀνάγκης καὶ φυσικῶς. Κἀντεῦθεν καὶ κυριώτερον συμβέβηκε τῷ ὕδατι τὸ εἶναι στοιχείῳ παρὸ τῇ γῇ. [i]Ἐφρόνησαν δέ τινες στοιχεῖον εἶναι τὸ πάντων τῶν ὑδάτων πλεῖστον· πλεῖστον δέ ἐστι τὸ ὕδωρ τῆς θαλάσσης, καὶ διὰ τοῦτο καὶ στοιχεῖον [j]πάντων ἐκρίθη τῶν ὑδάτων. [k]Ἔστι δὲ 21
τὸ ὕδωρ φυσικῶς ὑπερέχον τῆς γῆς καὶ λεπτότερον αὐτῆς. Καὶ διὰ τοῦτο ἀπεδείξαμεν ὅτι καὶ τὸ ὕδωρ πάντως κουφότερόν ἐστι τὸ γλυκὺ τοῦ ἁλμυροῦ. Πλὴν λάβωμεν καὶ ὡς ἐν παραδείγματι δύο σκεύη ἴσα, καὶ θῶμεν ἐν αὐτοῖς ὕδωρ γλυκὺ καὶ ὕδωρ ἁλμυρόν. Μετὰ ταῦτα προσλάβωμεν ᾠόν, θῶμεν δὲ τοῦτο ἐν τῷ ὕδατι τῷ γλυκεῖ, καὶ αὐτίκα καταδύσεται. Μετὰ ταῦτα θῶμεν αὐτὸ καὶ ἐν τῷ ὕδατι τῷ ἁλ- 22
μυρῷ, καὶ [l]ὑπερνήξεται, καὶ ἀναβήσεται ἐπάνω τῶν μερῶν τοῦ τοιούτου ὕδατος, διότι τὰ μέρη τούτου οὐ διαζεύγνυνται ὡς τὰ μέρη τοῦ ὕδατος τοῦ γλυκεροῦ. [m]Ἐκείνου μὲν γὰρ τὰ μέρη οὐ δύνανται ὑπομένειν διὰ τὴν λεπτότητα βάρος, τούτου δὲ διὰ τὴν παχύτητα δύνανται· καὶ διὰ τοῦτο οὐ καταδύεται τὸ ἐπιτεθὲν αὐτῷ. Οὕτω φυσικῶς ἐν τῇ νεκρᾷ θαλάσσῃ οὔτε 23
καταδύεται ζῷον οὔτε γεννᾶται· κυριεύει γὰρ ἡ ξηρότης ἐν αὐτῷ, καὶ ἐν παντὶ ὅπερ ἐστὶ πλησίον τοῦ σχήματος τῆς γῆς. Φαίνεται τοίνυν ἐντεῦθεν ὅτι τὸ ὕδωρ τὸ παχύ ἐστιν ὑποκάτω τοῦ μὴ παχέος. Τὸ γὰρ παχύ ἐστιν ἐκ τοῦ γένους τῆς γῆς, τὸ δὲ λεπτὸν καὶ ἀραιὸν ἐκ τοῦ γένους τοῦ ἀέρος. Καὶ διὰ τοῦτο ὑπερέχει τὸ ὕδωρ τὸ γλυκὺ πάντων τῶν ὑδά- 24
των· ἐκεῖνο γάρ ἐστιν ὑπάρχον τῆς γῆς πορρωτέρω. [n]Ἤδη τοιγαροῦν ἔγνωμεν ὅτι τὸ ὕδωρ τὸ πορρωτάτω τῆς γῆς φυ-

[i] ἐκρίθη πάντων Na. [k] περινήξεται Qa.

σικόν ἐστι. Καὶ τὸ γλυκὺ τοῦ θαλαττίου ὑπερκεῖσθαι ἀπεδείξαμεν. Καὶ φυσικὸν τοῦτο εἶναι τῷ ῥηθέντι σημείῳ φανερὸν καὶ ἀναγκαῖον ἐγένετο. Γεννᾶται δὲ τὸ ἅλας ἐν ἱσταμένοις ὕδασιν, οἷς τὸ γλυκὺ γίνεται ἁλμυρόν. [k]Ὑπερβαίνει δὲ ἡ ἁλμυρότης τῆς γῆς ἐκείνην τὴν ἁλμυρότητα. [l]Ἀπομένει γὰρ ἐκείνη μὲν ἀὴρ ἐγκεκλεισμένος, ταύτῃ δ' οὔ. Καὶ [l]διὰ τοῦτο οὐκ ἔστιν ἐκεῖνο τῆς γῆς τὸ σῶμα, γλυκύτητός τινος μετέχον κατὰ πάντα τρόπον, εἰ καὶ τὸ γένος τοῦτο ἐξ ὕδατός ἐστιν, ὃ ἐξέρχεται ἐξ αὐτῆς τῆς γῆς ὡς ἱδρώς.

3 Πρὸς τούτοις ὀφείλομεν εἰδέναι ὅτι καὶ αἱ βοτάναι καὶ τὰ εἴδη οὐκ εἰσὶν εἰ μὴ ἐκ συνθέσεως, καὶ οὐκ ἐξ ὕλης ἁπλῆς, ἀλλ' ὥσπερ ἐστὶν ἡ ἁλυκότης ἀπὸ τοῦ ὕδατος τῆς θαλάσσης [m]καὶ τῆς οὐσίας τῶν ψάμμων. Αἱ ἀναθυμιάσεις γὰρ αἱ ἀναβαίνουσαι, ὅταν συμπαγῶσι, δύνανται συμπεριλαβεῖν τὴν αἰτίαν τῆς τῶν βοτανῶν ὑπάρξεως· καταπίπτει γὰρ ἀὴρ ἐντεῦθεν, καὶ δροσίζει τὸν τόπον, καὶ [n]προέρχονται ἐξ αὐτοῦ διὰ τῆς δυνάμεως τῶν ἀστέρων τὰ εἴδη τῶν σπερμάτων.

3 [v]Ὑλη δὲ ἀναγκαία ἐστὶ τὸ ὕδωρ, εἰ καὶ διαφορά ἐστιν ἐν τῷ γένει τοῦ ὕδατος. Τὸ γὰρ ἀνερχόμενον οὐκ ἔστιν εἰ μὴ ὕδωρ γλυκύ· τὸ δὲ ἁλμυρὸν βαρύ ἐστι, καὶ οὐ συναναβαίνει τῷ γλυκεῖ. Τὸ δὲ ὑπερβαῖνον τοῦτο τὸ λεπτότερόν ἐστι

4 τοῦ ὕδατος. [p]Ὃ δὴ ἐὰν ἐφελκυσθείη ὑπὸ τοῦ ἀέρος, λεπτύνεται καὶ ἐπὶ πλέον ἀναβαίνει, κἀντεῦθεν γίνονται πηγαὶ καὶ ποταμοὶ ἐν τοῖς ὄρεσι, καὶ εἰς πολὺ διατρέχουσι. Καὶ σημεῖον τούτου ἐστὶ τὸ αἷμα τὸ ἀνερχόμενον εἰς τὸν ἐγκέφαλον. [v]Ὥσπερ γάρ τι ἐκ τῶν τροφῶν μετὰ τῆς ἀναθυμιά-

5 σεως ἀνέρχεται, οὕτω καὶ εἰς πάντα τὰ ὕδατα. Καὶ γὰρ καί τι τοῦ ὕδατος τοῦ ἁλυκοῦ ἄνεισι μετ' ἐκείνου [o]ὃ ἐξήρανεν ἡ θερμότης, [p]εἰς τὸ εἶδος τοῦ ἀέρος, ὃς ἐστιν ἀκριβῶς ὑπεράνω παντὸς γλυκέος ὕδατος καὶ ἁλμυροῦ. Παράδειγμα δὲ τοῦ λόγου τούτου εὑρήκαμεν ἐν τοῖς βαλανείοις πολλάκις.

6 [v]Οταν γὰρ τὸ ὕδωρ τὸ ἁλμυρὸν καταλάβῃ θερμότης, λε-

[k] διὰ τοῦτο om. Na. [l] καὶ τῆς οὐσίας om. Na. [n] προέρχεται Qa.
[o] οὗ Na.Qa. [p] εἰς om. Na.

πτύνει τὰ μέρη αὐτοῦ, ἀναβαίνει τε ἀναθυμίασις, ἥτις ἦν ἐν τῷ ἐδάφει τοῦ βαλανείου, καὶ ἀναχωροῦσι τὰ πυκνὰ μέρη τῆς ἀλυκότητος μετὰ τοῦ ὑγροῦ τοῦ φυσικοῦ (οὐδὲ γάρ εἰσιν ἐκ τοῦ γένους τοῦ ἀέρος), ἵνα ἀκολουθήσωσι τῇ ἀναθυμιάσει, ἥτις μία μετὰ τὴν ἄλλην [q] προχωρεῖ ἄνω. [v]Οταν γοῦν 7
[q] προχωρήσωσι πολλαί, καταπιέζεται ὁ ὄροφος, κἀντεῦθεν συνάγεται καὶ συμπήγνυται καὶ ἐπιστρέφει καὶ κάτω στάζει τὸ ὕδωρ τὸ γλυκύ. Καὶ οὕτως ἐν πᾶσι τοῖς βαλανείοις τοῖς ἁλμυροῖς ἐστὶν ὕδωρ γλυκύ. Αἱ τοίνυν βοτάναι αἱ φυόμεναι ἐν τοῖς ὕδασι τοῖς ἁλυκοῖς οὐκ ὀφείλουσιν ἔχειν πληθυσμὸν διὰ τὴν ξηρότητα. Καὶ γὰρ τὸ φυτὸν δύο 8
δεῖται, ὕλης λέγω καὶ τόπου, τῇ ἰδίᾳ φύσει ἁρμοζόντων. [v]Οταν γοῦν τὰ τοιαῦτα δύο παρῶσιν ὁμοῦ, προκόπτει τὸ φυτόν. [v]Οταν δὲ εὕρωμεν ὕλην πορρωτάτω τῆς εὐκρασίας, ἐπικενῆς ἐστίν· ἐμποδὼν γάρ ἐστι τῷ εἶναι τὸ ἐν τόπῳ εἶναι μὴ εὐκραεῖ. [t]Ετι κοινῶς οὐχ εὑρίσκομεν φυτὸν ἐν 9
χιόνι, πλὴν βλέπομέν ποτε φυτὸν φαινόμενον ἐν αὐτῇ, καί τινα ζῷα, καὶ ἐξαιρέτως ἕλμινθας. Οὗτοι γὰρ γεννῶνται ἐν τῇ χιόνι, καὶ φλόμος, καὶ πᾶσαι βοτάναι πικραί. [s]Αλλ' ἡ χιὼν οὐ ζητεῖ προχωρεῖν ἐπὶ τούτῳ, ἂν μὴ καὶ συζευχθείη τις αἰτία ἐν αὐτῇ. Καὶ αὕτη ἐστὶν ὅτι ἡ χιὼν κατέρχεται 10
ποτε ὁμοία καπνῷ, συμπήγνυσί τε ταύτην ἄνεμος καὶ συσφίγγει ἀήρ. Πλὴν γίνεται καὶ ἀραιότης τις ἐν τοῖς μέρεσιν αὐτῆς· κατέχεται γὰρ ἐν τούτοις θερμόν τι μέρος ἀέρος, μένει τε ἐξ αὐτοῦ καὶ ὕδωρ σεσημμένον. [v]Οταν γοῦν 11
ὁ ἀὴρ ὁ ἐγκεκλεισμένος πλείονος γένηται πλατύνσεως καὶ ὁ ἥλιος παρουσιάσηται, ἀπορρήγνυται ὁ ἀὴρ ὁ συμπιληθεὶς ἐν τῇ χιόνι, καὶ φαίνεται ἡ ὑγρότης ἡ σεσημμένη, ἥτις καὶ συμπήγνυται μετὰ τῆς θερμότητος τοῦ ἡλίου· καὶ οὕτω φύονταί τινες βοτάναι. [r]Ἐὰν δὲ ἧ ὁ τόπος περικεκαλυμ- 12
μένος, οὐ γίνονται ἐν αὐτῷ βοτάναι [s]ἀλλ' ἢ ἄνευ φύλλων· ἀπεχώρησε γὰρ ἀπ' αὐτοῦ ἡ εὐκρασία τῆς γῆς, ἡ ὁμογενὴς

[q] προσχωρεῖ et mox προσχωρήσωσι N^a. [r] δὲ] μὲν Q^a. [s] ἢ ἀλλ' $N^a.Q^a$.

αὐτῇ. [v]Οθεν ἄνθη καὶ φύλλα ἐν βοτάναις μικραῖς μεμιγμένα εὑρίσκονται ἐν τόποις κεκραμένοις καθαρῶς δι' ἀέρος καὶ ὕδατος· [t]ἐν ἑτέροις δὲ μὴ τοιούτοις σπανιά εἰσι τὰ ἄνθη καὶ τὰ φύλλα τῶν φυτῶν τῶν συμβαινόντων ἐν τῇ χιόνι.
13 [b]Ὁμοίως καὶ ἐν τόποις πολλοῖς ἁλμυροῖς καὶ ξηροῖς ὡς ἐπὶ τὸ πλεῖστον οὐ φαίνεται φυτόν. Οὗτοι γὰρ οἱ τόποι πόρρω εἰσὶν εὐκρασίας· ἐλαττονεῖται γὰρ ἡ γῆ, ἐξ ἧς μακράν εἰσιν [v]ὑγρότης καὶ θερμότης, ἅπερ εἰσὶ διὰ γλυκέος [w]ὕδατος. Γίνεται δέ ποτε ἡ γλυκερὰ γῆ νεκρά, καὶ τότε οὐ γεννῶνται
14 ὀξέως ἐν αὐτῇ βοτάναι. [t]Ἐν τόποις δὲ θερμοῖς, ὅπου ἔστιν ὕδωρ γλυκὺ καὶ θερμότης πολλή, προφθάνει πέψις ἐκ τῶν δύο μερῶν, ἐκ τῆς διαθέσεως τοῦ τόπου μετὰ [x]καὶ τοῦ ἀέρος τοῦ ἐν αὐτῷ ὑπάρχοντος. [b]Ἡ δὲ πέψις τοῦ ἀέρος ἐκ τῆς θερμότητός ἐστι τοῦ ἡλίου τῆς ἐν ἐκείνῳ τῷ τόπῳ. [t]Ἐντεῦθεν καὶ τὰ ὄρη ἐφέλκονται ὑγρότητα, βοηθεῖ τε αὐτοῖς καὶ ἡ
15 θερμότης τοῦ ἀέρος. [t]Ἐπισπεύδει δὲ καὶ ἡ πέψις· καὶ διὰ τοῦτο τὰ φυτὰ ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ὄρεσι φύονται. [t]Ἐν δὲ τοῖς ψάμμοις νικᾷ, ὡς προέφημεν, ἡ ἁλμυρότης, καὶ ἀπομένουσιν ἐν τοῖς μέρεσι τῆς ψάμμου ἀραιότητες ὅμοιαι πρὸς
16 ἀλλήλας. [b]Ὁ τοίνυν ἥλιος οὐκ ἔχει δύναμιν ἵνα ἐν αὐταῖς ἀπαρτίσῃ καὶ βεβαιώσῃ συνέχειαν οὐσίας. Τῷ τοι καὶ φυτὰ ἐν αὐταῖς ὡς τὰ πολλὰ οὐ γίνονται· εἰ δὲ καὶ γίνονται, οὐ κατὰ εἴδη ἴδια καὶ διάφορα, ἀλλὰ κατὰ εἴδη ὅμοια πρὸς ἄλληλα.

4 Τὰ δὲ φυτὰ ἃ ἐν τῇ ἐπιφανείᾳ τοῦ ὕδατος γεννῶνται, οὐκ ἄλλως γεννῶνται εἰ μὴ διὰ τὸ πάχος τοῦ ὕδατος. [v]Οταν γὰρ θερμότης ἅψηται τοῦ ὕδατος, ἥτις ἄνω που οὐκ ἔχει πῶς ἂν κινηθείη, τότε προέρχεται ἐπ' αὐτὴν παρόμοιόν τι νεφέλῃ, ὀλίγον τε τοῦ ἀέρος κατέχει, καὶ σήπεται τὸ τοιοῦτον ὑγρόν,
2 ἐφέλκεταί τε αὐτὸ ἡ θερμότης, ἥτις ἐκτείνεται εἰς τὴν ὄψιν τοῦ ὕδατος, καὶ γίνεται ἐντεῦθεν φυτόν. Οὐκ ἔχει δὲ ῥίζαν, ὅτι ἡ ῥίζα ἐν τοῖς μέρεσιν ἑδράζεται τῆς γῆς, ἔχουσα μέρη

[t] ἐν] καὶ ἐν N^a. [v] ὑγρότητος καὶ θερμότητος Q^a. [w] ὕδατος. οὐ γίνεται N^a. [x] καὶ om. Q^a.

διηρημένα. Οὐκ ἔχει δὲ πάλιν οὐδὲ φύλλα, ὅτι μακράν ἐστιν ἀπὸ τῆς εὐκρασίας, καὶ οὐδὲ τὰ μέρη αὐτοῦ εἰσὶ συμπεπηγότα. Τοῦτο δὲ τὸ φυτὸν οἷον εἰς ὁμοιότητα φύλλων γενναῖται, καὶ καλεῖται ἐπίπτερον. Τῶν δὲ λοιπῶν φυτῶν τῶν 3
ἐν τῇ γῇ, ἐπεὶ τὰ τῆς γῆς μέρη εἰσὶ συμπεπηγότα, καὶ τὰ μέρη ἐξ ἀνάγκης τούτων εἰσὶ τοιαῦτα. Τὰ γοῦν φυτὰ τὰ ἐκ τῆς γῆς συμπεπηγότα γίνονται ἐκ σήψεων ἐν τόπῳ ὑγρῷ καὶ καπνώδει. Αἱ γὰρ σήψεις κατέχουσιν ἀέρα· καὶ ὅταν 4
πληθύνωνται οἱ ὑετοὶ καὶ οἱ ἄνεμοι, ὁ ἥλιος φαίνεσθαι ποιεῖ αὐτάς, κατεπείγει τε ξηραίνεσθαι καὶ συμπήγνυσθαι, καὶ ἡ ξηρότης τῆς γῆς τὰς ῥίζας αὐτῶν ποιεῖ· καὶ γίνονται ἐντεῦθεν φυτὰ καὶ μύκητες καὶ [y] ὕδνα καὶ τὰ ὅμοια. Πάντα 5
δὲ ταῦτα γίνονται ἐν τόποις θερμοῖς κατὰ λόγον, διὸ ἡ θερμότης πέττει τὸ ὕδωρ ἐν τοῖς ἐνδοτέροις τῆς γῆς, κατέχει τε ταύτην ὁ ἥλιος, καὶ γίνεται ἀναθυμίασις, καὶ ἐντεῦθεν συμβαίνει ἡ ἀλλοίωσις εἰς φυτόν. [b]Ὁμοίως καὶ ἐν πᾶσι τόποις ὡς ἐπὶ τὸ πλεῖστον θερμοῖς πληροῦται ἡ τοῦ φυτοῦ ἀπάρτισις. Οἱ δὲ τόποι οἱ ψυχροί, εἰ καὶ οὗτοι τὸ ὅμοιον ποιοῦσί 6
ποτε, πλὴν ἐκ τοῦ ἐναντίου. [b]Ὁ γὰρ ψυχρὸς ἀὴρ τὸν θερμὸν συμπιέζει κάτω, συμπήγνυσί τε τὰ μέρη αὐτοῦ, καὶ ὁ τόπος ἔψησιν πάσχει μετὰ τῆς προσούσης ὑγρότητος αὐτῷ· τοῦ γοῦν περισσοῦ ὑγροῦ ξηρανθέντος σχίζεται ὁ τόπος, καὶ [z] ἐξέρχονται ἐξ [a] αὐτοῦ φυτά. [c]Ἐν τόποις δὲ γλυκεροῖς, ἐν 7
οἷς τὸ ὕδωρ μὴ ἐπὶ πολὺ συμβαίνει χωρίζεσθαι, ὁπόταν ὁ ἀὴρ τῇ γῇ ἐγκλειόμενος ξηρανθῇ, ἡ ὑγρότης τε τοῦ ὕδατος συμπαγῇ, καὶ ὁ αὐτὸς ἀὴρ μείνῃ ἐν τοῖς ἐνδοτέρω τοῦ ὕδατος, ἐξέρχονται φυτά, ὡς τὸ νοῦφαρ τὸ ἰατρικὸν, καὶ εἴδη βοτανῶν ἄλλα πολλῶν καὶ σμικρῶν, ἃ δὴ τοιουτοτρόπως γεννῶνται. Πλὴν οὐκ εἰσὶν ἐκτεταμένα, διότι αἱ ῥίζαι αὐτῶν εἰσὶν 8
ἐπιπολαίως ἐν τῇ γῇ. [c]Ἐν τόποις ὡσαύτως ἐν οἷς ὕδωρ θερμὸν τρέχει, πολλάκις φυτὰ γεννῶνται, διότι ἡ θερμότης τοῦ ὕδατος ἐφέλκεται ἀναθυμιάσεις προσφάτους ἐπὶ τῆς γῆς, ἡ

y οἶδνα $N^a.Q^a$. z ἐξέρχεται Q^a. a αὐτοῦ τὰ φ. N^a.

δὲ ψυχρὰ φύσις τῆς ὑγρότητος τοῦ ὕδατος ὑποκάτω [b] ἀπο-
9 μένει, καὶ συμπήγνυται ὁ ἀὴρ ὁ ἐν τούτῳ τῷ ὑγρῷ. Καὶ
ὅταν [c] πεφθῇ ἡ θερμότης τοῦ ἀέρος, πάλιν ἐν τούτῳ γεννᾶ-
10 ται τὸ φυτόν, οὐκ ἄλλως εἰ μὴ ἐν καιρῷ πολλῷ. Αἱ βοτάναι
δὲ αἱ μικραί, αἱ φαινόμεναι ἐν τόποις θεαφώδεσι, [d] γίνονται
ὅταν ἄνεμοι ὀξέως πνέωσιν ἀντίπνοιάν τε ποιῶσι καὶ ἀντι-
πλήττωσιν ἀλλήλους, καὶ ἐξεγερθῇ ἀὴρ ὁ ἐν αὐτοῖς καὶ θερ-
μανθῇ ὁ τόπος καὶ γένηται ἐντεῦθεν πῦρ, καὶ μετὰ ταῦτα
γεννηθῇ ὅπερ ἐστὶν ἐν τῷ βάθει ἀρσενίκιον, ὃ καταβαίνει ἐκ
τῆς ἰλύος τοῦ ἀέρος, καὶ ἐφέλκεται πῦρ μετὰ σήψεως (τοῦτο
[e] γὰρ τὸ ἀρσενίκιον)· τότε γὰρ γίνεται ἐκ τούτου φυτά.
11 Οὐ πολλὰ δὲ ταῦτα προβάλλεται φύλλα, καθὼς προαπεδεί-
ξαμεν, ὅτι ἡ εὐκρασία ἐκ τούτων πόρρω ἐστίν. [v] Ὅπερ [f] δὲ
φέρει τρόφιμόν τι φυτόν, ἐκεῖνο φύεται ἐν τόποις θερμοῖς
[g] καὶ κούφοις καὶ ὑψηλοῖς, καὶ μᾶλλον ἐν τῷ κλίματι τῷ
τρίτῳ καὶ τῷ τετάρτῳ· καὶ πάλιν ὃ δένδρον παιεῖ τι ἐγγὺς
τροφίμου, ἐκεῖνο γεννᾶται ἐν τόποις ὑψηλοῖς καὶ ψυχροῖς.
12 Καὶ διὰ τοῦτο πληθύνονται τὰ εἴδη ἐν τόποις τοιούτοις, διὰ
τὴν ἐφέλκυσιν τοῦ ὑγροῦ καὶ τὴν εὐκρασίαν τὴν ἐκ τῆς θερμό-
τητος τοῦ ἡλίου ἐν ἡμέραις χειμεριναῖς. [t] Ὁμοίως καὶ ὁ πηλὸς
ὁ ἔμφυτος ὀξέως προάγει φυτὰ πίονα· ἡ συμπίλησις [h] γὰρ
τῆς ὑγρότητος τούτου ἐν τόποις γλυκεροῖς γίνεται, ὡς προει-
ρήκαμεν.

5 Πάλιν τὸ φυτὸν τὸ ἐν τοῖς λίθοις τοῖς στερροῖς γεννώμε-
νον μακρῷ χρόνῳ συμβαίνει. [t] Ὁ γὰρ ἀὴρ ὁ ἐμπεριειλημ-
μένος τούτοις βιάζεται ἀναβῆναι, ἔξοδον δὲ μὴ εὑρίσκων διὰ
τὴν ἰσχυρότητα τῶν λίθων ἐπαναστρέφει καὶ θερμαίνει ἑαυ-
τόν, ἐφέλκεταί τε τὸ ὑγρὸν τὸ ἐναπολειφθὲν τοῖς λίθοις ἄνω,
ἐξέρχεταί τε ἀναθυμίασις σὺν ὑγρότητι, μετὰ ἀναλύσεως
2 σμικροτάτων μερῶν τῶν ἐν τοῖς λίθοις. Καὶ γὰρ πολλάκις
ἔθος ἐστὶ τοῖς λίθοις ἵνα βοηθῇ αὐτοῖς ὁ ἥλιος διὰ τῆς ἰδίας
πέψεως. Καὶ οὕτω γεννᾶται ἐξ αὐτῶν φυτόν. [k] Ὁ δὲ οὐκ

[b] μένει Na. [c] πεμφθῇ Qa. [d] γεννῶνται Qa. [e] γὰρ om. Na.Qa.
[f] δὲ] οὐδὲ Qa. [g] καὶ post θερμοῖς om. Na. [h] γὰρ] καὶ γὰρ Qa.

ἀναβαίνει, ἐὰν μὴ πλησίον [i] ᾖ γῆς ἢ ὑγροῦ. [t]Ἡ γὰρ ὑπόστασις τοῦ φυτοῦ [k] δεῖται γῆς ὕδατος καὶ ἀέρος. Κατανοείσθω τοιγαροῦν τὸ φυτόν· καὶ εἰ ἔστι πλησίον τοῦ ἡλίου, ταχέως γεννᾶται, εἰ δέ ἐστιν ὁ ἥλιος εἰς δυσμάς, βραδύνει. Πάλιν τὸ φυτὸν ἐν ᾧ κυριεύει τὸ ὕδωρ, οὐ παραχωρεῖ τῷ 3 ἀέρι ἀναβαίνειν, καὶ διὰ τοῦτο οὐ τρέφεται. [t]Ὁμοίως καὶ ἡ ξηρότης ὅταν [l] κρατήσῃ, ἀναστρέφει ἡ φυσικὴ θερμότης εἰς τὰ ἄκρα, καὶ βύει τοῦ φυτοῦ τὰς ὁδοὺς δι' ὧν οἱ πόροι· καὶ διὰ τοῦτο οὐ τρέφεται τὸ φυτόν.

Καθολικῷ δὲ λόγῳ πᾶν φυτὸν τεττάρων τινῶν δεῖται, 6 σπέρματος διωρισμένου, τόπου ἁρμοδίου ὕδατος συμμέτρου καὶ ἀέρος ὁμοίου. [v]Ὅταν οὖν ταῦτα πάντα συντελεσθῶσι, γεννᾶται φυτὸν καὶ αὐξάνει· ὅτε δὲ ταῦτα ἀποχωρήσουσιν, ἀσθενεῖ τῇ ἀποχωρήσει καὶ τὸ φυτόν. Πάλιν τὸ φυτὸν 2 τὸ προϊὸν ἐν ὄρεσιν ὑψηλοῖς, εἰ ἔσται εἶδος, ἔσται προχειρότερον καὶ προσφυέστερον εἰς ἰατρείαν· ὁ καρπὸς δὲ ὁ σκληρότερος εἰς πέψιν οὐχ ὡς ἐπὶ τὸ πολὺ τρέφει. Τόποι δὲ ἀπομεμακρυσμένοι τοῦ ἡλίου οὐκ εἰσὶ πολλῶν βοτανῶν γεννητικοί. [t]Ὁμοίως ἐὰν ὁ ἥλιος μακρότητα τῇ ἡμέρᾳ προσ- 3 άγῃ ἐν τῇ κινήσει αὐτοῦ [m] καὶ κατακυριεύῃ τῆς ὑγρότητος, οὐκ ἔχει τὸ φυτὸν δυνάμεις φύλλα καὶ καρποὺς προάγειν. Τί δὲ καὶ περὶ τῶν φυτῶν χρὴ νοεῖν, ἃ γεννῶνται ἐν [n] ὑδαρώδεσι τόποις; [t]Ἐν τούτοις ὅτε τὸ ὕδωρ ἠρεμεῖ, γίνεταί τι καθάπερ ἰλύς, καὶ οὐκ ἔστι δύναμις ἐν τῷ ἀέρι ἵνα [o] ὑποστήσῃ τὰ μέρη τοῦ ὕδατος. Κατέχεται γὰρ αὐτὸς ὁ ἀὴρ ἐν τοῖς 4 ἐνδοτέροις τῆς γῆς, καὶ κωλύει τὴν παχύτητα τοῦ ὕδατος ἀναβαίνειν. Εἰ γοῦν [p] πλημμυρήσῃ ἄνεμος ἐν ἐκείνῳ τῷ 5 τόπῳ καὶ συσφιγχθῇ ἡ γῆ, [p] συμπιέσῃ τε ἑαυτὸν ὁ ἐμπεριειλημμένος ἀήρ, καὶ [p] συμπήξῃ ὁ ἄνεμος τὴν ὑγρότητα, προελεύσεται ἐκ ταύτης τῆς ὑγρότητος φυτὰ οὐ πολὺ διαφέροντα ἀλλήλων ἐν εἴδει καὶ σχήματι, διὰ τὴν διαμονὴν καὶ

[i] ᾖ τῆς γῆς Na. [k] δεῖται τῆς γῆς Na. [l] κατακρατήσῃ Qa. [m] καὶ κατακυριεύῃ] κατακυριεύει Na. [n] ὑδρώδεσι Na. [o] ὑποστήσηται μέρη Qa. [p] πλημμυρήσει et mox συμπιέσει et infra συμπήξει Na.Qa.

τὴν παχύτητα τοῦ ὕδατος καὶ τὴν θερμότητα τοῦ ἡλίου ἄνω-
6 θεν. Πάλιν περὶ τῶν φυτῶν ἃ εἰσιν ἐν τόποις ὑγροῖς, καὶ ἡ
ἐπιφάνεια αὐτῶν φαίνεται ἐν [q] τῇ ὄψει τῆς γῆς χλοάζουσα,
7 λέγω ὅτι ἐν ἐκείνῳ τῷ τόπῳ μικρά ἐστιν ἀραιότης. [v]Οταν
οὖν ἐμπεσὼν ὁ ἥλιος κινήσῃ τὴν ἐν ἐκείνῳ ὑγρότητα, καὶ θερ-
μάνῃ τὸν τόπον τῇ συμβαινούσῃ κινήσει καὶ τῇ θερμότητι
τῇ [r] ἐμπεριειλημμένῃ τοῖς ἐνδοτέροις τῆς γῆς, ὅπερ δὴ οὐ
συμβαίνει ἐν οἷς οὐκ ἔχει τὸ φυτὸν ὅθεν ἂν αὐξηθῇ, καὶ ἡ
ὑγρότης τῇ ἰδίᾳ ἐκτάσει διαχυθῇ, γίνεται καπνὸς ὑπεράνω
τῆς γῆς ὡς ὕφασμα χλοάζον, κἀντεῦθεν γεννᾶται φυτὸν μὴ
ἔχον φύλλα, ὑπάρχον ἐκ τοῦ γένους τοῦ φυτοῦ τοῦ φαινο-
8 μένου εἰς τὴν ἐπιφάνειαν τοῦ ὕδατος. [v]Εστι δὲ μεῖζον ἐκεί-
νου, διότι πλησίον ἐστὶ τῆς γῆς, εἰ καὶ οὐκ ἀναβαίνειν καὶ
ἐπεκτείνεσθαι δύναται. Πολλάκις δὲ καὶ ἐν φυτοῖς ἄλλο
φυτὸν γεννᾶται οὐ τοῦ αὐτοῦ εἴδους καὶ τῆς αὐτῆς ὁμοιώσεως,
9 ἄνευ ῥίζης. Κινεῖται δὲ τοῦτο οὕτως· ὁπόταν φυτὸν πολλῶν
ἀκανθῶν ἐν πίονι ὕδατι κινήσῃ ἑαυτό, ἀνοίγονται τὰ μέρη
αὐτοῦ, καὶ ἀνιμᾶται ὁ ἥλιος τὰς ἐν αὐτῷ σήψεις, πέψιν τε
ποιεῖ τούτῳ, καὶ τῇ ἰδίᾳ φύσει εἰς τὸν τόπον τὸν σεσημμένον
βοήθειαν χορηγεῖ μετὰ θερμότητος εὐκράτου, κἀντεῦθεν αὐ-
ξάνει τὸ φυτόν, ὡς δοκεῖν νήματα ἐκτείνεσθαι εἰς ὅλον αὐτό.
10 Καὶ τοῦτο ἴδιόν ἐστι τοῖς φυτοῖς τοῖς ἔχουσι πολλὰς ἀκάν-
θας. Τότε γοῦν γεννᾶται βοτάνη ἡ λεγομένη λινόζωστις
καὶ τὰ ταύτῃ ὅμοια. Πᾶσαι δὲ αἱ βοτάναι, καὶ εἴ τι αὐ-
ξάνει ἐπάνω τῆς γῆς καὶ ἐν τῇ γῇ, πρόεισιν ἔκ τινος τούτων
τῶν πέντε, ἃ εἰσι σπέρμα, ὑγρότης ἐξ ὕδατος, τόπος ἐπιτή-
δειος, ἀὴρ καὶ φυτεία. Καὶ ταῦτα τὰ πέντε εἰσίν, ὡς ἂν
[s] εἴποι τις, ῥίζαι φυτῶν.

7 Τριπλῶς δὲ ἡ τῶν δένδρων εὐπορία ἀκολουθεῖ· ἢ γὰρ
προάγουσι τοὺς καρποὺς πρὸ τῶν φύλλων, ἢ σύναμα τοῖς
φύλλοις, ἢ μετὰ τὰ φύλλα. [v]Εστι τοίνυν φυτὸν ὅπερ οὐκ
ἔχει ῥίζαν ἢ φύλλα· ἔστι καὶ ὅπερ φέρει φιτρὸν ἄνευ καρ-

[q] τῇ ὄψει] τοῖς τόποις Na. [r] περιειλημμένη Na. [s] εἶπη Na.Qa.

ποῦ καὶ φύλλων, ὡς ἡ λεγομένη χρυσοκόμη ἢ [t]χρυσῖτις. [1]Ἀλλὰ τὰ φυτὰ ἃ καρπὸν πρὸ τῶν φύλλων προάγουσι, 2
πολλὴν ἔχουσι τὴν πιότητα. [u]Ὅταν γοῦν ἐκταθείη ἡ θερμότης ἡ οὖσα φυσικῶς τῷ φυτῷ, [v]ταχύνει καὶ ἡ τούτου πέψις, ῥώννυταί τε καὶ ζέει ἐν τοῖς κλάδοις τοῦ φυτοῦ, κωλύει τε τὸν χυμὸν ἵνα μὴ ἀναβαίνῃ ἀπ' αὐτοῦ· κἀντεῦθεν προχωροῦσι καρποὶ καὶ φύλλα. [1]Ἐν δὲ τοῖς φυτοῖς ἃ ταχύτερον 3
τὰ φύλλα προάγουσι, τί νοητέον; Αἱ διαθέσεις τῶν ὑγρῶν εἰσὶ πολλαί. [1]Ὁπόταν γοῦν ἡ θερμότης τοῦ ἡλίου ἄρξηται διασπείρειν τὰ μέρη τοῦ ὕδατος, ἄνω ἐφέλκεται ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος, καὶ βραδύνει ἡ πεπειρότης, διότι ἡ πέψις τοῦ καρποῦ οὐκ ἔστιν εἰ μὴ ἐν συμπήξει, καὶ προηγοῦνται τὰ φύλλα τῶν καρπῶν τῇ προσαγωγῇ τῆς πολλῆς ὑγρότητος. Πολλάκις δὲ συμβαίνει αὐτοῖς καὶ πιότης, ὁπόταν ἡ 4
ὑγρότης [w]ἡ ἐν τῷ φυτῷ πέψιν λάβῃ καὶ ἀναβῇ ἐξ αὐτῆς [w]ἀτμὶς πυκνή, καὶ ἑλκύσῃ αὐτὴν ὁ ἀὴρ μετὰ τοῦ ἡλίου· τότε γὰρ ἐξέρχεται ἐκ τῆς ὑγρότητος ἐκείνης καὶ πιότης καὶ καρπὸς καὶ φύλλα μιᾷ ἐκθέσει. Οἱ παλαιοὶ δὲ σοφοὶ τὰ φύλλα πάντα καρποὺς εἶναι διεβεβαιοῦντο. [1]Ἰστέον οὖν ὡς ὁπόταν 5
ἡ ὑγρότης ἐστὶ τόση ὥστε μὴ πεπαίνεσθαι [x]μηδὲ συμπήγνυσθαι διὰ τὴν ἐκ τοῦ ἀέρος ἀνάπτυξιν καὶ τὴν ἄνωθεν σπουδὴν τῆς ἐφελκύσεως τοῦ ἡλίου, τότε ἡ ὑγρότης αὕτη, εἰς ἣν [y]οὐκ ἐνηργήθη πέψις, ἀλλοιοῦται εἰς φύλλα· ἃ δὴ οὐκ ἔχουσιν ἄλλον σκοπὸν εἰ μὴ τὴν ἐφέλκυσιν τῆς ὑγρότητος, καὶ ἵνα ὦσι καὶ περικαλύμματα τῶν καρπῶν ἀπὸ τῆς σφοδρότητος τοῦ ἡλίου. Οὐ τοίνυν ὁμοίως δεῖ ἵνα τὰ φύλλα ὦσιν ὡς οἱ 6
καρποί· ὁ γὰρ χυμὸς ὁ ἀναβαίνων ἀλλοιωθείς, οὗτός ἐστι τὰ φύλλα, ὡς εἴπομεν. Τοιουτοτρόπως ἐστὶν ἡ κρίσις [z]καὶ ἐν ταῖς ἐλαίαις, αἳ πολλάκις στερίσκονται τῶν ἰδίων καρπῶν. [1]Ὁπόταν γὰρ ἡ φύσις πέψιν ποιήσῃ, ἀναβαίνει πρώτως ἐκ 7
τῆς λεπτότητος, ὅπερ οὐκ ἐπεπάνθη ἐκ τῆς θερμότητος. [u]Ἔστιν οὖν αὕτη ἡ ὑγρότης φύλλα. [1]Ἡ δὲ πέψις ἐστὶν

[t] χρυσίτης Q[a]. [v] παχύνει N[a]. [w] ἡ et ἀτμὶς om. N[a]. [x] πήγνυσθαι N[a]. [y] οὐκ post ἣν om. N[a]. [z] καὶ om. N[a].

ἄνθος. [v]Οταν δὲ τελειωθῇ τῷ δευτέρῳ ἔτει ἡ πέψις, γεννῶνται καρποί, καὶ ἐκβαίνει εἰς τέλος ἡ ὕλη κατὰ [a]τὸν τόπον
8 τὸν ἐν [b]αὐτοῖς. Αἱ ἄκανθαι ὡσαύτως εἰσὶν ἐκ τοῦ γένους τῶν φυτῶν, οὐ μὴν τῆς αὐτῆς φύσεως. Λέγω γοῦν ὅτι ἐν τῷ φυτῷ ἐστὶν ἀραιότης, καὶ ἐν τῇ ἀρχῇ τῆς φύσεως αὐτοῦ ἐστὶ πέψις, καὶ ἀναβαίνει ὑγρότης ψυχρὰ καὶ μετ' αὐτῆς βραχεῖα διάκρισις, διερχομένη ἐν ἐκείνῃ τῇ ἀραιότητι. Ποιεῖ γοῦν ταύτην συμπήγνυσθαι ὁ ἥλιος, κἀντεῦθέν εἰσιν αἱ ἄκανθαι.
9 Διὰ τοῦτο καὶ τὸ εἶδος αὐτῶν ἐστὶ πυραμοειδές· ἔστι γὰρ ἡ βάσις αὐτῶν ἀρχομένη ἀπὸ [c]παχέος καὶ προχωροῦσα εἰς ἰσχνόν. Τοῦτο δὲ γίνεται, διότι κατὰ βραχὺ ὁ ἀὴρ ἐπεκτεινόμενος τῷ φυτῷ αὐξάνει τὰ μέρη αὐτοῦ μετ' ἐπιτάσεως τῆς ὑλικῆς. Τοιουτοτρόπως καὶ πᾶν δένδρον ἢ φυτὸν γίνεται, οὗ ἡ κεφαλή ἐστι πυραμοειδής.

8 [t]Η χλοάζουσα δὲ χροιὰ ὀφείλει εἶναι πρᾶγμα κοινότατον ἐν τοῖς δένδροις. Βλέπομεν γὰρ ὅτι, ὥσπερ κοινή ἐστιν ἡ λευκότης ἐντός, οὕτως καὶ ἡ χλοερότης ἐκτός. Καὶ τοῦτό ἐστιν, ὅτι ὕλῃ χρῶνται [d]πλησιωτέρᾳ ἤγουν μᾶλλον πεπεμ-
2 μένῃ. Δεῖ τοίνυν ἵνα ᾖ χλοερότης ἐν πᾶσι τοῖς φυτοῖς, ὅτι αἱ ὗλαι ἕλκουσι καὶ ἀραιοῦσι τὸ ξύλον τοῦ δένδρου, βραχεῖάν [e]τε ἡ θερμότης πέψιν ἐργάζεται, καὶ ἀπομένει [f]τι ἐκεῖ ὑγρόν, ὃ φαίνεται ἔξωθεν· καὶ τοῦτό ἐστιν ἡ χλοερότης ἡ ἐν τοῖς φυτοῖς, ἐὰν μὴ μεῖζων γένηται ἡ πέψις. [t]Οφείλει δὲ εἶναι
3 μέση ἐν τοῖς φύλλοις καὶ ἐν τοῖς ξύλοις τῇ δυνάμει. [t]Η δὲ χλοερότης οὐ φθείρεται, ἐὰν ᾖ ὑγρότης ἐν αὐτῇ, ἥτις ἐστὶν ἐκ τοῦ γένους τῆς γῆς. [t]Ἐξ ἀμφοτέρων γοῦν τούτων ἡ χροιὰ γίνεται ἡ χλοερά. Τούτου σημεῖον ὅτι οἱ φλοιοὶ τοῦ δένδρου, ὅταν ξηραίνηται αὐτό, [g]μελαίνονται, ἐντὸς δέ εἰσι λευκοί. [t]Ἐν τοῖς δένδροις γοῦν μεταξὺ τῶν δύο χρωμάτων
4 χρῶμα χλοερὸν γίνεται ἐν τῇ ἐπιφανείᾳ αὐτῶν. Τοῦ δὲ σχήματος τῶν φυτῶν τρεῖς εἰσὶ τρόποι· τινὰ γὰρ ἄνω προ-

[a] τὸν post κατὰ om. Q[a]. [b] αὐταῖς N[a]. [c] παχέων N[a].Q[a]. [d] πλουσιωτέρα γρ. Q[a]. [e] τε] δὲ καὶ Q[a]. [f] ἐκεῖ τι N[a]. [g] μελαίνεται N[a].

χωροῦσι, τινὰ κάτω, [h]τινὰ μέσον. Τὰ μὲν οὖν ἄνω ἐκτεινόμενα ἔχουσιν αἰτίαν, ὅτι ἡ φύσις αὐτῶν φαίνεται ἐν τῇ ἐντεριώνῃ, καὶ ἕλκει τὴν θερμότητα, καὶ συμπιέζει ἐν ἑαυτῇ τὸν ἀέρα τὸν ὄντα ἐν ταῖς ἀραιότησιν αὐτῆς. Πυραμιδοῦνται 5
δέ, ὥσπερ πυραμιδοῦται τὸ πῦρ ἐν ταῖς ἰδίαις ὕλαις καὶ κουφίζεται. [v]Ὅσα δὲ κάτω ἐκτείνεται, τούτων οἱ πόροι συμπήγνυνται. [v]Ὅταν [i]γὰρ πέψις γένηται, τότε ἡ ὕλη πυκνοῦται τοῦ ὑγροῦ, ἐν ᾧ ἐστὶν ἡ ἐντεριώνη. Κἀντεῦθεν ἐκπορεύεται μὲν τὸ λεπτὸν ἄνω, ἐπαναστρέφει δὲ τὸ ὑγρὸν πρὸς τὰ μέρη ἐκεῖνα κάτω· κινεῖ γὰρ ταύτην ἡ οἰκεία βαρύτης.
[h]Α δὲ φυτὰ μέσον τῶν δύο εἰσίν, ἔχουσιν οὕτως. Λεπτύνε- 6
ται τὸ ὑγρόν, ὅτι ἡ φύσις τῆς εὐκρασίας γειτνιάζει τῇ πέψει, εἰσί [k]τε καὶ οἱ πόροι μέσοι, καὶ ἡ ὕλη ἐπεκτείνεται καὶ ἄνω καὶ κάτω. [l]Ἔστι δὲ ἡ μὲν πρώτη πέψις ὑπὸ τὸ φυτόν, 7
ἡ δὲ δευτέρα ἐν τῇ ἐντεριώνῃ, ἥτις ἐξέρχεται μὲν ἀπὸ τῆς γῆς, ἔστι [l]δὲ καὶ ἐν τῷ μέσῳ τοῦ φυτοῦ· καὶ μετὰ ταῦτα γίνεται ἡ διαίρεσις, ἥτις συμβαίνει ἀπὸ τῆς δευτέρας, οὐκ ἀπὸ τῆς πρώτης πέψεως. [h]Ἡ δὲ τρίτη πέψις ἐστὶν ἐν τῷ 8
ζῴῳ· οὐ γὰρ γίνεται αὕτη ἡ πέψις εἰ μὴ διὰ τὴν διαίρεσιν τῆς φύσεως τῶν μελῶν καὶ τὴν διάστασιν τῶν φυσικῶν πρὸς ἄλληλα. Τὰ δὲ φυτὰ γείτονά εἰσι πρὸς ἑαυτά, καὶ διὰ τοῦτο πληθύνονται ἐν πολλοῖς τόποις. [h]Ὡς ἐπὶ τὸ πλεῖστον δὲ ἡ ὕλη τῶν φυτῶν κάτω ἐκτείνεται. Τὰ σχήματα τοίνυν 9
τῶν φυτῶν εἰσὶν ἐν τῇ φύσει καὶ τῇ ποσότητι τῶν σπερμάτων, τὰ ἄνθη δὲ τῶν φυτῶν καὶ οἱ καρποί εἰσιν ἐν ταῖς ὑγρότησι καὶ ἐν ταῖς ὕλαις. Κεῖται τοίνυν ἡ πρώτη κίνησις καθολικῶς καὶ ἡ πέψις ἐν πᾶσι τοῖς ζῴοις, καὶ οὐκ ἀποχωροῦσιν ἀπ' αὐτῆς πάντα τὰ ζῷα. [l]Ἐν τοῖς φυτοῖς δέ ἐστιν ἡ 10
πρώτη πέψις, εἶτα ἡ πέπανσις κατὰ τὴν τροφὴν αὐτῶν. [v]Ἕκαστον [m]οὖν δένδρον ἀναβαίνει ἀεί, ἕστ' ἂν πληρωθείη. Αἰτία δὲ αὕτη ἐστίν, ὅτι ἐπὶ μὲν τῶν ζῴων ἑκάστου τὸ μῆκος πλησίον ἐστὶ τοῦ ἰδίου πλάτους, ἐν τῷ φυτῷ δὲ πόρρω, ὅτι

[h] τινὰ δὲ μέσον Q[a]. [i] γὰρ] δὲ N[a]. [k] τε] δὲ Q[a]. [l] δὲ] τε N[a].Q[a]. [m] γοῦν N[a].

ἡ ῥίζα αὐτοῦ, ἤγουν τὸ πῦρ καὶ τὸ ὕδωρ, σπεύδουσιν εἰς ἀνά-
11 βασιν, ἵνα δημιουργηθῇ τὸ φυτόν. [t]Ἡ διαφορὰ δὲ τῶν φυ-
τῶν ἐν τοῖς κλάδοις ἐστὶν ἐκ τῆς περιττῆς ἀραιότητος. [v]Οταν
γὰρ συμπιεσθῶσιν οἱ χυμοί, θερμαίνεται ἡ φύσις καὶ σπεύδει
εἰς τὴν πέψιν, κἀντεῦθεν τυποῦνται οἱ κλάδοι καὶ [n]φύεται
τὰ φύλλα, ὡς προείπομεν.

9 Τὸ δὲ τὰ τῶν δένδρων φύλλα πίπτειν ἐστὶ διὰ τὴν ἐπι-
φορὰν τῆς ὀξείας ἀραιότητος. [v]Οταν γὰρ πεφθῇ ἡ ὑγρό-
της μετὰ τῆς ὕλης, πυραμιδοῦται, καὶ μετὰ ταῦτα κατι-
σχναίνουσι. Καὶ ὅταν φανῇ ἡ ὕλη τῇ πέψει πεπληρωμένη,
τότε τελείως βύονται τὰ ἄκρα τῶν πόρων ἄνω. Καὶ διὰ
ταῦτα ἐπεὶ τὰ φύλλα οὐκ ἔχουσιν ὕλην, ξηραίνονται καὶ
2 πίπτουσιν. [t]Ἐὰν δὲ συμβῇ τὸ ἐναντίον ὧν εἴπομεν, οὐ πίπτει
τὸ φυτὸν εἰς στέρησιν τῶν ἰδίων φύλλων. [v]Οταν δὲ πάλιν
κινήσῃ τὸ φυτὸν ψυχρότης, θερμαίνει αὐτὸ ἡ ἐγκλειομένη
τούτῳ θερμότης, καὶ ἡ φανέρωσις τῆς ψυχρότητος γίνεται
ἐκτὸς ἐν τοῖς ἄκροις αὐτοῦ, καὶ ἀποτελοῦνται ἐντεῦθεν τὰ
φύλλα γλαυκά, καὶ οὐδὲ πίπτουσιν, ὡς οὐδὲ ἐπὶ τῶν ἐλαιῶν
3 καὶ τῶν μυρσινῶν καὶ τῶν λοιπῶν. [t]Οπόταν δὲ ἔχωσι τὰ
δένδρα καὶ τὰ φυτὰ δύναμιν τοῦ ἕλκειν σφοδρῶς, γίνεται
καρποφορία ὁμοῦ· ἥτις συμβαίνει, ὅτι χρῆται ἡ φύσις πέ-
ψει κατὰ διαδοχὴν συχνῇ, καὶ ἐν ἑκάστῃ πέψει καρπὸν προ-
άγει πολύν. Καὶ διὰ τοῦτο τινὰ φυτὰ καὶ πολλάκις ἐν τῷ
4 χρόνῳ καρποφοροῦσι. Τὸ δὲ φυτὸν ὅπερ ἐστὶν ὡς ἡ φύσις
τοῦ ὕδατος, μόλις καρποφορεῖ διὰ τὴν ἐπικράτειαν τῆς ὑγρό-
τητος αὐτοῦ καὶ τὸν πλατυσμὸν τῶν ἰδίων πόρων καὶ τὴν
ἀπορροὴν τῶν ἰδίων ῥιζῶν. [v]Οτε δὲ ἰσχυροποιηθῇ τὸ θερ-
μόν, ταχύνει τε ἡ τούτου πέψις, καὶ λεπτύνεται ἡ ὑγρότης
καὶ οὐ συμπήγνυται· οὐδ' οὕτως πάλιν [o]γίνεσθαι καρποφο-
5 ρίαν συμβαίνει. Καὶ τοῦτο εὑρίσκεται ἐν πάσαις ταῖς βοτά-
ναις ταῖς λεπταῖς, ἀλλὰ δὴ καὶ ἔν τισι λαχάνοις. Φαίοτης
δὲ γίνεται ἐν τόποις σφόδρα θερμοῖς, καὶ ἔστιν ἐν τούτοις

[n] φαίνεται Na. [o] συμβαίνει γίνεσθαι καρποφορίαν Na.

ὀλίγος καρπὸς ἐκ τῆς ὑγρότητος, διότι εἰσὶ [p]στενοὶ οἱ πόροι. [u]Ὅταν γοῦν θελήσῃ ἡ φύσις πέψιν ποιῆσαι, μὴ ἔχουσα ὑγρότητα ἀρκοῦσαν τῇ ὕλῃ, τότε γίνονται οἱ πόροι στενώτεροι. [t]Ἐπαναστρέφει γοῦν ἡ πέψις, καὶ συνεχῆ ταύτην ποιεῖ ἡ θερ- 6
μότης, καὶ φαίνεται τότε τὸ μέσον λευκοῦ καὶ μέλανος ἐν χρώματι. Καὶ ὅτε τοῦτο τοιουτοτρόπως γένηται, τότε τὸ ξύλον φθάνει γίνεσθαι μέλαν, καὶ πᾶν τὸ πλησιάζον τῷ φαιῷ· καὶ τοῦτο ἔστιν ἰδεῖν ἀπὸ τοῦ ἐβένου καὶ τῆς πτελέας. [s]Ὁ δὲ ἔβενος καταδύεται ἐν τῷ ὕδατι, ὅτι τὰ μέρη αὐτοῦ εἰσὶ 7
συμπεπηγότα καὶ οἱ πόροι στενοί, καὶ ἀὴρ οὐκ εἰσέρχεται ἐν αὐτοῖς. [r]Ὁ δὲ ἐκ τῶν ξύλων τῶν [q]λευκῶν βυθίζεται, ἔστι διὰ τὴν στενότητα τῶν πόρων καὶ τὴν περιττότητα τῆς ὑγρότητος τῆς βυούσης τοὺς πόρους, ὥστε μὴ ἐξέρχεσθαι ἀπ' αὐτῶν ἀέρα. Τὸ δὲ ἄνθος ἐκ λεπτῆς μόνον ὕλης ἐστίν, 8
ὅταν ἄρξηται ἡ πέψις· καὶ διὰ τοῦτο προηγεῖται τοῦ φυτοῦ, ὡς ἐδείξαμεν. [o]Ἐντεῦθεν [p]γοῦν δεικνύομεν καὶ τὴν αἰτίαν δι' ἣν τὰ φυτὰ ἐκφέρουσι φύλλα πρότερον, εἶτα καρπούς. [n]Ὁ δὲ ἐν τῷ φυτῷ τῷ ἔχοντι στενοὺς πόρους γίνεται χρῶμα, ἔσται ἐν χρώματι σαπφειρίνῳ, καὶ διότι συμπιέζονται αὐτοῦ τὰ μέρη, εἰς λευκότητα κλίνει. [u]Ὅταν δὲ εἰς εὐκρασίαν φθά- 9
σῃ, ἐστὶ γλαυκόν. Διότι δέ τινα φυτὰ ἄνθη οὐκ ἔχουσιν, ἔστιν ἡ αἰτία ὅτι ὡς ἐπὶ τὸ πλεῖστον γίνεται τοῦτο διὰ τὴν διαφορὰν τῶν ἐν αὐτοῖς μερῶν καὶ τὴν ἐν αὐτοῖς λεπτότητα καὶ τραχύτητα καὶ παχύτητα. Οὐκ [s]ἔχουσι δὲ ἄνθη φοίνικες, 10
συκαῖ καὶ τὰ τούτοις ὅμοια. Τὸ δὲ φυτὸν τὸ παχεῖς ἔχον φλοιοὺς ἐκτείνεται κατὰ τὴν ἔκτασιν τῆς ὑγρότητος καὶ τὴν συνώθησιν τῆς θερμότητος. Καὶ τοῦτό ἐστιν ἐν τῇ πεύκῃ καὶ τῷ φοίνικι. Τὸ δὲ φυτὸν τὸ γάλα ἐκβάλλον ἔχει τοῦ- 11
το ἐν τῷ μέσῳ. [u]Εστι [t]δὲ ἡ θερμότης ὑποκάτω ἰσχυροτέρα, καὶ μένει ἐκεῖ πιότης. [t]Ὁπόταν οὖν ἄρξηται ἡ θερμότης πέττειν, στρέφεται ἡ πιότης εἰς τὴν οἰκείαν ὑγρότητα, καὶ συμπήγνυσι ταύτην συμπήξει [v]βραχείᾳ. Καὶ 12

[p] στερροὶ Na. [q] λεπτῶν Na. [r] οὖν Na. [s] ἔχει Na. [t] τε Na. [v] τραχεία Na.

θερμαινομένου τοῦ τόπου γίνεται ἡ ὑγρότης λιπαρά, ὁμοία γάλακτι, ἐγείρεταί τε ἀναθυμίασις ἀπὸ τῆς ὑγρότητος τῆς ἑλκούσης τὸ γάλα ἐκεῖνο εἰς τὰς ἀκρότητας, καὶ κατέχει ἡ ὑγρότης τὴν θερμότητα τὴν φαινομένην, καὶ οὕτω συμπήγνυται τὸ γάλα· φύσις γάρ ἐστι τῆς θερμότητος τὸ συμ-
13 πηγνύειν. [t]Οποῖον δή τι δὲ γάλα πολλῆς ἐστὶ συμπήξεως, τότε γίνεται, ὅταν ἐν τῷ δένδρῳ [w]φανῇ ψῦχος· συμπηγνύμενον γὰρ μετὰ ταῦτα ἐξέρχεται ἀπὸ τοῦ οἰκείου τόπου. Καὶ ἐντεῦθέν ἐστι τὸ κόμι. Τὸ κόμι δὲ τὸ θερμὸν προέρχεται ἐν τῷ στάζεσθαι· ὁπόταν γοῦν τοῦ ἀέρος ἅψηται, συμπήγνυται καὶ καταρρεῖ ἐν τόπῳ εὐκράτῳ, καὶ ἔστιν
14 ὅμοιον ὕδατι. [v]Ετερον δὲ χέεται καὶ συμπήγνυται ὅμοιον λίθοις ἢ κογχυλίοις. [v]Οτε δὲ κατὰ στράγγα ῥεῖ, μένον ἐν τῷ οἰκείῳ εἴδει γίνεται ὡς τὸ λεγόμενον σμηρίον. Τὸ δὲ ἀλλοιούμενον ὡς λίθος ἐστὶ κατὰ τὸ φαινόμενον λίαν ψυχρόν. Ποιεῖ δὲ τοῦτο ἡ θερμότης τοιοῦτον εἶναι· ὅταν δὲ
15 ᾖ ψῦχος καὶ καταρρῇ, ἀπολιθοῦται. Πάλιν τῶν δένδρων τινὰ ἀλλοιοῦνται ἐν τῷ χειμῶνι, καὶ ποτὲ μὲν γίνονται χλοερὰ ποτὲ δὲ γλαυκά, καὶ οὐ φθείρονται οὔτε τὰ φύλλα αὐτῶν οὔτε οἱ καρποί, ὅτι τὰ φυτὰ ἐν οἷς τοῦτο συμβαίνει ἔχουσιν ἐπάνω θερμότητα παχεῖαν καὶ ἐν ταῖς ῥίζαις ὑγρότητα λεπτήν· ὅθεν ἐν τῇ προόδῳ τοῦ ἔτους κατέχει ἡ ὑγρό-
16 της ἐκεῖνο τὸ χρῶμα διὰ τὴν ψυχρότητα τοῦ ἀέρος. Καὶ ὅτε παραβάλλει ἡ θερμότης πρὸς τὴν ψυχρότητα, ὠθεῖ ἡ θερμότης τὴν ὑγρότητα ἔξωθεν, μετὰ τοῦ οὖπερ [x]ἔβαψε χρώματος τοῦ ἐν τῇ ἐπιφανείᾳ τοῦ δένδρου ἀκολουθοῦντος. [v]Οτε δὲ στρέφεται πάλιν ἡ ψυχρότης καὶ ἡ ξηρότης εἰς ἐνέργειαν, καὶ ἡ ὑγρότης κατέχει τὴν θερμότητα, τότε τὸ χρῶμα φαίνεται τὸ γλαυκόν.

10 Πικρὸς δὲ γίνεται καρπός, ὅτε ἡ θερμότης καὶ ἡ ὑγρότης οὐκ εἰσὶ πλήρεις ἐν τῇ πέψει. [t]Η ψυχρότης γὰρ καὶ ἡ ξηρότης ἐμποδίζουσι τὴν τελείωσιν, καὶ οὕτω στρέφεται εἰς πικρίαν ὁ καρπός. Τούτου σημεῖον ὅτι τὸ πικρὸν εἰς πῦρ

w ψύχος φανῇ Na. x ἔβλαψε Na.

ἐμβληθὲν γλυκὺ γίνεται. Δένδρα δὲ ὅσα γεννῶνται ἐν ὕδατι ὀξώδει, ποιοῦσι καρπὸν γλυκύν, διότι τὸ ὀξῶδες ἕλκει μετὰ θερμότητος τοῦ ἡλίου, ὅπερ ἐστὶ τῆς ἰδίας [y]ποιότητος. Καὶ 2
τοῦτο ψυχρότης ἐστὶ καὶ ξηρότης· κἀντεῦθεν ἀπομένουσιν ὑγρότητές τινες ὀλίγαι ἔνδον γλυκεῖαι. Θερμαίνεταί τε καὶ ἡ κοιλία τοῦ δένδρου, ὅταν προσμείνῃ ἐς αὐτὴν ὁ ἥλιος, καὶ οὕτως γίνεται ὁ χυμὸς τοῦ καρποῦ στύφος ὀλίγον. Καὶ ὅσον πλέον πεπεμμένος γένηται, διαλύεται κατὰ μικρὸν τὸ ὀξῶδες, ἔστ' ἂν καταναλωθείη καὶ φανῇ ἡ γλυκύτης. [1]Ἔσται 3
τοίνυν ὁ καρπὸς γλυκύς, τὰ δὲ φύλλα αὐτοῦ καὶ οἱ ἀκρέμονες ξηροί. [v]Ὅταν δὲ τελειωθῇ ἡ πεπειρότης, ἐπὶ πλέον γίνεται ὁ καρπὸς πικρός. Τοῦτο δέ ἐστι διὰ τὴν περισσὴν θερμότητα μετὰ βραχείας ὑγρότητος. Καταναλίσκεται γὰρ ἡ ὑγρότης, ποιεῖ τε ὁ καρπὸς τὴν θερμότητα ἀναβαίνειν, καὶ ἐστὶ τότε ὁ καρπὸς πικρός. Γίνονται δὲ καὶ οἱ 4
πυρῆνες πυραμοειδεῖς διὰ τὴν ἐφέλκυσιν τοῦ θερμοῦ καὶ τὴν περιττὴν ψυχρότητα [z]καὶ ὑγρότητα τὴν ἐντὸς κειμένην, ἃ εἰσιν ἐκ γένους τοῦ ὀξώδους ὕδατος. Μένει γὰρ τὸ ὑγρὸν ἐν μέσῳ καὶ καταπυκνοῦται καὶ ἰσχναίνει τὰ ἄκρα. Τὰ δέν- 5
δρα δὲ τὰ ὄντα ἐν γῇ εὐκράτῳ ἐπισπεύδουσι τὴν πεπειρότητα πρὸ τῶν χειμερινῶν ἡμερῶν, ὅτι ἡ θερμότης ὅταν ᾖ πλησίον τῆς εὐκρασίας, γένηται δὲ καὶ ἡ ὑγρότης φανερὰ καὶ ὁ ἀὴρ καθαρός, καὶ οὐ δεῖται ὁ καρπὸς πολλῆς ὑγρότητός τε καὶ πέψεως, σπεύδει τότε ἡ [a]τοῦδε πεπειρότης, καὶ πρόεισι πρὸ ἡμερῶν χειμερινῶν. [1]Ἐν πᾶσι γοῦν τοῖς δέν- 6
δροις, ὅτε πρῶτον φυτευθῶσιν, ἐπικρατεῖ τὸ πικρὸν ἢ τὸ στρυφνόν, ἐπεὶ ἡ ὑγρότης ὅταν ἐν τοῖς ἄκροις γένηται αὐτῶν, πέττει τοὺς τόπους τοὺς ὄντας ἐν τῷ μέσῳ τῶν δένδρων, ἐξ ὧν ἐστὶ καὶ ἡ ὕλη τῶν καρπῶν, [b]προέρχεταί τε ξηρότης καὶ ἐπακολουθεῖ τῇ ὑγρότητι, καὶ οὕτω γίνεται [c]ἡ πρώτη πέψις δριμεῖα ἢ πικρὰ ἢ στρυφνή. Αἰτία δέ ἐστιν 7
ὅτι μετὰ θερμότητος καὶ ὑγρότητός ἐστι πέψις. [v]Ὅταν δὲ

[y] πιότητος Q[a]. [z] καὶ ὑγρότητα om. Q[a]. [a] τούτου Q[a]. [b] περιέχεται Q[a]. [c] ἡ πρώτη om. Q[a].

ἐπικρατήσῃ ὑγρότης καὶ ξηρότης τοῦ θερμοῦ, ἔστιν ἐξ αὐτοῦ καρπὸς ἐν τῇ ἀρχῇ οὐκ εὔπεπτος, διότι ἡ γέννησις τοῦ καρποῦ ἐν τῇ ἀρχῇ ἐστὶ χωρὶς γλυκύτητος. Τῶν μυροβαλάνων δὲ δένδρων ἐν τῇ ἀρχῇ, ὅταν φανῶσιν, οἱ καρποί εἰσι γλυκεῖς· κοινῶς δέ εἰσι στρυφνοὶ καὶ ἐν τῇ κράσει αὐτῶν πικροί.
8 Αἰτία δέ ἐστιν ὅτι τὸ δένδρον αὐτῶν ἐστὶν ἀραιὸν τοῖς κλάδοις. Ἐν ὥρᾳ δὲ πέψεως, ὅταν ὦσιν οἱ πόροι πλατεῖς, ἕπεται θερμότης τῇ ὑγρότητι, καὶ πεπειροῦνται οἱ καρποί, καὶ ἐστὶν ἐν τῇ ἀρχῇ γλυκεῖς. Πάλιν ἀκολούθως ἕλκει διὰ τὴν ἀραιότητα τοῦτο τὸ δένδρον πόρους, ἐπικρατεῖ τε ψυχρότης καὶ ξηρότης τοῦ θερμοῦ καὶ ὑγροῦ, κἀντεῦθεν ἀλλοι-
9 οῦνται οἱ καρποὶ εἰς στρυφνότητα. Ἐπικρατεῖ πάλιν ὁ ἥλιος μετὰ τῆς θερμότητος διὰ τῆς ἐφελκύσεως τῆς περιττῆς ξηρότητος ἐν τῷ σπέρματι ἐκείνῳ, ὅπερ ἐστὶν ἐν τῇ ἐπιφανείᾳ τῶν δένδρων, νικᾷ τε ἡ ψυχρότης τὴν ξηρότητα, καὶ εἰσὶν οἱ καρποὶ ἰσχυρᾶς στρυφνότητος. Ἐντεῦθεν δὲ πάλιν ἀναβαίνει θερμότης φυσικὴ ἄνω, καὶ βοηθεῖ αὐτῇ ἡ θερμότης τοῦ ἡλίου ἔξωθεν, νικᾷ τε ἡ θερμότης καὶ ἡ ξηρότης, καὶ γίνονται οἱ καρποὶ πικροί.

[a] ΠΕΡΙ ΘΑΥΜΑΣΙΩΝ ΑΚΟΥΣΜΑΤΩΝ.

[b] [d]Ἐν τῇ Παιονίᾳ φασὶν ἐν τῷ ὄρει τῷ [f]Ἠσαίνῳ καλουμένῳ, ὃ τὴν Παιονικὴν καὶ τὴν [c]Μαιδικὴν ὁρίζει, εἶναί τι θηρίον τὸ καλούμενον βόλινθον, ὑπὸ δὲ τῶν Παιόνων [d]μόναιπον. Τοῦτον [e]λέγουσι τὴν μὲν ὅλην φύσιν παραπλήσιον 2
εἶναι [f]βοΐ, [g]διαφέρειν δὲ τῷ μεγέθει καὶ τῇ [h]εὐρωστίᾳ, προσέτι δὲ καὶ τῇ χαίτῃ· ἔχει γὰρ ἀπὸ τοῦ αὐχένος, [i]ὥσπερ ὁ ἵππος, κατατείνουσαν βαθεῖαν σφόδρα, καὶ ἀπὸ τῆς [k]κορυφῆς ἕως τῶν ὀφθαλμῶν. [l]Τὰ δὲ κέρατα οὐχ ὥσπερ 3
οἱ βόες, ἀλλὰ κατεστραμμένα, καὶ τὸ ὀξὺ κάτω [m]παρὰ τὰ ὦτα· χωρεῖν δὲ αὐτὰ [n]ἡμιχόου πλεῖον ἑκάτερον αὐτῶν, καὶ [o]μέλανα σφόδρα εἶναι, διαστίλβειν δὲ [p]ὡσανεὶ λελεπισμένα. [v]Ὅταν δὲ ἐκδαρῇ τὸ δέρμα, κατέχειν τόπον ὀκτακλίνου. [r]Ἡνίκα δὲ [q]πληγῇ, [r]φεύγει, κἂν [s]ἐξαδυνατοῦν μένει. [t]Ἔστι 4
[t]δὲ ἡδύκρεων. [t]Ἀμύνεται δὲ λακτίζον καὶ προσαφοδεῦον ὡς ἐπὶ τέτταρας ὀργυιάς· ῥᾳδίως δὲ χρῆται τούτῳ [v]καὶ [w]πολλάκις [x]τῷ εἴδει, καὶ ἐπικαίει δ' ὥστ' [y]ἀποψήχεσθαι τὰς τρίχας τῶν κυνῶν. [z]Τεταραγμένου μὲν οὖν τοῦτο ποιεῖν 5

Codices Q.B[a].K[a].N[a].O[a].R[a].S[a].T[a].U[a].V[a]. Tit. [a] *θαυμασίων*] *παραδόξων* S[a].T[a].

[b] Capitum 1—31. loco Q.K[a].N[a].O[a]. capita ponunt 151—178. sed prima verba *ἐν τῇ—ὀφθαλμῶν* post c. 176. ponunt Q.O[a], utrobique K[a].N[a]. [c] Μαιδικὴν Sylburgius: codices *μηδικήν*. [d] *μόναιπον τοῦτον* K[a].N[a]: ceteri *μόνεπον τοῦτο*. [e] *λέγουσι* K[a].N[a].S[a].T[a]: ceteri *λέγεται*. [f] *βοΐ* K[a].N[a]: ceteri *τῷ βοΐ*. [g] *διαφέρει* T[a]. [h] *ἀρωστία* B[a].V[a]. [i] *ὥσπερ—οὐχ* om. V[a]. [k] *κορυφαίας* S[a]. [l] *τὰ δὲ*—cap. 31. *βεβιῶσθαι* om. K[a].N[a]. [m] *περὶ* S[a]. [n] *ἡμιχήου* B[a], *ἡμιπηχύου* V[a]. [o] *μέλανα* R[a].V[a]: ceteri *μέλαν*. [p] *ὡσανεὶ* T[a].V[a]: ceteri *ὡς εἶναι*. [q] *πληγῶν* B[a]. [r] *φέγει* T[a]. [s] *ἐξαδυνατεῖ* B[a].R[a].V[a]. [t] *δὲ*] *δὲ καὶ* T[a]. [v] *καὶ* add. S[a].T[a]. [w] *πολλῷ* T[a]. [x] *τῷ εἴδει* om. S[a].T[a]. [y] *ἀποψύχεσθαι* B[a]. [z] *τεταραγμένον μὲν οὖν τοῦτον* V[a]. et omisso *μὲν* S[a].T[a].

φασὶ τὸν ἄφοδον, ἀταράχου δὲ μὴ ἐπικαίειν. [v]Ὅταν δὲ [a]τίκτωσι, πλείους [b]γενόμενοι καὶ συναχθέντες ἅμα πάντες οἱ μέγιστοι τίκτουσι καὶ κύκλῳ προσαφοδεύουσι· πολὺ γάρ τι τούτου τοῦ περιττώματος τὸ θηρίον [c]προΐεται.

2 [d]Τοὺς ἐν [t]Ἀραβίᾳ φασὶ καμήλους μὴ ἀναβαίνειν ἐπὶ τὰς μητέρας, ἀλλὰ κἂν βιάσηταί τις, οὐ θέλουσι. Καὶ γάρ ποτε λέγεται, ἐπεὶ οὐκ ἦν ὀχεῖον, τὸν ἐπιμελητὴν καλύψαντα ἐφεῖναι τὸν πῶλον. [e]Ὡς δ' ὀχεύοντος ἐπέβη, τότε μέν, ὡς ἔοικε, συνετέλεσε, [f]μικρῷ δ' ὕστερον δάκνων τὸν [g]καμηλίτην ἀπέκτεινεν.

3 Τοὺς [h]κόκκυγάς φασι [i]τοὺς [k]ἐν [t]Ἑλίκῃ, ὅταν [l]μέλλωσι τίκτειν, μὴ ποιεῖν [m]νεοττιάν, ἀλλ' ἐν ταῖς [n]τῶν [o]φαττῶν ἢ ταῖς τῶν [p]τρυγόνων ἐντίκτειν, καὶ μήτ' ἐπῳάζειν μήτ' ἐκκολάπτειν μήτε τρέφειν αὐτούς· ἀλλ' ὅταν γεννηθῇ ὁ νεοττὸς καὶ ἐκτραφῇ, μεθ' ὧν ἂν [q]οὗτος συνῇ, τούτους ἐκ τῆς [r]νεοττιᾶς ἐκβάλλειν. Γίνεται δ', ὡς [s]ἔοικε, μέγας καὶ καλός, ὥστε ῥᾳδίως κατακρατεῖν τῶν λοιπῶν. Τούτῳ δὲ χαίρειν φασὶ καὶ τὰς [t]φάττας οὕτως ὥστε καὶ αὐτὰς συνεκβάλλειν ἐκείνῳ τοὺς ἰδίους νεοττούς.

4 [v]Αἱ ἐν Κρήτῃ αἶγες ὅταν τοξευθῶσι, ζητοῦσιν, ὡς ἔοικε, τὸ [w]δίκταμον τὸ ἐκεῖ φυόμενον. [v]Ὅταν γὰρ φάγωσιν, εὐθὺς ἐκβάλλουσι τὰ τοξεύματα.

5 Φασί [x]τινας ἐν [t]Ἀχαΐᾳ τῶν ἐλάφων, ὅταν [y]ἀποβάλωσι τὰ κέρατα, εἰς [z]τοιούτους τόπους [a]ἔρχεσθαι [b]ὥστε μὴ ῥᾳδίως

a τίκτουσι Sa. b γενόμενοι Sa: ceteri γινόμενοι. c προϊέναι Ta. d τούς τ' ἐν Ta. e ὁ δὲ τὸ ὀχεῖον Sa.Ta, omisso ἐπέβη, cujus loco ἀπέπεσεν est Vol. iv. Hist. An. ix. 47. 1. f μικρὸν Sa.Ta. g καμολίτην Ba.Ra.Va. h κύνας Ba.Ra.Va. i τοὺς om. Sa, k ἐν] ἐν τῇ Sa.Ta. l μέλλουσι Sa. m νεοττείαν Ba.Ra. n τῶν om. Ba.Ra. o φαβῶν Ta. p τριγόνων Ra. q οὗτος om. Ta. r νεοττείας Ba.Ra.Va. s ἔοικε καὶ οὗτος μέγας Sa.Ta. t φάσσας Sa.Ta. v αἱ—τοξεύματα] hæc etiam post c. 161. ponunt Ka.Na.Ua, omissis ὡς ἔοικε. w δίκταμνον Ka. x τινες Ba.Ra.Va. et infra (post c. 161.) Ka. y ἀποβάλλωσι Ra.Sa.Ta.Va. et infra Ka.Ua. z τοιούτους τοὺς τ. Sa. τούτους τοὺς τ. Ba.Ra.Va, et Ka.Na.Ua. a εἰσέρχεσθαι Sa. b ὥστε μὲν ῥαδίως Ba.Ra.Sa, ἐν οἷς οὐ ῥάδιον infra Ka.Na.Ua.

εὑρεθῆναι. Τοῦτο δὲ ποιεῖν διὰ τὸ [c]μὴ ἔχειν ᾧ [d]ἀμύνονται, καὶ διὰ τὸ πονεῖν τοὺς τόπους [e]ὅθεν τὰ κέρατα ἀπέβαλον. [f]Πολλαῖς δὲ [g]καὶ κισσὸν ἐπιπεφυκότα ἐν τῷ τῶν κεράτων τόπῳ [h]ὁρᾶσθαι.

[4]Ἐν [4]Ἀρμενίᾳ φάρμακόν τί φασι φύεσθαι ὃ καλεῖται 6
[i]παρδάλειον. [k]Τούτῳ οὖν, ὅταν ὀφθῇ πάρδαλις, χρίσαντες τὸ [l]ἱερεῖον ἀφιᾶσιν. [t]Ἡ δὲ ὅταν ἅψηται αὐτοῦ, ζητεῖ, ὡς ἔοικε, τὴν τοῦ ἀνθρώπου κόπρον. Διὸ καὶ [m]οἱ κυνηγοὶ εἰς ἀγγεῖον αὐτὴν [n]ἐμβαλόντες ἔκ τινος δένδρου [o]κρεμῶσιν, ἵνα [p]προσαλλομένη καὶ [q]ὑπέρκοπος [r]γενομένη ὑπ' [s]αὐτοῦ παραλυθῇ καὶ ὑποχείριος γένηται.

[4]Ἐν Αἰγύπτῳ δὲ τοὺς τροχίλους φασὶν εἰσπετομένους εἰς 7
τὰ στόματα τῶν κροκοδείλων [t]καθαίρειν αὐτῶν τοὺς ὀδόντας, τὰ σαρκία τὰ [v]ἐνεχόμενα τοῖς ῥύγχεσιν ἐξέλκοντας· τοὺς δ' ἥδεσθαι καὶ μηδὲν βλάπτειν αὐτούς.

[w]Τοὺς ἐν Βυζαντίῳ φασὶν ἐχίνους αἰσθάνεσθαι ὅτε βόρεια 8
καὶ νότια πνεῖ πνεύματα, καὶ μεταβάλλειν εὐθὺς τὰς ὀπάς, καὶ ὅταν μὲν ᾖ [x]νότια, ἐκ τοῦ ἐδάφους τὰς ὀπὰς ποιεῖσθαι, ὅταν δὲ βόρεια, ἐκ τῶν [y]τοιχῶν.

Αἱ ἐν Κεφαλληνίᾳ αἶγες οὐ πίνουσιν, ὡς ἔοικεν, ὥσπερ 9
καὶ [z]τἆλλα τετράποδα, [a]καθ' ἡμέραν δὲ πρὸς τὸ πέλαγος ἀντία [b]τὰ πρόσωπα ποιήσασαι χάσκουσιν εἰσδεχόμεναι τὰ πνεύματα.

Φασὶν ἐν Συρίᾳ τῶν ἀγρίων [c]ὄνων ἕνα ἀφηγεῖσθαι τῆς 10
ἀγέλης, ἐπειδὰν δέ τις νεώτερος ὢν [d]τῶν πώλων ἐπί τινα

[c] μὴ] μόνον Ua. [d] ἀμύνονται Ba.Ra.Va. et Ka. [e] ὅθεν καὶ τὰ Ka. [f] πολλοῖς Sa.Ta. [g] καὶ om. Ba.Ra.Va. et Ka.Na.Ua. [h] ἑωρᾶσθαι Sa. [i] παρδάλιον Ba.Ra.Sa.Va. [k] τούτω Natalis de Comitibus: τοῦτο codices. [l] ἱρεῖον Va. [m] οἱ om. Sa.Ta. [n] ἐμβάλλοντες Ta.Va. [o] κρημνᾶσιν Ta. [p] συμβαλλομένη Sa.Ta. [q] ὑπέρκοπρος Ba. [r] γινομένη Sa. [s] αὐτῶν Ba.Ra.Ta.Va. [t] καθέλκειν αὐτῶν τῶν ὀδόντων Sa.Ta. [v] ἐνεχ.] ἐξερχόμενα Ba.Ra.Va. [w] Τοὺς—τοιχῶν soli habent Sa.Ta. [x] νότος Sa. [y] τριχῶν Ta. [z] τὰ πολλὰ ἄλλα Sa.Ta. [a] καθ' ἑκάστην ἡμέραν, ἀλλὰ πρὸς τὸ πνεῦμα ἀντία Ba.Ra.Va. et infra ante c. 162. Ka.Na.Ua: ii enim ibi hoc caput ponunt. [b] ποιήσασαι τὰ πρόσωπα Ba. [c] ἵππων Ba.Ra.Va. [d] τῶν ἄλλων ἐπὶ τὴν θ. Ba.Ra.Va.

θήλειαν ἀναβῇ, τὸν ἀφηγούμενον θυμοῦσθαι, καὶ διώκειν [e]ἕως τούτου ἕως ἂν καταλάβῃ τὸν πῶλον, καὶ ὑποκύψας [f]ἐπὶ τὰ ὀπίσθια σκέλη τῷ στόματι [g]ἀποσπάσῃ τὰ αἰδοῖα.

11 Τὰς χελώνας [h]λέγουσιν, ὅταν ἔχεως φάγωσιν, ἐπεσθίειν [i]τὴν ὀρίγανον, ἐὰν δὲ μὴ θᾶττον εὕρῃ, ἀποθνήσκειν. Πολλοὺς δ' ἀποπειράζοντας τῶν ἀγραυλούντων εἰ τοῦτ' ἀληθές ἐστιν, ὅταν ἴδωσιν αὐτὴν τοῦτο πράττουσαν, ἐκτίλλειν [k]τὴν ὀρίγανον· τοῦτο [l]δὲ ὅταν ποιήσωσι, μετὰ μικρὸν αὐτὴν ὁρᾶσθαι ἀποθνήσκουσαν.

12 Τὸ τῆς ἰκτίδος λέγεται αἰδοῖον εἶναι οὐχ ὅμοιον τῇ φύσει τῶν λοιπῶν ζῴων, ἀλλὰ στερεὸν διὰ παντὸς οἷον ὀστοῦν, ὅπως ἄν ποτε διακειμένη τύχῃ. Φασὶ δὲ στραγγουρίας αὐτὸ φάρμακον εἶναι ἐν τοῖς ἀρίστοις, καὶ δίδοσθαι ἐπιξυόμενον.

13 Τὸν δρυοκολάπτην [m]φασὶ [n]τὸ ὄρνεον ἐπὶ τῶν δένδρων βαδίζειν ὥσπερ τοὺς ἀσκαλαβώτας, καὶ ὕπτιον καὶ ἐπὶ [o]τὴν γαστέρα. Νέμεσθαι δὲ [p]λέγεται καὶ τοὺς ἐκ τῶν δένδρων σκώληκας, [q]καὶ οὕτω σφόδρα κατὰ βάθους [r]ὀρύττειν τὰ δένδρα ζητοῦντα τοὺς σκώληκας ὥστε καὶ καταβάλλειν αὐτά.

14 [s]Φασὶ τοὺς πελεκᾶνας τὰς ἐν τοῖς ποταμοῖς [t]γινομένας κόγχας ὀρύττοντας [v]καταπίνειν, ἔπειτα ὅταν πλῆθος [w]εἰσφρήσωσιν αὐτῶν, [x]ἐξεμεῖν, εἶθ' οὕτως τὰ μὲν κρέα [y]ἐσθίειν τῶν κογχῶν, τῶν δ' ὀστράκων μὴ ἅπτεσθαι.

15 [z]Ἐν Κυλλήνῃ [z]φασὶ τῆς [z]Ἀρκαδίας τοὺς κοσσύφους λευκοὺς [a]γίνεσθαι, ἄλλοθι [b]δ' οὐδαμῇ, καὶ φωνὰς ποικίλας προΐεσθαι, ἐκπορεύεσθαί τε πρὸς τὴν σελήνην. Τὴν δ' ἡμέραν εἴ τις ἐπιχειροίη, σφόδρα δυσθηράτους εἶναι.

[e] τέως Sa. [f] ἀπὸ τῶν ὀπισθίων σκελῶν Ba.Ra.Va. [g] ἀποσπᾶσθαι Ba.Ra.Ta.Va. [h] φασὶν Ba.Ra.Va. [i] τὸν Ba.Ra, τὸ Va. [k] τὸ ὀρίγανον Va, τὸ ὄργανον Ba.Ra. [l] δὲ om. Sa.Ta. [m] φασὶν post βαδίζειν Ba.Ra.Va. [n] τὸν Ba. [o] τὴν om. Ta. [p] λέγονται Ta. [q] καὶ—σκώληκας om. Ta. [r] ὀρύσσειν τὰ δ. ζητοῦντας Sa. [s] φασὶ] καὶ Sa.Ta. [t] γενομένας Ba.Ra.Va. [v] καταπίνειν] κατά τινος Ba.Ra.Va. [w] εἰσφερήσωσιν Ra.Va, εἰσφορήσωσιν Ba.Sa.Ta. [x] ἐξεμεῖν—κογχῶν om. Ta. [y] κατεσθίειν Sa. [z] φασὶ om. Ta. [a] τίκτεσθαι Ba.Ra.Va. [b] δ' οὐκ ἄν, καὶ ποικίλας φωνὰς πρ. Ta.

Λέγεται δ' ὑπό τινων [c] μέλι τὸ καλούμενον ἄνθινον περὶ 16
Μῆλον καὶ [d] Κνίδον [e] γίνεσθαι εὐῶδες μὲν τῇ ὀσμῇ, ὀλιγο-
χρόνιον δέ, [f] ἐν τούτῳ δὲ καὶ τὴν ἐριθάκην [g] γίνεσθαι. [h] Περὶ 17
Καππαδοκίαν ἔν τισι τόποις ἄνευ κηρίου φασὶν ἐργάζεσθαι
[i] τὸ μέλι, γίνεσθαι δὲ τὸ πάχος ὅμοιον ἐλαίῳ. [j] Ἐν Τρα- 18
πεζοῦντι [k] τῇ ἐν [l] τῷ [m] Πόντῳ γίνεται τὸ ἀπὸ τῆς πύξου
μέλι βαρύοσμον· καί φασι [n] τοῦτο τοὺς μὲν ὑγιαίνοντας
ἐξιστάναι, τοὺς δ' ἐπιλήπτους [o] καὶ τελέως ἀπαλλάττειν.
Φασὶ δὲ καὶ ἐν Λυδίᾳ ἀπὸ τῶν δένδρων τὸ μέλι [p] συλλέγε- 19
σθαι πολύ, καὶ ποιεῖν [q] ἐξ αὐτοῦ τοὺς ἐνοικοῦντας ἄνευ κηροῦ
τροχίσκους, καὶ ἀποτέμνοντας [r] χρῆσθαι διὰ τρίψεως σφο-
δροτέρας. Γίνεται [s] μὲν οὖν καὶ ἐν Θράκῃ, οὐχ οὕτω [t] δὲ
στερεόν, ἀλλ' ὡσανεὶ [v] ἀμμῶδες. [w] Ἅπαν δὲ μέλι πηγνύμενον
τὸν ἴσον [x] ἔχειν ὄγκον φασίν, οὐχ ὥσπερ τὸ ὕδωρ καὶ τἆλλα
ὑγρά. [y] Ἡ [z] Χαλκιδικὴ πόα καὶ τὰ ἀμύγδαλα χρησιμώτατα 20
πρὸς τὸ μέλι ποιεῖν· [a] πλεῖστον γὰρ γόνον φασὶν ἐξ αὐτῶν
γίνεσθαι. Τὰς μελίττας [b] λέγουσιν ὑπὸ μύρου καροῦσθαι 21
καὶ οὐκ ἀνέχεσθαι τὴν ὀσμήν· ἔνιοι δὲ λέγουσι μάλιστα τοὺς
μεμυρισμένους τύπτειν. [c] Ἐν [d] Ἰλλυριοῖς φασὶ [e] τοὺς [f] Ταυ- 22
λαντίους καλουμένους ἐκ τοῦ μέλιτος ποιεῖν οἶνον. [g] Ὅταν δὲ
τὰ κηρία [h] ἐκθλίψωσιν, ὕδωρ ἐπιχέοντες ἕψουσιν ἐν λέβητι
[i] ἕως ἂν [j] ἐκλίπῃ τὸ ἥμισυ, ἔπειτα εἰς κεράμια ἐκχέαντες καὶ
[k] ἡμίσεα ποιήσαντες τιθέασιν εἰς σανίδας· ἐν ταύταις δέ
[l] φασι ζεῖν πολὺν χρόνον, καὶ [m] γίνεσθαι οἰνῶδες καὶ ἄλλως

[c] μέλι interpres: codices μέν. [d] κυδώνιον Sa.Ta. [e] γίνεσθαι καὶ εὐῶδες Ba.Ra.Va. [f] ἐν τούτω δὲ om. Ba.Va. [g] post γίνεσθαι Sa.Ta. c. 20. [h] περὶ δὲ καππ. Sa, περὶ καππ. δ' Ta. [i] τὸ μέλι γίνεσθαι δὲ om. Sa.Ta. [k] τῇ om. Sa.Ta. [l] τῷ om. Va. [m] σπόγγῳ Sa.Ta. [n] τοῦτο om. Ba.Ra.Va. [o] καὶ τελέως om. Ta. [p] γίνεσθαι Ba.Ra.Va. [q] ἀπ' Ba.Ra.Va. [r] χρᾶσθαι δὲ καὶ ἀπίοις σφοδροτέροις Sa. et omissa καὶ Ta. [s] μὲν] δὴ Sa.Ta. [t] δὲ om. Sa.Ta. [v] ἀμῶδες Ba. [w] ὄγκον ἔχειν Ba.Ra.Va. [x] χαλιδικὴ Ba.Va. [y] πλεῖστον—γίνεσθαι om. Ta. [z] λέγει Ba.Ra.Va. [a] τοὺς om. Ta, τοῖς Ba.Ra.Va. [b] ταλαντίους καλουμένους Sa, ταυλαντίοις καλουμένοις Ba.Ra.Va. [c] ἐκθλίβωσιν Ba.Ra.Va. [d] ἕως] μέχρις οὗ Sa.Ta. [e] ἐλλίπη Sa. [f] ἡμίσεα] ἥδιστα Ba.Ra.Va. [g] φασιν ἔχειν πολυχρόνιον Ba.Ra.Va. [h] γίνεται Ta.

ἡδὺ καὶ εὔτονον. [1]Ἤδη δέ [i]τισι καὶ τῶν [k]ἐν [l]Ἑλλάδι συμβεβηκέναι [l]λέγουσι τοῦτο, ὥστε μηδὲν διαφέρειν οἴνου παλαιοῦ· καὶ ζητοῦντας ὕστερον τὴν κρᾶσιν μὴ δύνασθαι εὑρεῖν.

23 [m]Περὶ Θετταλίαν μνημονεύουσιν ὄφεις ζῳογονηθῆναι τοσούτους ὥστε, εἰ μὴ ὑπὸ τῶν πελαργῶν ἀνῃροῦντο, ἐκχωρῆσαι ἂν αὐτούς. Διὸ [n]δὴ καὶ τιμῶσι τοὺς πελαργούς, καὶ κτείνειν οὐ νόμος· καὶ ἐάν τις κτείνῃ, ἔνοχος τοῖς αὐτοῖς

24 γίνεται [o]οἷσπερ καὶ ὁ ἀνδροφόνος. [t]Ὡσαύτως καὶ ἐν Λακεδαίμονι κατά τινας χρόνους μνημονεύεται γενέσθαι τοσοῦτον πλῆθος ὄφεων ὥστε διὰ σπανοσιτίαν καὶ [p]τροφῇ τοὺς Λάκωνας χρῆσθαι αὐτοῖς· ὅθεν καὶ τὴν Πυθίαν [q]φασὶ προσαγορεῦσαι αὐτοὺς ὀφιοδείρους.

25 [1]Ἐν Κύπρῳ τῇ νήσῳ λέγεται τοὺς [r]μῦς τὸν σίδηρον

26 ἐσθίειν. Φασὶ δὲ καὶ τοὺς Χάλυβας ἔν [s]τινι [t]ὑπερκειμένῳ αὐτοῖς [v]νησιδίῳ τὸ χρυσίον συμφορεῖσθαι [w]παρὰ πλειόνων. Διὸ [x]δὴ καὶ [y]τοὺς ἐν τοῖς μετάλλοις ἀνασχίζουσιν, ὡς ἔοικεν.

27 Λέγεται [z]δὲ ἐκ Σούσων εἰς Μηδίαν ἰοῦσιν ἐν [a]τῷ δευτέρῳ σταθμῷ σκορπίων ἄπλετόν τι πλῆθος [b]γίνεσθαι. [c]Διὸ καὶ ὁ βασιλεὺς ὁ Περσῶν, ὅτε διοδεύοι, τρεῖς ἡμέρας ἔμενε, [d]πᾶσι τοῖς αὐτοῦ συντάσσων ἐκθηρεύειν· τῷ δὲ πλείστους θηρεύσαντι ἆθλον ἐδίδου.

28 [1]Ἐν Κυρήνῃ δέ φασιν οὐχ ἓν εἶναι μυῶν γένος, ἀλλὰ πλείω καὶ διάφορα καὶ ταῖς μορφαῖς καὶ ταῖς χρόαις· ἐνίους γὰρ πλατυπροσώπους, ὥσπερ αἱ γαλαῖ, [e]γίνεσθαι, τινὰς [f]δὲ ἐχινώδεις, οὓς καλοῦσιν ἐχίνας.

29 Περὶ [g]Κιλικίαν δέ φασιν εἶναι ὕδατος συστρεμμάτιον, εἰς

[i] τινες Ba.Ra.Va. [k] ἐν] ἐν τῇ Ta. [l] λέγει Ba.Va. [m] περὶ τὴν θετ. Ta. [n] δὴ om. Ba.Ra.Va. [o] ὥσπερ pr. Sa. [p] τροφὴν Sa.Ta. [q] φάναι προσαγορεύεσθαι Ba.Ra.Va. [r] μυίας Ba.Ra, μέτας Va. [s] τι Ba.Ra.Va. [t] ὑποκειμένω Va. [v] νησίω Ta. [w] περὶ Ba.Ra.Sa.Va. [x] δὴ om. Ba.Ra.Sa.Va. [y] τοὺς om. Ba.Ra.Va. [z] δὲ] δὲ καὶ Sa.Ta. [a] τῷ om. Ba.Ra.Va. [b] γενέσθαι Ba.Ra.Va. [c] διὸ δὴ καὶ βασιλεὺς πέρσης Sa. [d] τοῖς αὐτοῦ πᾶσι Sa.Ta. [e] γίνεσθαι, τινας] τοὺς Sa.Ta. [f] δὲ] δὲ καὶ Ba. [g] σικελίαν Ba.Ra.Va.

ὃ τὰ πεπνιγμένα τῶν ὀρνέων καὶ τῶν λοιπῶν ζῴων ὅταν ἀποβαφῇ, πάλιν ἀναβιοῖ.

[1] Ἐν δὲ Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς φασὶ θηρίον 30
[h] τι [i] γίνεσθαι, σπάνιον μὲν ὑπερβολῇ, ὃ ὀνομάζεται [k] τάρανδος· λέγεται δὲ τοῦτο [l] μεταβάλλειν τὰς χρόας [m] τῆς τριχὸς καθ' ὃν ἂν καὶ τόπον ᾖ. [n] Διὰ δὲ τοῦτο εἶναι δυσθήρατον [καὶ διὰ τὴν μεταβολήν]· καὶ γὰρ δένδρεσι καὶ τόποις, καὶ ὅλως ἐν [o] οἷς ἂν ᾖ, τοιοῦτον τῇ [p] χροιᾷ [q] γίνεσθαι. Θαυμασιώτατον δὲ τὸ τὴν τρίχα μεταβάλλειν· [r] τὰ γὰρ λοιπὰ τὸν χρῶτα, οἷον ὅ τε χαμαιλέων καὶ ὁ πολύπους. Τὸ δὲ μέγεθος ὡσανεὶ βοῦς. Τοῦ δὲ προσώπου τὸν [s] τύπον ὅμοιον ἔχει [t] ἐλάφῳ.

Λέγεται δέ τινα ἐν [1] Αβύδῳ παρακόψαντα τῇ διανοίᾳ καὶ 31
εἰς τὸ θέατρον ἐρχόμενον ἐπὶ πολλὰς ἡμέρας θεωρεῖν, ὡς ὑποκρινομένων τινῶν, καὶ ἐπισημαίνεσθαι· καὶ ὡς κατέστη τῆς παρακοπῆς, ἔφησεν ἐκεῖνον αὑτῷ τὸν χρόνον ἥδιστα βεβιῶσθαι. Καὶ ἐν Τάραντι δέ φασιν οἰνοπώλην τινὰ τὴν 32
μὲν νύκτα μαίνεσθαι, τὴν [v] δ' ἡμέραν οἰνοπωλεῖν. [w] Καὶ γὰρ τὸ κλειδίον τοῦ οἰκήματος πρὸς τῷ [x] ζωνίῳ [y] διεφύλαττε, πολλῶν δ' ἐπιχειρούντων [z] παρελέσθαι καὶ λαβεῖν οὐδέποτε ἀπώλεσεν.

[a] [1] Ἐν [b] Τήνῳ τῇ νήσῳ φασὶν εἶναι φιάλιον [c] σύγκραμα 33
[d] ἔχον, ἐξ [e] οὗ πῦρ ἀνάπτουσι [f] πάνυ [g] ῥᾳδίως. Καὶ ἐν Βιθυνίᾳ δὲ τῆς Θράκης ἐν τοῖς μετάλλοις γίνεται ὁ [h] καλούμενος [i] σπίνος, ἐξ οὗ φασὶ πῦρ [g] ἀνάπτεσθαι. [1] Ἐν δὲ Λιπάρᾳ τῇ 34

[h] τι om. Ba.Ra.Va. [i] γενέσθαι Ta. [k] τάρανδρος Sa, τάνανδρος Ta. [l] μεταβάλλει Ra. [m] τῶν τριχῶν Va. [n] εἶναι δὲ διά τε τοῦτο Ba.Ra. Ta.Va. [o] οἷς] ἧς Ra. [p] χρόα Ba.Ra.Va. [q] γίνεται Ba.Ra.Sa.Ta. [r] τὰ μὲν γὰρ Sa.Ta. [s] τύφον Ba.Ra. [t] ἐλάφου Sa. [v] δ' post ἡμέραν Va, om. Ba.Ra.Na. [w] καὶ γὰρ τὸ] τὸ γὰρ Sa.Ta. [x] ζωνιδίῳ Ka.Na. [y] διεφυλάττετο Sa.Ta. [z] παρελέσθαι καὶ om. Ba.Ra. [a] Ἐν—ἀνάπτεσθαι] hæc infra (post c. 177.) ponunt Ka.Na.Oa.Ua, hoc loco Sa.Ta. [b] τήλῳ Ka.Na.Oa.Ua, τήνων Ta, τινι Sa. [c] σύγκριμα Ua, σύγγραμμα Na. [d] ἔχον om. Sa.Ta. [e] οὗ] οὗ φασὶ Sa. [f] πάνυ om. Ka.Na.Oa.Ua. [g] post ῥᾳδίως Q.Ka.Na.Oa, post ἀνάπτεσθαι Ua: περὶ τῶν ἐκ γῆς ἀναφυομένων πυρῶν. [h] λεγόμενος Sa. [i] σπίνις Sa, σπίν ὶς Ta.

νήσῳ λέγουσιν εἶναί [h]τινα εἰσπνοήν, εἰς ἣν ἐὰν κρύψωσι χύ-
35 τραν, ἐμβαλόντες ὃ [i]ἂν [k]ἐθέλωσιν [l]ἕψουσιν. [1]Ἔστι δὲ [m]καὶ
ἐν [n]Μηδίᾳ καὶ ἐν [o]Ψιττακηνῇ τῆς Περσίδος πυρὰ καιόμενα,
[p]τὸ μὲν ἐν Μηδίᾳ ὀλίγον, [p]τὸ δ' [q]ἐν [o]Ψιττακηνῇ πολὺ καὶ
καθαρὸν τῇ φλογί· διὸ καὶ μαγειρεῖα πρὸς [r]αὐτῷ κατεσκεύ-
ασεν ὁ Περσῶν βασιλεύς. [1]Ἀμφω δ' ἐν [s]ὁμαλοῖς τόποις
καὶ οὐκ ἐν ὑψηλοῖς. [t]Ταῦτα δὲ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν
36 φανερά, τὰ δὲ περὶ Παμφυλίαν νύκτωρ μόνον. Φασὶ δὲ [v]καὶ
περὶ [1]Ατιτανίαν, πρὸς τοῖς ὁρίοις τῆς [w1]Απολλωνιάτιδος,
εἶναί τινα πέτραν ἐξ ἧς τὸ μὲν ἀνιὸν πῦρ οὐ φανερόν ἐστιν,
37 ἐπειδὰν δὲ ἔλαιον ἐπιχυθῇ ἐπ' αὐτήν, ἐκφλογοῦται. [x]Λέγε-
ται δὲ καὶ τὰ ἔξω στηλῶν [t]Ηρακλείων καίεσθαι, τὰ μὲν διὰ
παντός, [y]τὰ δὲ νύκτωρ μόνον, ὡς [z]ὁ [1]Ἄννωνος περίπλους
ἱστορεῖ. Καὶ τὸ ἐν [a]Λιπάρᾳ δὲ φανερὸν καὶ φλογῶδες, οὐ
μὴν ἡμέρας, ἀλλὰ [b]νύκτωρ μόνον. Εἶναι δὲ καὶ ἐν [c]Πιθη-
κούσαις φασὶ πυρῶδες μὲν καὶ θερμὸν ἐκτόπως, οὐ [d]μὴν καὶ-
38 όμενον. Τὸ δ' ἐν [e]τῇ Λιπάρᾳ ποτὲ καὶ [f]ἐκλιπεῖν [g]φησὶ
Ξενοφάνης [h]ἐπ' ἔτη ἑκκαίδεκα, τῷ δὲ ἑβδόμῳ ἐπανελθεῖν.
[i]Τὸν δ' [k]ἐν τῇ Αἴτνῃ ῥύακα οὔτε φλογώδη φασὶν οὔτε
39 συνεχῆ, ἀλλὰ διὰ πολλῶν [l]ἐτῶν γίνεσθαι. Λέγεται δὲ καὶ
περὶ Λυδίαν [m]ἀναζέσαι πῦρ πάμπληθες, καὶ καίεσθαι ἐφ'
40 ἡμέρας ἑπτά. [n]Θαυμαστὸν δὲ [o]τὸ ἐν Σικελίᾳ περὶ τὸν
[p]ῥύακα [q]γινόμενον· τὸ γὰρ πλάτος ἐστὶ τὸ τῆς τοῦ πυρὸς

[h] τινὰ εἰσπνοήν] τινες γῆν Ba.Ka.Na.Ra.Va. [i] ἐὰν Ka.Na, ἐ Ra, om. Ba.Va. [k] θέλουσι Ba.Va. [l] ἕψεσθαι, idque ante ὃ, Ta. [m] καὶ om. Na. [n] μηδεία Ka.Na. [o] utrobique ψιττακῆ Ka.Na, ψιττακίνῃ Ba.Ra.Sa.Ta.Va. [p] τὰ—τὰ Ba.Ra.Va. [q] ἐν τῇ ψ. Ka. [r] αὐτὸ Sa.Ta. [s] ὁμαλοῖς καὶ οὐκ ἐν ὑψηλοῖς τόποις Sa.Ta, ὁμαλοῖς τόποις καὶ οὐκ ἐν ἀνωμάλοις ceteri. [t] ταῦτα δὲ καὶ om. Sa.Ta, καὶ om. Ba.Ra. [v] καὶ om. Ka.Na.Ta. [w] ἀπολλωνιάδος Na. [x] καὶ τὰ ἔξω δὲ, omisso λέγεται, Ta. δὲ om. Sa. [y] τὰ δὲ] πάλιν δὲ Na. [z] ὁ om. Ba.Ra.Ta. [a] λιπάρω rc. Ta. [b] νυκτὸς Ba.Ka.Na.Ra. [c] πιθικούσαις Na. [d] μέντοι Sa.Ta. [e] τῇ om. Sa. [f] ἐκλείπειν Ba.Ka.Na.Ra.Sa. [g] ξενοφάνης φησὶν Sa.Ta. [h] ἐπ' om. Ba.Ka.Na.Ra. [i] τὸ Ba.Ra. [k] ἐν τῇ om. Ta, τῇ om. Sa. [l] αἰτιῶν Ba.Ra. [m] ἀναφέρεσθαι Ba.Ka.Na.Ra. [n] θαυμαστότατον Ba.Ka.Na.Ra. [o] τὸν Ta, omissis mox περὶ τὸν. [p] ῥύωκα Ta, ῥύακον Ba.Ra. [q] γενόμενον Ba.Na.Ra.Ta.

[r] ἀναζέσεως τεσσαράκοντα σταδίων, τὸ δὲ ὕψος [s] δι' οὗ φέ-
ρεται, τριῶν. Φασὶ δὲ τὸν ἐν τῇ Θρᾴκῃ λίθον τὸν καλού- 41
μενον σπίνον διακοπέντα καίεσθαι, καὶ συντεθέντα πρὸς ἑαυ-
τόν, ὥσπερ τὴν [t] σμαρίλην, οὕτως κἀκεῖνον εἰς ἑαυτὸν [v] τε-
θέντα καὶ ἐπιρραινόμενον ὕδατι καίεσθαι. [w] Τὸ δ' αὐτὸ ποιεῖν
καὶ τὸν [x] μαριέα.

Περὶ Φιλίππους [y] τῆς Μακεδονίας εἶναι λέγουσι μέταλλα, 42
ἐξ ὧν τὰ ἐκβαλλόμενα [z] ἀποσύρματα αὐξάνεσθαί φασι καὶ
φύειν χρυσίον, καὶ τοῦτ' εἶναι φανερόν. Φασὶ [a] δὲ καὶ ἐν 43
Κύπρῳ περὶ τὸν [b] καλούμενον [c] Τυρρίαν χαλκὸν ὅμοιον γί-
γνεσθαι. Κατακόψαντες γάρ, ὡς ἔοικεν, εἰς μικρὰ σπεί-
ρουσιν αὐτόν· εἶθ' ὑδάτων ἐπιγενομένων αὐξάνεται καὶ [d] ἐξα-
νίησι [e] καὶ οὕτως συνάγεται. Φασὶ δὲ καὶ ἐν Μήλῳ τῇ νήσῳ 44
ἐν τοῖς ἐξορυσσομένοις τόποις τῆς γῆς [f] πάλιν [g] ἀναπληρώ-
ματα γίγνεσθαι.

Περὶ Παιονίαν λέγουσιν, ὅταν [h] συνεχεῖς ὄμβροι [i] γένων- 45
ται, εὑρίσκεσθαι περιτηκομένης τῆς γῆς χρυσὸν τὸν καλού-
μενον ἄπυρον. Λέγουσι δ' ἐν τῇ Παιονίᾳ οὕτω χρυσίζειν
τὴν γῆν ὥστε πολλοὺς εὑρηκέναι καὶ [k] ὑπὲρ μνᾶν χρυσίου
ὁλκήν. Τῷ δὲ βασιλεῖ [l] τινά φασιν εὑρόντα ἀνενεγκεῖν δύο
[m] βώλους, τὸν μὲν τρεῖς μνᾶς ἄγοντα, τὸν δὲ πέντε· οὓς φα-
σιν ἐπὶ τῆς τραπέζης [n] αὐτῷ παρακεῖσθαι, καὶ ἐπ' ἐκείνων
πρῶτον, εἴ τι ἐσθίει, [o] ἀπάρχεσθαι. Φασὶ δὲ καὶ ἐν Βάκτροις 46
τὸν [p] Ὦξον ποταμὸν καταφέρειν βωλία [q] χρυσίου [r] πλήθει
πολλά, καὶ ἐν [s] Ἰβηρίᾳ δὲ τὸν καλούμενον Θεόδωρον ποταμὸν

[r] ἀναζεύξεως Na. [s] δι' om. Ba.Ra. [t] σμαρίλλην Ba.Na.Ra.Sa.Ta. [v] τιθέντα Sa. [w] τὸ δ' αὐτὸ om. Ta. [x] μαριθάν Ba.Na.Ra. [y] τοὺς ἐν μακεδονία Sa.Ta. [z] αὐξάνεσθαί φασιν ἀποσύρματα Sa. [a] δὲ om. Ba.Na. Ra.Sa. [b] λεγόμενον Ba.Ra. [c] τυρίαν Na. [d] ἐξανίησι] ἀνίεται Ba.Ra. [e] καὶ οὕτως συνάγεται om. Ta. [f] πάλιν om. Sa. [g] ἀναπλήρωμα Ta. [h] συνεχεῖς οἱ ὄμβροι Ba.Ra. [i] γινωνται Ba, γίνονται Ra. [k] ὑπὲρ τὴν μνᾶν Ba.Na.Ra.Sa. [l] τινά om. Ba.Na.Ra.Sa, qui mox εὑρόντας. [m] μώβους Ba. [n] αὐτῷ om. Ta. [o] ἀπέρχεσθαι Ba.Ra. [p] ὦζον Ra.Sa.Ta, τόξον (omisso τὸν) Na. [q] χρυσία Ba.Ra.Ta. [r] πλῆθος Na, om. Ba.Ra.Ta.

[s] ἐκβράσσειν τε πολὺ περὶ τὰ χείλη χρυσίον, ὁμοίως δὲ καὶ καταφέρειν.

47 [t] Λέγουσι δὲ καὶ ἐν Πιερίᾳ τῆς Μακεδονίας ἄσημόν τι χρυσίον κατορωρυγμένον ὑπὸ τῶν ἀρχαίων βασιλέων, χασμάτων τεττάρων ὄντων, ἐξ ἑνὸς αὐτῶν ἀναφῦναι χρυσίον
48 τὸ μέγεθος σπιθαμιαῖον. Λέγεται δὲ [v] ἰδιαιτάτην εἶναι γένεσιν σιδήρου τοῦ Χαλυβικοῦ καὶ τοῦ [w] Ἀμισηνοῦ. Συμφύεται γάρ, ὥς γε λέγουσιν, ἐκ τῆς ἄμμου τῆς καταφερομένης ἐκ τῶν ποταμῶν. Ταύτην δ' οἱ μὲν ἁπλῶς φασὶ [x] πλύναντας [y] καμινεύειν, οἱ δὲ τὴν ὑπόστασιν [z] τὴν γενομένην ἐκ τῆς [a] πλύσεως πολλάκις πλυθεῖσαν συγκαίειν, [b] παρεμβάλλειν [c] δὲ τὸν πυρίμαχον καλούμενον λίθον· εἶναι δ' ἐν τῇ
2 χώρᾳ πολύν. Οὗτος δ' ὁ σίδηρος πολὺ τῶν ἄλλων γίνεται καλλίων. Εἰ δὲ μὴ ἐν μιᾷ καμίνῳ [d] ἐκαίετο, οὐδὲν ἄν, ὡς ἔοικε, διέφερε [e] τἀργυρίου. Μόνον δέ φασιν αὐτὸν ἀνίωτον [f] εἶναι, οὐ πολὺν δὲ γίνεσθαι.

49 Φασὶ δὲ καὶ ἐν [1] Ἰνδοῖς τὸν χαλκὸν οὕτως εἶναι λαμπρὸν καὶ καθαρὸν καὶ ἀνίωτον, [g] ὥστε μὴ διαγινώσκεσθαι τῇ χρόᾳ πρὸς τὸν χρυσόν, ἀλλ' ἐν τοῖς Δαρείου ποτηρίοις [h] βατιακὰς εἶναί τινας καὶ πλείους, ἃς εἰ μὴ τῇ ὀσμῇ, ἄλλως οὐκ ἦν διαγνῶναι πότερόν εἰσι χαλκαῖ ἢ χρυσαῖ.

50 Τὸν [i] κασσίτερον τὸν Κελτικὸν τήκεσθαί φασι πολὺ τάχιον [k] μολύβδου. Σημεῖον δὲ τῆς εὐτηξίας, ὅτι τήκεσθαι δοκεῖ καὶ ἐν τῷ ὕδατι· χρώζει γοῦν, ὡς ἔοικε, ταχύ. Τήκεται δὲ καὶ ἐν τοῖς ψύχεσιν, [l] ὅταν [m] γένηται πάγη, [n] ἐγκατακλειομένου ἐντός, ὡς φασί, καὶ συνωθουμένου τοῦ θερμοῦ τοῦ ἐνυπάρχοντος αὐτῷ διὰ τὴν ἀσθένειαν.

[s] ἐμβράσσειν Ta. [t] λέγεται Ba.Ra.Ta. [v] ἰδιωτάτην Ba.Ra.Sa.Ta. [w] Ἀμισηνοῦ] ἀσημίου μυσινοῦ Ta, ἀσιμίου μησηνοῦ Ba.Ra. [x] πλύναντας Sylburgius: codices πλύναντες. [y] καὶ μινεύειν Ba.Ra. [z] τῆς γινομένης Sa. [a] φλύσεως Ba.Ra, φύσεως Sa. [b] παρεμβάλειν Ba. [c] δὲ τῶ πυρὶ μάχον Sa. [d] ἐκκαίετο Ba.Ra.Sa. [e] ἀργύρου Sa. [f] εἶναι om. Ba.Na.Ra.Ta. [g] ὡς Ba.Ra.Ta. [h] βατιανὰς rc. Sa, βατιατικὰς Ba.Ra.Ta. [i] κασίτερον Ba. [k] μολίβδου Ba.Ra.Ta. [l] ὅτι Ba.Ra, ὅτε Ta. [m] γένοιτο Ta. [n] εἰ κατακλειομένου Sa.

[1]Ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία, καλεῖται δὲ καλλιστέφανος· 51
[o]ταύτης πάντα τὰ φύλλα ταῖς λοιπαῖς ἐλαίαις ἐναντία πέφυκεν· ἔξω γὰρ [p]ἀλλ' οὐκ ἐντὸς ἔχει τὰ χλωρά. [1]Ἀφίησί τε τοὺς πτόρθους ὥσπερ ἡ μύρτος [q]εἰς τοὺς στεφάνους [r]συμμέτρως. [1]Ἀπὸ [s]ταύτης φυτὸν λαβὼν ὁ [t]Ἡρακλῆς ἐφύτευσεν [1]Ὀλυμπίασιν, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. [1]Ἔστι δὲ αὕτη παρὰ τὸν [1]Ἰλισσὸν ποταμόν, σταδίους ἑξήκοντα τοῦ ποταμοῦ ἀπέχουσα· περιῳκοδόμηται δέ, καὶ ζημία μεγάλη τῷ [t]θιγόντι [v]αὐτῆς ἐστίν. [1]Ἀπὸ ταύτης δὲ τὸ φυτὸν λαβόντες ἐφύτευσαν [w][1]Ἠλεῖοι ἐν [1]Ὀλυμπίᾳ, καὶ τοὺς στεφάνους ἀπ' αὐτῆς ἔδωκαν. 2

[1]Ἐν τοῖς περὶ Λυδίαν μετάλλοις τοῖς περὶ Πέργαμον, ἃ 52
δὴ καὶ Κροῖσος εἰργάσατο, πολέμου τινὸς [x]γενομένου κατέφυγον οἱ ἐργαζόμενοι ἐπ' αὐτά, τοῦ δὲ στομίου ἐποικοδομηθέντος ἀπεπνίγησαν· καὶ ὕστερον χρόνῳ πολλῷ τῶν μετάλλων [y]ἀνακαθαρθέντων εὑρέθη οἷς ἐχρῶντο ἀγγείοις πρὸς τὰς ὑπὸ χεῖρα χρείας [z]ἀπολελιθωμένα, οἷον [a]ἀμφορεῖς καὶ τὰ τοιουτότροπα. Ταῦτα [b]δὴ πεπληρωμένα οὗ τινὸς ἔτυχον ὑγροῦ ἐλελίθωτο, καὶ προσέτι τὰ ὀστᾶ τῶν ἀνθρώπων.

[1]Ἐν τῇ [1]Ἀσκανίᾳ λίμνῃ οὕτω νιτρώδές ἐστι τὸ ὕδωρ ὥστε 53
τὰ ἱμάτια οὐδενὸς ἑτέρου [c]ῥύμματος προσδεῖσθαι· κἂν πλείω χρόνον ἐν τῷ ὕδατι ἐάσῃ τις, [d]διαπίπτει. Περὶ τὴν [1]Ἀσκα- 54
νίαν λίμνην [e]Πυθόπολίς ἐστι κώμη ἀπέχουσα [f]Κίου ὡς σταδίους ἑκατὸν εἴκοσι, ἐν ᾗ τοῦ χειμῶνος [g]ἀναξηραίνεται πάντα τὰ φρέατα ὥστε μὴ ἐνδέχεσθαι βάψαι τὸ ἀγγεῖον, τοῦ δὲ θέρους πληροῦται ἕως τοῦ στόματος.

[1]Ὁ πορθμὸς ὁ μεταξὺ Σικελίας [h]καὶ [1]Ἰταλίας αὔξεται καὶ 55
φθίνει ἅμα τῷ σεληνίῳ. Καὶ διότι ἐπὶ τῆς ὁδοῦ τῆς εἰς Συ- 56

o ταύτης δὲ πάντα Ta. p ἀλλ' om. Ta. q πρὸς Na. r συμμέτρους Ba.Sa, σύμμετρον Na. s ταύτης δὲ φ. Sa.Ta. t θήγοντι S. v ταύτης Ba.Na.Ra.Sa. w ἠλεῖοι ἐφύτευσαν Sa. x γινομένου Na. y ἀνακαρθέντων Ta. z ἀπολελιθωμένου (οις supra ου) Na. a ἀναφορεῖς Ba.Ra. b δὲ Sa. c ῥύματος Ba.Na.Ra.Ta. d διαπίπτειν Sa. e μυθήπολις Ba.Ra.Ta. f κίων Na. g ἀναξηραίνεσθαι codices. h καὶ τῆς ἰταλίας Ba.Ra.

ρακούσας κρήνη ἐστὶν ἐν λειμῶνι οὔτε μεγάλη οὔτε ὕδωρ ἔχουσα πολύ· συναπαντήσαντος δὲ εἰς τὸν τόπον ὄχλου πολ-
57 λοῦ παρέσχεν ὕδωρ ἄφθονον. [1]Ἔστι δὲ καὶ κρήνη τις ἐν [i]Παλικοῖς τῆς Σικελίας, ὡς δεκάκλινος· αὕτη δ' [k]ἀναρρίπτει ὕδωρ εἰς ὕψος ἓξ πήχεις, ὥστε ὑπὸ τῶν ἰδόντων νομίζεσθαι κατακλυσθήσεσθαι τὸ [l]πεδίον· καὶ πάλιν εἰς ταὐτὸ καθίσταται. [1]Ἔστι δὲ καὶ ὅρκος, ὃς ἅγιος αὐτόθι δοκεῖ εἶναι· ὅσα γὰρ [m]ὄμνυσί τις, γράψας εἰς πινακίδιον ἐμβάλλει εἰς τὸ
2 ὕδωρ. [t]Ἐὰν μὲν οὖν εὐορκῇ, ἐπιπολάζει τὸ πινακίδιον· ἐὰν δὲ μὴ εὐορκῇ, τὸ μὲν [n]πινακίδιον [o]βαρὺ γενόμενον ἀφανίζεσθαί φασι, [p]τὸν δ' ἄνθρωπον πίμπρασθαι. Διὸ δὴ λαμβάνειν τὸν ἱερέα παρ' αὐτοῦ [q]ἐγγύας ὑπὲρ τοῦ καθαίρειν τινὰ τὸ ἱερόν.

58 [r]Δημόνησος ἡ Καρχηδονίων νῆσος ἀπὸ Δημονήσου τοῦ πρώτου ἐργασαμένου τὴν ἐπωνυμίαν εἴληφεν· ἔχει δ' ὁ τόπος [s]κυανοῦ τὸ μέταλλον καὶ χρυσοκόλλης. [t]Ταύτης δ' ἡ καλλίστη πρὸς χρυσίον εὑρίσκει [v]τιμήν· καὶ γὰρ φάρμακον
2 ὀφθαλμῶν ἐστίν. [1]Ἔστι δὲ αὐτόθι χαλκὸς [w]κολυμβητὴς ἐν [x]δυοῖν ὀργυιαῖς τῆς [y]θαλάσσης· ὅθεν [z]ὁ ἐν Σικυῶνί ἐστιν ἀνδριὰς ἐν τῷ ἀρχαίῳ [a]νεῷ τοῦ [d]Ἀπόλλωνος καὶ ἐν Φενεῷ οἱ ὀρείχαλκοι καλούμενοι. [d]Ἐπιγέγραπται δ' αὐτοῖς "[b][d]Ηρα-
3 " κλῆς [d]Ἀμφιτρύωνος [f]Ηλιν [c]ἑλὼν ἀνέθηκεν." Αἱρεῖ δὲ τὴν [f]Ηλιν ἡγουμένης κατὰ χρησμὸν γυναικός, ἧς τὸν πατέρα Αὐγείαν [d]ἀπέκτεινεν. Οἱ δὲ τὸν χαλκὸν ὀρύττοντες ὀξυδερκέστατοι γίνονται, καὶ οἱ βλεφαρίδας μὴ ἔχοντες φύουσι· παρὸ καὶ οἱ ἰατροὶ τῷ ἄνθει τοῦ χαλκοῦ καὶ τῇ τέφρᾳ τῇ
59 Φρυγίᾳ χρῶνται πρὸς τοὺς ὀφθαλμούς. [1]Ἔστι [e]δὲ αὐτόθι σπήλαιον ὃ καλεῖται γλαφυρόν· ἐν δὲ τούτῳ [f]κίονες πεπή-

[i] παλίκμοις Ba.Ra, παλίσκοις Ta. [k] ἀναράπτει Sa. [l] πέδον Sa. [m] ὄμμασί Ba.Ra, γράμμασί Ta. [n] πινάκιον Na. [o] βαρὺ γενόμενον om. pr. Sa. [p] καὶ πίμπρασθαι τὸν ἄνθρωπον rc. Sa. [q] ἐγγύαν Na.Ta. [r] δημόννησος et mox δημοννήσου Ba.Ra. [s] κυανοῦν Na.Ra.Ta, κυδνοῦν Ba. [t] ταύτη Ba.Ra.Ta. [v] τιμήν] τις Ba.Ra.Ta. [w] κολυμβητὸς Sa. [x] δυεῖν Ta. [y] θαλάττης Na. [z] ὁ om. Na. [a] ναῷ Ba.Ra.Ta. [b] ἡρακλῆς ὁ ἀμφ. Ra.Ta. [c] ἑλεῖν Ba, ἑλὴν Ra. [d] ἀπέκτειναν Ba.Ra. [e] δὲ] γὰρ Ba.Na.Ra.Ta. [f] κίονες interpres: codices χιόνες.

γασιν ἀπό τινων σταλαγμῶν. [a]Ἀποδηλοῖ δὲ τοῦτο ἐν τῇ [g]συναγωγῇ τῇ πρὸς τὸ ἔδαφος· ἔστι γὰρ ταύτῃ [h]στενώτατον.

[i]Ἐκ τοῦ ζεύγους δὲ τῶν ἀετῶν θάτερον τῶν [i]ἐγγόνων 60
ἁλιαίετος γίνεται παραλλάξ, ἕως ἂν σύζυγα γένηται. [a]Ἐκ δὲ ἁλιαιέτων φήνη γίνεται, ἐκ δὲ [k]τούτων [l]περκνοὶ [m]καὶ γῦπες· οὗτοι δ' οὐκέτι διορίζουσι περὶ τοὺς γῦπας, ἀλλὰ γεννῶσι τοὺς μεγάλους [n]γῦπας· [o]οὗτοι δ' εἰσὶν ἄγονοι. Σημεῖον δὲ τοῦτο, διότι [p]νεοττιὰν οὐδεὶς ἑώρακε γυπὸς [q]μεγάλου.

Θαυμαστὸν δέ τί [r]φασιν ἐν [a]Ἰνδοῖς περὶ τὸν ἐκεῖ [s]μόλυ- 61
βδον [t]συμβαίνειν· ὅταν γὰρ τακεὶς εἰς ὕδωρ [v]καταχυθῇ ψυχρόν, ἐκπηδᾶν ἐκ τοῦ ὕδατος.

Φασὶ τὸν Μοσσύνοικον [w]χαλκὸν λαμπρότατον καὶ λευ- 62
κότατον εἶναι, οὐ παραμιγνυμένου αὐτῷ κασσιτέρου, ἀλλὰ γῆς τινὸς [x]αὐτοῦ γινομένης καὶ συνεψομένης αὐτῷ. Λέγουσι δὲ τὸν εὑρόντα τὴν κρᾶσιν μηδένα διδάξαι· διὸ τὰ προγεγονότα ἐν τοῖς τόποις χαλκώματα διάφορα, τὰ δ' ἐπιγιγνόμενα οὐκέτι.

[a]Ἐν τῷ Πόντῳ λέγουσί τοῦ χειμῶνος τῶν ὀρνέων τινὰ 63
εὑρίσκεσθαι [y]φωλεύοντα, [z]οὔτε [a]ἀφοδεύοντα, οὔτε δὲ [b]ὅταν τὰ πτερὰ αὐτῶν τίλλωσιν, αἰσθάνεσθαι, οὔτε ὅταν ἐπὶ τὸν ὀβελίσκον ἀναπαρῇ, [c]ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διακαυθῇ. Πολλοὺς δὲ καὶ [d]τῶν ἰχθύων λέγουσι περικοπέντας καὶ περιτμηθέντας μὴ αἰσθάνεσθαι, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς [e]διαθερμανθῶσιν.

[f]Ἡ [f]μέλιττα δοκεῖ τὰς τροπὰς σημαίνειν τῷ ἐπὶ τὰ ἔργα 64

[g] ἀναγωγῇ Ba.Ra.Ta. [h] στενότατον Ba.Ra, στεγνότατον Na.Ta. [i] ἀγόνων Ba.Ra.Ta. [k] τούτων οἱ π. Ba.Ra.Sa.Ta. [l] περηνοὶ Sa. [m] καὶ om. Na.Sa. [n] γύπους Ba. [o] οὗτοι δ'] οἵπερ Sa. [p] νεοττείαν Ba.Ra. [q] μεγάλην Na. [r] φασι] τὰ Ba. [s] μόλυβδον Ba.Ra. [t] συμβαίνει Sa.Ta. [v] καταχεθῇ Sa, κατασχεθῇ Ba.Ra. [w] χαλκὸν] λάκκον Ba.Ra. [x] αὐτῷ Sa. [y] φωλεύοντα om. Ba.Ra. [z] οὔτε δὲ Ba.Ra.Sa. [a] ἀφοδεύοντα οὔτε δὲ om. Sa. [b] ὅτε Na.Sa, ὄντα Ba.Ra. [c] ἀλλ'] καὶ Na. [d] τῶν om. Na. [e] θερμανθῶσιν Ba.Ra.Sa.Ta. [f] μέλιτα Na.

βαδίζειν, ᾧ καὶ οἱ [g] μελιττοπόλοι σημείῳ χρῶνται· ἠρεμία γὰρ αὐτῶν γίνεται. Δοκοῦσι δὲ καὶ οἱ τέττιγες ᾄδειν μετὰ τροπάς.

65 Φασὶ δὲ καὶ τὸν ἐχῖνον ἄσιτον διαμένειν [h] ἄχρι ἐνιαυτοῦ.

66 Τὸν δὲ γαλεώτην, ὅταν ἐκδύσηται τὸ δέρμα, καθάπερ οἱ ὄφεις, ἐπιστραφέντα καταπίνειν· [i] τηρεῖσθαι γὰρ ὑπὸ τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιληπτικοῖς.

67 Λέγουσι δὲ καὶ τὸ τῆς [k] ἄρκτου στέαρ, ὅταν διαπεπηγὸς ᾖ διὰ τὸν χειμῶνα, καθ' ὃν ἂν χρόνον [l] ἐκείνη φωλεύῃ, αὐξάνεσθαι καὶ ὑπεραίρειν τὰ ἀγγεῖα ἐν οἷς ἂν ᾖ.

68 [t]Εν Κυρήνῃ φασὶ τοὺς ὄντας βατράχους ἀφώνους τὸ παράπαν εἶναι. Καὶ ἐν Μακεδονίᾳ ἐν τῇ τῶν [t]Ημαθιωτῶν χώρᾳ [m] τοὺς σῦς εἶναι [n] μώνυχας.

69 [t]Εν Καππαδοκίᾳ φασὶν ἡμιόνους εἶναι γονίμους καὶ ἐν Κρήτῃ αἰγείρους καρποφόρους.

70 [o]Φασὶ δὲ καὶ ἐν Σερίφῳ τοὺς βατράχους οὐκ ᾄδειν· ἐὰν δὲ εἰς ἄλλον τόπον μετενεχθῶσιν, ᾄδουσιν.

71 [t]Εν [t]Ινδοῖς ἐν τῷ Κέρατι καλουμένῳ ἰχθύδιά φασι γίνεσθαι ἃ ἐν τῷ ξηρῷ πλανᾶται καὶ πάλιν [p] ἀποτρέχει εἰς τὸν
72 ποταμόν. Φασὶ δὲ καὶ περὶ Βαβυλῶνά τινες [q] ἰχθύας τινὰς μένειν ἐν ταῖς τρώγλαις ταῖς ἐχούσαις ὑγρότητα ξηραινομένου [r] τοῦ ποταμοῦ· τούτους ἐξιόντας ἐπὶ τὰς ἄλως νέμεσθαι, καὶ βαδίζειν ἐπὶ τῶν πτερύγων, καὶ ἀνακινεῖν τὴν οὐράν· καὶ ὅταν διώκωνται, φεύγειν καὶ εἰσδύντας [s] ἀντιπροσώπως ἵστασθαι· πολλάκις γὰρ προσιέναι τινὰς καὶ ἐρεθίζειν. [t]Εχουσι δὲ τὴν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ, τὸ δὲ ἄλλο σῶμα κωβιῷ, βραγχία δὲ ὥσπερ καὶ οἱ ἄλλοι ἰχθύες.

73 [t]Εν [t]Ηρακλείᾳ δὲ τῇ ἐν τῷ Πόντῳ καὶ ἐν [t]Ρηγίῳ γί-

[g] μελιττοπῶλοι Ba, μελιττοπῶλαι Na. [h] ἄχρις Na.Ta. [i] τηρεῖται Ta, τηρεῖ Ba. [k] ἄκτου Na. [l] ἐκεῖνα φωλεύῃ αὐξαίνεσθαι Na. [m] τοὺς ὄνους σῦς Na. [n] μόνυχας Ba. [o] φασὶ—ποταμόν om. Ba.Ra.Ta. [p] ὑποτρέχει Sa. [q] ἰχθύδιά τινα Ba.Ra.Na.Ta. [r] τοῦ] δὲ τοῦ Sa. [s] ἀντιπροσώπω Ba.Ra, ἀντιπροσώπου Na. [t] ῥυγίω Na.

νεσθαί φασιν ὀρυκτοὺς [v] ἰχθῦς, τούτους δὲ μάλιστα κατὰ τὰ ποτάμια καὶ τὰ ἔνυδρα χωρία. Συμβαίνειν δέ [w] ποτε ἀναξηραινομένων τῶν χωρίων κατά τινας χρόνους συστέλλεσθαι κατὰ γῆς, εἶτα μᾶλλον ἀναξηραινομένης διώκοντας τὴν ὑγρότητα διίεσθαι εἰς τὴν ὕλην, εἶτα ξηραινομένης διαμένειν ἐν τῇ ἰκμάδι, ὥσπερ τὰ ἐν ταῖς φωλεαῖς διαρκοῦντα. [u] Ὅταν δὲ ἀνασκάπτωνται πρὶν ἢ τὰ ὕδατα ἐπιγενέσθαι, τότε κινεῖσθαι. Φασὶ δὲ καὶ περὶ Παφλαγονίαν τοὺς ὀρυκτοὺς γίνε- 74
σθαι ἰχθῦς κατὰ βάθους, τούτους δὲ τῇ ἀρετῇ ἀγαθούς, οὔτε ὑδάτων φανερῶν πλησίον ὄντων οὔτε ποταμῶν ἐπιρρεόντων, ἀλλ' αὐτῆς ζῳογονούσης τῆς γῆς.

Τὰς ἐν [t] Ἠπείρῳ ἐλάφους κατορύττειν φασὶ τὸ δεξιὸν 75
κέρας, ὅταν [x] ἀποβάλωσι, καὶ εἶναι πρὸς πολλὰ χρήσιμον. [y] Καὶ τὴν [z] λύγκα δέ φασι τὸ οὖρον [a] κατακαλύπτειν διὰ τὸ 76
πρὸς ἄλλα τε [b] χρήσιμον εἶναι καὶ τὰς σφραγῖδας. Φασὶ 77
δὲ καὶ τὴν [c] φώκην ἐξεμεῖν τὴν [d] πυτίαν, ὅταν ἁλίσκηται· εἶναι δὲ φαρμακῶδες καὶ τοῖς [e] ἐπιλήπτοις χρήσιμον.

Λέγεται δὲ περὶ τὴν [t] Ἰταλίαν ἐν τῷ [f] Κιρκαίῳ ὄρει φάρ- 78
μακόν τι φύεσθαι θανάσιμον, ὃ τοιαύτην ἔχει τὴν δύναμιν ὥστε, ἂν [g] προσρανθῇ τινί, παραχρῆμα πίπτειν ποιεῖ, καὶ τὰς τρίχας τὰς ἐν τῷ σώματι [h] ἀπομαδᾶν, καὶ τὸ σύνολον τοῦ σώματος [i] διαρρεῖν τὰ μέλη, ὥστε τὴν ἐπιφάνειαν τοῦ σώματος εἶναι τῶν ἀπολλυμένων [k] ἐλεεινήν. Τοῦτο δέ φασι μέλλοντας διδόναι Κλεωνύμῳ τῷ Σπαρτιάτῃ [l] Αὖλον τὸν [m] Πευκέστιον καὶ Γάϊον φωραθῆναι, καὶ [n] ἐξετασθέντας ὑπὸ Ταραντίνων θανατωθῆναι.

[t] Ἐν τῇ [o] Διομηδείᾳ νήσῳ, ἣ κεῖται ἐν τῷ [t] Ἀδρίᾳ, φασὶν 79

[v] ἰχθύας, τούτους μάλιστα Ba.Ra.Ta. [w] ποτε κατα τοῦτον τὸν τόπον ἀναξ. Sa. [x] ἀποβάλλωσι Ba. [y] καὶ τὴν—σφραγῖδας post ἐπιλήπτοις χρήσιμον Ba.Na.Ra.Ta. [z] λύγα Ba.Ra.Ta, λύγγα Na, λαρύγγα Sa. [a] καλύπτειν Na. [b] χρύσιμον Sa. [c] φώνην Ra. [d] πιτύαν Ba.Ra.Ta. [e] ἐπιληπτικοῖς Na. [f] κυρκαίῳ Ba.Ra. [g] περανθῇ τινι παραυτίκα πίπτειν ποιεῖν Ba.Ra. [h] ἀπομαδεῖν Sa. [i] διαργεῖν Sa. [k] ἐλεεινόν Ba.Ra. [l] ἅρουν rc. Sa, παῦλον Ba.Ra.Ta. [m] πευκέντιον Sa. [n] ἐξετασθ.] ἀναστάντας Na. [o] διομηδία Na.

ἱερόν τι εἶναι τοῦ Διομήδους θαυμαστόν [p] τε καὶ ἅγιον, περὶ δὲ τὸ ἱερὸν κύκλῳ περικαθῆσθαι ὄρνιθας [q] μεγάλους τοῖς
2 μεγέθεσι, καὶ [r] ῥύγχη ἔχοντας μεγάλα καὶ σκληρά. Τούτους λέγουσιν, ἐὰν μὲν [v] Ἕλληνες ἀποβαίνωσιν εἰς τὸν [s] τόπον, ἡσυχίαν ἔχειν, ἐὰν δὲ τῶν βαρβάρων τινὲς τῶν περιοίκων, ἀνίπτασθαι καὶ [t] αἰωρουμένους καταράσσειν αὐτοὺς εἰς τὰς κεφαλὰς
3 αὐτῶν, καὶ τοῖς ῥύγχεσι τιτρώσκοντας ἀποκτείνειν. Μυθεύεται δὲ τούτους γενέσθαι ἐκ τῶν ἑταίρων [v] τῶν τοῦ Διομήδους, ναυαγησάντων μὲν αὐτῶν περὶ τὴν νῆσον, τοῦ [w] δὲ Διομήδους δολοφονηθέντος ὑπὸ τοῦ [x] Αἰνέου τοῦ τότε βασιλέως τῶν τόπων ἐκείνων γενομένου.

80 Παρὰ τοῖς [y] Ὀμβρικοῖς φασὶ τὰ βοσκήματα τίκτειν [y] τρὶς τοῦ ἐνιαυτοῦ, καὶ τοὺς καρποὺς αὐτοῖς τὴν γῆν πολλαπλασίους ἀνίεσθαι τῶν καταβαλλομένων· εἶναι δὲ καὶ τὰς γυναῖκας πολυγόνους καὶ [z] σπανίως ἓν τίκτειν, τὰς δὲ πλείστας δύο καὶ τρία.

81 [a] Ἐν ταῖς [a] Ἡλεκτρίσι νήσοις, αἳ κεῖνται ἐν τῷ μυχῷ τοῦ [a] Ἀδρίου, φασὶν εἶναι δύο ἀνδριάντας ἀνακειμένους, τὸν μὲν κασσιτέρινον τὸν δὲ χαλκοῦν, εἰργασμένους τὸν ἀρχαῖον τρόπον. Λέγεται δὲ τούτους Δαιδάλου εἶναι ἔργα, ὑπόμνημα τῶν πάλαι, [b] ὅτε [c] Μίνω [d] φεύγων ἐκ Σικελίας καὶ
2 Κρήτης εἰς τούτους τοὺς τόπους παρέβαλε. Ταύτας δὲ τὰς νήσους φασὶ [e] προκεχωκέναι τὸν [a] Ἠριδανὸν ποταμόν. [f] Ἔστι δὲ καὶ λίμνη, ὡς ἔοικε, πλησίον τοῦ [g] ποταμοῦ, ὕδωρ ἔχουσα θερμόν· ὀσμὴ δ' ἀπ' αὐτῆς βαρεῖα καὶ [h] χαλεπὴ ἀποπνεῖ, καὶ οὔτε ζῷον οὐδὲν πίνει [i] ἐξ αὐτῆς οὔτε ὄρνεον ὑπερίπταται, ἀλλὰ πίπτει καὶ ἀποθνήσκει. [k] Ἔχει δὲ τὸν μὲν κύκλον
3 σταδίων [l] διακοσίων, τὸ δὲ εὖρος [m] ὡς δέκα. [n] Μυθεύουσι [o] δὲ

p τε] τι Ba.Na.Ra. q μεγάλας Na. r ῥύγχα ἔχοντας μεγάλην καὶ σκληράν Na. s πόντον Ba.Ra. t αἰρομένους Ba.Ra. v τῶν ante τοῦ om. Ba.Ra.Ta. w δὲ om. Sa. x αἰνείου Sa. y τρὶς ante τίκτειν Ba.Ra, om. Na. z σπανίους pr. Sa. a ἀδρία Na.Sa, ἀνδρίου Ba. b ὅτι Sa. c μίνως Ba.Ra. d φυγὼν ἐκ τῆς σ. Sa. e προσκεχωκέναι Sa. f ἔτι δὲ καὶ Sa, ἔτι δὲ Ba.Ra.Ta. g ποταμοῦ καὶ ὕδωρ Na. h χαλεπὸν Na. i ἀπ' pr. Na. k ἔχει] ἔστι rc. Sa. l τριακοσίων Sa. m ἕως Ba.Ra, ὡσεὶ Sa. n μηθεύουσι Ra. o δὲ καὶ οἱ Sa.

οἱ ἐγχώριοι Φαέθοντα κεραυνωθέντα πεσεῖν εἰς ταύτην τὴν λίμνην. Εἶναι δ' ἐν [p]αὐτῇ αἰγείρους πολλάς, ἐξ ὧν ἐκπίπτειν τὸ καλούμενον ἤλεκτρον. [q]Τοῦτο δὲ λέγουσιν ὅμοιον εἶναι κόμμι, [r]ἀποσκληρύνεσθαι δὲ ὡσανεὶ λίθον, καὶ συλλεγόμενον ὑπὸ τῶν ἐγχωρίων διαφέρεσθαι εἰς τοὺς [v]Ελληνας. Εἰς ταύτας οὖν τὰς νήσους Δαίδαλόν [s]φασιν ἐλθεῖν, καὶ 4
κατασχόντα αὐτὰς [t]ἀναθεῖναι ἐν μιᾷ αὐτῶν τὴν αὐτοῦ εἰκόνα, καὶ τὴν τοῦ υἱοῦ [v]Ἰκάρου [w]ἐν τῇ ἑτέρᾳ. [v]Ὑστερον δ' ἐπιπλευσάντων [x]ἐπ' αὐτοὺς [y]Πελασγῶν τῶν ἐκπεσόντων ἐξ [z]Αργους φυγεῖν τὸν Δαίδαλον, καὶ ἀφικέσθαι εἰς [z]Ικαρον τὴν νῆσον.

[z]Ἐν τῇ Σικελίᾳ περὶ τὴν καλουμένην [a]Ἔνναν σπήλαιόν 82
τι λέγεται εἶναι, περὶ [b]ὃ κύκλῳ πεφυκέναι φασὶ τῶν τε ἄλλων ἀνθέων πλῆθος ἀνὰ πᾶσαν ὥραν, πολὺ δὲ μάλιστα τῶν ἴων ἀπέραντόν τινα τόπον συμπεπληρῶσθαι, ἃ τὴν σύνεγγυς χώραν εὐωδίας πληροῖ, ὥστε τοὺς κυνηγοῦντας, τῶν [c]κυνῶν κρατουμένων ὑπὸ τῆς ὀδμῆς, ἐξαδυνατεῖν τοὺς λαγὼς ἰχνεύειν. Διὰ δὲ τούτου τοῦ χάσματος ἀσυμφανής ἐστιν 2
ὑπόνομος, καθ' ὃν φασι τὴν ἁρπαγὴν ποιήσασθαι τὸν Πλούτωνα τῆς Κόρης. Εὑρίσκεσθαι [d]δέ φασιν ἐν τούτῳ τῷ τόπῳ πυροὺς οὔτε τοῖς ἐγχωρίοις ὁμοίους οἷς χρῶνται οὔτε ἄλλοις [e]ἐπεισάκτοις, ἀλλ' ἰδιότητά τινα μεγάλην ἔχοντας. Καὶ [f]τούτῳ σημειοῦνται [g]τὸ πρώτως παρ' αὐτοῖς φανῆναι πύρινον καρπόν. [v]Οθεν καὶ [h]τῆς [i]Δήμητρος ἀντιποιοῦνται, φάμενοι παρ' αὐτοῖς τὴν θεὸν γεγονέναι.

[z]Ἐν Κρήτῃ λύκους καὶ ἄρκτους [k]τούς τ' ἔχεις, ὁμοίως δὲ 83
καὶ τὰ παραπλήσια τούτοις θηρία οὔ φασι γίνεσθαι διὰ [l]τὸ τὸν Δία γενέσθαι ἐν αὐτῇ.

[p] αὐτῷ Sa. [q] τοῦτο] οἱ Ba.Na.Ra. [r] ἀποσκλ. δὲ] διὰ τὸ ἀποσκλ. Ba.Na.Ra. [s] φησιν Ba. [t] ἀναθῆναι Ba.Ra. [v] κάρου Ba. [w] ἐν τῇ ἑτέρᾳ om. Ba.Na.Ra.Sa. [x] ἐπ' αὐτοὺς om. Ba.Na.Ra. [y] πελασγῶν τῶν ἐκπεσόντων om. Na. [z] ἐν τῇ καλουμένῃ Na.Ra, τῇ καλουμένῃ Ba. [a] ἔνναν rc. Sa, αἴτνη Ba.Na.Ra. [b] ὃ] δὲ Sa. [c] κενῶν Ba.Ra. [d] δέ om. Na. [e] ἐπισάκτοις Ba. [f] τοῦτο Ba. [g] τῷ Ba.Ra. et rc. Na. [h] τῆς om. Na. [i] δήμητρος] δη Ba.Ra. [k] τούς τ'] οὔτ' Na. [l] τὸ om. Ba.

84 [1]Ἐν τῇ θαλάσσῃ τῇ ἔξω [t]Ἡρακλείων στηλῶν φασὶν ὑπὸ Καρχηδονίων νῆσον εὑρεθῆναι [m]ἐρήμην, ἔχουσαν ὕλην τε [n]παντοδαπὴν καὶ ποταμοὺς πλωτούς, καὶ τοῖς λοιποῖς καρποῖς [o]θαυμαστήν, ἀπέχουσαν δὲ πλειόνων ἡμερῶν [p]πλοῦν· ἐν ᾗ ἐπιμισγομένων τῶν Καρχηδονίων [q]πολλάκις διὰ τὴν εὐδαιμονίαν, ἐνίων γε μὴν καὶ οἰκούντων, τοὺς προεστῶτας τῶν Καρχηδονίων ἀπείπασθαι θανάτῳ ζημιοῦν τοὺς εἰς αὐτὴν [r]πλευσομένους, καὶ τοὺς ἐνοικοῦντας πάντας [s]ἀφανίσαι, ἵνα μὴ [t]διαγγέλλωσι, μηδὲ πλῆθος συστραφὲν ἐπ' αὐτῶν ἐπὶ τὴν νῆσον [v]κυρίας τύχῃ καὶ τὴν τῶν Καρχηδονίων εὐδαιμονίαν ἀφέληται.

85 [1]Ἐκ τῆς [1]Ἰταλίας φασὶν ἕως τῆς Κελτικῆς καὶ [w]Κελτολιγύων καὶ [1]Ἰβήρων εἶναί τινα ὁδὸν [t]Ἡράκλειαν καλουμένην, δι' ἧς ἐάν τε [v]Ἕλλην ἐάν τε ἐγχώριός τις πορεύηται, τηρεῖσθαι ὑπὸ τῶν [x]παροικούντων, ὅπως μηδὲν ἀδικηθῇ· τὴν γὰρ ζημίαν ἐκτίνειν καθ' οὓς ἂν γένηται τὸ ἀδίκημα.

86 Φασὶ δὲ παρὰ τοῖς Κελτοῖς φάρμακον ὑπάρχειν τὸ καλούμενον ὑπ' αὐτῶν [y]τοξικόν· ὃ λέγουσιν οὕτω ταχεῖαν ποιεῖν τὴν φθοράν ὥστε τῶν Κελτῶν τοὺς κυνηγοῦντας, ὅταν ἔλαφον ἢ ἄλλο τι ζῷον [z]τοξεύσωσιν, ἐπιτρέχοντας ἐκ σπουδῆς ἐκτέμνειν τῆς σαρκὸς τὸ τετρωμένον [a]πρὸ τοῦ τὸ φάρμακον διαδῦναι, ἅμα μὲν τῆς προσφορᾶς ἕνεκα, ἅμα δὲ [2]ὅπως μὴ σαπῇ τὸ ζῷον. Εὑρῆσθαι δὲ τούτῳ λέγουσιν ἀντιφάρμακον τὸν τῆς δρυὸς [b]φλοιόν· οἱ δ' ἕτερόν τι φύλλον, ὃ καλοῦσι κοράκιον διὰ τὸ κατανοηθῆναι ὑπ' αὐτῶν κόρακα, γευσάμενον [c]τοῦ φαρμάκου καὶ κακῶς διατιθέμενον, [d]ἐπὶ τὸ φύλλον [e]ὁρμήσαντα [f]τοῦτο καὶ καταπιόντα παύσασθαι τῆς ἀλγηδόνος.

[m] ἔρημον Sa. [n] παντοδαπῆ Ba.Ra. [o] θαυμαστόν Ba.Ra. [p] πλοῦν om. Ba.Na.Ra. [q] πλεονάκις Ba.Na.Ra. [r] πλεῖν προθυμουμένους rc. Sa. [s] ἀφεῖναι Ba.Ra. [t] διατελῶσι Ba.Ra. [v] κυρείας Sa. [w] κελτολυγίων Ba.Ra.Ta. [x] παρακολουθούντων Ba.Ra. [y] ξενικόν Ba.Ra. [z] τοξεύωσιν Sa. [a] πρὸς τὸ τὸ φάρμακον μὴ διαδοῦναι Ba.Na.Ra. [b] ὀφλοιόν Sa. [c] τοῦ—διατιθέμενον om. Na. [d] ἐπὶ τὸ φύλλον om. Sa. [e] ὁρούσαντα Na.Sa. [f] καὶ καταπιόντα τοῦτο Sa.

[a]Ἐν τῇ [a]Ἰβηρίᾳ λέγουσι τῶν δρυμῶν ἐμπρησθέντων ὑπό 87
τινων ποιμένων, καὶ τῆς γῆς διαθερμανθείσης ὑπὸ τῆς ὕλης,
φανερῶς ἀργύρῳ ῥεῦσαι τὴν χώραν, καὶ μετὰ χρόνον σεισμῶν
ἐπιγενομένων καὶ τῶν τόπων ῥαγέντων [g]πάμπληθες [h]συνα-
χθῆναι [i]ἀργύριον, ὃ δὴ καὶ τοῖς Μασσαλιώταις πρόσοδον
ἐποίησεν οὐ τὴν τυχοῦσαν.

[a]Ἐν ταῖς Γυμνησίαις ταῖς κειμέναις νήσοις κατὰ τὴν [k][a]Ἰβη- 88
ρίαν, ἃς μετὰ τὰς λεγομένας ἑπτὰ μεγίστας λέγουσιν εἶναι,
φασὶν ἔλαιον μὴ γίνεσθαι ἐξ ἐλαιῶν, ἐκ δὲ τῆς τερμίνθου
[l]κομιδῇ πολὺ καὶ εἰς πάντα ἁρμόττον. Λέγουσι δὲ οὕτω
τοὺς οἰκοῦντας αὐτὰς [d]Ἰβηρας [m]καταγύνους εἶναι ὥστε ἀντὶ
ἑνὸς σώματος [n]θηλυκοῦ διδόναι τοῖς ἐμπόροις τέτταρα καὶ
πέντε σώματα ἄρρενα. Στρατευόμενοι δὲ παρὰ Καρχη- [2]
δονίοις τοὺς μισθοὺς ὅταν λάβωσιν, ἄλλο μέν, [o]ὡς ἔοικεν,
οὐδὲν ἀγοράζουσι, γυναῖκας δέ. Οὐ γὰρ χρυσίον οὐδὲ ἀρ-
γύριον ἔξεστι παρ' αὐτοῖς οὐδένα ἔχειν. [a]Ἐπιλέγεται [p]δέ
τι τοιοῦτον ἐπὶ [q]τῷ κωλύειν χρήματα [r]εἰσάγειν αὐτούς, ὅτι
τὴν στρατείαν [s][a]Ἡρακλῆς ἐποιήσατο ἐπὶ τὴν [a]Ἰβηρίαν διὰ
τοὺς [t]τῶν ἐνοικούντων πλούτους.

[a]Ἐν τῇ τῶν Μασσαλιωτῶν χώρᾳ περὶ τὴν [v]Λιγυστικὴν 89
φασιν εἶναί τινα λίμνην, ταύτην δὲ ἀναζεῖν καὶ ὑπερχεῖσθαι,
καὶ τοσούτους ἰχθῦς ἐκβάλλειν τὸ πλῆθος ὥστε μὴ πιστεύειν.
[a]Ἐπειδὰν δὲ οἱ ἐτησίαι πνεύσωσιν, ἐπιχώννυσθαι τὸ ἔδαφος
ἐπ' [w]αὐτὴν, καὶ τοιοῦτον κονιορτὸν γίνεσθαι αὐτόθι, καὶ
ἀποστερεοῦσθαι τὴν ἐπιφάνειαν αὐτῆς ὡσανεὶ ἔδαφος. Τοῖς
δὲ τριόδουσι διακόπτοντας τοὺς ἐγχωρίους ἑτοίμως ὅσους ἂν
βούλωνται ἰχθύας ἐξαίρειν ἐξ αὐτῆς. Λέγεται δέ τινας τῶν
[x]Λιγύων οὕτω σφενδονᾶν [y]εὖ ὥστε, ὅταν πλείους ἴδωσιν 90

[g] παμπληθῆ rc. Na. [h] συναχθῆναι om. Na. [i] ἄργυρον Na. [k] ἰβη-
ρίαν μετὰ τὰς λεγομένας ἑπτὰ αἳ μέγιστα δοκοῦσιν εἶναι Ba.Na.Ra. [l] κο-
μιδῇ om. Na. [m] κατὰ γυναῖκας Ba.Ra. et rc. Sa. [n] θηλικοῦ Sa.
[o] ὡς ἔοικεν post οὐδὲν Na, om. Ba.Ra. [p] δέ] οὖν Ba.Na.Ra. [q] τὸ
Ba.Ra. [r] εἰσάγειν] ἔχειν rc. Sa. [s] ὁ ἡρακλῆς Na. [t] τῶν ἐνοικούντων]
τούτων rc. Sa. [v] λιγυστικὴν Ba.Ra. [w] αὐτῆς Ba.Na.Ra. [x] λιγυ-
στίων Ba.Na.Ra. [y] εὖ om. Ba.Na.Ra.

ὄρνιθας, διερεθίζεσθαι πρὸς ἀλλήλους ποῖον ἕκαστος παρα-
91 σκευάζεται [z] βαλεῖν, ὡς ἑτοίμως ἁπάντων τευξομένων. [a] Ἴδιον
δέ φασι καὶ τοῦτο παρ' αὐτοῖς εἶναι· αἱ γυναῖκες ἅμα ἐργα-
ζόμεναι τίκτουσιν, καὶ τὸ παιδίον ὕδατι [b] περικλύσασαι πα-
ραχρῆμα σκάπτουσι καὶ σκάλλουσι καὶ τἆλλα οἰκονομοῦσιν
92 ἃ [c] καὶ μὴ τικτούσαις αὐταῖς ἦν πρακτέον. [d] Θαῦμα δὲ καὶ
τοῦτο παρὰ τοῖς Λίγυσι· φασὶ γὰρ παρ' αὐτοῖς ποταμὸν
εἶναι οὗ τὸ ῥεῦμα αἴρεται μετέωρον καὶ ῥεῖ, ὥστε τοὺς πέραν
μὴ ὁρᾶσθαι.

93 [e] Ἐν δὲ τῇ Τυρρηνίᾳ λέγεταί τις νῆσος [f] Αἰθάλεια ὀνομα-
ζομένη, ἐν ᾗ ἐκ τοῦ αὐτοῦ μετάλλου πρότερον μὲν χαλκὸς
ὠρύσσετο, ἐξ οὗ φασὶ πάντα κεχαλκευμένα παρ' [g] αὐτοῖς
εἶναι, [h] ἔπειτα μηκέτι εὑρίσκεσθαι, χρόνου δὲ [i] διελθόντος
πολλοῦ φανῆναι ἐκ τοῦ αὐτοῦ μετάλλου σίδηρον, ᾧ νῦν [j] ἔτι
χρῶνται Τυρρηνοὶ [k] οἱ τὸ καλούμενον [l] Ποπλώνιον οἰκοῦντες.

94 [m] Ἔστι δέ τις ἐν [n] τῇ Τυρρηνίᾳ πόλις Οἰναρέα καλουμένη, ἣν
ὑπερβολῇ φασὶν ὀχυρὰν εἶναι· ἐν γὰρ μέσῃ αὐτῇ λόφος
ἐστὶν [o] ὑψηλός, τριάκοντα σταδίους ἀνέχων ἄνω, καὶ [p] κάτω
ὕλην [q] παντοδαπὴν καὶ [r] ὕδατα. Φοβουμένους οὖν τοὺς ἐνοι-
κοῦντας λέγουσι μή τις τύραννος γένηται, προϊστασθαι
αὐτῶν τοὺς ἐκ τῶν οἰκετῶν ἠλευθερωμένους· καὶ οὗτοι ἄρ-
χουσιν αὐτῶν, κατ' ἐνιαυτὸν δ' [s] ἄλλους ἀντικαθιστάναι
τοιούτους.

95 [t] Ἐν τῇ Κύμῃ τῇ περὶ τὴν [u] Ἰταλίαν δείκνυταί τις, ὡς
ἔοικε, θάλαμος κατάγειος Σιβύλλης τῆς χρησμολόγου, ἣν
πολυχρονιωτάτην [v] γενομένην παρθένον διαμεῖναί φασιν, [w] οὖ-
σαν μὲν [x] Ἐρυθραίαν, ὑπό τινων δὲ τὴν [y] Ἰταλίαν [z] κατοικούν-

[z] λαβεῖν Ba.Ra. [a] ἀΐδιον Ba. [b] περικλείσασαι Ra. [c] καὶ post ἃ et αὐταῖς om. Ba.Na.Ra. [d] θαυμάσιον pr. Sa. [e] θάλεια Ba.Na.Ra.Sa. [f] αὐτοῦ Ba.Ra. [g] ἔπειτα] καὶ rc. Sa. [h] διεληλυθότος Na. [i] ἔτι om. Na. [k] οἱ ante τυρρηνοὶ Na, om. Ba. Ra.Sa. [l] ποπάνιον Sa, πιπάνιον Na, πωπάνιον Ba.Ra.Ta. [m] τῇ om. Ba.Na.Ra. [n] ῎ψος τρ. ς. ἔχων rc. Sa. [o] κάτω om. Ba.Na.Ra. [p] παντοδαπῆ Ba.Na.Ra. [q] ὕδωρ Na. [r] ἄλλοις Ba.Ra. [s] ἀντικαθίστανται Ba.Na.Ra. [t] γινομένην Ba. [v] οὖσαν ἐρυθραίου Sa. [w] οἰκούντων Na.

των Κυμαίαν, ὑπὸ δέ τινων [x] Μελάγκραιραν καλουμένην. Τοῦτον δὲ τὸν τόπον λέγεται κυριεύεσθαι ὑπὸ [y] Λευκανῶν. 2 Εἶναι δὲ λέγουσιν ἐν ἐκείνοις τοῖς τόποις [z] περὶ τὴν Κύμην ποταμόν τινα [a] Κετὸν ὀνομαζόμενον, εἰς ὃν φασι [b] τὸν πλείω χρόνον τὸ ἐμβληθὲν πρῶτον [c] περιφύεσθαι καὶ τέλος ἀπολιθοῦσθαι.

96 [d] Ἀλκιμένει τῷ Συβαρίτῃ φασὶ κατασκευασθῆναι ἱμάτιον τοιοῦτον τῇ πολυτελείᾳ, ὥστε [e] προτίθεσθαι αὐτὸ [f] ἐπὶ Λακινίῳ τῇ πανηγύρει [g] τῆς [v] Ἥρας, εἰς ἣν συμπορεύονται πάντες [t] Ἰταλιῶται, τῶν [h] τε δεικνυμένων μάλιστα πάντων ἐκεῖνο θαυμάζεσθαι· οὗ φασὶ κυριεύσαντα Διονύσιον τὸν πρεσβύτερον ἀποδόσθαι Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. 2 [s] Ἦν [i] δ' αὐτὸ μὲν ἀλουργές, τῷ δὲ μεγέθει πεντεκαιδεκάπηχυ, ἑκατέρωθεν δὲ διείληπτο ζῳδίοις ἐνυφασμένοις, ἄνωθεν μὲν Σούσοις, κάτωθεν δὲ Πέρσαις· ἀνὰ μέσον δὲ ἦν Ζεύς, [v] Ἥρα, Θέμις, [t] Ἀθηνᾶ, [t] Ἀπόλλων, [t] Ἀφροδίτη. Παρὰ δ' ἑκάτερον πέρας [k] [t] Ἀλκιμένης ἦν, [l] ἑκατέρωθεν δὲ Σύβαρις.

97 Περὶ τὴν ἄκραν τὴν [t] Ἰαπυγίαν φασὶν ἔκ τινος τόπου, ἐν ᾧ συνέβη γενέσθαι, ὡς μυθολογοῦσιν, [r] Ἡρακλεῖ πρὸς γίγαντας μάχην, ῥεῖν [m] ἰχῶρα πολὺν καὶ τοιοῦτον ὥστε διὰ τὸ βάρος τῆς ὀσμῆς ἄπλουν εἶναι τὴν κατὰ τὸν [n] τόπον θάλασσαν. Λέγουσι δὲ πολλαχοῦ τῆς [t] Ἰταλίας [r] Ἡρακλέους εἶναι πολλὰ μνημόσυνα ἐν ταῖς ὁδοῖς ἃς ἐκεῖνος ἐπορεύθη. Περὶ [o] δὲ Πανδοσίαν τῆς [t] Ἰαπυγίας ἴχνη τοῦ θεοῦ δείκνυται, ἐφ' ἃ οὐδενὶ ἐπιβατέον.

98 [t] Ἔστι καὶ περὶ ἄκραν [t] Ἰαπυγίαν λίθος [p] ἀμαξιαῖος, ὃν ὑπ' ἐκείνου ἀρθέντα μετατεθῆναί φασιν, ἀφ' ἑνὸς [q] δὲ δακτύλου κινεῖσθαι συμβέβηκεν.

[x] μελάγχραιναν N^a, μελάγχραιν $B^a.R^a$. [y] λευκαδίων $B^a.N^a.R^a$. [z] τινα ποταμὸν περὶ τὴν κύμην B^a. [a] κάπαν pr. S^a, σκετὸν rc. S^a, καιέτ πως N^a. [b] τὸν πλείω χρόνον om. $B^a.N^a.R^a$. [c] φύεσθαι S^a. [d] ἀντιμένει S^a. [e] προστίθεσθαι αὐτὴ $B^a.R^a$. [f] ἐπὶ τῇ λακινίῳ τῇ $B^a.R^a$. [g] τῆς Ἥρας om. N^a. [h] δὲ $N^a.S^a$. [i] δὲ om. $B^a.R^a$. [k] ἀλκισθένης S^a, ἀντισθένης $B^a.N^a.R^a.T^a$. [l] ἑκατέρωθεν] ἔνθεν (ἔνθα $B^a.R^a$.) ἑκατερου $B^a.N^a.R^a.S^a$. [m] ἰχόρα N^a. [n] πόντον S^a. [o] δὲ om. $B^a.R^a$. [p] ἀμαξιαῖος B^a. [q] δὲ om. N^a.

99 [1]Ἐν τῇ τῶν [1]Ὀρχομενίων πόλει τῇ ἐν [r]Βοιωτοῖς φανῆναί φασιν ἀλώπεκα, [s]ἣν κυνὸς διώκοντος εἰσδῦναι [t]εἴς τινα ὑπόνομον, καὶ τὸν κύνα [v]συνεισδῦναι αὐτῇ, καὶ ὑλακτοῦντα ἦχον μέγαν ποιεῖν ὡσανεὶ εὐρυχωρίας τινὸς ὑπαρχούσης [w]αὐτοῖς· τοὺς δὲ κυνηγέτας [x]ἔννοιαν λαβόντας δαιμονίαν, ἀναρρήξαντας τὴν εἴσδυσιν συνῶσαι καὶ αὐτούς· ἰδόντας δὲ διά τινων ὀπῶν εἰσερχόμενον ἔσω [y]τὸ φῶς, εὐσυνόπτως τὰ [z]λοιπὰ θεάσασθαι, καὶ ἐλθόντας ἀπαγγεῖλαι τοῖς ἄρχουσιν.

100 [1]Ἐν τῇ Σαρδοῖ τῇ νήσῳ κατασκευάσματά φασιν εἶναι εἰς τὸν [1]Ἑλληνικὸν τρόπον διακείμενα [a]τὸν ἀρχαῖον, ἄλλα τε πολλὰ καὶ καλὰ καὶ θόλους περισσοῖς τοῖς ῥυθμοῖς [b]κατεξεσμένους· τούτους δ' ὑπὸ [c][1]Ἰολάου τοῦ [1]Ἰφικλέους κατασκευασθῆναι, [d]ὅτε τοὺς Θεσπιάδας τοὺς ἐξ [1]Ἡρακλέους παραλαβὼν ἔπλευσεν εἰς ἐκείνους τοὺς τόπους ἐποικήσων, ὡς κατὰ συγγένειαν αὐτῷ τὴν [1]Ἡρακλέους [e]προσήκοντας διὰ τὸ
2 πάσης τῆς πρὸς ἑσπέραν κύριον [1]Ἡρακλέα γενέσθαι. Αὕτη δὲ ἡ νῆσος, ὡς ἔοικεν, ἐκαλεῖτο μὲν πρότερον [f][1]Ἰχνοῦσσα διὰ τὸ [g]ἐσχηματίσθαι τῇ περιμέτρῳ [h]ὁμοιότατα [i]ἀνθρωπίνῳ [k]ἴχνει, εὐδαίμων δὲ καὶ πάμφορος ἔμπροσθεν λέγεται εἶναι· τὸν γὰρ [1]Ἀρισταῖον, ὃν φασι γεωργικώτατον εἶναι ἐπὶ τῶν ἀρχαίων, τοῦτον [l]αὐτῶν [m]ἄρξαι μυθολογοῦσιν, ὑπὸ μεγάλων
3 ὀρνέων ἔμπροσθεν καὶ πολλῶν κατεχομένων. Νῦν μὲν οὖν οὐκέτι φέρει τοιοῦτον οὐδὲν διὰ τὸ [n]κυριευθεῖσαν ὑπὸ Καρχηδονίων ἐκκοπῆναι πάντας τοὺς χρησίμους εἰς [o]προσφορὰν καρπούς, καὶ θάνατον τὴν ζημίαν τοῖς ἐγχωρίοις τετάχθαι, ἐάν τις τῶν τοιούτων [p]τι ἀναφυτεύῃ.

101 [1]Ἐν μιᾷ τῶν ἑπτὰ νήσων τῶν Αἰόλου καλουμένων, ἣ κα-

r βεωτοῖς R^a, βιωτῶ B^a. s ἣν om. S^a. t εἴς] δ' εἴς S^a. v εἰσδύναι N^a. w αὐτῆς B^a, αὐτοῖς $N^a.R^a$. x ἔννοιάν τινα λαβόντας N^a. y τὸ om. $B^a.R^a$. z λοιπὸν R^a. a τὸν ἄρχον rc. N^a, τὴν ἀρχὴν S^a, τῶν ἀρχαίων $B^a.R^a$. b κατεξυσμένους S^a. c ἰόλα ἰφικλέους R^a, ἰόλα εἰφικλέους B^a. d ὥστε $B^a.R^a$. e προσήκουσαν $B^a.R^a$. f ἴχνουσσα S^a, ἰχνοῦσα $B^a.N^a.R^a$. g ἐσχηματίσθη R^a. h ὁμοιότητα B^a, ὁμοιότητι S^a. i ἀνθρώπων $B^a.R^a.S^a$. k ἴχνει om. $B^a.R^a$. l αὐτὸν N^a. m ἄρξασθαι $B^a.R^a$. n κυριαθεῖσαν N^a. o προφορὰν R^a. p τι om. S^a.

λεῖται Λιπάρα, τάφον εἶναι [q] μυθολογοῦσι, περὶ οὗ καὶ
ἄλλα [r] μὲν πολλὰ καὶ τερατώδη λέγουσι, τοῦτο δ' ὅτι οὐκ
ἀσφαλές ἐστι προσελθεῖν πρὸς ἐκεῖνον τὸν τόπον τῆς νυ-
κτός, συμφωνοῦσιν· ἐξακούεσθαι γὰρ τυμπάνων καὶ κυμβά-
λων [s] ἦχον γέλωτά τε μετὰ θορύβου καὶ κροτάλων ἐναργῶς.
Λέγουσι [t] δέ τι τερατωδέστερον γεγονέναι περὶ τὸ σπή- 2
λαιον· πρὸ ἡμέρας γὰρ [v] ἐγκοιμηθῆναί τινα ἐν αὐτῷ οἰνω-
μένον, καὶ τοῦτον ὑπὸ τῶν οἰκετῶν ζητούμενον ἐφ' ἡμέρας
τρεῖς διατελέσαι, τῇ δὲ τετάρτῃ εὑρεθέντα ὡς νεκρὸν ἀπο-
κομισθῆναι ὑπὸ τῶν οἰκείων εἰς τὸν ἴδιον τάφον, καὶ τῶν
νομιζομένων τυχόντα πάντων ἐξαίφνης ἀναστῆναι, καὶ διη-
γεῖσθαι τὰ καθ' ἑαυτὸν συμβεβηκότα. Τοῦτο μὲν οὖν ἡμῖν 3
φαίνεται μυθωδέστερον· ὅμως μέντοι ἔδει μὴ [w] παραλιπεῖν
ἀμνημόνευτον αὐτό, [x] τῶν περὶ τὸν τόπον ἐκεῖνον [y] τὴν ἀνα-
γραφὴν ποιούμενον.

Περὶ τὴν Κύμην τὴν [z] ἐν [a] Ἰταλίᾳ λίμνη ἐστὶν ἡ προσαγο- 102
ρευομένη ἄορνος, αὐτὴ μέν, ὡς ἔοικεν, οὐκ ἔχουσά τι θαυμα-
στόν· περικεῖσθαι γὰρ λέγουσι περὶ αὐτὴν λόφους κύκλῳ,
τὸ ὕψος οὐκ [a] ἐλάσσους τριῶν σταδίων, καὶ αὐτὴν εἶναι τῷ
σχήματι κυκλοτερῆ, τὸ βάθος ἔχουσαν ἀνυπέρβλητον. [d] Ἐκεῖνο 2
δὲ θαυμάσιον φαίνεται· ὑπερκειμένων γὰρ αὐτῇ πυκνῶν δέν-
δρων, καί τινων ἐν αὐτῇ κατακεκλιμένων, οὐδὲν ἔστιν ἰδεῖν
[b] φύλλον ἐπὶ τοῦ ὕδατος [c] ἐφεστηκός, ἀλλ' οὕτω καθαρώτα-
τόν ἐστι τὸ ὕδωρ ὥστε τοὺς θεωμένους θαυμάζειν. [d] Περὶ 3
[e] δὲ τὴν ἀπέχουσαν ἤπειρον αὐτῆς οὐ πολὺ θερμὸν ὕδωρ πολ-
λαχόθεν ἐκπίπτει, καὶ ὁ τόπος ἅπας καλεῖται Πυριφλεγέ-
θων. [v] Ὅτι δὲ οὐδὲν διίπταται ὄρνεον [f] αὐτήν, ψεῦδος· οἱ γὰρ
[g] παραγενόμενοι λέγουσι [h] πλῆθός τι κύκνων ἐν αὐτῇ γίνε-
σθαι.

q μυθολογεῖν Ba.Ra. r μὲν om. Ba.Ra. s εἶχον Ba. t δ' ἔτι Ra. v τινα κοιμηθῆναι Na. w παραλείπειν Ba. x τῶν] τὴν Na, om. Ba.Ra. y τὴν om. Ba.Ra. z ἐν τῇ ἰταλίᾳ Sa, περὶ τὴν ἰταλίαν Ba.Ra. a ἔλαττον Ba.Na.Ra. b ἐπὶ τοῦ ὕδατος φύλλον Ba.Ra. c ἑστηκὸς Ba.Na.Ra. d παρὰ Na. e δὲ] γὰρ Sa. f αὐτήν] ἐν αὐτῇ Ba.Ra. g παραγεγενημένοι Na. h κύκνων πλῆθός τι Ba.Na.Ra.

103 Φασὶ τὰς [i]Σειρηνούσας νήσους κεῖσθαι μὲν ἐν τῇ [j]Ἰταλίᾳ περὶ τὸν πορθμὸν ἐπ' αὐτῆς τῆς ἄκρας, ὃς κεῖται πρὸ τοῦ [k]προπεπτωκότος τόπου καὶ [l]διαλαμβάνοντος τοῖς κόλποις τόν τε περιέχοντα τὴν Κύμην καὶ τὸν διειληφότα τὴν [m]Ποσειδωνίαν καλουμένην· ἐν ᾧ καὶ νεὼς [n]αὐτῶν ἵδρυται, καὶ τιμῶνται καθ' ὑπερβολὴν ὑπὸ τῶν περιοίκων θυσίαις ἐπιμελῶς· ὧν καὶ τὰ ὀνόματα μνημονεύοντες καλοῦσι τὴν μὲν Παρθενόπην, τὴν δὲ Λευκωσίαν, τὴν δὲ τρίτην Λίγειαν.

104 Λέγεται δὲ μεταξὺ τῆς [o]Μεντορικῆς καὶ τῆς [p]Ἰστριανῆς ὄρος τι εἶναι τὸ καλούμενον Δέλφιον, ἔχον λόφον ὑψηλόν. Ἐπὶ τοῦτον τὸν λόφον ὅταν ἀναβαίνωσιν οἱ [q]Μέντορες οἱ ἐπὶ τοῦ [r]Ἀδρίου οἰκοῦντες, ἀποθεωροῦσιν, [s]ὡς ἔοικε, τὰ εἰς [2]τὸν [t]Πόντον [v]εἰσπλέοντα πλοῖα. Εἶναι δὲ [w]καί τινα τόπον ἐν τοῖς ἀνὰ μέσον διαστήμασιν, εἰς ὃν ἀγορᾶς κοινῆς γινομένης πωλεῖσθαι παρὰ μὲν τῶν ἐκ τοῦ Πόντου ἐμπόρων ἀναβαινόντων τὰ Λέσβια καὶ Χῖα καὶ Θάσια, παρὰ δὲ τῶν ἐκ τοῦ [j]Ἀδρίου τοὺς [x]Κερκυραϊκοὺς ἀμφορεῖς.

105 Φασὶ δὲ καὶ [y]τὸν [j]Ἴστρον ῥέοντα ἐκ τῶν [b]Ἐρκυνίων καλουμένων δρυμῶν σχίζεσθαι, καὶ τῇ μὲν εἰς τὸν Πόντον ῥεῖν, [2z]τῇ δὲ εἰς τὸν [j]Ἀδρίαν [a]ἐκβάλλειν. Σημεῖον [b]δὲ οὐ μόνον ἐν τοῖς νῦν καιροῖς ἑωράκαμεν, ἀλλὰ καὶ ἐπὶ τῶν [c]ἀρχαίων μᾶλλον, οἷον τὰ ἐκεῖ ἄπλωτα εἶναι· καὶ γὰρ [j]Ἰάσονα τὸν μὲν εἰσπλεῦν κατὰ Κυανέας, [d]τὸν δὲ ἐκ τοῦ [e]Πόντου [f]ἐκπλεῦν [g]κατὰ τὸν [j]Ἴστρον ποιήσασθαί φασι· καὶ φέρουσιν ἄλλα [h]τε τεκμήρια οὐκ ὀλίγα, καὶ κατὰ μὲν τὴν χώραν βωμοὺς ὑπὸ τοῦ [j]Ἰάσονος ἀνακειμένους δεικνύουσιν, ἐν δὲ μιᾷ τῶν [i]νήσων τῶν ἐν τῷ [j]Ἀδρίᾳ ἱερὸν [j]Ἀρτέμιδος ὑπὸ [k]Μη-

[i] σειρινούσας Ba.Ra. [k] πεπτωκότος Ba.Na.Ra. [l] δια μάνοντος Ba.Ra. [m] καλουμένην ποσειδωνίαν Ba.Ra.Sa. [n] αὐτῶ Ba.Ra. [o] μὲν ῥητορικῆς Ba, μὲν ῥιτορικῆς Ra. [p] ἱστοριανῆς Ba.Ra. [q] μέντωρες Ba. [r] ἀνδρίου Ba. [s] ὡς ἔοικε om. Ba.Na.Ra. [t] Πόντον] utrobique τόπον Na. [v] ἐκπλέοντα Sa. [w] τινα καὶ Ba.Na.Ra. [x] κορκυραϊκοὺς Ba. [y] τὸν om. Na. [z] τὴν Ba.Ra. [a] ἐκβάλλειν om. Ba.Na.Ra. [b] δὲ] δὲ κακεῖνο Ba.Na.Ra. [c] ἀλχαίων Ra, lacunam Ba. [d] τὸν δὲ om. Ba.Ra. [e] τόπου Na. [f] ἄπλουν Ba.Ra. [g] κατὰ τὸν Ἴστρον om. Na. [h] τε om. Ba.Na.Ra. [i] νήσων τῶν et ἱερὸν om. Ba.Ra. [k] μειδίας Ba.Ra.

δείας ἱδρυμένον. [d]Ἔτι δὲ λέγουσιν ὡς οὐκ ἂν παρέπλευσε 3
τὰς [l]Πλαγκτὰς καλουμένας, εἰ μὴ ἐκεῖθεν ἀπέπλει. Καὶ ἐν
τῇ [m]Αἰθαλείᾳ δὲ νήσῳ, τῇ κειμένῃ [n]ἐν τῷ Τυρρηνικῷ πελά-
γει, ἄλλα τε δεικνύουσι μνημεῖα τῶν ἀριστέων καὶ τὸ ἐπὶ
τῶν ψήφων δὲ λεγόμενον· παρὰ γὰρ τὸν αἰγιαλὸν [o]ψήφους φασὶν εἶναι ποικίλας, ταύτας δ' οἱ [v]Ἕλληνες οἱ τὴν
νῆσον οἰκοῦντες λέγουσι τὴν χροιὰν λαβεῖν ἀπὸ τῶν [p]στλεγ-
γισμάτων ὧν ἐποιοῦντο ἀλειφόμενοι· ἀπὸ [q]ἐκείνων γὰρ τῶν
χρόνων οὔτε πρότερον ἐωρᾶσθαι μυθολογοῦσι τοιαύτας ψή-
φους οὔθ' ὕστερον [r]ἐπιγενομένας. [s]d[/s]Ἔτι δὲ τούτων [t]φανε- 4
ρώτερα σημεῖα λέγουσιν, ὅτι οὐ διὰ τῶν [v]Συμπληγάδων
ἐγένετο ὁ ἔκπλους, αὐτῷ τῷ ποιητῇ [w]ἐν ἐκείνοις τοῖς τόποις
[x]μάρτυρι χρώμενοι. Τὴν γὰρ δυσχέρειαν τοῦ κινδύνου [y]ἐμ-
φανίζοντα λέγειν ὅτι οὐκ ἔστι παραπλεῦσαι τὸν τόπον,

ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ' [z]ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο [a]θύελλαι.

Περὶ μὲν οὖν τὰς Κυανέας οὐ λέγεται πῦρ [b]ἀναπέμπειν, 5
[c]περὶ δὲ τὸν πορθμὸν τὸν διαλαμβάνοντα τὴν Σικελίαν, ἐφ'
ἑκάτερα κειμένων [d]τῶν τοῦ πυρὸς ἀναφυσημάτων, καὶ τῆς τε
νήσου συνεχῶς καιομένης, καὶ τοῦ περὶ τὴν Αἴτνην ῥεύματος
πολλάκις τὴν χώραν ἐπιδεδραμηκότος.

[d]Ἐν Τάραντι ἐναγίζειν κατά τινας χρόνους φασὶν [t]Ἀτρεί- 106
δαις καὶ Τυδείδαις καὶ Αἰακίδαις καὶ [e]Λαερτιάδαις, καὶ [t]Ἀγα-
μεμνονίδαις δὲ χωρὶς θυσίαν ἐπιτελεῖν ἐν ἄλλῃ ἡμέρᾳ ἰδίᾳ, ἐν
ᾗ νόμιμον εἶναι ταῖς γυναιξὶ μὴ γεύσασθαι τῶν ἐκείνοις θυο-
μένων. [d]Ἔστι δὲ καὶ [t]Ἀχιλλέως νεὼς παρ' αὐτοῖς. Λέγεται 2
δὲ μετὰ τὸ παραλαβεῖν τοὺς Ταραντίνους [b]Ἡράκλειαν τὸν
τόπον καλεῖσθαι ὃν νῦν κατοικοῦσιν, ἐν δὲ τοῖς ἄνω χρόνοις

l πλακτὰς Sa. m αἰγιαλεία Na.Sa, αἰγιαλία Ba.Ra. n ἐπὶ Ba.Ra. o φασὶν εἶναι ψήφους Na. p στελεγγισμάτων Na, στηλεγγισμάτων Ba.Ra. q γὰρ ἐκείνων Ba.Ra. r ἐπιγινομένας Na, ἐπιγεγενημένας Ba.Ra. s ἔστι Sa. t φανερώτατα codices. v συμπλογάδων Ba.Ra.Sa. w ἐν] οἱ ἐν Ba.Ra.Sa. x μάρτυρες Ba. y ἐμφανίζονται Ba.Ra. z ἁλλὸς Ba. a θύελαι Ba. b ἀνάπτειν Na. c πυρὶ Ba.Ra. d τῶν om. Sa. e λαερτιάδες Ba.Ra.

τῶν [f]Ἰώνων κατεχόντων Πλεῖον· ἔτι δὲ ἐκείνων ἔμπροσθεν ὑπὸ τῶν [g]Τρώων τῶν κατασχόντων [h]αὐτὴν [i]Σίγειον [k]ὠνο-
107 μάσθαι. Παρὰ δὲ τοῖς Συβαρίταις λέγεται Φιλοκτήτην τιμᾶσθαι. Κατοικῆσαι γὰρ αὐτὸν ἐκ Τροίας ἀνακομισθέντα τὰ καλούμενα [l]Μύκαλλα τῆς [m]Κροτωνιάτιδος, ἃ φασιν ἀπέχειν ἑκατὸν εἴκοσι σταδίων, καὶ ἀναθεῖναι ἱστοροῦσι τὰ τόξα τὰ [b]Ἡράκλεια [n]αὐτὸν εἰς τὸ τοῦ [c]Ἀπόλλωνος τοῦ ἁλίου.
[2][d]Ἐκεῖθεν δέ φασι τοὺς Κροτωνιάτας [o]κατὰ τὴν ἐπικράτειαν ἀναθεῖναι αὐτὰ εἰς τὸ [e]Ἀπολλώνιον [p]τὸ παρ' αὐτοῖς. Λέγεται δὲ καὶ τελευτήσαντα ἐκεῖ κεῖσθαι αὐτὸν παρὰ τὸν ποταμὸν τὸν Σύβαριν, βοηθήσαντα [f]Ῥοδίοις τοῖς μετὰ Τληπολέμου εἰς τοὺς ἐκεῖ τόπους ἀπενεχθεῖσι καὶ μάχην [q]συνάψασι πρὸς τοὺς ἐνοικοῦντας [r]τῶν βαρβάρων ἐκείνην τὴν χώραν.
108 Περὶ δὲ τὴν [g]Ἰταλίαν τὴν καλουμένην [s]Γαργαρίαν, ἐγγὺς Μεταποντίου, [h]Ἀθηνᾶς ἱερὸν εἶναί φασιν [i]Ἑλληνίας, ἔνθα τὰ τοῦ [k]Ἐπειοῦ λέγουσιν [t]ἀνακεῖσθαι ὄργανα, ἃ εἰς τὸν [v]δούρειον ἵππον ἐποίησεν, ἐκείνου τὴν ἐπωνυμίαν ἐπιθέντος. Φανταζομένην γὰρ αὐτῷ τὴν [l]Ἀθηνᾶν κατὰ τὸν ὕπνον ἀξιοῦν ἀναθεῖναι τὰ [w]ὄργανα, καὶ διὰ τοῦτο βραδυτέρας τυγχάνοντα τῆς ἀναγωγῆς [x]εἰλεῖσθαι ἐν τῷ τόπῳ, μὴ δυνάμενον ἐκπλεῦσαι· ὅθεν [i]Ἑλληνίας [l]Ἀθηνᾶς τὸ ἱερὸν [y]προσαγορεύεσθαι.
109 [z]Λέγεται περὶ τὸν ὀνομαζόμενον τῆς [a]Δαυνίας τόπον ἱερὸν εἶναι [l]Ἀθηνᾶς [l]Ἀχαΐας καλούμενον, ἐν ᾧ δὴ πελέκεις χαλκοῦς καὶ ὅπλα τῶν Διομήδους ἑταίρων καὶ αὐτοῦ ἀνακεῖσθαι. [l]Ἐν τούτῳ τῷ τόπῳ φασὶν εἶναι κύνας οἳ τοὺς ἀφικνουμένους τῶν [i]Ἑλλήνων οὐκ ἀδικοῦσιν, ἀλλὰ σαίνουσιν ὥσ-

f ἰωνίων Na. g Τρώων τῶν] πρώτων Ra, πρῶτον Ba. h αὐτοὺς Na. i σίγιον Ba.Na.Ra. k ὀνομασθῆναι Na. l μαλακὰ Ba.Na.Ra. m κροτωνιάδος Ba.Ra. n αὐτῶν Ba.Na. o κατὰ om. Ba. p τὸ παρ' αὐτοῖς om. Ba.Ra. q συνάψασαι Ba.Ra. r τῶν βαρβάρων om. Ba.Ra. s γαργαρίαν Q.Ba.Ka.Na.Ra.Sa.Ta. t ὄργανα ἀνακεῖσθαι Ba.Ra. v δούριον Ba.Na.Ra. w ἔργα Ba.Ra. x εἰλεῖσθαι Ra.Sa, οἰχεῖσθαι Na. y προσαγορεύεται Ba.Ra.Sa. z λέγεται δὲ περὶ Ba.Ra. a δανίας Ba.Ra.

περ τοὺς συνηθεστάτους. Πάντες [b] δὲ οἱ Δαύνιοι καὶ οἱ πλησιόχωροι [c] αὐτοῖς μελανειμονοῦσι, καὶ ἄνδρες καὶ γυναῖκες, διὰ ταύτην, ὡς ἔοικε, τὴν αἰτίαν. Τὰς γὰρ Τρῳάδας 2
τὰς ληφθείσας αἰχμαλώτους καὶ εἰς ἐκείνους τοὺς τόπους ἀφικομένας, εὐλαβηθείσας μὴ πικρᾶς δουλείας τύχωσιν ὑπὸ τῶν ἐν [d] ταῖς πατρίσι προϋπαρχουσῶν τοῖς [t] Ἀχαιοῖς γυναικῶν, λέγεται τὰς ναῦς αὐτῶν [e] ἐμπρῆσαι, ἵν' ἅμα μὲν τὴν προσδοκωμένην δουλείαν [f] ἐκφύγωσιν, ἅμα δ' ὅπως μετ' ἐκείνων μένειν ἀναγκασθέντων [g] συναρμοσθεῖσαι κατάσχωσιν αὐτοὺς ἄνδρας. Πάνυ δὲ καὶ τῷ ποιητῇ καλῶς πέφρασται περὶ αὐτῶν· ἑλκεσιπέπλους γὰρ καὶ βαθυκόλπους [h] κἀκείνας, ὡς ἔοικεν, [i] ἰδεῖν ἔστιν.

[t] Ἐν δὲ τοῖς [k] Πευκετίνοις εἶναί φασιν [t] Ἀρτέμιδος ἱερόν, 110
ἐν ᾧ τὴν διωνομασμένην ἐν ἐκείνοις τοῖς [l] τόποις χαλκῆν ἕλικα ἀνακεῖσθαι λέγουσιν, ἔχουσαν ἐπίγραμμα "Διομήδης [t] Ἀρτέ-
"μιδι." Μυθολογεῖται δ' ἐκεῖνον ἐλάφῳ περὶ τὸν τράχηλον περιθεῖναι, [m] τὴν δὲ περιφῦναι, καὶ τοῦτον τὸν τρόπον εὑρισκομένην ὑπὸ [t] Ἀγαθοκλέους ὕστερον τοῦ βασιλέως Σικελιωτῶν εἰς τὸ τοῦ Διὸς ἱερὸν [n] ἀνατεθῆναί φασιν.

[t] Ἐν τῇ [o] ἄκρᾳ τῆς Σικελίας τῇ καλουμένῃ Πελωριάδι τοσ- 111
οῦτον γίνεσθαι [p] κρόκον, ὥστε παρὰ τισὶ μὲν τῶν [q] ἐν ἐκείνοις τοῖς τόποις κατοικούντων μὴ γνωρίζεσθαι [t] Ἑλλήνων ποιόν τί ἐστι τὸ ἄνθος, ἐπὶ δὲ τῆς Πελωριάδος ἀμάξας κατακομίζειν μεγάλας [r] τοὺς βουλομένους, καὶ κατὰ τὴν [s] ἐαρινὴν ὥραν τὰς στρωμνὰς καὶ τὰς σκηνὰς ἐκ [p] κρόκου κατασκευάζειν.

[t] Φησὶν [v] εἶναι ὁ Πολύκριτος ὁ τὰ Σικελικὰ γεγραφὼς ἐν 112
ἔπεσιν ἔν τινι τόπῳ τῆς [w] μεσογείου λιμνίον τι ἔχον [x] ὅσον

[b] δὲ οἱ] διὰ Na. [c] αὐτῆς Ba.Ra. [d] τοῖς πατρίσι τοῖς ἀχαιοῖς προϋπαρχουσῶν Sa. [e] ἐμπρῆσθαι Na. [f] φύγωσιν Na. [g] συναρμοσθεῖναι Sa. [h] ἐκείνας Na. [i] ἐστὶν ἰδειν Na. [k] πευκεστίνοις Na, πευκεντίνοις Sa. [l] κόλποις Na. [m] τὴν—ὕστερον om. Na. [n] ἀνατεθεῖναι Na. [o] ἄδρα Na. [p] κρόκκον et mox κρόκκου Sa. [q] ἐν om. Ba. [r] τοῖς βουλομένοις Ba.Na.Ra. [s] εἰαρινὴν Ba. [t] φασὶν Na. [v] εἶναι om. Sa. [w] μεσ. ἐστὶ λιμνήον Sa. [x] ἀσπίδος ὅσον Na.

ἀσπίδος τὸ περίμετρον, τοῦτο δ' ἔχει ὕδωρ [y] διαυγὲς μὲν [z] μικρῷ δὲ [a] θολερώτερον. Εἰς τοῦτ' οὖν [b] ἐάν τις εἰσβῇ λούσασθαι χρείαν ἔχων, αὔξεται εἰς εὖρος, [c] ἐὰν δὲ καὶ δεύτερον, μᾶλλον πλατύνεται· τὸ δὲ πέρας ἕως εἰς πεντήκοντα ἀνδρῶν [2d] ὑποδοχὴν μεῖζον [e] γενόμενον [f] διευρύνεται. Ἐπειδὰν δὲ τοῦτον τὸν ἀριθμὸν λάβῃ, ἐκ βάθους πάλιν ἀνοιδοῦν ἐκβάλλειν μετέωρα τὰ σώματα τῶν λουομένων ἔξω ἐπὶ τὸ ἔδαφος· ὡς δ' ἂν τοῦτο γένηται, εἰς τὸ ἀρχαῖον πάλιν σχῆμα [g] τῆς περιμέτρου καθίσταται. Οὐ μόνον δ' ἐπὶ ἀνθρώπων τοῦτο περὶ αὐτὸ γίνεται, ἀλλὰ καὶ [h] ἐάν τι τετράπουν εἰσ-
113 βῇ, τὸ αὐτὸ [i] πάσχει. Ἐν δὲ τῇ ἐπικρατείᾳ τῶν Καρχηδονίων φασὶν ὄρος εἶναι ὃ καλεῖται [k] Οὐράνιον, παντοδαπῆς μὲν ὕλης γέμον, πολλοῖς δὲ διαπεποικιλμένον ἄνθεσιν, ὥστε τοὺς συνεχεῖς τόπους ἐπὶ πολὺ μεταλαμβάνοντας τῆς εὐωδίας [l] αὐτοῦ ἡδίστην τινὰ τοῖς ὁδοιποροῦσι [m] προσβάλλειν τὴν ἀναπνοήν. [n] Πρὸς δὴ τοῦτον τὸν τόπον [o] κρήνην ἐλαίου φασὶν εἶναι, τὴν δὲ ὀσμὴν [p] ἔχειν [q] τῆς κέδρου τοῖς [r] ἀποπτίσμασιν ὁμοίαν. Δεῖν δέ φασι τὸν προσιόντα πρὸς [s] αὐτὴν ἁγνὸν εἶναι, καὶ τούτου γινομένου πλεῖον ἀναβλύζειν αὐτὴν
114 τὸ ἔλαιον, ὥστε [t] ἀσφαλῶς ἀρύεσθαι. Φασὶ καὶ ταύτης τῆς κρήνης πλησίον εἶναί τινα πέτραν [v] αὐτοφυῆ, μεγάλην τῷ μεγέθει. [w] Ταύτην οὖν λέγουσιν, ἐπειδὰν μὲν ᾖ θέρος, φλόγα [x] ἀναπέμπειν πυρός, χειμῶνος δὲ γενομένου ἐκ τοῦ αὐτοῦ τόπου κρουνὸν ὕδατος [y] ἀναρραίνειν· [z] οὕτω ψυχροῦ ὥστε χιόνι συμβαλλόμενον [a] μηδὲν διαφέρειν. Καὶ τοῦτό φασιν [b] οὐκ ἀπόκρυφον οὐδὲ μικρὸν χρόνον φαίνεσθαι, ἀλλὰ

y μὲν διαυγὲς Na. z οὐ μικρῷ Ba.Na.Ra. a θωλερότερον Ba.Ra, θολώτερον Sa. b ἄν Sa. c ἂν Na. d ὑπεροχῆς Ba.Na.Ra. e γινόμενον Na. f διευρύνεσθαι Sa. g τῶν περιμέτρων Na. h ἄν Ba.Ra.Sa. i πάσχειν Na. k Οὐράνιον] γώνιον Ba.Ra. l αὐτῶν Ba.Na.Ra. m προσβάλλει Ba. n πρὸς δὲ δὴ Na. o κρήνας Sa. p ἔχειν om. Na. q τοῦ κένδρου Ba.Ra. r ἀποπτύσμασιν Sa, ἀποπτία Na. s αὐτοὺς Na. t ἀσφαλῶς αὐτὴν ἀρ. Sa. v αὐτοφυᾶ Ba.Na.Ra. w ταύτης Ba.Ra. x ἀναπίμπτειν Ba.Ra. y ἀναραίνειν Ba. z οὕτω—χειμῶνα] pro his Ba.Ra.Ta: καὶ τὸ δύο—τὸ λευκόν (cap. 137. sect. 2.) a μηδενὶ Na. b οὐκ] τὸ Ba.Ra.

τὸ μὲν πῦρ ἀνιέναι τὴν [c] θερείαν ὅλην, τὸ δὲ ὕδωρ πάντα τὸν [d e] χειμῶνα.

Λέγεται [f] δὲ καὶ [g] περὶ τὴν τῶν [h] Σιντῶν καὶ [i] Μαιδῶν 115
χώραν καλουμένην τῆς Θράκης ποταμόν τινα εἶναι Πόντον
[k] προσαγορευόμενον, ἐν ᾧ καταφέρεσθαί τινας λίθους οἳ καί-
ονται καὶ τοὐναντίον πάσχουσι τοῖς ἐκ τῶν ξύλων ἄνθραξι·
ῥιπιζόμενοι γὰρ σβέννυνται ταχέως, [l] ὕδατι δὲ ῥαινόμενοι
ἀναλάμπουσι καὶ ἀνάπτουσι κάλλιον. Παραπλησίαν δὲ
ἀσφάλτῳ, ὅταν [m] καίωνται, καὶ πονηρὰν [n] οὕτως ὀσμὴν καὶ
δριμεῖαν ἔχουσιν ὥστε μηδὲν τῶν ἑρπετῶν ὑπομένειν ἐν τῷ
τόπῳ καιομένων αὐτῶν. Εἶναι δέ φασι καὶ τόπον τινὰ παρ' 116
αὐτοῖς οὐ λίαν μικρόν, ἀλλ' ὡς ἂν εἴκοσί [o] που σταδίων, ὃς
φέρει κριθὰς αἷς οἱ μὲν ἄνθρωποι χρῶνται, οἱ δ' ἵπποι καὶ
βόες οὐκ ἐθέλουσιν αὐτὰς ἐσθίειν, οὐδ' ἄλλο οὐδέν. [p] Ἀλλ'
οὐδὲ [q] τῶν [r] ὑῶν οὐδὲ τῶν κυνῶν οὐδεμία τολμᾷ γεύσασθαι
τῆς κόπρου τῶν ἀνθρώπων, οἵτινες ἂν [s] ἐκ τῶν κριθῶν τούτων
μᾶζαν φαγόντες ἢ ἄρτον [t] ἀφοδεύωσι, [v] τῷ θνήσκειν.

Ἐν δὲ Σκοτούσαις τῆς Θετταλίας φασὶν εἶναι κρηνίδιόν 117
τι μικρόν, ἐξ [w] οὗ ῥεῖ [x] τοιοῦτον ὕδωρ [y] ὃ τὰ μὲν ἕλκη καὶ
θλάσματα ταχέως ὑγιεινὰ ποιεῖ καὶ τῶν ἀνθρώπων καὶ τῶν
ὑποζυγίων, ἐὰν δέ τις ξύλον μὴ παντάπασι συντρίψας ἀλλὰ
σχίσας [z] ἐμβάλῃ, συμφύεται καὶ πάλιν εἰς τὸ αὐτὸ [a] καθί-
σταται.

Περὶ δὲ τὴν Θράκην τὴν ὑπὲρ [b] Ἀμφίπολιν φασὶ [c] γί- 118
νεσθαί [d] τι τερατῶδες καὶ ἄπιστον τοῖς μὴ [e] τεθεαμένοις.
Ἐξιόντες γὰρ οἱ παῖδες ἐκ τῶν κωμῶν καὶ τῶν ἐγγὺς χω-

[c] *θερίαν* Ba.Ra. [d] *χειμῶνα εἶναι* Sa, *χρόνον* Ba.Ra. [e] post *χειμῶνα* Q.Ka.Na.Sa. c. 130—137. [f] *δὲ καὶ* om. Sa, *καὶ* om. Na. [g] *παρὰ τῇ* et mox *χώρα καλουμένη* pr. Sa. [h] *σιτῶν* Ba.Ra.Ta. [i] Μαιδῶν Sylburgius: codices *μεδῶν*. [k] *προσονομαζόμενον* Ba.Ra.Sa. [l] *αἵματι* rc. Sa. [m] *καίονται* Ba.Ra. [n] *ὀσμὴν οὕτω* Ba.Na.Ra. [o] *που* om. Sa. [p] *ἀλλ'* om. Na. [q] *τῶν* om. Ba. [r] *οἰῶν* Sa. [s] *ἐκ τῆς τῶν* Ba. [t] *ἀφοδεύσωσι* Ba.Ra, *ἀφοδήσωσι* Na. [v] *τῷ* om. Na. [w] *οὗ καὶ ῥεῖ* Ba.Ra. [x] *τοσοῦτον* Na. [y] *ὃ* rc. Na. [z] *ἐμβάλλῃ* Ba. [a] *καθίστησιν* Ba.Ra.Sa. [b] *ἀμφιπόλεως* Ba.Na.Ra. [c] *γενέσθαι* Ba.Na.Sa. [d] *τι* om. Na.Ra.Sa. [e] *θεασαμένοις* Na.

ρίων ἐπὶ θήραν τῶν ὀρνιθαρίων συνθηρεύειν παραλαμβάνουσι
2 τοὺς ἱέρακας, καὶ τοῦτο ποιοῦσιν οὕτως. [1]Ἐπειδὰν [f]προέλθωσιν εἰς τόπον ἐπιτήδειον, καλοῦσι τοὺς ἱέρακας ὀνομαστὶ κεκραγότες· οἱ δ' ὅταν ἀκούσωσι τῶν παίδων τὴν φωνήν, παραγινόμενοι [g]κατασοβοῦσι [h]τοὺς ὄρνιθας· οἱ δὲ δεδιότες ἐκείνους καταφεύγουσιν εἰς τοὺς θάμνους, ὅπου αὐτοὺς οἱ παῖδες ξύλοις τύπτοντες [i]λαμβάνουσιν. [n]Ὁ δὲ πάντων ἄν τις μάλιστα θαυμάσειεν· οἱ μὲν γὰρ ἱέρακες ὅταν αὐτοί τινα λάβωσι τῶν ὀρνίθων, καταβάλλουσι τοῖς θηρεύουσιν, οἱ δὲ παῖδες ἀπάντων τῶν ἁλόντων μέρος τι τοῖς ἱέραξιν ἀποδόντες ἀπέρχονται.

119 Θαυμαστὸν δέ τι καὶ παρὰ τοῖς [t]Ἐνετοῖς φασὶ γίνεσθαι. [1]Ἐπὶ γὰρ τὴν χώραν αὐτῶν πολλάκις κολοιῶν ἀναριθμήτους μυριάδας ἐπιφέρεσθαι καὶ τὸν σῖτον αὐτῶν σπειράντων καταναλίσκειν· οἷς τοὺς [t]Ἐνετοὺς πρὸ τοῦ ἐφίπτασθαι μέλλειν ἐπὶ τὰ μεθόρια τῆς γῆς προτιθέναι δῶρα, παντοδαπῶν καρπῶν καταβάλλοντας σπέρματα, ὧν ἐὰν μὲν γεύσωνται [k]οἱ [l]κολοιοί, [m]οὐχ ὑπερβαίνουσιν ἐπὶ τὴν χώραν αὐτῶν, [n]ἀλλ' οἴδασιν οἱ [t]Ἐνετοὶ ὅτι [o]ἔσονται ἐν εἰρήνῃ· ἐὰν δὲ μὴ γεύσωνται, ὡσεὶ πολεμίων ἔφοδον αὐτοῖς γινομένην οὕτω προσδοκῶσιν.

120 [1]Ἐν δὲ τῇ [p]Χαλκιδικῇ τῇ ἐπὶ Θράκης πλησίον [1]Ὀλύνθου φασὶν εἶναι [q]Κανθαρώλεθρον ὀνομαζόμενον τόπον, μικρῷ [r]μείζονα τὸ μέγεθος ἅλω, εἰς ὃν τῶν μὲν ἄλλων ζῴων ὅταν τι ἀφίκηται, πάλιν [s]ἀπέρχεται, τῶν δὲ κανθάρων τῶν ἐλθόντων οὐδείς, ἀλλὰ κύκλῳ περιιόντες τὸ χωρίον λιμῷ τελευτῶσιν.

121 [1]Ἐν δὲ Κύκλωψι τοῖς Θρᾳξὶ [t]κρηνίδιόν ἐστιν ὕδωρ [v]ἔχον ὃ τῇ μὲν ὄψει καθαρὸν καὶ διαφανὲς καὶ τοῖς ἄλλοις

f προσέλθωσιν Ba.Ra.Sa. g παρασοβοῦσιν Ba.Na.Ra. h τοὺς—καταφεύγουσιν om. Ba.Ra. i λήψωσιν Sa. k οἱ om. Ba.Ra. l κολιοὶ Ba.Ra. m οὐχ—γεύσωνται om. Ba.Ra. n ἀλλ'] καὶ Na. o οἰχήσονται rc. Sa. p χαλκίδι Ba.Na.Ra. q κανθαρόλεθρον Sa, κανθαλώλεθρον Ba.Ra. r μεῖζον Ba.Ra.Sa. s ἐπανέρχεται rc. Sa. t κρηνηΐδιόν Ba.Ra. v ἔχειν Ra.

ὅμοιον, ὅταν δὲ πίῃ τι ζῷον ἐξ αὐτοῦ, παραχρῆμα διαφθείρεται.

Φασὶ δὲ καὶ ἐν τῇ [w]Κραστωνίᾳ παρὰ τὴν Βισαλτῶν 122
χώραν τοὺς ἁλισκομένους λαγὼς δύο ἥπατα ἔχειν, καὶ τόπον τινὰ εἶναι ὅσον πλεθριαῖον, εἰς ὃν ὅ τι ἂν εἰσέλθῃ ζῷον ἀποθνήσκει. [1]Ἔστι δὲ καὶ ἄλλο αὐτόθι ἱερὸν Διονύσου μέγα 2
καὶ καλόν, ἐν ᾧ τῆς ἑορτῆς καὶ τῆς θυσίας οὔσης λέγεται, ὅταν μὲν ὁ θεὸς εὐετηρίαν μέλλῃ ποιεῖν, ἐπιφαίνεσθαι μέγα σέλας πυρός, [x]καὶ τοῦτο πάντας ὁρᾶν τοὺς περὶ τὸ τέμενος διατρίβοντας, ὅταν δ' ἀκαρπίαν, μὴ φαίνεσθαι τοῦτο τὸ φῶς, ἀλλὰ σκότος ἐπέχειν τὸν τόπον ὥσ[y]περ καὶ τὰς ἄλλας νύκτας.

[1]Ἐν [1]Ηλιδι λέγουσιν εἶναί τι οἴκημα σταδίους ἀπέχον 123
ὀκτὼ μάλιστα τῆς πόλεως, εἰς ὃ τιθέασι τοῖς Διονυσίοις λέβητας χαλκοῦς τρεῖς κενούς. Τοῦτο δὲ ποιήσαντες παρακαλοῦσι τῶν [t]Ελλήνων τῶν ἐπιδημούντων τὸν βουλόμενον ἐξετάσαι τὰ ἀγγεῖα καὶ τοῦ οἴκου κατασφραγίζεσθαι τὰς θύρας. Καὶ ἐπειδὰν μέλλωσιν ἀνοίγειν, ἐπιδείξαντες [z]τοῖς 2
πολίταις [a]καὶ τοῖς ξένοις τὰς σφραγῖδας, οὕτως ἀνοίγουσιν. [b]Οἱ δ' εἰσελθόντες εὑρίσκουσι τοὺς μὲν λέβητας οἴνου πλήρεις, τὸ δὲ ἔδαφος καὶ τοὺς τοίχους ὑγιεῖς, ὥστε μηδεμίαν [c]εἶναι ὑποψίαν λαβεῖν ὡς τέχνῃ τινὶ κατασκευάζουσιν. Εἶναι δέ φασι παρ' αὐτοῖς καὶ ἰκτίνους, οἳ παρὰ [d]μὲν τῶν διὰ τῆς ἀγορᾶς τὰ κρέα φερόντων ἁρπάζουσι, τῶν δὲ ἱεροθύτων [e]οὐχ ἅπτονται.

[1]Ἐν [f]Κορωνείᾳ δὲ τῆς Βοιωτίας λέγεται τοὺς ἀσπάλακας 124
[g]τὰ ζῷα μὴ δύνασθαι ζῆν μηδ' ὀρύσσειν τὴν γῆν, τῆς λοιπῆς Βοιωτίας πολὺ πλῆθος ἐχούσης.

[1]Ἐν [h]Λουσοῖς δὲ τῆς [1]Αρκαδίας κρήνην εἶναί τινά φασιν, 125
ἐν ᾗ χερσαῖοι μύες γίνονται καὶ κολυμβῶσι, τὴν δίαιταν ἐν

[w] κροτωνία Sa. κραστωνίᾳ παρὰ om. Ba.Ra.Ta. [x] καὶ—ἀκαρπίαν om. Na. [y] περ om. Ba Ra.Sa. [z] τοὺς πολίτας rc. Na. [a] καὶ om. Na. [b] οἱ δ' εἰσελθόντες εὑρίσκουσι om. Sa. [c] εἶναι post ὑποψίαν Na, om. Ba.Ra. [d] μὲν om. Na. [e] οὐχ om. Ba.Ra. [f] κορωνία Na.Sa. [g] τὸ ζῶον Na.Sa. [h] λουσοῖς Sylburgius: codices κολούσοις.

ἐκείνῃ ποιούμενοι. Λέγεται δ' αὐτὸ τοῦτο καὶ ἐν Λαμψάκῳ εἶναι.

126 Ἐν δὲ [i]Κράννωνι τῆς Θετταλίας φασὶ δύο [k]κόρακας εἶναι μόνους ἐν τῇ πόλει. Οὗτοι ὅταν [l]ἐκνεοττεύσωσιν, ἑαυτοὺς μέν, ὡς ἔοικεν, ἐκτοπίζουσιν, ἑτέρους δὲ τοσούτους τῶν ἐξ αὐτῶν γενομένων ἀπολείπουσιν.

127 Ἐν [m]δὲ [n]Ἀπολλωνίᾳ τῇ [n]πλησίον κειμένῃ τῆς τῶν [o]Ἀτλαντίνων χώρας φασὶ γίγνεσθαι ἄσφαλτον ὀρυκτὴν καὶ πίσσαν, τὸν αὐτὸν τρόπον ἐκ τῆς γῆς [p]ἀναπηδῶσαν τοῖς ὕδασιν, οὐδὲν διαφέρουσαν τῆς Μακεδονικῆς, μελαντέραν δὲ καὶ παχυτέραν πεφυκέναι [q]ἐκείνης. Οὐ πόρρω δὲ τούτου τοῦ χωρίου πῦρ ἐστὶ καιόμενον πάντα τὸν χρόνον, ὡς φασὶν [2]οἱ κατοικοῦντες περὶ τὴν χώραν ἐκείνην. [r]Ὁ δὲ καιόμενος τόπος ἐστὶν οὐ πολύς, ὡς ἔοικεν, ἀλλ' [r]ὅσον μάλιστα πεντακλίνου τὸ μέγεθος. [s]Ὀζει δὲ [s]θείου καὶ στυπτηρίας, καὶ πέφυκε περὶ αὐτὸν πόα τε βαθεῖα, ὃ καὶ θαυμάσειεν ἄν τις μάλιστα, καὶ δένδρα μεγάλα, οὐκ ἀπέχοντα τοῦ πυρὸς πήχεις τέσσαρας. Καίεται δὲ συνεχῶς περὶ [t]Λυκίαν καὶ Μεγάλην πόλιν τὴν ἐν [v]Πελοποννήσῳ.

128 Λέγεται δὲ καὶ ἐν [i]Ἰλλυριοῖς τίκτειν τὰ βοσκήματα δὶς τοῦ ἐνιαυτοῦ, καὶ τὰ πλεῖστα διδυμοτοκεῖν, καὶ πολλὰ δὲ τρεῖς ἢ [w]τέσσαρας ἐρίφους τίκτειν, [x]ἔνια δὲ καὶ πέντε καὶ πλείους, ἔτι [y]δὲ γάλακτος ἀφιέναι ῥᾳδίως τρία ἡμίχοα. Λέγουσι δὲ καὶ τὰς ἀλεκτορίδας οὐχ ὥσπερ παρὰ τοῖς ἄλ-
129 λοις ἅπαξ τίκτειν, ἀλλὰ δὶς ἢ [z]τρὶς τῆς ἡμέρας. Λέγεται δὲ καὶ [a]ἐν Παιονίᾳ τοὺς βοῦς τοὺς ἀγρίους πολὺ μεγίστους ἁπάντων τῶν ἐν [b]τοῖς λοιποῖς ἔθνεσι γίγνεσθαι, καὶ τὰ κέρατα αὐτῶν χωρεῖν τέσσαρας χόας, ἐνίων δὲ καὶ πλεῖον.

i *κράνωνι* Ba.Ra. k *κόρας εἶναι ἐν τῇ πόλει μόνους* Na. l *ἐκνεοττεύουσιν* Ba.Ra. m *δὲ*] *δὲ τῇ* Na. n *πλησίαν* Ra.Sa. o *ἀτλαντικῶν* Sa. *Ταυλαντίων* Brodæus. p *συναναπηδῶσαν* Ba.Na.Ra. q *ἐκείνης* ante *πεφυκέναι* Ta, *ἐκόνης* Ra. r *ὅσος* Ba.Na.Ra.Sa. s *θύου* Na. t *λικύαν* Na. v *πελοποννήσω* Ra. w *τέτταρας* Sa. x *ἔνιοι* Ba.Ra.Sa. y *δὲ καὶ γ.* Na. z *τρὶς παρ' αὐτοῖς τῆς* Sa. a *ἐν τῇ παιονίᾳ* Ra. b post *τοῖς* Ba.Ra.Ta. *ψυχροῦ—χρόνον* (cap. 114). *λοιποῖς* autem *ἔθνεσι—πλεῖον* hi post *θαυμαστὸν δ' ἐστὶ* (cap. 137. sect. 2.) ponunt.

Περὶ δὲ τοῦ πορθμοῦ [c]τῆς Σικελίας καὶ ἄλλοι μὲν πλείους 130
γεγράφασι, καὶ οὗτος δέ φησι συμβαίνειν τερατῶδες. [1]Ἐκ
γὰρ τοῦ [d]Τυρρηνικοῦ πελάγους πολλῷ [e]ῥοίζῳ φερόμενον
τὸν κλύδωνα προσβάλλειν πρὸς ἀμφότερα τὰ ἀκρωτήρια, τὸ
μὲν τῆς Σικελίας, τὸ δὲ τῆς [1]Ἰταλίας, τὸ προσαγορευόμενον
[1]Ῥήγιον, [f]καὶ φερόμενον ἐκ μεγάλου πελάγους εἰς στενὸν
συγκλείεσθαι, τούτου δὲ γινομένου κῦμα μετέωρον αἴρειν σὺν
πολλῷ [g]βρόμῳ ἐπὶ [h]πάνυ πολὺν τόπον τῆς ἄνω φορᾶς,
ὥστε τοῖς μακρὰν ἀπέχουσι [i]σύνοπτον εἶναι τὸν μετεωρι-
σμόν, οὐχ ὅμοιον φαινόμενον θαλάσσης ἀναφορᾷ, λευκὸν δὲ
καὶ [k]ἀφρῶδες, παραπλήσιον δὲ τοῖς συρμοῖς τοῖς γινομέ-
νοις ἐν τοῖς ἀνυπερβλήτοις χειμῶσι. [1]Καὶ ποτὲ μὲν ἀλλή- 2
λοις συμπίπτειν ἐπ' ἀμφοτέρων τῶν ἀκρωτηρίων τοὺς κλύ-
δωνας, καὶ [m]ποιεῖν [n]συγκλυσμὸν ἄπιστον μὲν διηγεῖσθαι,
ἀνυπομόνητον δὲ τῇ ὄψει θεάσασθαι· ποτὲ δὲ [o]διισταμένους
ἐκ τῆς πρὸς ἀλλήλους συρράξεως οὕτω βαθεῖαν καὶ φρικώδη
τὴν [p]ἄποψιν ποιεῖν τοῖς ἐξ ἀνάγκης θεωμένοις, ὥστε πολ-
λοὺς μὲν μὴ κρατεῖν ἑαυτῶν, ἀλλὰ πίπτειν σκοτουμένους
[q]ὑπὸ δέους. [1]Ἐπειδὰν δὲ [r]προσπεσὸν τὸ κῦμα πρὸς [s]ὁπο- 3
τερονοῦν τῶν τόπων καὶ μετεωρισθὲν [t]ἕως τῶν ἄκρων πάλιν
εἰς τὴν ὑπορρέουσαν θάλασσαν κατενεχθῇ, τότε δὴ πάλιν
σὺν πολλῷ [v]μὲν βρυχηθμῷ μεγάλαις δὲ καὶ [w]ταχείαις δί-
ναις τὴν θάλασσαν [x]ἀναζεῖν καὶ μετεωρίζεσθαι [y]κυκωμένην
ἐκ βυθῶν, παντοδαπὰς δὲ χρόας [z]μεταλλάσσειν· ποτὲ μὲν
γὰρ ζοφεράν, ποτὲ δὲ κυανῆν, πολλάκις δὲ πορφυρίζουσαν
διαφαίνεσθαι. Τὸν δὲ δρόμον καὶ τὸ μῆκος αὐτῆς, ἔτι δὲ 4
πρὸς τούτοις τὴν [a]ἀνάρροιαν, οὐδὲ ἀκούειν οὐδὲν ἑρπετὸν [b]οὔθ'

c τῆς] τοῦ Sa. d τυρρηνοῦ Ba.Ra. e ῥύζῳ Ra. f καὶ om. Ba.Ra.Sa. g τρόμῳ Sa. h πάνυ] πάνω Ba.Ra. i συνόπτην Ba.Ra. k ἀφρῷ παραπλήσιον· ἐν δὲ τοῖς σεισμοῖς Sa. l καὶ om. Sa. m ποιεῖν] ποιεῖν ποτὲ μὲν Sa. n συγκλεισμὸν Ba.Ra.Sa. o διιστάντας rc. Sa. p ὄψιν Na. q ὑπὸ τοῦ δέους Ba.Ra. r προσπέσων Ba. s ὁπότερον Sa. t ἕως] ἐκ Sa. v μὲν om. Ba.Ra. w ταχείαις Ba.Na.Ra. x αὔξειν rc. Sa. y κυκλωμένην Ba. z μεταλάσειν Sa, καταλαβεῖν Ba.Ra. a ἀνάρρειαν Na. b οὐδὲ Ba.

ὁρᾶν [c]ὑπομένειν, φεύγειν δὲ πάντα πρὸς τὰς ὑποκειμένας [d]ὑπωρείας. Λήγοντος δὲ τοῦ [e]κλύδωνος τὰς [f]δίνας μετεώρους [g]φέρεσθαι ποικίλας οὕτω τὰς [h]ἀναστροφὰς ποιουμένας, ὥστε δοκεῖν πρηστήρων ἤ τινων ἄλλων μεγάλων ὄφεων [i]σπειράματι παρομοίους τὰς κινήσεις ἀποτελεῖν.

131 Φασὶν οἰκοδομούντων [1]Ἀθηναίων τὸ τῆς Δήμητρος ἱερὸν [k]τῆς ἐν [l]Ἐλευσῖνι [m]περιεχομένην στήλην πέτραις εὑρεθῆναι χαλκῆν, ἐφ' [n]ἧς ἐπεγέγραπτο [o]"Δηϊόπης τόδε σῆμα," ἣν οἱ μὲν λέγουσι Μουσαίου εἶναι [p]γυναῖκα, τινὲς δὲ Τριπτολέμου μητέρα γενέσθαι.

132 [1]Ἐν μιᾷ τῶν [q]Αἰόλου προσαγορευομένων νήσων πλῆθός τί φασι γενέσθαι φοινίκων, ὅθεν καὶ Φοινικώδη καλεῖσθαι. Οὐκ ἂν οὖν εἴη τὸ λεγόμενον ὑπὸ Καλλισθένους ἀληθές, ὅτι ἀπὸ Φοινίκων τῆς Συρίας τῶν τὴν παραλίαν οἰκούντων τὸ
2 φυτὸν ἔλαβε τὴν προσηγορίαν. [1]Ἀλλὰ καὶ αὐτοὺς τοὺς [r]Φοίνικας ὑπὸ τῶν [t]Ἑλλήνων φασί τινες [φοίνικας] προσαγορευθῆναι διὰ τὸ πρώτους πλέοντας τὴν θάλασσαν, ᾗ ἂν ἀποβαίησαν, πάντας ἀποκτείνειν καὶ φονεύειν. Καὶ κατὰ γλῶσσαν δ' ἐστὶ τὴν [s]Περραιβῶν τὸ [t]αἱμάξαι φοινίξαι.

133 Τῆς καλουμένης [v]Αἰνιακῆς χώρας περὶ τὴν ὀνομαζομένην [t]Ὑπάτην λέγεται παλαιά τις στήλη εὑρεθῆναι, ἣν οἱ [w]Αἰνιᾶνες τίνος ἦν εἰδέναι βουλόμενοι, ἔχουσαν ἐπιγραφὴν ἀρχαίοις γράμμασιν, [x]ἀπέστειλαν εἰς [1]Ἀθήνας τινὰς κομίζον-
2 τας αὐτήν. Πορευομένων δὲ διὰ τῆς Βοιωτίας, καί τισι τῶν ξένων ὑπὲρ τῆς ἀποδημίας [y]ἀνακοινουμένων, λέγεται αὐτοὺς εἰσαχθῆναι εἰς τὸ καλούμενον [1]Ἰσμήνιον ἐν Θήβαις· ἐκεῖθεν [z]γὰρ μάλιστα [a]ἂν [b]εὑρεθῆναι τὴν τῶν γραμμάτων ἐπιγρα-

[c] ὑπομένει φεύγει Na. [d] ὑπορείας Na. [e] κλύδονος Ra. [f] δίνας] ναῦς Na.Sa. [g] φαίνεσθαι Na.Sa. [h] ἀναφοράς Ra. [i] πειράματα Na. [k] τὴν Na. [l] ἐλευσίνῃ Ba.Na. [m] παρεχομένην Ba. [n] ἣ Ba.Ra. [o] διϊόπης τόδε σῆμα δήμητρος ἣν Na. [p] γλαῦκα Ba.Ra. [q] αἰόλων Na. [r] φοίνικας om. Ba.Na.Ra. [s] περαιβῶν Ba.Ra. [t] ἀμάξαι Na. [v] αἰνικῆς χώρας Sa, αἰνι ρας Ra, αἰνι Ba.Ta. [w] αἰνειάνες Na, ἄνες post lacunam Ta. [x] ἀπέστειλας Ba.Ra. [y] ἀνακινουμένων Ba.Ra. [z] γὰρ] μὲν γὰρ Ba.Ra, δὲ Na. [a] ἂν om. Sa. [b] ἀνευρεθῆναι Na.

φήν, λέγοντες εἶναί τινα ἀναθήματα [c] ὁμοίους ἔχοντα τοὺς [d] ῥυθμοὺς τῶν γραμμάτων ἀρχαῖα. [v] Ὅθεν αὐτούς φασιν [e] ἀπὸ τῶν γνωριζομένων τὴν εὕρεσιν [f] ποιησαμένους τῶν ἐπιζητουμένων, ἀναγράψαι τούσδε τοὺς στίχους.

[g] Ἡρακλέης [h] τεμένισσε Κυθήρᾳ [i] Φερσεφαάσσῃ, 3
[k] Γηρυονείας [l] ἀγέλας ἑλάων ἠδ' [m] Ἐρύθειαν ἄγων.
[n] τὰς δ' ἐδάμασσε πόθῳ [o] Πασιφάεσσα θεά.
τῇδε δέ μοι τέκνῳ τῷ δ' [p] Ἐρύθου τε [q] δάμαρ
νυμφογενὴς [r] Ἐρύθη· δὴ τόδ' ἔδωκα πέδον
μναμόσυνον [s] φιλίας, [t] φηγῷ ὕπο [v] σκιερᾷ.

Τούτῳ τῷ ἐπιγράμματι ἐπεχώρησε καὶ ὁ τόπος ἐκεῖνος 4
[w] Ἐρυθος καλούμενος, καὶ ὅτι ἐκεῖθεν [x] τὰς βοῦς καὶ οὐκ
ἐξ [y] Ἐρυθείας ἤγαγεν· οὐδὲ γὰρ ἐν τοῖς κατὰ Λιβύην καὶ
Ἰβηρίαν τόποις οὐδαμοῦ τὸ ὄνομά [z] φασι λέγεσθαι τῆς
Ἐρυθείας.

Τῆς δὲ Λιβύης ἐν Ἰτύκῃ [a] τῇ καλουμένῃ, ἣ κεῖται μέν, 134
ὡς λέγουσιν, ἐν τῷ κόλπῳ τῷ μεταξὺ [b] Ἑρμαίας καὶ τῆς
Ἵππου ἄκρας, [c] ἐπέκεινα δὲ Καρχηδόνος ὡς σταδίους διακοσίους (ἣ καὶ πρότερον [d] κτισθῆναι λέγεται [e] ὑπὸ Φοινίκων αὐτῆς τῆς Καρχηδόνος ἔτεσι διακοσίοις ὀγδοήκοντα ἑπτά, ὡς ἀναγέγραπται ἐν ταῖς Φοινικικαῖς ἱστορίαις), γίνεσθαί φασιν ἅλας ὀρυκτούς, ἐπὶ τρεῖς ὀργυιὰς τὸ βάθος, τῇ ὄψει λευκοὺς καὶ οὐ στερεοὺς ἀλλ' ὁμοίους τῷ γλισχροτάτῳ γλοιῷ· καὶ ὅταν ἀνενεχθῶσιν εἰς τὸν ἥλιον, ἀποστερεοῦσθαι καὶ γίνεσθαι

[c] ὁμοίους om. Sa. [d] ἀριθμοὺς Na. [e] ὑπὸ Na. [f] ποιησαμένων Na. [g] ἡρακλέους Ba.Ra. et rc. Sa: pr. enim ἡρακλέος. [h] τεμενις τε vel τεμένιστε Ba.Ra. et pr. Sa, τεμένει τε rc. Sa. [i] φερσεφαάση Ba.Na.Ra. [k] γηρυθνείας Na, τηδορυονῆας Ba.Ra. [l] ἀγέλαν Ra, ἀγέλων Ba. [m] ἐρυθὸν Sa. [n] τὰς δάμασσε Sa. an forte τᾶς ἑ δάμασσε? [o] πασσιφάεσσα Ba.Ra. [p] ἐρύθοντι Ba.Na.Ra. [q] δάμαρ νυμφηγενὴς Sa, δάμαρτι νυμφογενὴς Na, δαμαρνυτιμφογενὴς Ta. [r] ἐρυθιδὴ τόδ' Na. [s] φιλότας Ba.Na.Ra.Sa. [t] φυτὰ Ba.Na.Sa, φητὰ Ra. [v] σκιερά Sa. [w] ἐρυθὴς Na. [x] τοὺς Ba.Na. [y] ἐρυθίας Ba.Ra.Ta. [z] λέγεσθαί φασι Ba.Ra. [a] τῇ om. Na. [b] ἑρμίας Ra, ἑραμαίας Na. [c] ἐπ' ἐκεῖνο Ba.Ra. [d] κτισθῆσθαι Ra. [e] ὑπὸ φοινίκων] νικω (νικα Ta.) post lacunam Ba.Ra.Ta.

ὁμοίους τῷ [f]Παρίῳ λίθῳ. Γλύφεσθαι δὲ ἐξ αὐτῶν [g]λέγουσι ζῴδια καὶ ἄλλα σκεύη.

135 Τοὺς πρώτους τῶν Φοινίκων ἐπὶ Ταρτησσὸν πλεύσαντας λέγεται τοσοῦτον ἀργύριον ἀντιφορτίσασθαι, [h]ἔλαιον καὶ [i]ἄλλον [k]ναυτικὸν [l]ῥῶπον εἰσαγαγόντας, [m]ὥστε μηκέτι ἔχειν δύνασθαι μήτε ἐπιδέξασθαι [n]τὸν ἄργυρον, ἀλλ' ἀναγκασθῆναι ἀποπλέοντας ἐκ τῶν τόπων τά τε ἄλλα πάντα ἀργυρᾶ οἷς ἐχρῶντο κατασκευάσασθαι, καὶ δὴ καὶ τὰς ἀγκύρας πάσας.

136 Λέγουσι [o]τοὺς Φοίνικας τοὺς κατοικοῦντας τὰ [p]Γάδειρα καλούμενα, ἔξω πλέοντας [t]Ηρακλείων [q]στηλῶν ἀπηλιώτῃ ἀνέμῳ ἡμέρας [r]τέτταρας, παραγίνεσθαι εἴς τινας τόπους ἐρήμους, θρύου καὶ φύκους πλήρεις, οὓς ὅταν μὲν ἄμπωτις ᾖ [s]μὴ βαπτίζεσθαι, ὅταν δὲ πλημμύρα, κατακλύζεσθαι, ἐφ' [t]ὧν εὑρίσκεσθαι ὑπερβάλλον [v]θύννων πλῆθος, καὶ τοῖς μεγέθεσιν [w]ἄπιστον καὶ τοῖς πάχεσιν, [x]ὅταν [y]ἐποκείλωσιν· οὓς ταριχεύοντες καὶ συντιθέντες εἰς ἀγγεῖα διακομίζουσιν εἰς Καρχηδόνα. [t]Ὧν Καρχηδόνιοι [z]μόνων οὐ ποιοῦνται τὴν ἐξαγωγήν, ἀλλὰ διὰ τὴν ἀρετὴν ἣν ἔχουσι κατὰ τὴν βρῶσιν αὐτοὶ καταναλίσκουσιν.

137 [t]Ἐν τῇ Πηδασίᾳ τῆς Καρίας θυσία τῷ Διὶ συντελεῖται, ἐν ᾗ πέμπουσιν αἶγά τινα, περὶ ἣν θαυμαστόν τί φασι γίγνεσθαι. Βαδίζουσα γὰρ ἐκ Πηδάσων σταδίους ἑβδομήκοντα δι' ὄχλου πολλοῦ τοῦ θεωροῦντος οὔτε διαταράττεται κατὰ τὴν πορείαν οὔτ' ἐκτρέπεται τῆς ὁδοῦ, δεδεμένη δὲ [a]σχοινίῳ προπορεύεται τοῦ τὴν ἱερωσύνην ἔχοντος. Θαυμαστὸν δ' [b]ἐστὶ καὶ τὸ δύο κόρακας εἶναι διὰ τέλους [c]περὶ

[f] παρίου Na. [g] λέγεται Ba.Ra. [h] ἐλαίου Na. [i] ἄλλα Na. [k] ναυτικῶν Sa. [l] ῥωπὴν Ba.Ra, ῥοπῶν pr. Sa. [m] ὡς Na. [n] τὸ ἀργύριον Sa. [o] τοὺς φ.] περὶ φ. Ba.Ra. [p] γάδυρα Ba. [q] στηρῶν Ba. [r] τέσσαρας Na. [s] μὴ om. Ba.Ra. [t] ὧν] οἷς rc. Sa. [v] θύνων Na. [w] ἄπιστον post πάχεσιν Ba.Na.Ra. [x] ὅταν om. Ba.Ra. [y] ἐπωκείλωσιν Ba.Na.Ra. [z] μόνον οὐ Ba Ra, μόνον οὐ μόνον Sa. [a] σχοινίῳ] σχεδὸν rc. Sa, om. in lacuna Ba.Ra. [b] post ἐστὶ Ba.Ra.Ta. λοιποῖς ἔθνεσι. [c] παρὰ Sa

τὸ τοῦ Διὸς ἱερόν, ἄλλον δὲ μηδένα [d]προσιέναι [e]πρὸς τὸν τόπον, καὶ τὸν ἕτερον αὐτῶν ἔχειν τὸ πρόσθεν τοῦ [f]τραχήλου λευκόν.

[1]Ἐν [1]Ἰλλυριοῖς δὲ τοῖς [g][1]Ἀρδιαίοις καλουμένοις, παρὰ τὰ 138
μεθόρια τῶν [h]Αὐταριατῶν [i]κἀκείνων, φασὶν ὄρος εἶναι μέγα, τούτου δὲ πλησίον ἄγκος, ὅθεν ὕδωρ ἀναπηδᾶν, οὐ [k]πᾶσαν ὥραν ἀλλὰ τοῦ ἦρος, πολὺ τῷ πλήθει, ὃ λαμβάνοντες τὰς μὲν ἡμέρας ἐν τῷ στεγνῷ φυλάττουσι, τὰς δὲ νύκτας εἰς τὴν αἰθρίαν τιθέασι. Καὶ πέντε ἢ ἓξ ἡμέρας τοῦτο ποιησάντων αὐτῶν πήγνυται τὸ ὕδωρ, καὶ γίνεται κάλλιστον ἅλας, ὃ ἕνεκεν τῶν βοσκημάτων μάλιστα διατηροῦσιν· οὐ γὰρ εἰσάγονται πρὸς αὐτοὺς ἅλες διὰ τὸ κατοικεῖν πόρρω [l]αὐτοὺς θαλάσσης καὶ εἶναι αὐτοὺς ἀμίκτους. Πρὸς οὖν τὰ βοσκήματα πλείστην αὐτοῦ χρείαν ἔχουσιν· ἁλίζουσι γὰρ αὐτὰ δὶς τοῦ ἐνιαυτοῦ. [1]Ἐὰν δὲ μὴ ποιήσωσι τοῦτο, συμβαίνει αὐτοῖς ἀπόλλυσθαι τὰ πλεῖστα τῶν βοσκημάτων.

[1]Ἐν [1]Ἄργει δέ φασι γίνεσθαι ἀκρίδος [m]τι γένος ὃ [n]κα- 139
λεῖται σκορπιομάχον. [1]Ὅταν γὰρ ἴδῃ [o]τάχιστα σκορπίον, [p]ἀνθίσταται αὐτῷ· ὡσαύτως δὲ καὶ ὁ σκορπίος [q]ἐκείνῃ. Καὶ κύκλῳ περιιοῦσα τρίζει περὶ αὐτόν· τὸν δὲ τὸ [r]κέντρον ἐπαίροντα ἀντιπεριάγειν ἐν τῷ αὐτῷ τόπῳ, εἶτα κατὰ μικρὸν ἀνιέναι τὸ κέντρον, καὶ τέλος ὅλον ἐκτείνεσθαι, [s]τῆς ἀκρίδος κύκλῳ τρεχούσης. Τὰ τελευταῖα δὲ προσελθοῦσα κατεσθίει αὐτὸν [t]ἡ ἀκρίς. [1]Ἀγαθὸν δέ φασιν εἶναι [t]καὶ πρὸς τὰς πληγὰς τοῦ σκορπίου [v]ἐπιφαγεῖν αὐτήν.

Τοὺς ἐν Νάξῳ σφῆκάς φασιν, ὅταν φάγωσι τοῦ ἔχεως 140
(προσφιλὴς δ' αὐτοῖς ἡ σάρξ, ὡς ἔοικεν, ἐστίν), ἐπειδάν τινα

[d] προσιέναι] πέτεσθαι Ta, om. Ba.Ra. [e] πρὸς om. Ba.Na.Ra.Ta. [f] τρ. τὸ λευκόν Ba.Ra. [g] ἀρδίοις Ba.Ra, ταρδίοις Sa, ἀρκαδίοις Na. [h] αὐθαριάδων rc. Sa, αὐταρτῶν Ba.Ra. [i] κακεῖνοι Ba.Ra. [k] πᾶσιν Ba. [l] αὐτοὺς τῆς θ. Na. [m] τινὸς Ba.Ra. [n] καλεῖσθαι Sa. [o] τάχιστα om. Ba.Ra. [p] ἀνθίστασθαι Sa. [q] ἐκείνης Sa. [r] κέτρον Ba. [s] τῆς] καὶ τῆς Ba.Ra. [t] ἡ ἀκρὶς et καὶ om. Ba.Na.Ra. [v] ἐπαγαγεῖν Na.

κεντήσωσι, περιωδύνους οὕτω ποιεῖν ὥστε χαλεπωτέραν φαίνεσθαι τῆς πληγῆς τῶν ἕχεων.

141 Φασὶ τὸ Σκυθικὸν φάρμακον, ᾧ ἀποβάπτουσι τοὺς ὀϊστούς, συντίθεσθαι ἐξ [w]ἐχίδνης. Τηροῦσι δέ, ὡς ἔοικεν, οἱ Σκύθαι τὰς ἤδη ζῳοτοκούσας, καὶ λαβόντες αὐτὰς τήκουσιν ἡμέρας τινάς. [v]Οταν δὲ ἱκανῶς αὐτοῖς δοκῇ σεσῆφθαι πᾶν, τὸ τοῦ ἀνθρώπου αἷμα εἰς χυτρίδιον [x]ἐγχέοντες εἰς [y]τὰς κοπρίας [z]κατορύττουσι [a]πωμάσαντες. [v]Οταν δὲ καὶ τοῦτο σαπῇ, τὸ ὑφιστάμενον ἐπάνω τοῦ αἵματος, ὃ δή ἐστιν ὑδατῶδες, μιγνύουσι τῷ τῆς ἐχίδνης ἰχῶρι, καὶ οὕτω ποιοῦσι θανάσιμον.

142 [t]Εν [b]Κουρίῳ τῆς Κύπρου ὄφεών τι γένος εἶναί φασιν, ὃ τὴν δύναμιν ὁμοίαν [c]ἔχει τῇ ἐν Αἰγύπτῳ ἀσπίδι, πλὴν ὅτι τοῦ χειμῶνος ἐὰν δάκῃ, οὐδὲν ἐργάζεται, εἴτε δι' ἄλλην τινὰ αἰτίαν, εἴτε διότι τὸ ζῷον δυσκίνητον γίνεται ὑπὸ τοῦ ψύχους ἀποπηγνύμενον καὶ τελέως ἀδύνατον, ἐὰν μὴ θερμανθῇ.

143 [t]Εν [d]Κέῳ φασὶν εἶναί τι γένος ἀχέρδου, ὑφ' [e]ἧς ἐάν τις πληγῇ τῇ ἀκάνθῃ, ἀποθνήσκει.

144 [t]Εν Μυσίᾳ φασὶν ἄρκτων τι γένος εἶναι λευκόν, αἳ [f]ὅταν κυνηγῶνται, ἀφιᾶσι τοιαύτην πνοὴν ὥστε τῶν κυνῶν τὰς σάρκας σήπειν, ὡσαύτως δὲ καὶ τῶν λοιπῶν θηρίων, ἀβρώτους [g]τε ποιεῖν. [t]Εὰν δέ τις καὶ βιάσηται καὶ ἐγγίσῃ, ἀφιᾶσιν ἐκ τοῦ στόματος φλέγμα πάμπολύ τι, ὡς ἔοικεν, ὃ [h]προσφυσᾷ [i]πρὸς τὰ πρόσωπα τῶν κυνῶν, ὡσαύτως [i]δὲ καὶ τῶν ἀνθρώπων, ὥστε καὶ ἀποπνίγειν καὶ ἀποτυφλοῦν.

145 [t]Εν δὲ τῇ [t]Αραβίᾳ [k]ὑαινῶν τι γένος φασὶν εἶναι, [l]ὃ ἐπειδὰν προΐδῃ τι θηρίον ἢ [m]ἀνθρώπου ἐπιβῇ ἐπὶ τὴν σκιάν, ἀφωνίαν [n]ἐργάζεται καὶ πῆξιν τοιαύτην [o]ὥστε μὴ

[w] ἐχίνης Na. [x] ἐκχέοντες Ba.Na.Ra. [y] τοὺς κοπρίους Ba.Ra.Sa. [z] κατορύσσουσι Sa. [a] πωμώσαντες Na. [b] κουρείῳ Sa. [c] ἔχειν Ba.Ra. [d] καίῳ Ba.Ra. [e] ἥ Ba.Ra.Sa. [f] ὅταν] ἅμα Ba.Ra. [g] τε]τὸ Ba.Ra, om. Na. [h] προσπύσαι rc. Sa. [i] πρὸς et δὲ om. Ba.Ra. [k] ὑένων Na. [l] ὅπερ Na. [m] θρώπου—ἀφωνίαν om. Ba.Ra.Ta. in lacuna. [n] ἐργάζεσθαι Sa. [o] ὡς Na.

δύνασθαι κινεῖν τὸ σῶμα. Τοῦτο δὲ [p] ποιεῖν καὶ [q] ἐπὶ τῶν κυνῶν.

Κατὰ δὲ Συρίαν εἶναί [r] τί φασι ζῷον ὃ καλεῖται λεοντο- 146
φόνον· ἀποθνήσκει γὰρ ὁ λέων, ὡς ἔοικεν, ὅταν αὐτοῦ φάγῃ. [s] Ἐκὼν μὲν οὖν τοῦτο οὐ ποιεῖ, ἀλλὰ φεύγει τὸ ζῷον· ὅταν δὲ συλλαβόντες αὐτὸ οἱ κυνηγέται καὶ [t] ὀπτήσαντες ὥσπερ ἄλφιτα λευκὰ [v] περιπάσσωσιν [w] ἄλλῳ ζῴῳ, [x] γευσάμενον ἀπόλλυσθαί φασι παραχρῆμα. [y] Κακοῖ καὶ προσουροῦν τὸν λέοντα τοῦτο τὸ ζῷον.

Λέγεται καὶ τοὺς γῦπας ὑπὸ τῆς τῶν μύρων ὀσμῆς ἀπο- 147
θνήσκειν, ἐάν τις αὐτοὺς χρίσῃ ἢ δῷ τι [z] μεμυρισμένον φαγεῖν. [a] Ὡσαύτως δὲ καὶ τοὺς κανθάρους ὑπὸ τῆς τῶν ῥόδων ὀσμῆς.

Καὶ ἐν Σικελίᾳ δέ φασι καὶ ἐν [b] Ἰταλίᾳ τοὺς γαλεώτας 148
θανάσιμον ἔχειν τὸ δῆγμα, καὶ οὐχ ὥσπερ [c] τοὺς παρ' ἡμῖν ἀσθενὲς καὶ μαλακόν. Εἶναι δὲ καὶ μυῶν γένος ἐφιπτάμενον, ὃ ὅταν δάκῃ, ἀποθνήσκειν ποιεῖ. [d] Ἐν δὲ τῇ Μεσοπο- 149
ταμίᾳ τῆς Συρίας φασὶ καὶ ἐν [e] Ἰστροῦντι ὀφείδιά τινα γίγνεσθαι, ἃ τοὺς ἐγχωρίους οὐ δάκνει, τοὺς ξένους [f] δὲ ἀδικεῖ σφόδρα. Περὶ [g] δὲ τὸν Εὐφράτην καὶ τελείως φασὶ τοῦτο 150
γίγνεσθαι. Πολλοὺς γὰρ φαίνεσθαι περὶ τὰ χείλη τοῦ ποταμοῦ καὶ [h] διανέοντας ἐφ' ἑκάτερα, ὥστε τῆς δείλης ἐνταῦθα [i] θεωρουμένους ἅμα τῇ ἡμέρᾳ ἐπὶ θατέρου μέρους φαίνεσθαι, καὶ τοὺς ἀναπαυομένους τῶν μὲν Σύρων μὴ δάκνειν, τῶν δ' [k] Ἑλλήνων μὴ ἀπέχεσθαι.

[l] Ἐν Θεσσαλίᾳ φασὶ τὸν ἱερὸν καλούμενον ὄφιν πάντας 151
ἀπολλύειν, οὐ μόνον [m] ἐὰν δάκῃ, ἀλλὰ καὶ ἐὰν θίγῃ. Διὸ καὶ ὅταν φανῇ καὶ τὴν φωνὴν ἀκούσωσι (φαίνεται δὲ σπανίως), φεύγουσι καὶ οἱ ὄφεις καὶ οἱ ἔχεις καὶ τἆλλα πάντα

[p] ποῖον Ba.Ra. [q] πὶ τῶν κυνῶν om. Ba. in lacuna. [r] φασί τι Ra. [s] οὖν om. Ba.Na.Ra. [t] ὀπτήσαντα Ba.Ra. [v] περισπάσσωσιν Ba, περισπάσσωσιν Ra. [w] ἄλλο ζῶον Sa. [x] τὸ γευσάμενον Ra. [y] κακεῖ Na. [z] μεμυρισμένων Ba. [a] τὸ Ba.Na.Ra.Sa. [b] οἰστροῦντι pr. Sa, μυροῦντι rc. [c] δὲ] δὲ καὶ Ba.Na.Ra. [d] δὲ om. Ba.Na.Ra. [e] διανεύοντας Ba. [f] θεωρουμένης Sa. [g] ἂν Na.Sa.

θηρία. Τῷ δὲ μεγέθει οὐκ ἔστι μέγας ἀλλὰ μέτριος. [1]Ἐν Τήνῳ δέ [h]ποτέ φασιν [i]αὐτὸν τῇ πόλει κατὰ Θετταλίαν ἀναιρεθῆναι ὑπὸ γυναικός, γενέσθαι δὲ τὸν θάνατον [k]τοιόνδε.
2 Γυναῖκα κύκλον γράψασαν καὶ [l]τὰ φάρμακα θεῖσαν εἰσβῆναι εἰς τὸν κύκλον, αὐτὴν καὶ τὸν υἱόν, εἶτα μιμεῖσθαι τὴν φωνὴν τοῦ θηρίου· τὸ δ' ἀντᾴδειν καὶ προσιέναι. [4]Αἰδοντος δὲ καταδαρθεῖν τὴν γυναῖκα, καὶ ἐγγυτέρω προσιόντος μᾶλ-
3 λον, ὥστε [m]μὴ δύνασθαι κρατεῖν [n]τοῦ ὕπνου. [o]Τὸν δ' υἱὸν παρακαθήμενον ἐγείρειν τύπτοντα, κελευούσης ἐκείνης, καὶ λέγειν ὅτι ἐὰν μὲν καθυπνώσῃ, ἀπολεῖται καὶ αὐτὴ καὶ ἐκεῖνος, ἐὰν δὲ [p]βιάσηται καὶ προσαγάγηται τὸ θηρίον, σωθήσονται. [r]Ὡς δὲ προσῆλθεν ὁ ὄφις εἰς τὸν κύκλον, [q]αὖον εὐθὺς γενέσθαι αὐτόν.

152 [r]Λέγεται περὶ τὰ [s]Τύανα ὕδωρ εἶναι ὁρκίου Διός ([t]καλοῦσι [v]δὲ αὐτὸ [4]Ασβαμαῖον), [w]οὗ πηγὴ ἀναδίδοται πάνυ ψυχρά, [x]παφλάζει δὲ ὥσπερ οἱ λέβητες. Τοῦτο εὐόρκοις μὲν ἡδύ τε καὶ ἵλεων, ἐπιόρκοις δὲ παρὰ πόδας ἡ δίκη. [4]Αποσκήπτει γὰρ καὶ εἰς ὀφθαλμοὺς καὶ εἰς χεῖρας καὶ εἰς πόδας, ἁλίσκονταί τε ὑδέροις καὶ φθόαις· καὶ οὐδὲ πρόσθεν ἀπελθεῖν δυνατόν, ἀλλ' αὐτόθι ἔχονται καὶ ὀλοφύρονται πρὸς τῷ ὕδατι, ὁμολογοῦντες ἃ ἐπιώρκησαν.

153 [4]Αθήνησί φασι τὸν ἱερὸν τῆς ἐλαίας [y]θαλλὸν ἐν ἡμέρᾳ μιᾷ βλαστῆσαι καὶ πλείονα γενέσθαι, ταχὺ δὲ αὖ πάλιν συστέλλεσθαι.

154 Τῶν ἐν Αἴτνῃ κρατήρων ἀναρραγέντων καὶ ἀνὰ τὴν γῆν φερομένων ἔνθα καὶ ἔνθα [z]χειμάρρου δίκην, τὸ τῶν εὐσεβῶν γένος ἐτίμησε τὸ δαιμόνιον. [a]Περικαταληφθέντων γὰρ ὑπὸ

h ποτε om. Na. i αὐτῇ Ba.Na.Ra. k τοιοῦτον Na. l τὰ om. Na. m μὴ] μένον Na. n τὸν ὕπνον rc. Sa. o καὶ τὸν δ' Ba. p βιώσηται καὶ προσαγάγῃ Na. q λύσιν εὐθ. γ. αὐτοῦ Ba.Ra. r Capita 152—176 sola habet Ua. Sa. autem: ἐν ἄλλῳ ἀντιγράφῳ ἡ προκειμένη ἀρχὴ πᾶσα τῶν παραδόξων ἀκουσμάτων ἔλειπεν ἄχρι τοῦ "ἐν βιθυνίᾳ δὲ τῆς θρᾴκης ἐν τοῖς μετάλλοις" (cap. 33·), ἦσαν δὲ ἀντ' ἐκείνων τὰ ὑποτεταγμένα. s τυάνω Ua. t καλεῖται rc. Ka, om. in lacuna Na.Ua. v δὲ om. Na. w οὖν πηγῆ ἀναδέδοται Ua. x παμφάζει Ua, παφλάξει margo Ua. y θαλὸν Ua. z χειμάρου Ua. a περικαταλειφθέντων Na.Sa.Ua.

τοῦ ῥεύματος διὰ τὸ βαστάζειν γέροντας ἐπὶ τῶν ὤμων γονεῖς καὶ σώζειν, πλησίον αὐτῶν γενόμενον τὸ τοῦ πυρὸς ῥεῦμα ἐξεσχίσθη, παρέτρεψέ τε τοῦ φλογμοῦ τὸ μὲν ἔνθα τὸ δὲ ἔνθα, καὶ ἐτήρησεν ἀβλαβεῖς ἅμα τοῖς γονεῦσι τοὺς νεανίσκους.

Λέγεται τὸν ἀγαλματοποιὸν Φειδίαν κατασκευάζοντα 155
τὴν ἐν ἀκροπόλει [a]Ἀθηνᾶν ἐν μεσότητι ταύτης τῆς ἀσπίδος τὸ ἑαυτοῦ πρόσωπον ἐντυπώσασθαι, καὶ συνδῆσαι τῷ ἀγάλματι διά τινος ἀφανοῦς [b]δημιουργίας, ὥστ' ἐξ ἀνάγκης, εἴ τις βούλοιτο αὐτὸ περιαιρεῖν, τὸ σύμπαν ἄγαλμα λύειν τε καὶ συγχεῖν.

Φασὶν ὡς ἀνδριὰς ὁ τοῦ Βίτυος ἐν [c]Αργει ἀπέκτεινε [[c]τὸν 156
αἴτιον] τοῦ [d]θανάτου τῷ Βίτυϊ, [e]θεωροῦντι ἐμπεσών. [f]Εοικεν οὖν οὐκ εἰκῇ τὰ τοιαῦτα γίνεσθαι.

Φασὶ τοὺς [f]κύνας μόνον διώκειν τὰ θηρία πρὸς τὰς κορυ- 157
φὰς τῶν [g]Μελάνων καλουμένων ὀρῶν, ἀλλ' ἀναστρέφειν, ὅταν ἄχρι τούτων διώκωσιν.

[a]Εν τῷ Φάσιδι ποταμῷ γεννᾶσθαι ῥάβδον ὀνομαζομένην 158
λευκόφυλλον, ἣν οἱ [h]ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι ῥίπτουσι περὶ τὸν [i]παρθένιον θάλαμον, καὶ ἀνόθευτον τηροῦσι τὸν γάμον. [a]Εν [k]δὲ τῷ Τίγριδι [l]γίνεσθαί φασι λίθον 159
μωδῶν κεκλημένον βαρβαρικῶς, τῇ χρόᾳ πάνυ λευκόν, ὃν ἐὰν κατέχῃ τις, [m]ὑπὸ θηρίων οὐδὲν ἀδικεῖται. [a]Εν δὲ τῷ Σκα- 160
μάνδρῳ γίνεσθαί φασι βοτάνην σίστρον καλουμένην, [n]παραπλησίαν ἐρεβίνθῳ, κόκκους δ' ἔχει σειομένους, ὅθεν τὴν προσηγορίαν ἔλαβε· ταύτην τοὺς κατέχοντας μήτε δαιμόνιον μήτε φαντασίαν ἠντιναοῦν φοβεῖσθαι.

Περὶ Λιβύην ἄμπελός ἐστιν ἣν καλοῦσι μαινομένην τινές, 161
ἢ τῶν καρπῶν τοὺς μὲν πεπαίνει, τοὺς δ' ὀμφακώδεις ἔχει, τοὺς δ' ἀνθοῦντας καὶ βραχύν τινα χρόνον.

[b] δημιουργείας U^a. [c] τὸν αἴτιον om. $K^a.N^a.S^a.U^a$. [d] θεάτρου S^a. [e] θεωροῦντος S^a. [f] κάρας μὴ δ. S^a. [g] μεγάλων S^a. [h] ζηλώτυποι N^a. ζολότυποι U^a. [i] παρθέναν S^a. [k] δὲ om. N^a. [l] γενέσθαι N^a, γεννᾶσθαι U^a. [m] οὐδὲν ὑπὸ θηρίων $K^a.N^a.U^a$. [n] παραπλήσιον $N^a.S^a$.

162 Περὶ τὸ Σίπυλον ὄρος γίνεσθαί φασι λίθον παρόμοιον κυλίνδρῳ, ὃν οἱ εὐσεβεῖς υἱοὶ ὅταν εὕρωσιν, ἐν τῷ τεμένει τῆς μητρὸς τῶν θεῶν τιθέασι, καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμαρτάνουσιν, [o] ἀλλ' [p] ἀεί εἰσι φιλοπάτορες.

163 [q] Ἐν [r] ὄρει Τηϋγέτῳ γίνεσθαι βοτάνην καλουμένην χαρισίαν, ἣν γυναῖκες [r] ἔαρος ἀρχομένου τοῖς τραχήλοις περιάπτουσι, καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἐρῶνται.

164 [u] Ὄθρυς ὄρος ἐστὶ Θετταλίας, ὃ φέρει ὄφεις τοὺς λεγομένους σῆπας, οἳ οὐκ ἔχουσι μίαν χροιάν, ἀλλ' ἀεὶ ὁμοιοῦνται τῷ χώρῳ ἐν ᾧ οἰκοῦσι. Τινὲς δὲ αὐτῶν ὅμοιον ἔχουσι τὸ χρῶμα τοῖς κόχλοις τῆς γῆς. [u] Ἄλλοις δὲ χλοάζουσά ἐστιν ἡ φολίς. [v] Ὅσοι δὲ αὐτῶν [s] ἐν ψαμάθοις διατρίβουσι, ταύταις ἐξομοιοῦνται κατὰ τὸ χρῶμα. Δάκνοντες δὲ ἐμποιοῦσι δίψος. [u] Ἔστι δὲ αὐτῶν τὸ δῆγμα οὐ τραχὺ καὶ ἔμπυρον, ἀλλὰ κακόηθες.

165 Τοῦ περκνοῦ [t] ἔχεως τῇ ἐχίδνῃ συγγινομένου, ἡ ἔχιδνα ἐν τῇ συνουσίᾳ τὴν κεφαλὴν ἀποκόπτει. Διὰ τοῦτο καὶ τὰ τέκνα, [v] ὥσπερ τὸν θάνατον τοῦ πατρὸς μετερχόμενα, τὴν γαστέρα τῆς μητρὸς διαρρήγνυσιν.

166 [q] Ἐν τῷ Νείλῳ ποταμῷ γεννᾶσθαι λίθον φασὶ κυάμῳ παρόμοιον, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι. Συντελεῖ δὲ καὶ τοῖς δαίμονί τινι γενομένοις κατόχοις· ἅμα γὰρ τῷ προσ-
167 τεθῆναι ταῖς ῥισὶν ἀπέρχεται τὸ δαιμόνιον. [q] Ἐν δὲ τῷ Μαιάνδρῳ ποταμῷ τῆς [q] Ἀσίας λίθον φασὶ [w] σώφρονα καλούμενον κατ' ἀντίφρασιν· ὃν ἐάν τις εἴς τινος ἐμβάλῃ κόλπον, ἐμμανὴς γίνεται καὶ φονεύει τινὰ τῶν συγγενῶν.

168 [r] Ῥῆνος καὶ [u] Ἴστρος οἱ ποταμοὶ [x] ὑπ' ἄρκτον ῥέουσιν, ὁ μὲν Γερμανοὺς ὁ δὲ Παίονας παραμείβων· καὶ θέρους μὲν ναυσίπορον ἔχουσι τὸ ῥεῖθρον, τοῦ δὲ χειμῶνος παγέντες ὑπὸ κρύους ἐν πεδίου σχήματι [y] καθιππεύονται.

[o] ἀλλ'] καὶ Sa. [p] ἀεὶ om. Ka.Sa. [q] ὄρει τῷ ἠψέτῳ Ka.Na.Ua. [r] ἔρωτος Ka.Na.Ua. [s] ἐν om. Na.Ua. [t] ἔχιος Ka. [v] ὥσπερ om. Sa. [w] ἄφρονα Ka.Na.Ua, τέφρωνα Sa. [x] ὑπ' ἄρκτω Ka.Ua, ἐπ' ἄρκτου Na. [y] καθιπτεύονται Ua.

Περὶ τὴν Θούριον πόλιν δύο ποταμούς φασιν εἶναι, [z] Σύ- 169
βαριν καὶ Κρᾶθιν. [f]Ὁ μὲν οὖν [z] Σύβαρις τοὺς πίνοντας ἀπ'
αὐτοῦ πτυρτικοὺς εἶναι ποιεῖ, ὁ δὲ Κρᾶθις τοὺς ἀνθρώπους
ξανθότριχας λουομένους. [f]Ἐν δὲ [a] Εὐβοίᾳ δύο ποταμοὺς 170
εἶναι, ὧν ἀφ' οὗ [b] μὲν τὰ πίνοντα πρόβατα λευκὰ γίνονται·
ὃς ὀνομάζεται Κέρβης· ὁ δὲ [c] Νηλεύς, ὃς μέλανα ποιεῖ.

Παρὰ [d] Λυκόρμᾳ ποταμῷ γεννᾶσθαι βοτάνην λόγχῃ πα- 171
ρόμοιον, συντελοῦσαν πρὸς [e] ἀμβλυωπίαν ἄριστα.

Τὴν ἐν Συρακούσαις τῆς Σικελίας πηγὴν [f]Ἀρέθουσαν διὰ 172
πενταετηρίδος κινεῖσθαι λέγουσιν.

[f]Ἐν ὄρει Βερεκυνθίῳ γεννᾶσθαι λίθον καλούμενον μάχαι- 173
ραν, ὃν ἐὰν εὕρῃ τις, τῶν μυστηρίων τῆς [f]Ἑκάτης ἐπιτελου-
μένων ἐμμανὴς γίνεται, ὡς Εὔδοξός φησιν. [f]Ἐν ὄρει δὲ 174
[f] Τμώλῳ γεννᾶσθαι λίθον παρόμοιον [g] κισσήρει, ὃς τετράκις
τῆς ἡμέρας ἀλλάσσει τὴν χρόαν· βλέπεσθαι δὲ ὑπὸ παρ-
θένων τῶν μὴ τῷ χρόνῳ φρονήσεως μετεχουσῶν.

[f]Ἐν [h] [f]Ἀρτέμιδος [f]Ὀρθωσίας βωμῷ ταῦρον ἵστασθαι χρύ- 175
σειον, ὃς κυνηγῶν εἰσελθόντων φωνὴν ἐπαφίησιν.

[f]Ἐν Αἰτωλοῖς φασὶν ὁρᾶν τοὺς ἀσπάλακας ἀμυδρῶς, καὶ 176
οὐδὲ σιτεῖσθαι γῆν ἀλλ' ἀκρίδας.

Τοὺς [i] ἐλέφαντάς φασι κύειν ἔτη δύο, οἱ δὲ μῆνας ὀκτω- 177
καίδεκα· ἐν δὲ τῇ ἐκτέξει δυστοκεῖν.

[k] Δημάρατον Τιμαίου τοῦ Λοκροῦ ἀκουστὴν νοσήσαντα 178
ἄφωνόν φασιν ἐπὶ δέκα γενέσθαι ἡμέρας· ἐν δὲ τῇ ἐνδεκάτῃ
[l] ἀνανήψας βραδέως ἐκ τῆς παρακοπῆς ἔφησεν ἐκεῖνον [m] τὸν
χρόνον ἥδιστα αὐτῷ βεβιῶσθαι.

[z] *σούβαριν* et mox *σούβαρις* K[a].S[a].U[a]. [a] *εὐοία* K[a].N[a].O[a].S[a].U[a]. [b] *μὲν* om. S[a]. [c] *νηνεὺς* S[a]. [d] *λυκάρμω* K[a].N[a].O[a].S[a].U[a]. [e] *ἀμβλυωπίας* K[a].N[a].O[a].U[a]. [f] *τμώκω* S[a]. [g] *κίσσυρι* U[a], *κίσσηρι* K[a].N[a].S[a]. [h] *ἀρτέμιδι* N[a]. [i] *ἐλ. ἔτη δύο τίκτειν λέγουσιν* S[a]. [k] *τημάρατον* N[a]. O[a].U[a]. [l] *ἀνανήψαντα* S[a], omisso *ἔφησεν*. [m] *αὐτῷ ἥδιστα τὸν χρόνον* K[a].O[a].U[a].

[a]ΜΗΧΑΝΙΚΑ.

ΘΑΥΜΑΖΕΤΑΙ τῶν μὲν κατὰ φύσιν συμβαινόντων, [b] ὅσων ἀγνοεῖται τὸ αἴτιον, τῶν δὲ παρὰ φύσιν, ὅσα γίνεται διὰ τέχνην πρὸς τὸ συμφέρον τοῖς ἀνθρώποις. [1] Ἐν πολλοῖς γὰρ ἡ φύσις ὑπεναντίον πρὸς τὸ χρήσιμον ἡμῖν ποιεῖ· ἡ μὲν γὰρ φύσις ἀεὶ τὸν αὐτὸν ἔχει τρόπον καὶ ἁπλῶς, τὸ δὲ 2 χρήσιμον μεταβάλλει πολλαχῶς. [II] Ὅταν οὖν δέῃ τι [c] παρὰ φύσιν πρᾶξαι, διὰ τὸ χαλεπὸν ἀπορίαν παρέχει καὶ δεῖται τέχνης. Διὸ καὶ καλοῦμεν τῆς τέχνης τὸ πρὸς τὰς τοιαύτας ἀπορίας βοηθοῦν μέρος μηχανήν. Καθάπερ γὰρ ἐποίησεν [1] Ἀντιφῶν ὁ ποιητής, οὕτω καὶ ἔχει· τέχνῃ γὰρ κρατοῦμεν, 3 ὧν φύσει νικώμεθα. Τοιαῦτα δέ ἐστιν ἐν οἷς τά τε ἐλάττονα κρατεῖ τῶν μειζόνων, καὶ τὰ ῥοπὴν ἔχοντα μικρὰν κινεῖ βάρη μεγάλα, καὶ πάντα σχεδὸν ὅσα τῶν προβλημάτων μηχανικὰ προσαγορεύομεν. [III] Ἔστι δὲ ταῦτα τοῖς φυσικοῖς προβλήμασιν οὔτε ταὐτὰ πάμπαν οὔτε κεχωρισμένα λίαν, ἀλλὰ κοινὰ τῶν τε μαθηματικῶν θεωρημάτων καὶ τῶν φυσικῶν· [d] τὸ μὲν γὰρ ὡς διὰ τῶν [e] μαθηματικῶν δῆλον, τὸ δὲ περὶ ὃ 4 διὰ τῶν φυσικῶν. Περιέχεται δὲ [f] τῶν ἀπορουμένων [g] ἐν τῷ γένει τούτῳ τὰ περὶ τὸν μοχλόν. [IV] Ἄτοπον γὰρ [h] εἶναι δοκεῖ τὸ κινεῖσθαι μέγα βάρος ὑπὸ μικρᾶς ἰσχύος, καὶ ταῦτα μετὰ βάρους πλείονος· ὃ γὰρ ἄνευ μοχλοῦ κινεῖν οὐ δύναταί τις, [i] τοῦτο ταὐτὸ βάρος, [k] προσλαβὼν ἔτι τὸ τοῦ μοχλοῦ 5 βάρος, κινεῖ θᾶττον. Πάντων δὲ τῶν τοιούτων ἔχει τῆς αἰτίας τὴν ἀρχὴν ὁ κύκλος. Καὶ τοῦτο εὐλόγως συμβέβηκεν·

Codices P.W[a]. et hinc inde L.B[a].H[a].q. [a] τὰ μηχανικὰ τοῦ ἀριστοτέλους q. [b] ὅσον W[a].q. [c] παρὰ τὴν φύσιν q. [d] τὸ] τῶν W[a]. [e] μαθημάτων W[a]. [f] τῆς ἀπορουμένης q. [g] ἐν] τούτων ἐν W[a].q. [h] εἶναι om. W[a]. [i] τοῦτ' αὐτὸ τὸ W[a].q. [k] προσλαβὸν H[a].

ἐκ μὲν γὰρ [l] θαυμασιωτέρου [m] συμβαίνειν τι θαυμαστὸν οὐδὲν ἄτοπον, θαυμασιώτατον δὲ τὸ τἀναντία γίνεσθαι [n] μετ' ἀλλήλων. [v]Ὁ δὲ κύκλος συνέστηκεν ἐκ τοιούτων· εὐθὺς γὰρ ἐκ κινουμένου τε γεγένηται [o] καὶ μένοντος, ὧν ἡ φύσις ἐστὶν ὑπεναντία ἀλλήλοις. [w]Ὥστ' ἐνταῦθα ἔστιν ἐπιβλέψασιν 6
ἧττον θαυμάζειν τὰς συμβαινούσας ὑπεναντιώσεις περὶ αὐτόν. Πρῶτον μὲν γὰρ [p] τῇ περιεχούσῃ γραμμῇ τὸν κύκλον, πλάτος οὐθὲν ἐχούσῃ, τἀναντία πως προσεμφαίνεται, τὸ κοῖλον καὶ τὸ κυρτόν. Ταῦτα δὲ [q] διέστηκεν ἀλλήλων ὃν τρόπον τὸ μέγα καὶ τὸ μικρόν· [r] ἐκείνων τε γὰρ [s] μέσον τὸ ἴσον καὶ τούτων τὸ εὐθύ. Διὸ μεταβάλλοντα εἰς ἄλληλα τὰ 7
μὲν [t] ἀναγκαῖον ἴσα γενέσθαι πρότερον ἢ τῶν ἄκρων [v] ὁποτερονοῦν, τὴν δὲ γραμμὴν εὐθεῖαν, ὅταν ἐκ κυρτῆς εἰς [w] κοῖλον ἢ πάλιν ἐκ ταύτης [x] γίνηται κυρτὴ καὶ περιφερής. [y]Ἐν μὲν οὖν τοῦτο τῶν ἀτόπων ὑπάρχει περὶ τὸν [z] κύκλον, δεύτερον δὲ ὅτι ἅμα κινεῖται [a] τὰς ἐναντίας κινήσεις· ἅμα γὰρ εἰς τὸν ἔμπροσθεν κινεῖται τόπον [b] καὶ τὸν ὄπισθεν. [v]Ἡ τε 8
γράφουσα γραμμὴ τὸν κύκλον [c] ὡσαύτως ἔχει· ἐξ οὗ γὰρ ἄρχεται τόπου τὸ πέρας αὐτῆς, εἰς τὸν αὐτὸν τοῦτον [d] τόπον ἔρχεται πάλιν· συνεχῶς γὰρ κινουμένης αὐτῆς τὸ ἔσχατον πάλιν ἀπῆλθε πρῶτον, ὥστε καὶ φανερὸν ὅτι μετέβαλεν ἐντεῦθεν. Διό, καθάπερ εἴρηται πρότερον, οὐδὲν ἄτοπον τὸ 9
πάντων εἶναι τῶν [e] θαυμάτων αὐτὸν ἀρχήν. Τὰ μὲν οὖν περὶ τὸν ζυγὸν γινόμενα εἰς τὸν κύκλον ἀνάγεται, τὰ δὲ περὶ τὸν μοχλὸν εἰς τὸν ζυγόν, τὰ δ' ἄλλα πάντα σχεδὸν τὰ [f] περὶ τὰς κινήσεις τὰς μηχανικὰς εἰς τὸν μοχλόν. [u]Ἔτι δὲ 10
διὰ τὸ μιᾶς οὔσης τῆς ἐκ τοῦ κέντρου γραμμῆς μηθὲν ἕτερον ἑτέρῳ φέρεσθαι τῶν σημείων τῶν ἐν αὐτῇ ἰσοταχῶς, ἀλλ' ἀεὶ

[l] *θαυμασιωτέρας* Ha. [m] *συμβαίνει τι θαυμαστικὸν* Wa. [n] *σὺν ἀλλήλοις* P. [o] *καὶ*] *ἐμ* Wa. [p] *τῇ* om. q. [q] *διεστήκατον* Ha. [r] *ἐκεῖνον* q. [s] *μέσον ἐστὶ τὸ* Ha. [t] *ἀναγκαῖα* Ha, *ἀνα* q. [v] *ὁποτεροῦν* P.Wa.q. [w] *κοίλην* Ha.Wa.q. [x] *γίνεται* codices. [y] *οὖν* om. Wa.q. [z] *κύκλον* om. P.Wa.q. [a] *τὰς ἐναντίας κινήσεις* om. q. [b] *καὶ*] *καὶ εἰς* Wa.q. [c] *ἔχει ὡσαύτως* Ha. [d] *ἔρχεται τόπον* P.q. [e] *μαθημάτων* Ha. [f] *περὶ τὰς μηχανικὰς κινήσεις εἰς* Ha.

τὸ τοῦ μένοντος πέρατος πορρώτερον ὂν θᾶττον, πολλὰ τῶν θαυμαζομένων συμβαίνει περὶ τὰς κινήσεις τῶν κύκλων· περὶ
11 ὧν ἐν τοῖς ἑπομένοις προβλήμασιν ἔσται δῆλον. Διὰ δὲ τὸ τὰς ἐναντίας κινήσεις ἅμα κινεῖσθαι τὸν κύκλον, [g]καὶ [h]τὸ μὲν ἕτερον τῆς διαμέτρου τῶν ἄκρων, ἐφ' οὗ τὸ Α, εἰς τοὔμπροσθεν κινεῖσθαι, θάτερον δέ, ἐφ' οὗ τὸ Β, εἰς τοὔπισθεν, κατασκευάζουσί τινες ὥστ' ἀπὸ μιᾶς κινήσεως πολλοὺς [i]ὑπεναντίους ἅμα κινεῖσθαι κύκλους, ὥσπερ οὓς ἀνατιθέασιν ἐν τοῖς ἱεροῖς ποιήσαντες τροχίσκους χαλκοῦς [k]τε καὶ σιδηροῦς.
12 Εἰ γὰρ εἴη τοῦ Α Β κύκλου ἁπτόμενος ἕτερος κύκλος ἐφ' οὗ Γ Δ, τοῦ κύκλου [l]τοῦ ἐφ' οὗ Α Β κινουμένης τῆς διαμέτρου εἰς τοὔμπροσθεν, κινηθήσεται ἡ Γ Δ εἰς τοὔπισθεν τοῦ κύκλου τοῦ ἐφ' [m]οὗ Α, κινουμένης τῆς διαμέτρου περὶ τὸ αὐτό. Εἰς τοὐναντίον ἄρα κινηθήσεται [n]ὁ ἐφ' οὗ Γ Δ κύκλος τῷ ἐφ' [o]οὗ τὸ Α Β· καὶ πάλιν αὐτὸς τὸν ἐφεξῆς, ἐφ' [p]οὗ Ε Ζ, εἰς
13 τοὐναντίον αὐτῷ κινήσει διὰ τὴν αὐτὴν αἰτίαν. Τὸν αὐτὸν [q]δὲ τρόπον κἂν πλείους ὦσι, τοῦτο ποιήσουσιν ἑνὸς μόνου κινηθέντος. Ταύτην οὖν λαβόντες ὑπάρχουσαν ἐν τῷ κύκλῳ τὴν φύσιν οἱ δημιουργοὶ κατασκευάζουσιν ὄργανον κρύπτοντες τὴν ἀρχήν, ὅπως ᾖ τοῦ μηχανήματος φανερὸν μόνον τὸ θαυμαστόν, τὸ δ' αἴτιον ἄδηλον.

I Πρῶτον μὲν οὖν τὰ συμβαίνοντα περὶ τὸν ζυγὸν ἀπορεῖται, διὰ τίνα αἰτίαν ἀκριβέστερά ἐστι τὰ ζυγὰ τὰ μείζω τῶν ἐλαττόνων. Τούτου δὲ ἀρχή, διὰ τί ποτε ἐν τῷ κύκλῳ ἡ πλεῖον ἀφεστηκυῖα γραμμὴ τοῦ [r]κέντρου τῆς ἐγγὺς τῇ αὐτῇ ἰσχύϊ κινουμένης θᾶττον φέρεται τῆς ἐλάττονος; Τὸ γὰρ θᾶττον λέγεται διχῶς· ἄν τε γὰρ [s]ἐν ἐλάττονι χρόνῳ ἴσον τόπον διεξέλθῃ, θᾶττον εἶναι λέγομεν, καὶ ἐὰν ἐν ἴσῳ
2 πλείω. [t]Ἡ δὲ μείζων ἐν ἴσῳ χρόνῳ γράφει μείζονα κύκλον· ὁ γὰρ ἐκτὸς μείζων τοῦ ἐντός. Αἴτιον δὲ τούτων ὅτι φέρεται

[g] καὶ om. P.Wa. [h] τὸν Wa. [i] ὑπεναντίως Ha.Wa. [k] τε om. Ha. [l] τοῦ ante ἐφ' add Ha. [m] ὧ P.q. [n] ὁ ἐφ' οὗ] codices ἐφ' οὗ ὁ. [o] ὧ P.Wa. [p] ὧ P.Ha.Wa. [q] δὲ om. Pa. [r] κέντρου] κ P.Wa. [s] ἐν om. P.Wa. [t] δὲ μεῖζον P.

δύο φορὰς ἡ γράφουσα τὸν κύκλον. [v]Οταν μὲν οὖν ἐν [v]λόγῳ τινὶ φέρηται, ἐπ' εὐθείας ἀνάγκη φέρεσθαι τὸ φερόμενον, καὶ γίνεται διάμετρος αὐτὴ τοῦ σχήματος ὃ ποιοῦσιν [w]αἱ ἐν τούτῳ τῷ λόγῳ συντεθεῖσαι γραμμαί. [v]Εστω γὰρ ὁ λόγος 3
ὃν φέρεται τὸ φερόμενον, ὃν ἔχει ἡ AB πρὸς τὴν AΓ· καὶ τὸ μὲν A [x]Γ φερέσθω πρὸς τὸ B, ἡ δὲ AB ὑποφερέσθω πρὸς τὴν [y]HΓ· ἐνηνέχθω δὲ τὸ μὲν A πρὸς τὸ Δ, ἡ δὲ ἐφ' ἧ AB πρὸς τὸ E. [z]Εἰ οὖν ἐπὶ τῆς φορᾶς ὁ λόγος ἦν ὃν ἡ AB ἔχει πρὸς τὴν AΓ, ἀνάγκη καὶ τὴν AΔ πρὸς [a]τὴν AE τοῦτον ἔχειν τὸ λόγον. [v]Ομοιον ἄρα ἐστὶ τῷ λόγῳ τὸ 4
μικρὸν τετράπλευρον [b]τῷ μείζονι, ὥστε [b]καὶ ἡ αὐτὴ διάμετρος αὐτῶν, καὶ τὸ [c]A ἔσται πρὸς Z. Τὸν αὐτὸν [d]δὴ τρόπον δειχθήσεται κἂν ὁπουοῦν διαληφθῇ ἡ φορά· αἰεὶ γὰρ ἔσται ἐπὶ τῆς διαμέτρου. Φανερὸν οὖν ὅτι τὸ κατὰ τὴν διάμετρον φερόμενον ἐν δύο φοραῖς ἀνάγκη τὸν τῶν [e]πλευρῶν φέρεσθαι λόγον. Εἰ γὰρ ἄλλον τινά, οὐκ [f]οἰσθήσεται κατὰ 5
τὴν διάμετρον. [v]Εὰν δὲ ἐν μηδενὶ λόγῳ φέρηται δύο φορὰς κατὰ μηδένα χρόνον, ἀδύνατον εὐθεῖαν εἶναι τὴν φοράν. [v]Εστω γὰρ εὐθεῖα. Τεθείσης οὖν ταύτης διαμέτρου, καὶ παραπληρωθεισῶν τῶν πλευρῶν, ἀνάγκη τὸν τῶν πλευρῶν λόγον φέρεσθαι τὸ φερόμενον· [g]τοῦτο γὰρ δέδεικται πρότερον. Οὐκ ἄρα ποιήσει εὐθεῖαν [h]τὸ ἐν μηδενὶ λόγῳ φερόμενον μη- 6
δένα χρόνον. [v]Εὰν γάρ τινα λόγον ἐνεχθῇ ἐν [i]χρόνῳ τινί, τοῦτον ἀνάγκη τὸν χρόνον εὐθεῖαν εἶναι φορὰν διὰ τὰ [k]προειρημένα. [v]Ωστε περιφερὲς γίνεται, δύο φερόμενον φορὰς ἐν μηθενὶ λόγῳ μηθένα χρόνον. [v]Οτι μὲν τοίνυν ἡ τὸν κύκλον 7
γράφουσα φέρεται δύο φορὰς ἅμα, φανερὸν ἔκ τε τούτων, καὶ ὅτι [l]τὸ φερόμενον κατ' εὐθεῖαν ἐπὶ τὴν κάθετον ἀφικνεῖται, ὥστε εἶναι πάλιν αὐτὴν ἀπὸ τοῦ κέντρου κάθετον.

[v] λίγω Wa. [w] αἱ om. P. [x] Γ om. P.Wa. [y] H] β P.Wa. [z] εἰ] οὐκ P.Wa. [a] τὴν AE] δὲ P.Wa. [b] τῷ μείζονι et καὶ om. P.Wa. [c] A] δ Wa. [d] δὴ] οὖν Wa. [e] πλειόνων P.Wa. [f] οἰδήσεται Wa. [g] ταῦτα Wa. [h] τῶ Wa. [i] χρόνῳ] λόγω P.Wa. [k] προειρημένα πρότερον. ὥστε P. [l] τὸ om. P.Wa.

Ἔστω κύκλος ὁ ΑΒΓ, τὸ δ' ἄκρον τὸ ἐφ' οὗ Β φερέσθω ἐπὶ τὸ Δ· ἀφικνεῖται δέ [m]ποτε ἐπὶ τὸ Γ. Εἰ μὲν οὖν ἐν τῷ λόγῳ ἐφέρετο ὃν ἔχει [n]ἡ ΒΔ πρὸς τὴν ΔΓ, ἐφέρετο ἂν
8 τὴν διάμετρον τὴν ἐφ' ᾗ ΒΓ. Νῦν δέ, [o]ἐπείπερ ἐν οὐδενὶ λόγῳ, ἐπὶ τὴν περιφέρειαν [p]φέρεται τὴν ἐφ' ᾗ ΒΕΓ. Ἐὰν δὲ δυοῖν φερομένοιν ἀπὸ τῆς αὐτῆς ἰσχύος τὸ μὲν ἐκκρούοιτο πλεῖον τὸ δὲ ἔλαττον, εὔλογον [q]βραδύτερον κινηθῆναι τὸ πλεῖον ἐκκρουόμενον τοῦ ἔλαττον ἐκκρουομένου· ὃ δοκεῖ συμβαίνειν ἐπὶ τῆς μείζονος καὶ ἐλάττονος τῶν ἐκ τοῦ κέντρου
9 γραφουσῶν τοὺς κύκλους. Διὰ γὰρ τὸ ἐγγύτερον εἶναι τοῦ μένοντος τῆς ἐλάττονος τὸ ἄκρον ἢ τὸ τῆς μείζονος, ὥσπερ ἀντισπώμενον εἰς τοὐναντίον, ἐπὶ τὸ [r]μέσον βραδύτερον φέρεται τὸ τῆς ἐλάττονος ἄκρον. Πάσῃ μὲν οὖν [s]κύκλον γραφούσῃ τοῦτο συμβαίνει, καὶ φέρεται τὴν μὲν κατὰ φύσιν κατὰ τὴν περιφέρειαν, τὴν δὲ παρὰ φύσιν εἰς τὸ πλάγιον
10 καὶ τὸ κέντρον. Μείζω δ' ἀεὶ τὴν παρὰ φύσιν [t]ἡ ἐλάττων φέρεται· διὰ [v]γὰρ τὸ ἐγγύτερον εἶναι τοῦ κέντρου τοῦ ἀντισπῶντος κρατεῖται μᾶλλον. Ὅτι δὲ μεῖζον τὸ παρὰ φύσιν κινεῖται ἡ ἐλάττων τῆς μείζονος τῶν ἐκ τοῦ κέντρου γραφου-
11 σῶν τοὺς κύκλους, ἐκ τῶνδε δῆλον. Ἔστω κύκλος ἐφ' οὗ ΒΓΔΕ, καὶ ἄλλος ἐν τούτῳ ἐλάττων, ἐφ' οὗ ΧΝΜΞ, περὶ τὸ αὐτὸ κέντρον [w]τὸ Α· καὶ ἐκβεβλήσθωσαν αἱ διάμετροι, ἐν μὲν τῷ μεγάλῳ, ἐφ' ὧν ΓΔ καὶ ΒΕ, ἐν δὲ τῷ ἐλάττονι αἱ ΜΧ ΝΞ· καὶ τὸ ἑτερόμηκες παραπεπληρώσθω, τὸ ΔΨΡΓ.
12 Εἰ δὴ ἡ ΑΒ γράφουσα κύκλον ἤξει ἐπὶ τὸ αὐτὸ ὅθεν ὡρμήθη ἐπὶ τὴν ΑΕ, δῆλον ὅτι φέρεται πρὸς αὐτήν. [t]Ὁμοίως δὲ καὶ ἡ ΑΧ πρὸς τὴν ΑΧ ἥξει. Βραδύτερον δὲ φέρεται [x]ἡ ΑΧ τῆς ΑΒ, ὥσπερ εἴρηται, διὰ τὸ γίνεσθαι μείζονα
13 τὴν ἔκκρουσιν καὶ ἀντισπᾶσθαι μᾶλλον τὴν ΑΧ. Ἤχθω δὲ ἡ ΑΘΗ, καὶ ἀπὸ τοῦ Θ κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΘΖ ἐν τῷ

m που Wa. n ἡ βε̄ ε̄γ̄ ἐφέρετο P.Wa. o ἐπεὶ Wa. p φέρηται P. q βραδυτέραν Wa. r μέσον τὸ μὲν βραδύτερον P.Wa. s κύκλω P. t ἡ ἐλάττω P.Wa. v τὸ γὰρ P. w τὸ Α om. P.Wa. x ἡ ΑΧ—εἴρηται om. Wa.

κύκλῳ, καὶ πάλιν ἀπὸ τοῦ Θ ἤχθω παρὰ [y] τὴν ΑΒ ἡ ΘΩ, καὶ ἡ ΩΥ ἐπὶ τὴν ΑΒ κάθετον, καὶ [z] ἡ ΗΚ. Αἱ δὴ ἐφ' ὧν ΩΥ καὶ ΘΖ ἴσαι. [1] Ἡ ἄρα ΒΥ ἐλάττων τῆς [a] ΧΖ· αἱ γὰρ ἴσαι εὐθεῖαι ἐπ' ἀνίσους [b] κύκλους ἐμβληθεῖσαι πρὸς [c] ὀρθὰς τῇ διαμέτρῳ ἔλαττον τμῆμα ἀποτέμνουσι τῆς διαμέτρου ἐν τοῖς μείζοσι κύκλοις, ἔστι δὲ ἡ ΩΥ ἴση τῇ ΘΖ. [1] Ἐν ὅσῳ 14
δὴ χρόνῳ ἡ ΑΘ τὴν ΧΘ ἐνηνέχθη, ἐν τοσούτῳ χρόνῳ ἐν τῷ κύκλῳ [d] τῷ μείζονι μείζονα τῆς ΒΩ ἐνήνεκται τὸ ἄκρον τῆς ΒΑ. [1] Ἡ μὲν γὰρ κατὰ φύσιν φορὰ ἴση, ἡ δὲ παρὰ φύσιν ἐλάττων· ἡ δὲ ΒΥ τῆς ΖΧ. Δεῖ δὲ ἀνάλογον εἶναι, ὡς [e] τὸ κατὰ φύσιν πρὸς τὸ κατὰ φύσιν, [e] τὸ παρὰ φύσιν πρὸς τὸ παρὰ φύσιν. Μείζονα ἄρα περιφέρειαν διελήλυθε τὴν ΗΒ 15
τῆς ΩΒ. [1] Ἀνάγκη δὲ τὴν ΗΒ ἐν τούτῳ τῷ χρόνῳ διεληλυθέναι· ἐνταῦθα γὰρ ἔσται, ὅταν ἀνάλογον ἀμφοτέρως [f] συμβαίνῃ τὸ παρὰ φύσιν πρὸς τὸ κατὰ φύσιν. Εἰ δὴ μεῖζόν ἐστι τὸ κατὰ φύσιν ἐν τῇ μείζονι, καὶ τὸ παρὰ φύσιν μᾶλλον ἂν ἐνταῦθα συμπίπτοι μοναχῶς, ὥστε τὸ Β ἐνηνέχθαι ἂν τὴν ΒΗ ἐν [g] τῷ ἐφ' οὗ Χ σημεῖον. [1] Ἐνταῦθα γὰρ κατὰ 16
φύσιν μὲν γίνεται τῷ Β σημείῳ τὸ κέντρον (ἔστι γὰρ αὐτὴ ἀπὸ τοῦ Η κάθετος), παρὰ φύσιν δὲ ἐς τὸ ΚΒ. [1] Ἔστι δὲ ὡς [h] τὸ ΗΚ πρὸς τὸ ΚΒ, τὸ ΘΖ πρὸς τὸ ΖΧ. Φανερὸν δὲ ἐὰν ἐπιζευχθῶσιν ἀπὸ τῶν ΒΧ ἐπὶ τὰ ΗΘ. Εἰ δὲ ἐλάττων [i] ἢ μείζων τῆς ΗΒ ἔσται, ἣν ἠνέχθη τὸ Β, οὐχ ὁμοίως ἔσται οὐδὲ ἀνάλογον ἐν ἀμφοῖν [k] τὸ κατὰ φύσιν πρὸς τὸ παρὰ φύσιν. Δι' ἣν μὲν τοίνυν αἰτίαν ἀπὸ τῆς αὐτῆς 17
ἰσχύος φέρεται θᾶττον τὸ πλέον ἀπέχον τοῦ κέντρου [l] σημεῖον, δῆλον διὰ τῶν εἰρημένων· διότι [m] δὲ τὰ μὲν μείζω ζυγὰ ἀκριβέστερά ἐστι τῶν ἐλαττόνων, φανερὸν ἐκ τούτων. Γίνεται γὰρ τὸ μὲν σπάρτον κέντρον (μένει γὰρ τοῦτο), τὸ

y τὴν] τὸ Wa. z ἡ] αἱ P.Wa. a XZ] χε P.Wa, Wa. additis ἴσως ὀφείλει χζ. b κύκλουν Wa. c ὀρ τῇ P. d τῷ μείζονι om. P. e τὸ post ὡς et τὸ παρὰ—φύσιν om. Wa. f συμβαίνειν Wa. g τῷ] τ ante lacunam P.Wa. h τὸ post ὡς om. Wa. i ἢ] codices ἡ. mox om. ἣν. k τὸ κατὰ φύσιν] κατὰ φορὰν P. l post σημεῖον P. καὶ μ γράφει ἡ μείζων. item Wa, omisso in lacuna μ. m δὲ et μὲν om. P.

δὲ ἐπὶ ἑκάτερον μέρος τῆς πλάστιγγος αἱ ἐκ τοῦ κέντρου.
18 Ἀπὸ [n] οὖν τοῦ αὐτοῦ βάρους ἀνάγκη θᾶττον κινεῖσθαι τὸ ἄκρον τῆς πλάστιγγος, ὅσῳ ἂν πλεῖον ἀπέχῃ τοῦ σπάρτου, καὶ ἔνια μὲν μὴ δῆλα εἶναι ἐν τοῖς μικροῖς ζυγοῖς πρὸς τὴν [o] αἴσθησιν ἐπιτιθέμενα βάρη, ἐν δὲ τοῖς μεγάλοις δῆλα· οὐθὲν γὰρ κωλύει ἔλαττον [p] κινηθῆναι μέγεθος ἢ ὥστε εἶναι τῇ ὄψει
19 φανερόν. Ἐπὶ δὲ τῆς μεγάλης πλάστιγγος ποιεῖ ὁρατὸν τὸ αὐτὸ βάρος μέγεθος. Ἔνια δὲ δῆλα μὲν ἐπ' ἀμφοῖν ἐστίν, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τῶν μειζόνων διὰ τὸ πολλῷ μεῖζον γίνεσθαι τὸ μέγεθος τῆς ροπῆς ὑπὸ τοῦ αὐτοῦ βάρους ἐν
20 τοῖς μείζοσι. Καὶ διὰ τοῦτο τεχνάζουσιν οἱ ἁλουργοπῶλαι πρὸς [q] τὸ παρακρούεσθαι ἱστάντες, [r] τό τε σπάρτον οὐκ ἐν μέσῳ τιθέντες, καὶ [s] μόλυβδον τῆς φάλαγγος εἰς θάτερον μέρος [t] ἐγχέοντες, ἢ τοῦ ξύλου [v] τὸ πρὸς τὴν ῥίζαν πρὸς ὃ βούλονται ῥέπειν ποιοῦντες, ἢ ἐὰν [w] ἔχῃ ὄζον· βαρύτερον γὰρ ἐν ᾧ μέρος ἡ ῥίζα τοῦ ξύλου ἐστίν, ὁ δὲ ὄζος ῥίζα τίς ἐστιν.

2 Διὰ τί, ἐὰν μὲν ἄνωθεν ᾖ τὸ σπαρτίον, ὅταν κάτωθεν ῥέψαντος ἀφέλῃ τὸ βάρος, πάλιν ἀναφέρεται τὸ ζυγόν, ἐὰν δὲ κάτωθεν ὑποστῇ, οὐκ ἀναφέρεται ἀλλὰ μένει; [u] Ἢ διότι ἄνωθεν μὲν τοῦ σπαρτίου ὄντος πλεῖον τοῦ ζυγοῦ γίνεται τὸ ἐπέκεινα τῆς καθέτου; Τὸ γὰρ σπαρτίον ἐστὶ κάθετος.
2 [v] Ὥστε ἀνάγκη ἐστὶ κάτω ῥέπειν τὸ πλέον, ἕως ἂν ἔλθῃ ἡ δίχα διαιροῦσα τὸ ζυγὸν ἐπὶ τὴν κάθετον αὐτήν, ἐπικειμένου τοῦ βάρους ἐν τῷ ἀνεσπασμένῳ μορίῳ τοῦ ζυγοῦ. [u] Ἔστω ζυγὸν ὀρθὸν [x] ἐφ' οὗ ΒΓ, σπαρτίον δὲ τὸ [y] ΑΔ. Ἐκβαλ-
3 λόμενον δὴ τοῦτο κάτω κάθετος ἔσται ἐφ' ἧς ἡ ΑΔΜ. Ἐὰν οὖν ἐπὶ τὸ Β ἡ ροπὴ [z] ἐπιτεθῇ, ἔσται τὸ μὲν Β οὗ τὸ Ε, τὸ δὲ Γ οὗ τὸ Ζ, ὥστε ἡ δίχα διαιροῦσα τὸ ζυγὸν πρῶτον μὲν ἦν ἡ ΔΜ τῆς καθέτου αὐτῆς, ἐπικειμένης δὲ τῆς ροπῆς ἔσται

[n] τοῦ οὖν P.Wa. [o] αἴσθησιν τὰ ἐπιτ. P.Wa. [p] κινηθῇ P, κινεῖσθαι Wa. [q] τῷ P. [r] τό] τάς Wa. [s] μόλιβδον P.Wa. [t] ἐκχέοντες Wa. [v] τὸ om. P. [w] ἔχει Wa. [x] ἐφ'] τὸ ἐφ' Wa. [y] Α Δ] αβ Wa. [z] ἐπιτεθείσεται P, ἐπιτεθήσεται Wa, omisso uterque ἔσται.

ἡ ΔΘ· ὥστε τοῦ ζυγοῦ ἐφ' ᾧ ΕΖ τὸ ἔξω τῆς καθέτου τῆς ἐφ' ἧς ΑΒ, τοῦ ἐν ᾧ ΦΠ, μείζω τοῦ ἡμίσεος. [1]Ἐὰν οὖν 4
ἀφαιρεθῇ τὸ βάρος ἀπὸ τοῦ Ε, ἀνάγκη κάτω φέρεσθαι τὸ Ζ· ἔλαττον γάρ ἐστι τὸ [a]Ε. [1]Ἐὰν μὲν οὖν ἄνω τὸ σπαρτίον ἔχῃ, πάλιν διὰ τοῦτο ἀναφέρεται τὸ ζυγόν. [1]Ἐὰν δὲ κάτωθεν ᾖ τὸ ὑποκείμενον, τοὐναντίον ποιεῖ· πλεῖον γὰρ γίνεται τοῦ ἡμίσεος τοῦ ζυγοῦ τὸ κάτω μέρος ἢ ὡς ἡ κάθετος διαιρεῖ ὥστε οὐκ ἀναφέρεται· κουφότερον γὰρ τὸ ἐπηρτημένον. [1]Ἔστω ζυγὸν τὸ ἐφ' οὗ [b]ΝΞ, τὸ ὀρθόν, κάθετος δὲ 5
ἡ ΚΛΜ. Δίχα [c]δὴ διαιρεῖται τὸ [d]ΝΞ. [1]Ἐπιτεθέντος δὲ βάρους ἐπὶ τὸ Ν, ἔσται τὸ μὲν Ν οὗ τὸ Ο, τὸ δὲ Ξ οὗ τὸ Ρ, ἡ δὲ ΚΛ οὗ τὸ ΛΘ, ὥστε μεῖζόν ἐστι τὸ ΚΟ τοῦ ΛΡ [e]τῷ ΘΚΛ. Καὶ ἀφαιρεθέντος οὖν τοῦ βάρους ἀνάγκη μένειν· [f]ἐπίκειται γὰρ ὥσπερ βάρος ἡ ὑπεροχὴ ἡ τοῦ ἡμίσεος τοῦ ἐν ᾧ [g]τὸ Κ.

Διὰ τί κινοῦσι μεγάλα βάρη μικραὶ δυνάμεις τῷ μοχλῷ, 3
ὥσπερ ἐλέχθη καὶ κατ' [h]ἀρχήν, [i]προσλαβόντι βάρος ἔτι τὸ τοῦ μοχλοῦ; [k]Ῥᾷον δὲ τὸ ἔλαττόν ἐστι κινῆσαι βάρος, ἔλαττον δέ ἐστιν ἄνευ τοῦ μοχλοῦ. [l]Ἢ ὅτι αἴτιόν ἐστιν ὁ μοχλός, [l]ζυγὸν [ὢν] κάτωθεν ἔχον τὸ σπαρτίον καὶ εἰς ἄνισα διηρημένον; Τὸ γὰρ ὑπομόχλιον [m]ἀντὶ σπαρτίου γίνεται· μένει γὰρ ἄμφω ταῦτα, ὥσπερ τὸ κέντρον. [1]Ἐπεὶ δὲ θᾶτ- 2
τον ὑπὸ τοῦ ἴσου βάρους κινεῖται ἡ μείζων τῶν ἐκ τοῦ κέντρου, ἔστι δὲ τρία τὰ περὶ τὸν μοχλόν, τὸ μὲν ὑπομόχλιον, σπάρτον καὶ κέντρον, δύο δὲ βάρη, ὅ τε κινῶν καὶ τὸ κινούμενον· ὃ οὖν τὸ κινούμενον βάρος πρὸς τὸ κινοῦν, τὸ μῆκος πρὸς τὸ μῆκος ἀντιπέπονθεν. Αἰεὶ δὲ ὅσῳ ἂν μεῖζον [n]ἀφεστήκῃ τοῦ ὑπομοχλίου, ῥᾷον κινήσει. [o]Αἰτία δὲ ἐστιν ἡ 3
προλεχθεῖσα, ὅτι ἡ πλεῖον ἀπέχουσα ἐκ τοῦ κέντρου μείζονα κύκλον γράφει. [v]Ὥστε ἀπὸ τῆς αὐτῆς ἰσχύος πλέον [p]μετα-

[a] Ε] ρ P.Wa. [b] ΝΞ] κξ P.Wa. [c] δὴ] δεῖ Wa. [d] νκξ P.Wa. [e] τῷ] τοῦ P.Wa. [f] ἐπεὶ κεῖται γὰρ P.Wa. [g] τὸ χ P, τοῦ χ Wa. [h] ἀρχάς Wa. [i] προσλαμβάνοντες P. [k] ῥᾴδιον codices. [l] ζυγὸν κάτωθεν ἔχων P.Wa. [m] ἀντὶ] τί P. [n] ἀφεστήκοι codices hic et c. 4. sect. 2. [o] αἴτιον Wa. [p] malim καταστήσεται.

στήσεται τὸ κινοῦν τὸ πλεῖον τοῦ ὑπομοχλίου ἀπέχον. [q]Ἔστω μοχλὸς ἐφ' οὗ ΑΒ, βάρος δὲ ἐφ' ᾧ τὸ Γ, τὸ δὲ κινοῦν ἐφ' ᾧ τὸ Δ, ὑπομόχλιον ἐφ' ᾧ τὸ Ε, τὸ δὲ ἐφ' ᾧ τὸ Δ κινῆσαν ἐφ' ᾧ τὸ Η, κινούμενον δὲ [r]τὸ ἐφ' οὗ Γ, βάρος ἐφ' οὗ Κ.

4 Διὰ τί οἱ μεσόνεοι μάλιστα τὴν ναῦν κινοῦσιν; [t]Ἢ διότι ἡ κώπη μοχλός ἐστιν; [t]Ὑπομόχλιον μὲν γὰρ ὁ σκαλμὸς γίνεται (μένει γὰρ δὴ τοῦτο), τὸ δὲ βάρος ἡ θάλαττα, ἣν ἀπω-2 θεῖ ἡ κώπη· ὁ δὲ κινῶν τὸν μοχλὸν ὁ ναύτης ἐστίν. [t]Ἀεὶ δὲ πλέον βάρος κινεῖ, ὅσῳ ἂν [s]πλέον [n]ἀφεστήκῃ τοῦ [t]ὑπομοχλίου ὁ κινῶν τὸ βάρος· μείζων γὰρ οὕτω γίνεται ἡ ἐκ τοῦ κέντρου, ὁ δὲ σκαλμὸς ὑπομόχλιον ὢν κέντρον ἐστίν. [t]Ἐν [v]μέσῃ δὲ τῇ νηῒ πλεῖστον τῆς κώπης ἐντός ἐστιν· καὶ γὰρ ἡ ναῦς ταύτῃ εὐρυτάτη ἐστίν, ὥστε πλεῖον ἐπ' [w]ἀμφότερα ἐνδέχεσθαι μέρος τῆς κώπης ἑκατέρου τοίχου ἐντὸς εἶναι 3 τῆς νεώς. Κινεῖται μὲν οὖν ἡ ναῦς διὰ τὸ ἀπερειδομένης τῆς κώπης εἰς τὴν θάλασσαν τὸ ἄκρον τῆς κώπης τὸ ἐντὸς προϊέναι εἰς [x]τὸ πρόσθεν, τὴν δὲ ναῦν προσδεδεμένην τῷ σκαλμῷ 4 συμπροϊέναι, [y]ἢ τὸ ἄκρον τῆς κώπης. [t]Ἢι γὰρ πλείστην θάλασσαν διαιρεῖ ἡ κώπη, ταύτῃ ἀνάγκη μάλιστα προωθεῖσθαι· πλείστην δὲ διαιρεῖ [z]ἢ πλεῖστον μέρος ἀπὸ τοῦ σκαλμοῦ τῆς κώπης ἐστίν. Διὰ τοῦτο οἱ μεσόνεοι μάλιστα κινοῦσιν· μέγιστον γὰρ ἐν μέσῃ νηῒ τὸ ἀπὸ τοῦ σκαλμοῦ τῆς κώπης τὸ ἐντός ἐστιν.

5 Διὰ τί τὸ πηδάλιον μικρὸν ὄν, καὶ ἐπ' ἐσχάτῳ τῷ πλοίῳ, τοσαύτην δύναμιν ἔχει ὥστε ὑπὸ μικροῦ οἴακος καὶ ἑνὸς ἀνθρώπου δυνάμεως, καὶ ταύτης ἠρεμαίας, [a]μεγάλα [b]κινεῖσθαι [c]μεγέθη πλοίων; [t]Ἢ διότι καὶ τὸ πηδάλιόν ἐστι μοχλός, [d]καὶ μοχλεύει ὁ κυβερνήτης. [t]Ἢι μὲν οὖν προσήρμοσται τῷ πλοίῳ, γίνεται ὑπομόχλιον, τὸ δὲ ὅλον πηδάλιον ὁ μο-

[q] ἔσται Wa. [r] τὰ Wa. [s] πλέον post ἂν om. Wa. [t] ὑπομόχλου Wa. [v] μέσω P. [w] ἀμφοτέροις Wa. [x] τὸ] τὰ Wa. [y] ἢ τὸ] ἡ τὸ P.Wa. [z] εἰ P.Wa. [a] μέγα Wa, μεγάλην Ha. [b] κοινεῖσθαι P. [c] μέγεθος Wa. [d] καὶ—μοχλός add. L.P.Ba.Ha.Wa.q.

χλός, τὸ δὲ βάρος ἡ θάλασσα, ὁ δὲ κυβερνήτης ὁ κινῶν. Οὐ 2
κατὰ πλάτος δὲ λαμβάνει τὴν θάλασσαν, [e]ὥσπερ ἡ κώπη,
τὸ πηδάλιον. Οὐ γὰρ εἰς τὸ πρόσθεν κινεῖ τὸ [f]πλοῖον, ἀλλὰ
κινούμενον κλίνει, πλαγίως τὴν θάλατταν δεχόμενον. [g]Ἐπεὶ
γὰρ τὸ βάρος ἦν ἡ θάλασσα, τοὐναντίον ἀπερειδόμενον κλί-
νει τὸ πλοῖον. Τὸ γὰρ ὑπομόχλιον εἰς τοὐναντίον στρέφεται,
ἡ θάλασσα δὲ ἐντός· [g]ἐκεῖνο δὲ εἰς τὸ ἐκτός. Τούτῳ δὲ ἀκο- 3
λουθεῖ τὸ [h]πλοῖον διὰ τὸ συνδεδέσθαι. [i]Ἡ μὲν οὖν κώπη
κατὰ πλάτος τὸ βάρος ὠθοῦσα καὶ ὑπ' ἐκείνου [i]ἀντωθουμένη
εἰς τὸ εὐθὺ προάγει· τὸ δὲ πηδάλιον, ὥσπερ κάθηται πλά-
γιον, τὴν εἰς τὸ πλάγιον, ἢ δεῦρο ἢ ἐκεῖ, ποιεῖ κίνησιν. [j]Ἐπ' 4
ἄκρου δὲ καὶ οὐκ ἐν μέσῳ κεῖται, ὅτι ῥᾷστον τὸ κινούμενον
κινῆσαι ἀπ' ἄκρου κινοῦν. Τάχιστα γὰρ φέρεται τὸ πρῶτον
[k]μέρος διὰ τὸ ὥσπερ ἐν τοῖς φερομένοις ἐπὶ τέλει λήγειν τὴν
φοράν, οὕτω καὶ τοῦ συνεχοῦς ἐπὶ τέλους ἀσθενεστάτη ἐστὶν
ἡ φορά. Εἰ δὲ ἀσθενεστάτη, ῥᾳδία ἐκκρούειν. Διά τε δὴ 5
ταῦτα ἐν τῇ πρύμνῃ τὸ πηδάλιόν ἐστι, καὶ ὅτι ἐνταῦθα μι-
κρᾶς κινήσεως γενομένης πολλῷ μεῖζον τὸ διάστημα ἐπὶ τῷ
ἐσχάτῳ γίνεται, διὰ τὸ τὴν ἴσην γωνίαν ἐπὶ μείζονα καθῆ-
σθαι, καὶ ὅσῳ ἂν μείζους ὦσιν αἱ περιέχουσαι. Δῆλον δὲ ἐκ 6
τούτου καὶ δι' ἣν αἰτίαν μᾶλλον προέρχεται εἰς τοὐναντίον
τὸ πλοῖον ἢ ἡ τῆς κώπης πλάτη· τὸ αὐτὸ γὰρ μέγεθος τῇ
αὐτῇ ἰσχύϊ κινούμενον ἐν ἀέρι πλέον ἢ ἐν τῷ ὕδατι πρόεισιν.
[l]Ἔστω γὰρ ἡ Α Β κώπη, τὸ δὲ Γ ὁ σκαλμός, τὸ δὲ Α τὸ ἐν
τῷ πλοίῳ, ἡ ἀρχὴ τῆς κώπης, τὸ δὲ Β τὸ ἐν τῇ [l]θαλάττῃ.
Εἰ δὴ τὸ Α οὗ τὸ Δ μετακεκίνηται, τὸ Β οὐκ ἔσται οὗ τὸ Ε· 7
ἴση γὰρ ἡ Β Ε [m]τῇ Α Δ. [n]Ἴσον οὖν μετακεχωρηκὸς ἔσται.
Ἀλλ' ἦν ἔλαττον. [n]Ἔσται δὴ οὗ τὸ [o]Ζ [p]ἢ τὸ Θ. [n]Ἄρα
τοίνυν τὴν Α Β, καὶ οὐχ ἡ τὸ Γ, καὶ κάτωθεν. [q]Ἐλάττων
γὰρ ἡ Β Ζ τῆς Α Δ, ὥστε καὶ ἡ Θ Ζ τῆς Δ Θ· ὅμοια γὰρ τὰ
τρίγωνα. Καθεστηκὸς δὲ ἔσται καὶ τὸ μέσον, τὸ ἐφ' οὗ Γ· 8

[e] ὅπερ P. [f] πλεῖον Wa. [g] ἐκεῖνο δὲ] εἰ δὲ ἐκεῖνο P.Wa. [h] πλεῖον P.
[i] αὐτωθουμένου Wa. [k] βάρος P. [l] θαλάσσῃ Wa. [m] τῇ] τὸ Wa.
[n] γοῦν P. [o] Ζ] ā Wa. [p] ἢ] ἡ Wa, ἢ P. [q] ἐλάττω P.Wa.

εἰς τοὐναντίον γὰρ τῷ ἐν τῇ θαλάττῃ ἄκρῳ τῷ Β μεταχωρεῖ, ἥπερ τὸ ἐν τῷ πλοίῳ ἄκρον τὸ Α μὴ ἐχώρει οὗ τὸ Δ. [v]Ὥστε μετακινηθήσεται τὸ πλοῖον, καὶ ἐκεῖ οὗ ἡ ἀρχὴ τῆς κώπης
9 μεταφέρεται. Τὸ δ' αὐτὸ καὶ τὸ πηδάλιον ποιεῖ, πλὴν ὅτι εἰς τὸ πρόσθεν οὐδὲν συμβάλλεται τῷ πλοίῳ, ὥσπερ ἐλέχθη ἐπὶ ἄνω, ἀλλὰ μόνον τὴν πρύμναν εἰς τὸ πλάγιον ἀπωθεῖ ἔνθα
10 ἢ ἔνθα· [r]εἰς τοὐναντίον γὰρ ἡ πρῷρα οὕτω νεύει. [t]Ἡ μὲν δὴ τὸ πηδάλιον προσέζευκται, δεῖ οἷόν τι τοῦ κινουμένου μέσον νοεῖν, καὶ ὥσπερ ὁ σκαλμὸς τῇ κώπῃ· τὸ δὲ μέσον ὑποχωρεῖ, ᾗ ὁ οἶαξ μετακινεῖται. [t]Ἐὰν μὲν εἴσω ἄγῃ, καὶ ἡ πρύμνα δεῦρο μεθέστηκεν· ἡ δὲ πρῷρα εἰς τοὐναντίον νεύει· ἐν γὰρ τῷ αὐτῷ οὔσης τῆς πρῴρας τὸ πλοῖον μεθέστηκεν ὅλον.

6 Διὰ τί, ὅσῳ ἂν ἡ κεραία ἀνωτέρα ᾖ, θᾶττον πλεῖ τὰ [s]πλοῖα τῷ αὐτῷ ἱστίῳ καὶ τῷ αὐτῷ πνεύματι; [u]Ἢ διότι γίνεται ὁ μὲν ἱστὸς μοχλός, ὑπομόχλιον δὲ τὸ ἐδώλιον ἐν ᾧ ἐμπέπηγεν, ὃ δὲ [t]δεῖ κινεῖν βάρος, τὸ πλοῖον, τὸ δὲ κινοῦν τὸ ἐν τῷ ἱστίῳ πνεῦμα. Εἰ δ' ὅσῳ αν πορρώτερον ᾖ τὸ ὑπομόχλιον, ῥᾷον κινεῖ καὶ θᾶττον ἡ αὐτὴ δύναμις τὸ αὐτὸ βάρος, ἡ οὖν κεραία ἀνώτερον ἀγομένη καὶ τὸ ἱστίον πορρώτερον ποιεῖ τοῦ ἐδωλίου ὑπομοχλίου ὄντος.

7 Διὰ τί, ὅταν ἐξ οὐρίας βούλωνται διαδραμεῖν μὴ οὐρίου τοῦ πνεύματος ὄντος, τὸ μὲν πρὸς τὸν κυβερνήτην τοῦ ἱστίου μέρος στέλλονται, τὸ δὲ πρὸς τὴν πρῷραν ποδιαῖον ποιησάμενοι [v]ἐφιᾶσιν; [u]Ἢ διότι [w]ἀντισπᾶν τὸ πηδάλιον πολλῷ μὲν ὄντι τῷ πνεύματι οὐ δύναται, ὀλίγῳ δέ, ὃ ὑποστέλλονται.
2 Προάγει μὲν οὖν τὸ πνεῦμα, εἰς οὔριον δὲ καθίστησι τὸ πηδάλιον, ἀντισπῶν καὶ μοχλεῦον, τὴν θάλατταν. [v]Ἅμα δὲ καὶ οἱ ναῦται μάχονται τῷ πνεύματι· ἀνακλίνουσι γὰρ ἐπὶ τὸ ἐναντίον ἑαυτούς.

8 Διὰ τί τὰ στρογγύλα καὶ περιφερῆ τῶν σχημάτων εὐκινητότερα; Τριχῶς δὲ ἐνδέχεται τὸν κύκλον κυλισθῆναι· ἢ γὰρ κατὰ τὴν ἀψῖδα, συμμεταβάλλοντος τοῦ κέντρου,

[r] εἰς τοὐν.] ἢ εἰς τοὐν. P, ἢ οὐ τοὐν. Wa. [s] πλοῖα] a Wa. [t] δεῖ om. Wa. [v] ἐφιῶσιν Wa. [w] ἀντισπᾶ P, σπᾶ Wa.

ὥσπερ ὁ τροχὸς ὁ τῆς ἀμάξης κυλίεται· ἢ περὶ [x] τὸ κέντρον μόνον, ὥσπερ αἱ τροχιλέαι, τοῦ κέντρου μένοντος· ἢ [x] παρὰ τὸ ἐπίπεδον, τοῦ κέντρου μένοντος, ὥσπερ ὁ [y] κεραμεικὸς τροχὸς κυλίνδεται. Εἰ μὲν [z] δὴ τάχιστα τὰ τοιαῦτα, διά τε 2
[a] τὸ μικρῷ ἅπτεσθαι τοῦ ἐπιπέδου, ὥσπερ ὁ κύκλος κατὰ στιγμήν, καὶ διὰ τὸ μὴ προσκόπτειν· ἀφέστηκε γὰρ τῆς γῆς ἡ γωνία. Καὶ ἔτι ᾧ ἂν ἀπαντήσῃ σώματι, πάλιν τούτου κατὰ μικρὸν ἅπτεται. Εἰ δ' εὐθύγραμμον ἦν, τῇ εὐθείᾳ ἐπὶ πολὺ ἥπτετο ἂν τοῦ ἐπιπέδου. [d]Ἔτι ἢ ῥέπει ἐπὶ τὸ βάρος, 3
ταύτῃ κινεῖ ὁ κινῶν. [b]Ὅταν μὲν γὰρ πρὸς ὀρθιον ἡ διάμετρος ᾖ τοῦ κύκλου τῷ ἐπιπέδῳ, ἁπτομένου τοῦ κύκλου κατὰ στιγμὴν τοῦ ἐπιπέδου, ἴσον τὸ βάρος ἐπ' ἀμφότερα διαλαμβάνει ἡ διάμετρος· ὅταν δὲ κινῆται, εὐθὺς πλέον ἐφ' ᾧ κινεῖται, ὥσπερ ῥέπον. [d]Ἐντεῦθεν εὐκινητότερον τῷ ὠθοῦντι εἰς 4
τοὔμπροσθεν· ἐφ' ὃ γὰρ ῥέπει ἕκαστον, εὐκίνητόν ἐστιν, εἴπερ καὶ [b] τὸ ἐπὶ τὸ ἐναντίον τῆς ροπῆς δυσκίνητον. [d]Ἔτι λέγουσί τινες ὅτι καὶ ἡ γραμμὴ ἡ τοῦ κύκλου ἐν φορᾷ ἐστὶν ἀεί, ὥσπερ τὰ μένοντα, διὰ τὸ ἀντερείδειν, οἷον καὶ τοῖς μείζοσι κύκλοις ὑπάρχει πρὸς τοὺς ἐλάττονας. Θᾶττον γὰρ 5
ὑπὸ τῆς ἴσης ἰσχύος κινοῦνται οἱ μείζους καὶ τὰ βάρη κινοῦσι, διὰ τὸ ροπήν τινα ἔχειν τὴν γωνίαν τὴν τοῦ μείζονος κύκλου πρὸς τὴν τοῦ ἐλάττονος, καὶ εἶναι ὅπερ ἡ διάμετρος πρὸς τὴν διάμετρον. [d]Ἀλλὰ μὴν πᾶς κύκλος μείζων πρὸς ἐλάττονα· ἄπειροι γὰρ οἱ ἐλάττονες. Εἰ δὲ καὶ πρὸς ἕτερον 6
ἔχει ροπὴν ὁ κύκλος, ὁμοίως δὲ εὐκίνητος, καὶ ἄλλην ἂν ἔχοι ροπὴν ὁ κύκλος καὶ τὰ ὑπὸ κύκλου κινούμενα, κἂν μὴ τῇ ἁψῖδι [c] ἅπτηται τοῦ ἐπιπέδου, ἀλλ' ἢ [d] παρὰ τὸ ἐπίπεδον, ἢ ὡς [e] αἱ τροχιλέαι· καὶ γὰρ οὕτως ἔχοντα ῥᾷστα κινοῦνται καὶ κινοῦσι τὸ βάρος. [d]Ἡ οὐ τῷ κατὰ μικρὸν ἅπτεσθαι καὶ προσκρούειν, ἀλλὰ δι' ἄλλην αἰτίαν. Αὕτη δέ ἐστιν ἡ εἰρη- 7
μένη πρότερον, ὅτι ἐκ δύο φορῶν γεγένηται ὁ κύκλος, ὥστε μίαν αὐτῶν αἰεὶ ἔχειν ροπήν, καὶ οἷον φερόμενον αὐτὸν

[x] περὶ Wa. [y] κεραμικὸς Wa. [z] δὲ Wa. [a] τῷ P.Wa. [b] τὸ post καὶ om. Wa. [c] ἅπτεται P.Wa. [d] περὶ Wa. [e] αἱ om. Wa.

αἰεὶ κινοῦσιν οἱ κινοῦντες, ὅταν κινῶσι κατὰ τὴν περιφέρειαν ὀπωσοῦν. Φερομένην γὰρ αὐτὴν κινοῦσιν· τὴν μὲν γὰρ εἰς τὸ πλάγιον αὐτοῦ κίνησιν ὠθεῖ τὸ κινοῦν, τὴν δὲ ἐπὶ τῆς διαμέτρου αὐτὸς κινεῖται.

9 Διὰ τί τὰ διὰ τῶν μειζόνων κύκλων αἰρόμενα καὶ ἑλκόμενα ῥᾷον καὶ θᾶττον κινοῦμεν; οἷον καὶ αἱ [f]τροχιλέαι αἱ μείζους τῶν ἐλαττόνων, καὶ αἱ [g]σκυτάλαι ὁμοίως. Ἢ διότι ὅσῳ ἂν μείζων ἡ ἐκ τοῦ κέντρου [h]ᾖ, ἐν τῷ ἴσῳ [i]χρόνῳ πλέον κινεῖται χωρίον, ὥστε καὶ τοῦ ἴσου βάρους ἐπόντος ποιήσει τὸ αὐτό, ὥσπερ εἴπομεν καὶ τὰ μείζω ζυγὰ τῶν ἐλαττόνων [k]ἀκριβέστερα εἶναι. Τὸ μὲν γὰρ σπαρτίον ἐστὶ κέντρον, τοῦ δὲ ζυγοῦ αἱ ἐπὶ τάδε τοῦ σπαρτίου αἱ ἐκ τοῦ κέντρου.

10 Διὰ τί ῥᾷον, ὅταν ἄνευ βάρους ᾖ, κινεῖται τὸ ζυγόν, ἢ ἔχον βάρος; ὁμοίως δὲ καὶ [l]τροχὸς ἢ ἄλλο τοιοῦτο τὸ βαρύτερον μὲν [m]μεῖζον δὲ τοῦ ἐλάττονος καὶ [n]κουφοτέρου. Ἢ ὅτι οὐ μόνον εἰς τοὐναντίον τὸ βαρύ, ἀλλὰ καὶ εἰς τὸ πλάγιον δυσκίνητόν ἐστιν. Ἐναντίον γὰρ τῇ ροπῇ [o]κινῆσαι χαλεπῶς, ἐφ' ὃ δὲ ῥέπει, ῥᾳδίως· εἰς δὲ τὸ πλάγιον οὐ ῥέπει.

11 Διὰ τί ἐπὶ τῶν σκυτάλων ῥᾷον τὰ φορτία κομίζεται ἢ ἐπὶ τῶν ἁμαξῶν, ἐχουσῶν τῶν μὲν μεγάλους τροχούς, τῶν δὲ μικρούς; Ἢ διότι ἐπὶ τῶν σκυτάλων οὐδεμίαν ἔχει πρόσκοψιν, τὸ δὲ ἐπὶ τῶν ἁμαξῶν τὸν ἄξονα, καὶ προσκόπτει αὐτῷ· ἔκ τε γὰρ τῶν ἄνωθεν πιέζει αὐτὸν καὶ ἐκ [2]τῶν πλαγίων. [p]Τὸ δὲ ἐπὶ τῶν σκυτάλων ἐπὶ δύο τούτων κινεῖται, τῇ τε κάτω χώρᾳ [q]ὑποκειμένῃ καὶ τῷ βάρει τῷ ἐπικειμένῳ· ἐπ' [r]ἀμφοτέρων γὰρ τούτων κυλίεται τῶν τόπων ὁ κύκλος καὶ φερόμενος ὠθεῖται.

12 Διὰ τί πορρωτέρω τὰ βέλη φέρεται ἀπὸ τῆς σφενδόνης ἢ ἀπὸ τῆς χειρός; Καίτοι κρατεῖ γε ὁ βάλλων τῇ χειρὶ

[f] τροχιλαὶ Wa. [g] σκιτάλαι Wa. [h] ᾖν Wa. [i] χωρίῳ P. [k] ἀκριβέστερον Wa. [l] τροχὸν P.Wa. [m] μείζω P.Wa. [n] κουφότερον Wa. [o] an κινεῖται? [p] τὸ] τῶν Wa. [q] ὑποκειμένου Wa. [r] ἀμφότερα P.

μᾶλλον ἢ ἀπαρτήσας τὸ βάρος. Καὶ ἔτι οὕτω μὲν δύο βάρη κινεῖ, τό τε τῆς σφενδόνης καὶ τὸ βέλος, ἐκείνως δὲ τὸ βέλος μόνον. Πότερον ὅτι ἐν μὲν τῇ σφενδόνῃ κινούμενον τὸ 2
βέλος ῥίπτει ὁ βάλλων (περιαγαγὼν γὰρ κύκλῳ πολλάκις ἀφίησιν), ἐκ δὲ τῆς χειρὸς ἀπὸ τῆς ἠρεμίας ἡ ἀρχή· πάντα δὲ εὐκινητότερα κινούμενα ἢ ἠρεμοῦντα. [u]Ἢ διά τε 3
τοῦτο, καὶ διότι [s]ἐν μὲν τῷ σφενδονᾶν ἡ μὲν χεὶρ γίνεται κέντρον, ἡ δὲ σφενδόνη ἡ ἐκ τοῦ κέντρου· ὅσῳ ἂν ᾖ μείζων ἡ ἀπὸ τοῦ κέντρου, κινεῖται θᾶττον. [t]Ἡ δὲ ἀπὸ τῆς χειρὸς βολὴ πρὸς τὴν σφενδόνην βραχεῖα ἐστίν.

Διὰ τί ῥᾷον κινοῦνται περὶ τὸ αὐτὸ ζυγὸν οἱ μείζους 13
τῶν ἐλαττόνων κόλλοπες, καὶ οἱ αὐτοὶ ὄνοι οἱ λεπτότεροι ὑπὸ τῆς αὐτῆς ἰσχύος τῶν παχυτέρων; [u]Ἢ διότι ὁ μὲν ὄνος καὶ τὸ ζυγὸν κέντρον ἐστίν, τὰ δὲ [t]ἀπέχοντα μεγέθη αἱ ἐκ τοῦ κέντρου; Θᾶττον δὲ κινοῦνται καὶ πλέον ἀπὸ τῆς [v]αὐτῆς 2
ἰσχύος αἱ τῶν μειζόνων κύκλων ἢ αἱ τῶν ἐλαττόνων· ὑπὸ τῆς αὐτῆς γὰρ ἰσχύος [w]θᾶττον μεθίσταται τὸ ἄκρον τὸ πορρώτερον τοῦ κέντρου. Διὸ πρὸς μὲν τὸ ζυγὸν τοὺς κόλλοπας ὄργανα ποιοῦνται, οἷς ῥᾷον στρέφουσιν· ἐν δὲ τοῖς λεπτοῖς ὄνοις πλεῖον γίνεται τὸ ἔξω τοῦ ξύλου, αὕτη δὲ γίνεται ἡ ἐκ τοῦ κέντρου.

Διὰ τί τὸ αὐτὸ μέγεθος ξύλον ῥᾷον κατεάσσεται περὶ 14
τὸ γόνυ, ἐὰν ἴσον [x]ἀποστήσας τῶν ἄκρων ἐχόμενος καταγνύῃ, ἢ [y]παρὰ τὸ γόνυ ἐγγὺς ὄντος· καὶ ἐὰν πρὸς τὴν γῆν ἐρείσας καὶ τῷ ποδὶ προσβὰς πόρρωθεν τῇ χειρὶ καταγνύῃ, ἢ ἐγγύθεν; [u]Ἢ διότι ἔνθα [z]μὲν τὸ γόνυ κέντρον, ἔνθα δὲ ὁ πούς. [v]Ὅσῳ δ' ἂν πορρώτερον ᾖ τοῦ κέντρου, ῥᾷον κινεῖται ἅπαν. Κινηθῆναι δὲ ἀνάγκη καταγνύμενον.

Διὰ τί περὶ τοὺς αἰγιαλοὺς αἱ καλούμεναι κρόκαι στρογ- 15
γύλαι εἰσίν, ἐκ μακρῶν τῶν λίθων καὶ ὀστράκων τὸ ἐξ ὑπαρχῆς ὄντων; [u]Ἢ διότι τὰ πλεῖον ἀπέχοντα τοῦ μέσου ἐν ταῖς κινήσεσι θᾶττον φέρεται. Τὸ μὲν γὰρ μέσον γίνεται κέν-

[s] ἐκ μὲν σφενδόνης ἡ Wa. [t] ἀπέχεται Wa. [v] αὐτοῦ Wa. [w] θᾶττον] μεῖζον P. [x] ἀποστήσωσι Wa. [y] περὶ Wa. [z] μὲν γὰρ τὸ P.Wa.

τρον, τὸ δὲ διάστημα ἡ ἐκ τοῦ κέντρου. [1]Αεὶ δὲ ἡ μείζων
[2]ἀπὸ τῆς ἴσης κινήσεως μείζω γράφει κύκλον. Τὸ δ' ἐν
ἴσῳ χρόνῳ μείζω διεξιὸν θᾶττον φέρεται. Τὰ δὲ φερόμενα
θᾶττον ἐκ τοῦ ἴσου ἀποστήματος σφοδρότερον τύπτει. Τὰ δὲ
τύπτοντα μᾶλλον καὶ αὐτὰ τύπτεται μᾶλλον. [v]Ωστε ἀνάγκη
θραύεσθαι αἰεὶ τὰ πλέον ἀπέχοντα τοῦ μέσου. Τοῦτο δὲ
[3]πάσχοντα ἀνάγκη γίνεσθαι περιφερῆ. Ταῖς δὲ κρόκαις διὰ
τὴν τῆς [a]θαλάττης κίνησιν, διὰ τὸ μετὰ τῆς θαλάττης κινεῖ-
σθαι, συμβαίνει ἀεὶ ἐν κινήσει εἶναι καὶ κυλιομέναις προσκό-
πτειν. Τοῦτο δὲ ἀνάγκη μάλιστα συμβαίνειν αὐτοῖς τοῖς
ἄκροις.

16 Διὰ τί, [b]ὅσῳ ἂν ᾖ μακρότερα τὰ ξύλα, τοσούτῳ ἀσθενέ-
στερα γίνεται, καὶ κάμπτεται αἰρόμενα μᾶλλον, [c]κἂν ᾖ τὸ
μὲν βραχύ, ὅσον δίπηχυ, λεπτόν, τὸ δὲ ἑκατὸν πηχῶν παχύ;
[1]Η διότι μοχλὸς γίνεται καὶ βάρος καὶ ὑπομόχλιον ἐν τῷ
αἴρεσθαι τοῦ ξύλου τὸ μῆκος; Τὸ μὲν γὰρ πρῶτον μέρος
αὐτοῦ, [d]ὃ ἡ χεὶρ αἴρει, οἷον ὑπομόχλιον γίνεται, [e]τὸ δ' ἐπὶ
[2]τῷ ἄκρῳ βάρος. [v]Ωστε ὅσῳ ἂν ᾖ μακρότερον τὸ ἀπὸ τοῦ
ὑπομοχλίου, τοσούτῳ ἀνάγκη κάμπτεσθαι [f]μᾶλλον· ὅσῳ γὰρ
ἂν πλέον ἀπέχῃ τοῦ ὑπομοχλίου, τοσούτῳ ἀνάγκη κάμπτε-
σθαι μεῖζον. [1]Ανάγκη οὖν αἴρεσθαι τὰ ἄκρα τοῦ μοχλοῦ.
[1]Εὰν οὖν ᾖ καμπτόμενος ὁ μοχλός, ἀνάγκη αὐτὸν κάμπτε-
σθαι μᾶλλον αἰρόμενον. [v]Οπερ συμβαίνει ἐπὶ τῶν ξύλων
τῶν μακρῶν· ἐν δὲ τοῖς βραχέσιν ἐγγὺς τὸ ἔσχατον τοῦ ὑπο-
μοχλίου γίνεται τοῦ ἠρεμοῦντος.

17 Διὰ τί τῷ σφηνὶ ὄντι μικρῷ μεγάλα βάρη διίσταται καὶ
μεγέθη σωμάτων, καὶ θλῖψις ἰσχυρὰ γίνεται; [1]Η διότι ὁ
σφὴν δύο μοχλοί εἰσιν ἐναντίοι ἀλλήλοις, ἔχει δὲ ἑκάτερος
τὸ μὲν βάρος τὸ δὲ ὑπομόχλιον, ὃ καὶ ἀνασπᾷ ἢ πιέζει. [v]Ετι
δὲ ἡ τῆς πληγῆς φορὰ τὸ βάρος, ὃ τύπτει καὶ κινεῖ, [g]ποιεῖ
μέγα· καὶ διὰ τὸ κινούμενον κινεῖν τῇ ταχυτῆτι ἰσχύει ἔτι

[a] θαλάσσης—θαλάσσης P. [b] ὅσον ἢ Wa. [c] κἂν] καὶ Wa. [d] ὃ ἡ
χεὶρ αἴρει om. P.Wa. [e] τῷ P. [f] μᾶλλον—κάμπτεσθαι om. Wa.
[g] ποιεῖ om. Wa.

πλέον. Μικρῷ δὲ ὄντι μεγάλαι δυνάμεις ἀκολουθοῦσι· διὸ 2
λανθάνει κινῶν [h]παρὰ τὴν ἀξίαν τοῦ μεγέθους. [u]Ἐστω σφὴν
ἐφ' ᾧ ΑΒΓ, τὸ δὲ σφηνούμενον [i]ΔΕΗΖ. Μοχλὸς δὴ γί-
νεται ἡ ΑΒ, βάρος δὲ τὸ [k]τοῦ Β κάτωθεν, ὑπομόχλιον δὲ
τὸ ΖΔ. [t]Ἐναντίος δὲ τούτῳ μοχλὸς τὸ ΒΓ. [r]Ἡ δὲ ΑΓ
κοπτομένη ἑκατέρᾳ τούτων χρῆται μοχλῷ· ἀνασπᾷ γὰρ
[l]τὸ Β.

Διὰ τί, ἐάν τις δύο [m]τροχιλέας ποιήσας ἐπὶ δυσὶ ξύλοις 18
συμβάλλουσιν ἑαυτοῖς ἐναντίως αὐταῖς κύκλῳ περιβάλῃ κα-
λώδιον, ἔχον τὸ ἄρτημα [n]ἐκ θατέρου τῶν ξύλων, θάτερον δὲ
[o]ᾗ προσερηρεισμένον ἢ προστεθειμένον κατὰ τὰς τροχαλίας,
ἐὰν ἕλκῃ τις τῇ ἀρχῇ τοῦ καλωδίου, [p]μεγάλα βάρη προσά-
γει, κἂν ᾗ μικρὰ ἡ ἕλκουσα ἰσχύς; [q]Ἢ διότι τὸ αὐτὸ βάρος 2
ἀπὸ ἐλάττονος ἰσχύος, εἰ μοχλεύεται, ἐγείρεται, ἢ ἀπὸ χει-
ρός; [r]Ἡ δὲ τροχιλέα τὸ αὐτὸ ποιεῖ τῷ μοχλῷ, ὥστε ἡ μία
ῥᾳον [q]ἕλξει, καὶ ἀπὸ μιᾶς ὁλκῆς τοῦ κατὰ χεῖρα πολὺ ἕλξει
βαρύτερον. Τοῦτο δ' αἱ δύο τροχαλίαι πλέον ἢ διπλασίῳ
τάχει αἴρουσαι. [u]Ἐλαττον γὰρ [r]ἔτι ἡ ἑτέρα ἕλκει ἢ εἰ αὐτὴ 3
καθ' ἑαυτὴν εἵλκεν, ὅταν [s]παρὰ τῆς ἑτέρας ἐπιβληθῇ τὸ
σχοινίον· ἐκείνη γὰρ ἔτι ἔλαττον [t]ἐποίησε τὸ βάρος. Καὶ
οὕτως ἐὰν εἰς πλείους ἐπιβάλληται τὸ καλώδιον, ἐν ὀλίγαις
τροχιλέαις [v]πολλὴ γίνεται διαφορά, ἢ ὥστε ὑπὸ τῆς πρώ-
της τοῦ βάρους ἕλκοντος τέτταρας μνᾶς, ὑπὸ τῆς τελευταίας
ἕλκεσθαι πολλῷ ἐλάττω. Καὶ ἐν τοῖς οἰκοδομικοῖς ἔργοις 4
ῥᾳδίως κινοῦσι μεγάλα βάρη· μεταφέρουσι γὰρ ἀπὸ τῆς αὐ-
τῆς τροχιλέας ἐφ' ἑτέραν, καὶ πάλιν ἀπ' ἐκείνης εἰς ὄνους καὶ
μοχλούς· τοῦτο δὲ ταὐτόν ἐστι [w]τῷ ποιεῖν πολλὰς τρο-
χιλέας.

Διὰ τί, ἐὰν μέν τις ἐπιθῇ ἐπὶ τὸ ξύλον πέλεκυν μέγαν καὶ 19
φορτίον μέγα [x]ἐπ' αὐτῷ, οὐ διαιρεῖ τὸ ξύλον, ὅ τι καὶ λόγου

[h] περὶ Wa. [i] ΔΕΗΖ] δέηται Wa. [k] τοῦ] τὸ Wa. [l] τῷ Wa.
[m] τροχιλαίας et sect. 2. τροχιλαία et sect. 3. τροχιλαίαις P. [n] ἐκ θατέ-
ρου] ἑκατέρου Wa. [o] ἢ Wa. [p] μεγάλῳ βάρει Wa. [q] ἕλξει om. Wa.
[r] ἔτι ἢ ἡ ἑτέρα ἕλκει εἰ P. [s] περὶ Wa. [t] ποιήσει Wa. [v] πολὺ Wa.
[w] τὸ Wa. [x] μετ' αὐτοῦ Wa.

ἄξιον· ἐὰν δὲ ἄρας τὸν πέλεκύν τις πατάξῃ αὐτῷ, διασχίζει, ἔλαττον βάρος ἔχοντος τοῦ τύπτοντος πολὺ μᾶλλον [y] ἢ τοῦ ἐπικειμένου καὶ πιεζοῦντος; [ν]Η διότι πάντα τῇ κινήσει ἐργάζεται, καὶ τὸ βαρὺ τὴν τοῦ βάρους κίνησιν λαμβάνει μᾶλ-
2 λον κινούμενον ἢ ἠρεμοῦν; [ξ]Ἐπικείμενον οὖν οὐ κινεῖται τὴν τοῦ βάρους κίνησιν, φερόμενον δὲ ταύτην τε καὶ τὴν τοῦ τύπτοντος. [ο]Ἔτι δὲ καὶ γίνεται σφὴν ὁ πέλεκυς· ὁ δὲ σφὴν μικρὸς ὢν [z] μεγάλα διίστησι διὰ τὸ εἶναι ἐκ δύο μοχλῶν ἐναντίως συγκειμένων.

20 Διὰ τί αἱ φάλαγγες τὰ κρέα ἱστᾶσιν ἀπὸ μικροῦ ἀρτήματος μεγάλα βάρη, τοῦ ὅλου [a] ἡμιζυγίου ὄντος; Οὗ μὲν γὰρ τὸ βάρος ἐντίθεται, κατήρτηται μόνον ἡ πλάστιγξ, ἐπὶ θάτερον δὲ ἡ φάλαγξ ἐστὶ μόνον. [π]Ἢ ὅτι ἅμα συμβαίνει ζυγὸν καὶ μοχλὸν εἶναι τὴν φάλαγγα; Ζυγὸν μὲν γὰρ, [b] ᾗ τῶν σπαρτίων ἕκαστον γίνεται τὸ κέντρον τῆς φάλαγγος.
2 Τὸ μὲν οὖν ἐπὶ [c] θάτερα ἔχει πλάστιγγα, τὸ δὲ ἐπὶ [c] θάτερα ἀντὶ τῆς πλάστιγγος τὸ σφαίρωμα, ὃ τῷ ζυγῷ ἔγκειται, ὥσπερ εἴ τις τὴν ἑτέραν πλάστιγγα καὶ τὸν σταθμὸν ἐπιθείη ἐπὶ τὸ ἄκρον τῆς πλάστιγγος· δῆλον γὰρ ὅτι ἕλκει
3 τοσοῦτον βάρος ἐν τῇ ἑτέρᾳ κείμενον πλάστιγγι. [ν]Ὅπως δὲ τὸ [d] ἓν ζυγὸν πολλὰ ᾗ ζυγά, τοιαῦτα τὰ σπαρτία πολλὰ ἔγκειται ἐν τῷ τοιούτῳ ζυγῷ, ὧν ἑκάστου τὸ ἐπὶ τάδε ἐπὶ τὸ σφαίρωμα τὸ ἥμισυ τῆς φάλαγγός ἐστι, καὶ ὁ σταθμὸς δι' ἴσου τῶν ἀπ' ἀλλήλων τῶν σπαρτίων κινουμένων, ὥστε συμμετρεῖσθαι πόσον βάρος ἕλκει τὸ ἐν τῇ πλάστιγγι κείμενον· ὥστε γινώσκειν, ὅταν ὀρθὴ ἡ φάλαγξ ᾖ, ἀπὸ ποίου σπάρτου πόσον βάρος ἔχει ἡ πλάστιγξ, καθάπερ εἴρηται.
4 [ν]Ὅλως μέν ἐστι τοῦτο ζυγόν, ἔχον μίαν μὲν πλάστιγγα, ἐν ᾗ ἵσταται τὸ βάρος, τὴν δ' ἑτέραν, ἐν ᾗ [e] τὸ σταθμὸν ἐν τῇ φάλαγγι. Διὸ σφαίρωμά ἐστιν ἡ φάλαγξ ἐπὶ θάτερον. Τοιοῦτον δὲ ὂν πολλὰ [f] ζυγά ἐστι, καὶ τοσαῦτα ὅσαπερ

[y] ἢ ἡ τοῦ P.Wa. [z] μέγα Wa. [a] ὁμοζύγου Wa. [b] ἡ Wa. [c] θάτερον Wa. utrobique. [d] ἓν ζυγὰ πολλὰ ἢ ζυγὸν Wa. [e] τὸν βαθμόν Wa. [f] ζυγὰ δέ ἐστι Wa.

ἐστι τὰ σπαρτία. [g] Ἀεὶ δὲ τὸ ἐγγύτερον σπαρτίον τῆς 5
πλάστιγγος καὶ τοῦ ἱσταμένου βάρους μεῖζον ἕλκει βάρος,
διὰ τὸ γίνεσθαι τὴν μὲν φάλαγγα πᾶσαν μοχλὸν ἀνεστραμ-
μένον ([h] ὑπομόχλιον μὲν γὰρ τὸ σπαρτίον ἕκαστον ἄνωθεν
ὄν, τὸ δὲ βάρος τὸ ἐνὸν ἐν τῇ πλάστιγγι), ὅσῳ δ' ἂν μακρό-
τερον ᾖ τὸ μῆκος τοῦ μοχλοῦ [i] τοῦ ἀπὸ τοῦ ὑπομοχλίου,
τοσούτῳ [k] ἐκεῖ μὲν ῥᾷον κινεῖ, ἐνταῦθα δὲ σήκωμα ποιεῖ, καὶ
ἵστησι τὸ πρὸς τὸ σφαίρωμα βάρος τῆς φάλαγγος.

Διὰ τί οἱ ἰατροὶ ῥᾷον ἐξαιροῦσι τοὺς ὀδόντας [l] προσλαμ- 21
βάνοντες βάρος τὴν ὀδοντάγραν ἢ τῇ χειρὶ μόνῃ [m] ψιλῇ;
Πότερον διὰ τὸ μᾶλλον ἐξολισθαίνειν διὰ τῆς χειρὸς τὸν
ὀδόντα ἢ ἐκ τῆς ὀδοντάγρας; [n] Ἢ μᾶλλον ὀλισθαίνει τῆς
χειρὸς ὁ σίδηρος, καὶ οὐ περιλαμβάνει αὐτὸν κύκλῳ· μαλ-
θακὴ γὰρ οὖσα ἡ σὰρξ τῶν δακτύλων καὶ προσμένει μᾶλλον
καὶ περιαρμόττει. [o] Ἀλλ' ὅτι ἡ ὀδοντάγρα δύο μοχλοί εἰσιν 2
ἀντικείμενοι, ἓν τὸ ὑπομόχλιον [n] ἔχοντες τὴν σύναψιν τῆς
[o] θερμαστρίδος· τοῦ ῥᾷον οὖν κινῆσαι χρῶνται τῷ ὀργάνῳ
πρὸς τὴν ἐξαίρεσιν. [p] Ἔστω γὰρ τῆς ὀδοντάγρας τὸ μὲν 3
ἕτερον ἄκρον ἐφ' ᾧ [p] τὸ Α, τὸ δὲ ἕτερον, τὸ Β, ὃ ἐξαιρεῖ·
ὁ δὲ μοχλὸς ἐφ' ᾧ ΑΔΖ, ὁ δὲ ἄλλος μοχλὸς ἐφ' ᾧ ΒΓΕ,
ὑπομόχλιον δὲ τὸ ΓΘΔ· ὁ δὲ ὀδοὺς ἐφ' οὗ Ι σύναψις· ὁ δὲ
τὸ βάρος. [r] Ἑκατέρῳ οὖν τῶν ΒΖ καὶ ἅμα λαβὼν κινεῖ.
[q] Ὅταν δὲ κινήσῃ, ἐξεῖλε ῥᾷον τῇ χειρὶ ἢ τῷ ὀργάνῳ.

Διὰ τί τὰ κάρυα ῥᾳδίως καταγνύουσιν ἄνευ πληγῆς ἐν τοῖς 22
ὀργάνοις ἃ ποιοῦσι πρὸς τὸ καταγνύναι αὐτά; Πολλὴ γὰρ
[q] ἀφαιρεῖται [r] ἰσχὺς ἡ τῆς φορᾶς καὶ βίας. [q] Ἔτι δὲ σκληρῷ
καὶ βαρεῖ συνθλίβων θᾶττον ἂν [s] κατάξαι ἢ ξυλίνῳ καὶ κούφῳ
τῷ ὀργάνῳ. [q] Ἢ διότι οὕτως ἐπ' [t] ἀμφότερα θλίβεται ὑπὸ 2
δύο μοχλῶν τὸ κάρυον, τῷ δὲ μοχλῷ ῥᾳδίως διαιρεῖται τὰ
βάρη; Τὸ γὰρ ὄργανον ἐκ δύο σύγκειται μοχλῶν, ὑπομό-

g ἀεὶ—σπαρτίον om. Wa. h ὑπομοχλίου P. i τοῦ ἀπὸ] τὸ ἀπὸ Wa.
k ἐκεῖ μὲν] ἐν τῷ μοχλῷ Wa. l προσλαβόντες Wa. m ψιλῇ ante τῇ
Wa. n ἔχοντι Wa. o κερμαστρίδος P.Wa. p τὸ post ᾧ om. Wa.
q ἀφερεῖ P. r ἡ ἰσχὺς ἡ Wa. s κατάξῃ P.Wa. t ἀμφότερον Wa.

3 χλιον ἐχόντων τὸ αὐτό, τὴν συναφὴν ἐφ' [v]ἧς τὸ Α. [v]Ὥσπερ
[w]οὖν εἰ ἦσαν ἐκβεβλημέναι, ὑφ' ὧν κινουμένων εἰς τὰ τῶν
ΓΔ ἄκρα αἱ ΕΖ συνήγοντο ῥᾳδίως ἀπὸ μικρᾶς ἰσχύος· ἣν
οὖν ἐν τῇ πληγῇ τὸ βάρος ἐποίει, ταύτην ἡ κρείττων ταύτης,
ἡ τὸ ΕΓ καὶ ΖΔ, μοχλοὶ ὄντες ποιοῦσι· τῇ ἄρσει γὰρ εἰς
τοὐναντίον [x]αἴρονται, καὶ θλίβοντες καταγνύουσι τὸ ἐφ' ᾧ Κ.
4 Δι' αὐτὸ δὲ τοῦτο καὶ ὅσῳ ἂν ἐγγύτερον ᾖ τῆς Α τὸ Κ, συν-
τρίβεται θᾶττον· ὅσῳ γὰρ ἂν πλεῖον ἀπέχῃ τοῦ ὑπομοχλίου
ὁ μοχλός, ῥᾷον κινεῖ καὶ πλεῖον ἀπὸ τῆς ἰσχύος τῆς αὐτῆς.
[y]Ἔστιν οὖν τὸ μὲν Α ὑπομόχλιον, ἡ δὲ ΔΑΖ μοχλός, καὶ
5 ἡ ΓΑΕ. [v]Ὅσῳ ἂν οὖν τὸ Κ ἐγγυτέρω ᾖ τῆς γωνίας τῶν Α,
τοσούτῳ ἐγγύτερον γίνεται τῆς συναφῆς [z]τῶν Α· [a]τοῦτο
δέ ἐστι τὸ ὑπομόχλιον. [d]Ἀνάγκη τοίνυν ἀπὸ τῆς αὐτῆς
ἰσχύος συναγούσης τὸ ΖΕ αἴρεσθαι πλέον. [v]Ὥστε ἐπεί
ἐστιν ἐξ ἐναντίας ἡ [b]ἄρσις, ἀνάγκη θλίβεσθαι μᾶλλον· τὸ
δὲ μᾶλλον θλιβόμενον κατάγνυται θᾶττον.

23 Διὰ τί φερομένων δύο φορὰς ἐν τῷ ῥόμβῳ τῶν ἄκρων ση-
μείων ἀμφοτέρων, οὐ τὴν ἴσην ἑκάτερον αὐτῶν εὐθεῖαν διέρ-
χεται, ἀλλὰ πολλαπλασίαν θάτερον; [b]Ὁ αὐτὸς δὲ λόγος
καὶ διὰ [c]τί τὸ ἐπὶ τῆς πλευρᾶς φερόμενον ἐλάττω διέρχεται
τῆς [d]πλευρᾶς. Τὸ μὲν γὰρ τὴν διάμετρον [e]τὴν ἐλάττω, ἡ
δὲ τὴν πλευρὰν τὴν μείζω, καὶ ἡ μὲν μίαν, τὸ δὲ δύο φέρεται
2 φοράς. Φερέσθω γὰρ ἐπὶ τῆς ΑΒ τὸ μὲν Α πρὸς τὸ Β,
τὸ δὲ Β πρὸς τὸ Δ τῷ αὐτῷ τάχει· φερέσθω δὲ καὶ ἡ ΑΒ
ἐπὶ τῆς ΑΓ παρὰ τὴν ΓΔ τῷ αὐτῷ τάχει τούτοις. [d]Ἀνάγκη
δὴ τὸ μὲν Α ἐπὶ τῆς ΑΔ διαμέτρου φέρεσθαι, τὸ δὲ Β ἐπὶ
τῆς ΒΓ, καὶ ἅμα διεληλυθέναι ἑκατέραν, καὶ τὴν ΑΒ τὴν
3 ΑΓ πλευράν. [d]Ἐνηνέχθω γὰρ τὸ μὲν Α τὴν ΑΕ, ἡ δὲ ΑΒ
τὴν ΑΖ, καὶ ἔστω ἐκβεβλημένη ἡ ΖΗ [f]παρὰ τὴν ΑΒ, καὶ
ἀπὸ τοῦ [g]Ε πεπληρώσθω. [v]Ὁμοιον οὖν γίνεται τὸ παρα-

v ἧ Wa. w οὖν εἴησαν P.Wa. x αἴροντες Wa. y ἔστι μὲν οὖν τὸ α Wa. z τῶν] τοῦ Wa. a τοῦτο] τοῦ P.Wa. b εὕρεσις Wa. c τί] τὸ P. d πλευράν] πλείω P.Wa. e τὴν α ε χ α β ἡ δὲ τὴν α ζ P.Ba. f περὶ Wa. g ε παραπεπληρώσθω Ha.

πληρωθὲν τῷ ὅλῳ. [a]Ἰση ἄρα ἡ ΑΖ τῇ ΑΕ, [h]ὥστε τὸ Α ἐπὶ τῆς πλευρᾶς ἐνήνεκται τῆς ΑΕ. [b]Η δὲ ΑΒ τὴν ΑΖ εἴη ἂν ἐνηνεγμένη. [a]Εσται ἄρα ἐπὶ τῆς διαμέτρου κατὰ τὸ Θ. Καὶ αἰεὶ δὲ ἀνάγκη αὐτὸ φέρεσθαι κατὰ τὴν διάμετρον. 4
Καὶ ἅμα ἡ πλευρὰ ἡ ΑΒ τὴν πλευρὰν τὴν ΑΓ [i]δίεισι, καὶ τὸ Α τὴν διάμετρον δίεισι τὴν ΑΔ. [b]Ομοίως δὲ δειχθήσεται καὶ τὸ Β ἐπὶ τῆς ΑΓ διαμέτρου φερόμενον. [k][a]Ἰση γάρ ἐστιν ἡ ΒΕ τῇ ΒΗ. Παραπληρωθέντος οὖν ἀπὸ τοῦ Η, ὁμοιόν ἐστι τῷ ὅλῳ τὸ ἐντός. Καὶ τὸ [l]Β ἐπὶ τῆς διαμέτρου 5
ἔσται κατὰ τὴν σύναψιν τῶν πλευρῶν, καὶ ἅμα δίεισιν ἥ τε πλευρὰ τὴν πλευρὰν καὶ τὸ Β τὴν ΒΓ διάμετρον. [a]Αμα ἄρα καὶ τὸ Β τὴν πολλαπλασίαν τῆς ΑΒ δίεισι καὶ ἡ πλευρὰ τὴν ἐλάττονα πλευράν, τῷ αὐτῷ τάχει φερόμενα, καὶ [m]ἡ πλευρὰ μείζω τοῦ Α διελήλυθε μίαν φορὰν φερομένη. [a]Οσῳ γὰρ ἂν ὀξύτερος γένηται ὁ ῥόμβος, ἡ μὲν διά- 6
μετρος ἡ ἐλάττων γίνεται, ἡ δὲ ΒΓ μείζων, ἡ δὲ πλευρὰ τῆς ΒΓ ἐλάττων. [a]Ατοπον γάρ, ὥσπερ ἐλέχθη, [n]τὸ δύο φορὰς φερόμενον ἐνίοτε βραδύτερον φέρεσθαι τοῦ μίαν, καὶ ἀμφοτέρων ἰσοταχῶν σημείων δοθέντων μείζω διεξιέναι θάτερον. Αἴτιον δὲ ὅτι τοῦ μὲν ἀπὸ τῆς ἀμβλείας φερομένου 7
σχεδὸν ἐναντίαι ἀμφότεραι γίνονται, ἥν τε αὐτὴ φέρεται καὶ ἣν ὑπὸ τῆς πλευρᾶς ὑποφέρεται, τοῦ δὲ ἀπὸ τῆς ὀξείας συμβαίνει φέρεσθαι ἐπὶ τὸ αὐτό. Συνεπουρίζει γὰρ ἡ τῆς πλευρᾶς τὴν ἐπὶ τῆς διαμέτρου· καὶ ὅσῳ ἂν τὴν μὲν ὀξυτέραν ποιήσῃ, τὴν δὲ ἀμβλυτέραν, ἡ μὲν βραδυτέρα ἔσται, ἡ δὲ θάττων. Αἱ μὲν γὰρ ἐναντιώτεραι γίνονται διὰ τὸ 8
ἀμβλυτέραν γίνεσθαι τὴν γωνίαν, αἱ δὲ μᾶλλον ἐπὶ τὰ αὐτὰ διὰ τὸ συνάγεσθαι τὰς γραμμάς. Τὸ μὲν γὰρ Β σχεδὸν ἐπὶ τὸ αὐτὸ φέρεται κατ' ἀμφοτέρας τὰς φοράς· συνεπουρίζεται οὖν ἡ ἑτέρα, καὶ ὅσῳ ἂν ὀξυτέρα γίνηται ἡ γωνία, τοσούτῳ μᾶλλον. Τὸ Α δὲ ἐπὶ τοὐναντίον· αὐτὸ μὲν γὰρ 9

[h] ὥστε—τῆς ΑΕ add. L.P.B[a].H[a].W[a].q. [i] δίεισι καὶ τὸ Α et mox δίεισι—διαμέτρου om. W[a]. [k] ὅση W[a]. [l] Β om. W[a]. [m] ἡ om. W[a]. [n] τὸ om. W[a].

πρὸς τὸ Β φέρεται, ἡ δὲ πλευρὰ ὑποφέρει αὐτὸ πρὸς τὸ Δ. Καὶ ὅσῳ ἂν ἀμβλυτέρα ἡ γωνία ᾖ, ἐναντιώτεραι αἱ φοραὶ γίνονται· [o] εὐθυτέρα γὰρ ἡ γραμμὴ γίνεται. Εἰ δ' ὅλως εὐθεῖα γένοιτο, παντελῶς ἂν εἶησαν ἐναντίαι. [r] Ἡ δὲ πλευρὰ ὑπ' οὐθενὸς κωλύεται μίαν φερομένη φοράν. Εὐλόγως οὖν τὴν μείζω διέρχεται.

24 [t] Ἀπορεῖται διὰ τί ποτε ὁ μείζων κύκλος τῷ ἐλάττονι κύκλῳ ἴσην [p] ἐξελίττεται γραμμήν, ὅταν περὶ τὸ αὐτὸ [q] κέντρον τεθῶσι; Χωρὶς δὲ ἐκκυλιόμενοι, ὥσπερ τὸ μέγεθος αὐτῶν πρὸς τὸ μέγεθος ἔχει, οὕτως καὶ αἱ γραμμαὶ αὐτῶν
2 γίνονται πρὸς ἀλλήλας. [u] Ἔτι δὲ ἑνὸς καὶ τοῦ αὐτοῦ κέντρου ὄντος ἀμφοῖν, ὁτὲ μὲν τηλικαύτη γίνεται ἡ γραμμὴ ἣν ἐκκυλίονται, ἡλίκην ὁ ἐλάττων κύκλος καθ' αὑτὸν ἐκκυλίεται, ὁτὲ δὲ ὅσην ὁ μείζων. [v] Ὅτι μὲν οὖν μείζω ἐκκυλίεται ὁ
3 μείζων, φανερόν. Γωνία μὲν γὰρ δοκεῖ κατὰ τὴν αἴσθησιν εἶναι ἡ περιφέρεια ἑκάστου τῆς οἰκείας διαμέτρου, ἡ τοῦ μείζονος κύκλου μείζων, [r] ἡ δὲ τοῦ ἐλάττονος ἐλάττων, ὥστε τὸν αὐτὸν τοῦτον ἔξουσι λόγον, καθ' ἃς ἐξεκυλίσθησαν αἱ
4 γραμμαὶ πρὸς ἀλλήλας κατὰ τὴν αἴσθησιν. [t] Ἀλλὰ μὴν καὶ ὅτι τὴν ἴσην ἐκκυλίονται, ὅταν περὶ τὸ αὐτὸ κέντρον κείμενοι ὦσι, δῆλον· καὶ οὕτως γίνεται ὁτὲ μὲν ἴση τῇ γραμμῇ
5 ἣν ὁ μείζων κύκλος ἐκκυλίεται, ὁτὲ δὲ ἐλάττων. [u] Ἔστω γὰρ κύκλος ὁ μείζων μὲν ἐφ' οὗ τὰ ΔΖΓ, ὁ δὲ ἐλάττων ἐφ' οὗ τὰ ΕΗΒ, κέντρον δὲ ἀμφοῖν τὸ Α· καὶ ἣν μὲν ἐξελίττεται καθ' [s] αὑτὸν ὁ μέγας, [t] ἡ ἐφ' ἧς [v] ΖΙ ἔστω, ἣν [w] δὲ ὁ ἐλάτ-
6 των καθ' αὑτόν, ἡ ἐφ' [x] ἧς ΗΚ, ἴση τῇ ΑΖ. [t] Ἐὰν [y] δὴ κινῶ τὸν ἐλάττονα, τὸ αὐτὸ κέντρον [z] κινῶ, ἐφ' οὗ τὸ Α· ὁ δὲ μέγας προσηρμόσθω. [v] Ὅταν οὖν ἡ ΑΒ ὀρθὴ γένηται πρὸς τὴν ΗΚ, ἅμα καὶ [a] ἡ ΑΓ γίνεται ὀρθὴ πρὸς τὴν ΖΛ, ὥστε ἔσται ἴσην ἀεὶ διειληλυθυῖα, τὴν μὲν ΗΚ, ἐφ' ᾗ ΗΒ

o εὐθύτερον Wa. p ἐξελίττεται τὴν γραμμὴν Wa. q κέντρῳ Wa. r ἡ δὲ τοῦ ἐλάττονος ἐλάττων om. P.Wa. s αὐτὸ P. t ἣ ἐφ' οἷς P.Wa. v Ζ] τί Wa. w δὴ P. x ἣ Wa. y δὲ Wa. z κινῶν ἐφ' P.Wa. a ἡ ΑΓ] αι Wa.

περιφέρεια, τὴν δὲ ΖΛ ἡ ἐφ' ἧς ΖΓ. Εἰ δὲ τὸ τέταρτον 7
μέρος ἴσην ἐξελίττεται, δῆλον ὅτι καὶ ὁ ὅλος κύκλος τῷ ὅλῳ
κύκλῳ ἴσην [b] ἐξελιχθήσεται, ὥστε ὅταν ἡ ΒΗ γραμμὴ ἔλθῃ
ἐπὶ τὸ Κ, καὶ ἡ ΖΓ ἔσται [c] περιφέρεια ἐπὶ τῆς [d] ΖΛ, καὶ
ὁ κύκλος ὅλος ἐξειλιγμένος. Ὁμοίως δὲ καὶ ἐὰν τὸν μέγαν
κινῶ, ἐναρμόσας τὸν μικρόν, τοῦ αὐτοῦ κέντρου ὄντος, ἅμα
τῇ ΑΓ ἡ ΑΒ κάθετος καὶ ὀρθὴ ἔσται, ἡ μὲν πρὸς τὴν ΖΙ,
ἡ δὲ πρὸς τὴν [e] ΗΘ. Ὥστε ὅταν ἴσην ἡ μὲν τῇ ΗΘ ἔσται 8
διεληλυθυῖα, ἡ δὲ τῇ ΖΙ, καὶ γένηται ὀρθὴ πάλιν ἡ ΖΑ
πρὸς τὴν ΖΛ, καὶ ἡ ΑΓ ὀρθὴ πάλιν, ὡς τὸ ἐξ ἀρχῆς ἔσον-
ται ἐπὶ τῶν ΘΙ. Τὸ δὲ μήτε στάσεως γινομένης τὸ μεῖζον
τῷ ἐλάττονι, ὥστε [f] μένειν τινὰ χρόνον ἐπὶ τοῦ αὐτοῦ ση-
μείου· κινοῦνται γὰρ συνεχῶς ἄμφω ἀμφοτεράκις. [g] Μὴ 9
ὑπερπηδῶντος τοῦ ἐλάττονος μηθὲν σημεῖον, τὸν μὲν [h] μεῖζω
τῷ ἐλάττονι ἴσην διεξιέναι, τὸν δὲ τῷ μείζονι, ἄτοπον.
Ἔτι δὲ μιᾶς κινήσεως οὔσης ἀεὶ τὸ κέντρον τὸ κινούμενον
ὁτὲ μὲν τὴν μεγάλην ὁτὲ δὲ τὴν ἐλάττονα ἐκκυλίεσθαι θαυ-
μαστόν. Τὸ γὰρ αὐτὸ τῷ αὐτῷ τάχει φερόμενον ἴσην 10
πέφυκε διεξιέναι· τῷ αὐτῷ δὲ τάχει ἴσην ἐστὶ κινεῖν ἀμφο-
τεράκις. Ἀρχὴ δὲ ληπτέα ἥδε περὶ τῆς αἰτίας αὐτῶν, [i] ὅτι
ἡ αὐτὴ δύναμις [k] καὶ ἴση τὸ μὲν βραδύτερον [k] κινεῖ μέγεθος,
τὸ δὲ ταχύτερον. Εἰ δή τι εἴη ὃ μὴ πέφυκεν ὑφ' ἑαυτοῦ 11
κινεῖσθαι, ἐὰν [l] τοῦτο ἅμα καὶ αὐτὸ κινῇ τὸ πεφυκὸς κινεῖ-
σθαι, βραδύτερον κινηθήσεται ἢ [m] εἰ αὐτὴ καθ' αὑτὴν ἐκι-
νεῖτο. Καὶ ἐὰν μὲν πεφυκὸς ᾖ κινεῖσθαι, μὴ [n] συγκινῆται
δὲ μηθέν, ὡσαύτως ἕξει. Καὶ ἀδύνατον δὴ κινεῖσθαι πλέον
ἢ τὸ κινοῦν· οὐ γὰρ τὴν [o] αὐτοῦ κινεῖται κίνησιν, [p] ἀλλὰ
τὴν τοῦ κινοῦντος. Εἴη δὴ κύκλος ὁ μὲν μείζων [q] τὸ Α, ὁ 12
δὲ ἐλάττων ἐφ' ᾧ Β. Εἰ ὠθοίη δ' ὁ ἐλάττων τὸν μείζω,

[b] ἐξελεχθήσεται Wa. [c] περιφέρεια om. Wa. [d] ΖΛ] γλ Wa. [e] ΗΘ] κθ Wa. [f] μένειν] μὲν Wa. [g] μὴ] μὲν Wa. [h] μείζω P. [i] ὅτε Wa. [k] καὶ ἴση et mox κινεῖ μέγεθος om. Wa. [l] τοῦτο] τοῦ P.Wa. [m] εἰ] ἡ P.Wa. [n] συγκινῆται] κινῆται Wa. [o] αὐτοῦ] αὐτὴν P. [p] ἀλλὰ τὴν τοῦ κινοῦντος. εἴη] εἰ P.Wa. [q] τὸ] ἡ Wa.

μὴ κυλιομένου αὐτοῦ, φανερὸν ὅτι τοσοῦτον δίεισι τῆς εὐθείας ὁ μείζων, ὅσον ἐώσθη [r]ὑπὸ τοῦ ἐλάττονος. Τοσοῦτον δέ γε ἐώσθη ὅσον ὁ μικρὸς ἐκινήθη. [u]Ισην ἄρα τῆς εὐθείας
13 διεληλύθασιν. [a]Ανάγκη τοίνυν καὶ εἰ κυλιόμενος ὁ ἐλάττων τὸν μείζω ὠθοίη, κυλισθῆναι μὲν ἅμα τῇ ὤσει, τοσοῦτον δ' ὅσον ὁ ἐλάττων ἐκυλίσθη, εἰ μηθὲν αὐτὸς τῇ αὐτῇ κινήσει κινεῖται. [b]Ως γὰρ καὶ ὅσον ἐκίνει, τοσοῦτον [s]κεκινῆσθαι ἀνάγκη τὸ κινούμενον ὑπ' ἐκείνου. [c]Αλλὰ μὴν ὅ τε κύκλος τοσοῦτον ἐκίνησε τὸ αὐτό, κύκλῳ τε καὶ ποδιαίαν (ἔστω γὰρ τοσοῦτον ὃ ἐκινήθη), [t]καὶ ὁ μέγας ἄρα τοσοῦτον ἐκινήθη.
14 [d]Ομοίως δὲ κἂν ὁ μέγας τὸν μικρὸν κινήσῃ, ἔσται κεκινημένος ὁ μικρὸς ὡς καὶ ὁ μείζων. Καθ' αὑτὸν μὲν δὴ κινηθεὶς ὁποτεροσοῦν, ἐάν τε ταχὺ ἐάν τε βραδέως· τῷ αὐτῷ δὲ τάχει εὐθὺς ὅσην ὁ μείζων πέφυκεν ἐξελιχθῆναι γραμμήν. [v]Οπερ καὶ ποιεῖ τὴν ἀπορίαν, [v]ὅτι οὐκέτι ὁμοίως ποιοῦσιν ὅταν
15 συναρμοσθῶσιν. Τὸ δ' ἔστιν, εἰ ὁ ἕτερος ὑπὸ τοῦ ἑτέρου κινεῖται οὐχ ἣν πέφυκεν, οὐδὲ τὴν αὐτοῦ κίνησιν. Οὐθὲν γὰρ διαφέρει περιθεῖναι καὶ ἐναρμόσαι ἢ προσθεῖναι ὁποτερονοῦν [w]ὁποτέρῳ· ὁμοίως γάρ, ὅταν ὁ μὲν κινῇ ὁ δὲ κινῆται ὑπὸ τούτου, ὅσον ἂν κινῇ ἄτερος, τοσοῦτον κινηθήσεται
16 ἄτερος. [v]Οταν μὲν οὖν προσκείμενον κινῇ ἢ προσκρεμάμενον, οὐκ ἀεὶ κυλίει τις· ὅταν δὲ περὶ τὸ αὐτὸ κέντρον τεθῶσιν, ἀνάγκη κυλίεσθαι ἀεὶ τὸν ἕτερον ὑπὸ τοῦ ἑτέρου. [d]Αλλ' οὐθὲν ἧττον οὐ τὴν [x]αὐτοῦ κίνησιν [y]ἄτερος κινεῖται, ἀλλ' ὥσπερ ἂν εἰ μηδεμίαν εἶχε κίνησιν. Κἂν ἔχῃ, μὴ χρῆται
17 δ' αὐτῇ, ταὐτὸ συμβαίνει. [v]Οταν [z]μὲν οὖν ὁ μέγας κινῇ ἐνδεδεμένον τὸν μικρόν, ὁ [a]μικρὸς κινεῖται ὅσηνπερ οὗτος· ὅταν δὲ ὁ μικρός, πάλιν ὁ μέγας ὅσην οὗτος. Χωριζόμενος δὲ ἑκάτερος αὐτὸν κινεῖ αὐτός. [b]Οτι δὲ τοῦ αὐτοῦ κέντρου ὄντος καὶ κινουῦντος τῷ αὐτῷ τάχει συμβαίνει ἄνισον διεξ-

r ὑπὸ τοῦ ἐλάττονος om. P.Wa. s κεκινεῖσθαι Wa. t καὶ ὁ—ἐκινήθη om. Wa. v ὅτε Wa. w ὁποτέρων Wa. x αὐτὴν P. y ἕτερος Wa. z οὖν μὲν Wa. a μικρὸς κ.] μέγας κ. P.Wa. b ὅτε δὲ τοῦ αὐ κέντρου Wa.

ιέναι αὐτοὺς γραμμήν, [c] παραλογίζεται ὁ ἀπορῶν σοφιστικῶς. Τὸ αὐτὸ μὲν γάρ ἐστι κέντρον ἀμφοῖν, ἀλλὰ 18
κατὰ συμβεβηκός, [d] ὡς μουσικὸν καὶ λευκόν· τὸ γὰρ εἶναι
[e] ἑκατέρου κέντρου τῶν κύκλων οὐ τῷ αὐτῷ χρῆται. [f]Οταν
μὲν οὖν ὁ κινῶν [f] ᾖ ὁ μικρός, ὡς ἐκείνου κέντρον καὶ ἀρχή,
ὅταν δὲ ὁ μέγας, ὡς ἐκείνου. Οὔκουν τὸ αὐτὸ κινεῖ ἁπλῶς,
ἀλλ' ἔστιν ὥς.

Διὰ τί τὰς κλίνας ποιοῦσι διπλασιοπλεύρους, τὴν μὲν 25
ἐξ ποδῶν καὶ μικρῷ μείζω πλευράν, τὴν δὲ τριῶν; Καὶ διὰ
τί ἐντείνουσιν οὐ κατὰ διάμετρον; [f]Η τὸ μὲν μέγεθος τηλικαύτας, ὅπως τοῖς σώμασιν ὦσι σύμμετροι; Γίνονται γὰρ
οὕτω διπλασιόπλευροι, τετραπήχεις μὲν τὸ μῆκος, διπήχεις
δὲ τὸ πλάτος. [g]Εντείνουσι δὲ οὐ κατὰ διάμετρον ἀλλ' ἀπ' 2
ἐναντίας, ὅπως τά τε ξύλα ἧττον διασπᾶται· τάχιστα γὰρ
σχίζεται κατὰ φύσιν διαιρούμενα ταύτῃ, καὶ ἑλκόμενα πονεῖ
μάλιστα. [f]Ετι ἐπειδὴ δεῖ βάρος δύνασθαι τὰ [g] σπαρτία
φέρειν, οὕτως ἧττον πονέσει λοξοῖς τοῖς [g] σπαρτίοις ἐπιτιθεμένου τοῦ βάρους ἢ πλαγίοις. [f]Ετι δὲ ἔλαττον οὕτω
[h] σπαρτίον ἀναλίσκεται. [f]Εστω γὰρ κλίνη ἡ ΑΖΗΙ, καὶ 3
δίχα διῃρήσθω ἡ ΖΗ κατὰ τὸ Β. [f]Ισα δὴ τρυπήματά
ἐστιν ἐν τῇ ΖΒ καὶ ἐν τῇ ΖΑ. Καὶ γὰρ αἱ πλευραὶ [i] ἴσαι
εἰσίν· ἡ γὰρ ὅλη ΖΗ διπλασία ἐστίν. [g]Εντείνουσι δ' ὡς
γέγραπται, ἀπὸ τοῦ Α ἐπὶ τὸ Β, εἶτα οὗ τὸ Γ, εἶτα οὗ τὸ
Δ, εἶτα οὗ τὸ Θ, εἶτα οὗ τὸ Ε. Καὶ οὕτως ἀεί, ἕως ἂν εἰς 4
γωνίαν καταστρέψωσιν ἄλλην· δύο γὰρ ἔχουσι γωνίαι τὰς
ἀρχὰς τοῦ σπαρτίου. [f]Ισα δέ ἐστι τὰ σπαρτία κατὰ τὰς
κάμψεις, τό τε ΑΒ καὶ ΒΓ τῷ ΓΔ καὶ ΔΘ. Καὶ τὰ
ἄλλα δὲ τὰ τοιαῦτά ἐστιν, ὅτι οὕτως [k] ἔχει ἡ αὐτὴ ἀπόδειξις,
[f]Η μὲν γὰρ ΑΒ τῇ ΕΘ ἴση· ἴσαι γάρ εἰσιν αἱ πλευραὶ τοῦ
ΒΗΚΑ χωρίου, καὶ τὰ [l] τρυπήματα ἴσα διέστηκεν. [f]Η δὲ 5

[c] π ιλογίζεται Wa. [d] ὡς] καὶ Wa. [e] ἑκάτερον κέντρον Wa.
[f] ᾖ P. [g] σπαρτὰ et σπαρτοῖς, sect. 6. σπαρτὰ, sect. 7. σπαρτῶν P.Wa.
[h] σπαρτὸν Wa. [i] εἰσιν ἴσαι Wa. [k] ἔχει om. P. [l] τρυπήματα δ' ἴσα διέστη Wa.

ΒΗ ἴση τῇ ΚΑ· ἡ γὰρ [m]Β γωνία ἴση τῇ Η. [1]Ἐν ἴσοις γὰρ ἡ μὲν ἐκτός, ἡ δὲ ἐντός· καὶ ἡ μὲν Β ἐστὶν ἡμίσεια ὀρθῆς· ἡ γὰρ ΖΒ ἴση τῇ ΖΑ· καὶ γωνία δὲ ἡ κατὰ τὸ Ζ ὀρθή. [1]Η δὲ Β γωνία ἴση τῇ κατὰ τὸ Η· ἡ γὰρ κατὰ τὸ Ζ ὀρθή, ἐπειδὴ διπλασιόπλευρον τὸ ἑτερόμηκες καὶ πρὸς μέσον κέκλα-
6 σται. [v]Ωστε ἡ ΑΓ τῇ ΕΗ ἴση. Ταύτῃ δὲ ἡ Κ Θ· παράλληλος γάρ. [v]Ωστε ἡ ΒΓ ἴση τῇ ΚΘ. [1]Η [n]δὲ ΓΕ τῇ ΔΘ. [1]Ομοίως δὲ καὶ αἱ ἄλλαι δείκνυνται ὅτι ἴσαι εἰσὶν αἱ κατὰ τὰς κάμψεις δύο ταῖς δυσίν. [v]Ωστε δῆλον ὅτι τὰ τηλικαῦτα [o]σπαρτία ὅσον τὸ ΑΒ, τέσσαρα τοσαῦτ' ἔνεστιν ἐν τῇ κλίνῃ· ὅσον δ' ἐστὶ τὸ πλῆθος τῶν ἐν τῇ ΖΗ πλευρᾷ τρυπημάτων,
7 καὶ ἐν τῷ ἡμίσει [p]τῷ ΖΒ τὰ ἡμίση. [v]Ωστε ἐν τῇ ἡμισείᾳ κλίνῃ τηλικαῦτα μεγέθη [q]σπαρτίων ἐστὶν ὅσον [r]τῷ ΒΑ ἔνεστι, τοσαῦτα δὲ τὸ πλῆθος ὅσαπερ ἐν τῷ ΒΗ τρυπήματα. Ταῦτα δὲ οὐδὲν διαφέρει λέγειν ἢ ὅσα ἐν τῇ [s]ΑΖ καὶ ΒΖ
8 τὰ συνάμφω. Εἰ δὲ κατὰ διάμετρον ἐνταθῇ τὰ σπαρτία, ὡς ἐν τῇ ΑΒΓΔ κλίνῃ ἔχει, τὰ ἡμίσεά εἰσιν οὐ τοσαῦτα ὅσα αἱ πλευραὶ ἀμφοῖν, αἱ ΑΖ ΖΗ· τὰ ἴσα δέ, ὅσα ἐν τῷ ΖΒΖΑ τρυπήματα ἔνεστιν. Μείζονες δέ εἰσιν αἱ ΑΖ ΒΖ δύο οὖσαι τῆς ΑΒ. [v]Ωστε καὶ τὸ σπαρτίον μεῖζον τοσούτῳ ὅσον αἱ πλευραὶ ἄμφω μείζους εἰσὶ τῆς διαμέτρου.

26 Διὰ τί χαλεπώτερον τὰ μακρὰ ξύλα [t]ἀπ' ἄκρου φέρειν ἐπὶ τῷ ὤμῳ ἢ κατὰ τὸ μέσον, ἴσου τοῦ βάρους ὄντος; Πότερον ὅτι σαλευομένου τοῦ ξύλου τὸ ἄκρον κωλύει φέρειν, μᾶλλον ἀντισπῶν τῇ σαλεύσει τὴν φοράν; [u]Η κἂν μηθὲν κάμπτηται μηδ' ἔχῃ πολὺ μῆκος, ὅμως χαλεπώτερον φέρειν ἀπ' ἄκρου; ἀλλ' ὅτι καὶ ῥᾷον αἴρεται ἀπ' ἄκρου [v]ἢ ἐκ μέσου,
2 διὰ τὸ αὐτὸ καὶ φέρειν οὕτω ῥᾴδιον. [w]Αἴτιον δὲ ὅτι ἐκ μέσου μὲν αἰρόμενον ἀεὶ ἐπικουφίζει ἄλληλα τὰ ἄκρα, καὶ θάτερον μέρος τὸ ἐπὶ [x]θάτερον εὖ αἴρει. [v]Ωσπερ γὰρ κέν-

[m] Β] γ Wa. [n] δὲ] δὲ τῇ P. [o] σπαρτὰ P.Wa. [p] τῷ ζθ P, τὸ θζ Wa. [q] σπαρτῶν P.Wa. [r] τὸ Wa. [s] ΑΖ] θζ Wa. [t] ἀπ' ἄκρου] ἀπὸ μακροῦ P.Wa. [u] ἢ om. P. [v] ἢ ἐκ μέσου] ἐπειδὴ διότι Wa. [w] αἴτιον δὲ ὅτι] ἐπειδὴ διότι Wa. [x] θάτερα P.

τρον γίνεται τὸ μέσον, [y] ᾗ ἔχει τὸ αἶρον ἢ φέρον. Εἰς [z] τὸ ἄνω οὖν κουφίζεται ἑκάτερον τῶν ἄκρων εἰς τὸ κάτω ῥέπον. [1] Ἀπὸ δὲ τοῦ ἄκρου αἰρόμενον ἢ φερόμενον οὐ ποιεῖ τοῦτο, 3 ἀλλ' ἅπαν τὸ βάρος ῥέπει ἐφ' ἓν μέσον, εἰς ὅπερ αἴρεται ἢ φέρεται. [a] Ἐστω μέσον ἐφ' οὗ Α, ἄκρα Β Γ. Αἰρομένου οὖν ἢ φερομένου κατὰ τὸ Α, τὸ μὲν Β κάτω ῥέπον ἄνω αἴρει τὸ Γ, τὸ δὲ Γ κάτω ῥέπον τὸ Β ἄνω αἴρει· ἅμα δὲ αἰρόμενα ἄνω ποιεῖ ταῦτα.

Διὰ τί, ἐὰν ᾖ λίαν μακρὸν τὸ αὐτὸ βάρος, χαλεπώτερον 27
[b] φέρειν ἐπὶ τοῦ ὤμου, κἂν μέσον [c] φέρῃ τις, ἢ ἐὰν ἔλαττον ᾖ; Πάλαι ἐλέχθη [d] ὡς οὐκ ἔστιν αἴτιον [d] ἡ σάλευσις· ἀλλ' ἡ σάλευσις νῦν αἴτιόν ἐστιν. [v] Ὅταν γὰρ ᾖ μακρότερον, τὰ ἄκρα σαλεύεται, ὥστε εἴη [e] ἂν καὶ τὸν φέροντα χαλεπώτερον φέρειν μᾶλλον. Αἴτιον δὲ τοῦ σαλεύεσθαι μᾶλλον, [f] ὅτι 2 τῆς αὐτῆς κινήσεως [g] οὔσης μεθίσταται τὰ ἄκρα, ὅσῳπερ ἂν ᾖ μακρότερον τὸ ξύλον. [ι] Ὁ μὲν γὰρ ὦμος κέντρον, [h] ἐφ' οὗ τὸ Α (μένει γὰρ τοῦτο), αἱ δὲ Α Β καὶ Α Γ αἱ ἐκ τοῦ κέντρου. [v] Ὅσῳ δ' ἂν ᾖ μεῖζον τὸ ἐκ τοῦ κέντρου ἢ τὸ Α Β ἢ καὶ τὸ Α Γ, πλέον μεθίσταται μέγεθος. Δέδεικται δὲ τοῦτο πρότερον.

Διὰ τί ἐπὶ τοῖς φρέασι τὰ [i] κηλώνεια ποιοῦσι τοῦτον τὸν 28
τρόπον; προστιθέασι γὰρ βάρος ἐν τῷ ξύλῳ τὸν μόλιβδον, ὄντος βάρους τοῦ κάδου αὐτοῦ, καὶ κενοῦ καὶ πλήρους ὄντος. Ἢ ὅτι ἐν δυσὶ χρόνοις διῃρημένου τοῦ ἔργου (βάψαι γὰρ δεῖ, καὶ τοῦτ' ἄνω ἑλκύσαι) συμβαίνει καθιέναι μὲν κενὸν ῥᾳ- 2
δίως, αἴρειν δὲ πλήρη χαλεπῶς; Λυσιτελεῖ οὖν μικρῷ βραδύτερον [k] εἶναι τὸ καταγαγεῖν [k] πρὸς τὸ πολὺ κουφίσαι τὸ βάρος ἀνάγοντι. Τοῦτο οὖν ποιεῖ ἐπ' ἄκρῳ [l] τῷ κηλωνείῳ ὁ μόλιβδος προσκείμενος ἢ [m] ὁ λίθος. Καθιμῶντι [n] μὲν γὰρ

[y] ᾗ] ἢ Wa. [z] τὰ Wa. [a] ἔστω μέσον om. P.Wa. [b] φέρει Wa. [c] φέροι P, φέρει Wa. [d] ὡς et ἡ σάλευσις om. P.Wa. [e] ἂν om. P. [f] ὅτι] ἀπὸ post lacunam P. [g] οὔσης om. P.Wa. [h] ἐφ' οὗ—κέντρου om. Wa. [i] κοιλώνια P.Wa. [k] εἶναι et πρὸς om. P.Wa. [l] τῶν κοιλωνίων P, κοιλωνίῳ Wa. [m] ὁ om. P.Wa. [n] μὲν om. Wa.

γίνεται βάρος μεῖζον [o] ἢ εἰ μόνον κενὸν δεῖ κατάγειν [p] τὸν κάδον· ὅταν δὲ πλήρης ᾖ, ἀνάγει ὁ μόλιβδος, ἢ ὅ τι [q] ἂν ᾖ τὸ προσκείμενον βάρος. [v]Ωστ' ἐστὶ ῥᾷον αὐτῷ τὰ ἄμφω [r] ἢ ἐκείνῳ.

29 Διὰ τί, ὅταν φέρωσιν ἐπὶ ξύλου ἤ τινος τοιούτου δύο ἄνθρωποι ἴσον βάρος, οὐχ ὁμοίως θλίβονται, ἐὰν μὴ ἐπὶ τῷ [s] μέσῳ ᾖ τὸ βάρος, ἀλλὰ μᾶλλον ὅσῳ ἂν ἐγγύτερον ᾖ τῶν φερόντων; [t]Η διότι μοχλὸς μὲν γίνεται [u]οὕτως ἐχόντων [v] τὸ ξύλον, τὸ δὲ βάρος [w] ὑπομόχλιον, ὁ δὲ ἐγγύτερος τοῦ βάρους τῶν φερόντων τὸ βάρος τὸ κινούμενον, ἄτερος δὲ 2 τῶν φερόντων τὸ βάρος ὁ κινῶν. [v]Ὅσῳ γὰρ πλέον [x] ἀπέχει τοῦ βάρους, [y]τοσούτῳ ῥᾷον κινεῖ, καὶ θλίβει μᾶλλον τὸν ἕτερον εἰς τὸ κάτω, ὥσπερ ἀντερείδοντος τοῦ βάρους [z] τοῦ ἐπικειμένου καὶ γινομένου ὑπομοχλίου. [t]Ἐν μέσῳ δὲ ὑποκειμένου τοῦ βάρους, οὐδὲν μᾶλλον ἄτερος θατέρῳ γίνεται βάρος, οὐδὲ κινεῖ, ἀλλ' [a] ὁμοίως ἑκάτερος ἑκατέρῳ γίνεται βάρος.

30 Διὰ τί οἱ ἀνιστάμενοι πάντες πρὸς ὀξεῖαν γωνίαν τῷ μηρῷ ποιήσαντες τὴν κνήμην ἀνίστανται, καὶ τῷ θώρακι πρὸς τὸν μηρόν; εἰ δὲ μή, οὐκ ἂν δύναιντο ἀναστῆναι. Πότερον ὅτι τὸ ἴσον ἠρεμίας πανταχοῦ αἴτιον, ἡ δὲ ὀρθὴ γωνία τοῦ ἴσου, καὶ ποιεῖ στάσιν· διὸ καὶ φέρεται πρὸς ὁμοίας 2 γωνίας τῇ περιφερείᾳ τῆς γῆς. Οὐ γὰρ ὅτι καὶ πρὸς ὀρθὴν ἔσται τῷ ἐπιπέδῳ. [t]Ἢ ὅτι ἀνιστάμενος γίνεται ὀρθός, ἀνάγκη δὲ τὸν ἑστῶτα [b] κάθετον εἶναι πρὸς τὴν γῆν. Εἰ οὖν μέλλει ἔσεσθαι πρὸς [c] ὀρθήν, τοῦτο δέ ἐστι τὸ τὴν κεφαλὴν ἔχειν κατὰ τοὺς πόδας, καὶ γίνεσθαι δὴ ὅτε ἀνίσταται. [v]Οταν μὲν οὖν καθήμενος ᾖ, παράλληλον ἔχει τὴν κεφαλὴν καὶ τοὺς πό- 3 δας, καὶ οὐκ ἐπὶ μιᾶς [d] εὐθείας. [t]Η κεφαλὴ Α ἔστω, θώ-

o ἢ εἰ] εἴη P.Wa. p τὸν κάδον om. P.Wa. q ἂν ᾖ] ἐστὶν ἢ P. r ἐκείνα Wa. s μέσῳ] μόνῳ P. t οὕτως] ἐλάττων P.Wa. v τῶν ξύλων Wa. w ὑπομοχλίων Wa. x ἀπέχη P. y τοσοῦτον Wa. z τοῦ ἐπικειμένου—βάρους om. Wa. a ὅμως Wa. b κάθαιτον Wa. c ὀρθὸν P.Wa. d εὐθείας] ἴσου P.Wa.

ραξ Α Β, μηρὸς Β Γ, [e] κνήμη Γ Δ. Πρὸς ὀρθὴν δὲ γίνεται [f] ὅ τε θώραξ [ἐφ' ὧν Α Β] τῷ μηρῷ καὶ ὁ μηρὸς τῇ κνήμῃ οὕτως καθημένῳ. [v] Ὥστε οὕτως ἔχοντα ἀδύνατον ἀναστῆναι. [4] Ἀνάγκη δὲ [g] ἐγκλῖναι τὴν κνήμην καὶ ποιεῖν τοὺς πόδας ὑπὸ τὴν κεφαλήν. Τοῦτο δὲ ἔσται, ἐὰν ἡ Γ Δ ἐφ' ἧς τὰ Γ Ζ γένηται, καὶ ἅμα ἀναστῆναι συμβήσεται, καὶ [h] ἔχειν ἐπὶ τῆς αὐτῆς [i] ἴσης τὴν κεφαλήν τε καὶ τοὺς πόδας. [r] Ἡ δὲ Γ Ζ ὀξεῖαν ποιεῖ γωνίαν πρὸς τὴν Β Γ.

Διὰ τί ῥᾷον κινεῖται τὸ κινούμενον ἢ τὸ μένον, οἷον τὰς 31
ἁμάξας θᾶττον κινουμένας ὑπάγουσιν ἢ ἀρχομένας; [1] Ἢ ὅτι χαλεπώτατον μὲν τὸ εἰς τοὐναντίον κινούμενον κινῆσαι βάρος; ἀφαιρεῖται γάρ τι τῆς τοῦ κινοῦντος δυνάμεως, κἂν πολὺ θᾶττον ᾖ· ἀνάγκη γὰρ βραδυτέραν γίνεσθαι τὴν ὦσιν τοῦ ἀντωθουμένου. Δεύτερον δέ, ἐὰν ἠρεμῇ· ἀντιτείνει γὰρ 2
καὶ τὸ ἠρεμοῦν. Τὸ δὲ κινούμενον ἐπὶ τὸ αὐτὸ τῷ ὠθοῦντι ὅμοιον ποιεῖ ὥσπερ ἂν εἰ αὐξήσειέ τις τὴν τοῦ κινοῦντος δύναμιν καὶ [k] ταχυτῆτα· ὃ γὰρ ὑπ' ἐκείνου ἂν ἔπασχε, τοῦτο αὐτὸ ποιεῖ εἰς τὸ πρὸ ὁδοῦ κινούμενον.

Διὰ τί παύεται φερόμενα τὰ ῥιφέντα; Πότερον ὅταν 32
λήγῃ ἡ ἰσχὺς ἡ ἀφεῖσα, ἢ διὰ τὸ [l] ἀντισπᾶσθαι, ἢ διὰ τὴν ῥοπήν, ἐὰν [m] κρείττων ᾖ τῆς ἰσχύος τῆς ῥιψάσης; [1] Ἢ ἄτοπον τὸ ταὐτ' ἀπορεῖν, ἀφέντα τὴν ἀρχήν.

Διὰ τί φέρεταί τι οὐ τὴν αὐτοῦ φοράν, μὴ ἀκολουθοῦντος 33
καὶ ὠθοῦντος [n] τοῦ ἀφέντος; [1] Ἢ δῆλον ὅτι ἐποίησε τοιοῦτον τὸ πρῶτον ὡς θάτερον ὠθεῖν, καὶ τοῦθ' ἕτερον· παύεται δέ, ὅταν μηκέτι δύνηται ποιεῖν τὸ προωθοῦν τὸ φερόμενον ὥστε ὠθεῖν, καὶ ὅταν τὸ τοῦ φερομένου βάρος ῥέπῃ μᾶλλον τῆς εἰς τὸ πρόσθεν δυνάμεως τοῦ ὠθοῦντος.

Διὰ τί οὔτε τὰ ἐλάττονα οὔτε τὰ μεγάλα πόρρω φέρε- 34
ται [o] ῥιπτούμενα, ἀλλὰ δεῖ συμμετρίαν τινὰ ἔχειν πρὸς τὸν ῥιπτοῦντα; Πότερον ὅτι ἀνάγκη τὸ ῥιπτούμενον καὶ ὠθού-

[e] κνῆμαι P. [f] ὅτι Wa. [g] ἐκκλίναι P.Wa. [h] ἔχει P.Wa. [i] ἴσας P.Wa. [k] παχύτητα P. [l] ἀντισπάσαι P.Wa. [m] κρείττων ᾖ] κρείττω P. [n] τοῦ ἀφέντος om. P.Wa. [o] ῥιπτόμενα P.

μενον ἀντερείδειν ὅθεν ὠθεῖται; Τὸ δὲ μηθὲν ὑπεῖκον διὰ μέγεθος ἢ μηδὲν ἀντερεῖσαν δι' ἀσθένειαν οὐ ποιεῖ ῥῖψιν
2 οὐδὲ ὦσιν. Τὸ μὲν οὖν πολὺ ὑπερβάλλον τῆς ἰσχύος τῆς ὠθούσης οὐθὲν ὑπείκει, τὸ δὲ πολὺ ἀσθενέστερον οὐδὲν ἀντερείδει. [u]Η ὅτι τοσοῦτον φέρεται τὸ φερόμενον, ὅσον ἂν ἀέρα κινήσῃ εἰς βάθος; Τὸ δὲ μηδὲν κινούμενον οὐδ' ἂν κινήσειεν οὐδέν. Συμβαίνει δὴ ἀμφότερα τούτοις ἔχειν. Τό τε γὰρ σφόδρα μέγα καὶ τὸ σφόδρα μικρὸν ὥσπερ οὐθὲν κινούμενά ἐστι· τὸ μὲν γὰρ αὐτὸ καθ' ἓν κινεῖ, τὸ δ' οὐθὲν κινεῖται.

35 Διὰ τί τὰ φερόμενα ἐν τῷ δινουμένῳ ὕδατι εἰς τὸ μέσον τελευτῶντα φέρονται ἅπαντα; Πότερον ὅτι μέγεθος ἔχει τὸ φερόμενον, ὥστε ἐν δυσὶ κύκλοις εἶναι, τῷ μὲν ἐλάττονι τῷ δὲ μείζονι, ἑκάτερον αὐτοῦ τῶν ἄκρων. [v]Ὥστε περισπᾷ ὁ μείζων διὰ τὸ φέρεσθαι θᾶττον, καὶ πλάγιον ἀπωθεῖ [p]αὐτὸ
2 εἰς τὸν [q]ἐλάττω. [r]Ἐπεὶ δὲ πλάτος ἔχει τὸ φερόμενον, καὶ οὗτος πάλιν τὸ αὐτὸ ποιεῖ, καὶ ἀπωθεῖ εἰς τὸν ἐντός, ἕως ἂν εἰς τὸ μέσον ἔλθῃ. Καὶ [r]τότε μένει διὰ τὸ ὁμοίως ἔχειν πρὸς ἅπαντας τοὺς κύκλους τὸ φερόμενον, διὰ τὸ μέσον·
3 καὶ γὰρ τὸ μέσον ἴσον ἀπέχει ἐν ἑκάστῳ τῶν κύκλων. [u]Η ὅτι ὅσων μὲν μὴ κρατεῖ ἡ φορὰ τοῦ [s]δινουμένου ὕδατος διὰ τὸ μέγεθος, ἀλλ' ὑπερέχει τῇ βαρύτητι τῆς τοῦ κύκλου ταχυτῆτος, ἀνάγκη ὑπολείπεσθαι καὶ βραδύτερον φέρεσθαι. Βραδύτερον δὲ ὁ ἐλάττων κύκλος φέρεται· τὸ αὐτὸ γὰρ ἐν ἴσῳ χρόνῳ ὁ μέγας τῷ μικρῷ στρέφεται κύκλῳ, ὅταν ὦσι
4 περὶ τὸ αὐτὸ μέσον. [v]Ὥστε εἰς τὸν ἐλάττονα κύκλον ἀναγκαῖον ἀπολείπεσθαι, ἕως ἂν ἐπὶ τὸ μέσον ἔλθῃ. [t v]Ὅσων δὲ [v]πρότερον κρατεῖ ἡ φορά, λήγουσα ταὐτὸ ποιήσει. Δεῖ γὰρ τὸν μὲν εὐθύ, τὸν δὲ ἕτερον κρατεῖν τῇ [w]ταχυτῆτι τοῦ βάρους, ὥστε εἰς τὸν ἐντὸς ἀεὶ κύκλον ὑπολείπεσθαι πᾶν. [t]Ἀνάγκη γὰρ αὐτὸ ἐντὸς ἢ ἐκτὸς κινεῖσθαι τὸ μὴ κρατούμε-

p αὐτὸν P. q ἐλάττονα Wa. r τότε μένει] τιθέαμεν εἰ P.Wa. s δινομένου P. t ὅσω P.Wa. v πότερον P. w ταχύτητι Wa.

νον. [1]Εν αὐτῷ [x] δὴ [y] τοίνυν ἐν ᾧ ἐστίν, ἀδύνατον φέρεσθαι τὸ μὴ κρατούμενον. [1]Ετι δὲ ἧττον ἐν τῷ ἐκτός· [z] θάττων γὰρ ἡ φορὰ τοῦ ἐκτὸς κύκλου. Λείπεται δὲ εἰς τὸν ἐντὸς τὸ μὴ κρατούμενον μεθίστασθαι. [1]Αεὶ δὲ ἕκαστον ἐπιδίδωσιν εἰς τὸ μὴ κρατεῖσθαι. [1]Επεὶ [a] δὲ πέρας τοῦ μὴ κινεῖσθαι ποιεῖ τὸ [a] εἰς μέσον ἐλθεῖν, μένει δὲ τὸ κέντρον μόνον, ἅπαντα ἀνάγκη εἰς τοῦτο δὴ ἀθροίζεσθαι.

x δὲ P.W[a]. y τοίννν τοῖς W[a]. z θᾶττον P. a δὲ et mox εἰς om. P.W[a].

[a]ΠΕΡΙ ΑΤΟΜΩΝ ΓΡΑΜΜΩΝ.

[1]ΑΡΑ γ' εἰσὶν ἄτομοι γραμμαί, καὶ ὅλως ἐν ἅπασι τοῖς ποσοῖς ἐστί τι ἀμερές, ὥσ[b]περ ἔνιοί φασιν; [c]Εἰ γὰρ ὁμοίως ὑπάρχει τό τε [d]πολὺ καὶ τὸ μέγα καὶ τὰ ἀντικείμενα τούτοις, τό τε ὀλίγον καὶ τὸ μικρόν, τὸ δ' [e]ἀπείρους σχεδὸν διαιρέσεις [f]ἔχον οὐκ ἔστιν ὀλίγον ἀλλὰ [g]πολύ, φανερὸν [h]ὅτι πεπερασμένας [i]ἕξει τὰς διαιρέσεις τὸ ὀλίγον καὶ τὸ μικρόν· εἰ δὲ πεπερασμέναι αἱ διαιρέσεις, ἀνάγκη [k]τι εἶναι ἀμερὲς μέγεθος, ὥστε ἐν [l]ἅπασιν [m]ἐνυπάρξει [n]τι ἀμερές, [2]ἐπείπερ καὶ τὸ ὀλίγον καὶ τὸ μικρόν. [3]Ἔτι εἰ [o]ἔστιν [p]ἰδέα γραμμῆς, [q]ἡ δ' ἰδέα πρώτη τῶν συνωνύμων, τὰ δὲ μέρη [r]πρότερα τοῦ ὅλου τὴν φύσιν, διαιρετὴ ἂν εἴη [s]αὐτὴ ἡ γραμμή, τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ τετράγωνον καὶ τὸ τρίγωνον καὶ τὰ ἄλλα σχήματα, καὶ ὅλως ἐπίπεδον αὐτὸ καὶ σῶμα· συμβήσεται γὰρ πρότερ' [t]ἄττα εἶναι τούτων. [3]Ἔτι εἰ [v]σώματός ἐστι στοιχεῖα, τῶν δὲ στοιχείων [w]μηδὲν πρότερον, τὰ δὲ μέρη τοῦ ὅλου [x]πρότερα, ἀδιαίρετον ἂν εἴη τὸ πῦρ καὶ ὅλως τῶν τοῦ σώματος στοιχείων ἕκαστον, ὥστ' οὐ μόνον ἐν τοῖς νοητοῖς ἀλλὰ καὶ ἐν τοῖς αἰσθητοῖς ἐστί [y]τι

Codices L.N.P.Q.H[a].U[a].W[a].Z[a]. quorum W[a]. in margine: τὸ πρωτότυπον λίαν ἐσφαλμένον. καὶ μή τις μοι μεμφέτω· καθὼς γὰρ ὁρῶ, οὕτω γράφω. [a] Tit. ΓΡΑΜΜΩΝ] addit Q. λόγος εἷς. [b] περ om. W[a]. [c] εἰ] ἢ L.Q.H[a], ἡ U[a]. [d] πολὺ—τό τε] hæc add. N. [e] ἀπείρως L. [f] ἔχον ante σχεδὸν L.P.Q.H[a].U[a].W[a].Z[a]. [g] πολύ] add. L.P.Q.H[a].U[a].W[a].Z[a]. καὶ (καὶ τὸ Z[a].) μέγα τὰ (τὰ τὰ Z[a].) ἀντικείμενα τούτων (τούτοις P.W[a].Z[a].) τότε. [h] ὅτε Z[a]. [i] ἕξει W[a]. [k] τι] τὸ L.N.P.H[a].W[a], τοῦ Z[a]. [l] ἅπαντι N.P. [m] ὑπάρξει W[a], ὑπάρχει Z[a]. [n] τὸ W[a]. [o] ἔστιν add. N.Z[a]. [p] εἰδέα Z[a]. [q] ἡ] εἰ N. [r] τοῦ ὅλου πρότερα L.P.Q.H[a].U[a].W[a].Z[a]. [s] αὕτη L.P.Q.H[a].U[a].W[a], om. N. [t] ἄττα om. N. [v] σώματα L.P.Q.H[a].U[a].W[a].Z[a]. [w] οὐδὲν W[a]. [x] πρότερα τὴν φύσιν ἀδ. W[a]. [y] τι om. P.W[a].Z[a].

ἀμερές. 4 Ἔτι δὲ κατὰ [z]τὸν Ζήνωνος λόγον ἀνάγκη [a]τι μέγεθος ἀμερὲς εἶναι, εἴπερ ἀδύνατον μὲν ἐν πεπερασμένῳ χρόνῳ ἀπείρων ἅψασθαι, καθ' ἕκαστον ἁπτόμενον, ἀνάγκη δ' ἐπὶ [b]τὸ ἥμισυ πρότερον ἀφικνεῖσθαι τὸ κινούμενον, τοῦ δὲ μὴ [c]ἀμεροῦς [d]πάντως [e]ἔστιν ἥμισυ. 5 Εἰ δὲ καὶ ἅπτεται τῶν ἀπείρων ἐν πεπερασμένῳ [f]χρόνῳ τὸ ἐπὶ τῆς γραμμῆς φερόμενον, τὸ δὲ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ πλεῖον [g]διανύει, ταχίστη [h]δ' ἡ τῆς διανοίας κίνησις, κἂν ἡ διάνοια τῶν ἀπείρων ἐφάπτοιτο καθ' ἕκαστον ἐν πεπερασμένῳ χρόνῳ, ὥστε εἰ τὸ καθ' ἕκαστον ἅπτεσθαι τὴν διάνοιαν ἀριθμεῖν ἐστίν, [i]ἐνδέχεται ἀριθμεῖν τὰ ἄπειρα ἐν πεπερασμένῳ [k]χρόνῳ. 6 Εἰ δὲ τοῦτο ἀδύνατον, εἴη ἄν [l]τις ἄτομος γραμμή. 7 Ἔτι καὶ ἐξ ὧν αὐτοὶ οἱ ἐν τοῖς μαθήμασι λέγουσιν, εἴη ἄν τις ἄτομος [m]γραμμή, ὡς φασίν, εἰ σύμμετροί εἰσὶν αἱ τῷ αὐτῷ μέτρῳ μετρούμεναι· ὅσαι δ' εἰσὶ [n]σύμμετροι, πᾶσαί εἰσι μετρούμεναι. Εἴη γὰρ ἄν τι μῆκος ᾧ [o]πᾶσαι μετρηθήσονται. 8 [p]Τοῦτο δ' ἀνάγκη ἀδιαίρετον εἶναι. Εἰ γὰρ διαιρετόν, καὶ τὰ [q]μέρη μέτρου τινὸς ἔσται· σύμμετρα γὰρ τῷ ὅλῳ. Ὥστε μέρους τινὸς [r]εἴη [s]διπλασία τὴν ἡμίσειαν, ἐπειδὴ τοῦτ' ἀδύνατον ἂν εἴη μέτρον. 9 Ὡσαύτως δὲ καὶ αἱ μετρούμεναι ἅπαξ ὑπ' [t]αὐτοῦ, ὥσπερ πᾶσαι αἱ ἐκ τοῦ μέτρου σύνθετοι γραμμαί, ἐξ ἀμερῶν σύγκεινται. 10 [v]Τὸ δ' αὐτὸ συμβήσεται κἀν τοῖς ἐπιπέδοις· πάντα γὰρ τὰ ἀπὸ τῶν ῥητῶν γραμμῶν σύμμετρα ἀλλήλοις, ὥστε ἔσται τὸ μέτρον αὐτῶν ἀμερές. 11 Ἀλλὰ μὴν εἴ τι τμηθήσεται [w]μέτρον τινὰ [x]τεταγμένην καὶ ὡρισμένην γραμμήν, οὐκ ἔσται οὔτε ῥητὴ οὔτ' ἄλογος, οὔτε τῶν ἄλλων οὐδεμία ὧν [y]νῦν δὴ εἴρηται, οἷον

[z] τὸν τοῦ ζήνωνος N.Z[a]. [a] τε L. [b] τῷ P. [c] ἀμερῶς W[a]. [d] πάντη N. [e] ἔσται L.H[a].U[a]. [f] χρόνῳ om. L.N.P.H[a].U[a].W[a].Z[a]. [g] διαφέρει H[a], om. Q.U[a]. [h] δ' ἡ] δὴ N. [i] ἐνδ. ἂν ἀρ. N. [k] χρόνον U[a]. [l] τις om. L.H[a].Z[a]. [m] γραμμή om. L.N.P.H[a].U[a].W[a]. [n] μετρούμεναι, πᾶσαί εἰσι σύμμετροι N. [o] πᾶσαι μετρηθήσονται N: ceteri μετρηθήσονται πᾶσαι. [p] τοῦτο] τοῦ W[a]. [q] μέρη] μέρη τούτου οὐ Q.Z[a]. [r] εἴη] εἶναι W[a]. [s] διπλασίαν rc. N, διπλάσιον L.W[a]. [t] αὐτῆς N. [v] τὸ αὐτὸ δὲ W[a]. [w] μέτρου L.P.H[a].U[a].W[a]. [x] ὡρισμένην καὶ τεταγμένην W[a]. [y] νῦν δὴ N: ceteri δὴ νῦν.

ἀποτομὴν ἐκ δυοῖν ὀνομάτοιν· ἀλλὰ καθ' αὑτὰς μὲν οὐδέ τινας ἔξουσι φύσεις, πρὸς ἀλλήλας δὲ ἔσονται [z] ῥηταὶ καὶ
10 ἄλογοι. [a] Ἡ [b] πρῶτον μὲν οὐκ ἀνάγκη τὸ [c] ἀπείρους ἔχον διαιρέσεις μὴ εἶναι μικρὸν καὶ ὀλίγον· καὶ γὰρ τόπον καὶ μέγεθος καὶ [d] ὅλως τὸ συνεχὲς μικρὸν μὲν λέγομεν, καὶ ἐφ' [e] ὧν μὲν ἁρμόττει τὸ ὀλίγον, οὐ μὴν ἀλλ' [c] ἀπείρους διαιρέσεις φαμὲν ἔχειν. [f] Ἔτι δ' εἰ ἐν τῷ [f] συνθέτῳ γραμμαί, κατὰ τούτων [g] τῶν ἀτόμων λέγεται τὸ μικρόν, καὶ ἄπειροι στι-
11 γμαὶ ἐνυπάρχουσιν. [h] Ἡι δὲ γραμμή, διαίρεσις κατὰ στιγμήν, καὶ ὁμοίως καθ' ὁποιανοῦν [i] ἀπείρους ἂν ἔχοι διαιρέσεις ἅπασα [k] ἡ μὴ [l] ἄτομος. [f] Ἔνιαι δὲ [m] τούτων εἰς [n] μακρὰ καὶ ἄπειροι [o] οἱ λόγοι. Πᾶσαν δὲ τμηθῆναι [p] τὸν ἐπιταχθέντα δυνατὸν [q] τὴν μὴ ἄτομον. [f] Ἔτι [r] εἰ τὸ μέγα ἐκ μικρῶν τινῶν σύγκειται, ἢ οὐθὲν ἔσται τὸ μέγα, ἢ τὸ πεπερασμένας
12 ἔχον διαιρέσεις οὐ μέγα ἔσται. Τὸ γὰρ ὅλον τὰς τῶν [s] μερῶν [t] ἔχει διαιρέσεις ὁμοίως. Εὔλογον δ' [v] ἐστὶ τό τε [w] σμικρὸν πεπερασμένας [x] ἔχειν διαιρέσεις καὶ τὸ μέγα [y] ἀπείρους, οὕτως ἀξιοῦσιν. [f] Ὥστε φανερὸν ὅτι οὐκ ἐν τούτῳ λέγοιτο τὸ μέγα καὶ τὸ μικρόν, τῷ πεπερασμένας ἔχειν
13 καὶ ἀπείρους διαιρέσεις. Εἰ δ' ὅτι καὶ ἐν ἀριθμοῖς τὸ ὀλίγον πεπερασμένας ἔχει διαιρέσεις, καὶ ἐν γραμμαῖς τις [z] ἀξιοίη τὸ μικρόν, εὔηθες. [f] Ἐκεῖ μὲν γὰρ ἐξ ἀμερῶν τε ἡ γένεσις, καὶ ἔστι τι [a] ὃ τῶν ἀριθμῶν ἀρχή ἐστι, καὶ πᾶς ὁ μὴ ἄπειρος πεπερασμένας ἔχει διαιρέσεις· ἐπὶ δὲ τῶν μεγε-
14 θῶν οὐχ ὁμοίως. Οἱ δ' ἐν τοῖς εἴδεσι [b] τὰς ἀτόμους κατασκευάζοντες τοὔλαττον ἴσως ἀξίωμα λαμβάνουσι τοῦ προ-

z ῥητοὶ P. a ἢ] αἱ L.N.P.H^a.W^a. b πρῶται L.N.P.H^a. c ἀπείρως utrobique L.H^a. d ὅλον N. e ὧ P. f post συνθέτῳ lacunam P.W^a, paulo ampliorem L. N. horum τῷ συνθέτῳ loco τοῖς συμμέτροις, deinde γραμμαί εἰσι γραμμαί. g τῶν om. N.P.W^a. h ᾗ] εἶναι N. i ἀπείρως H^a. k ἡ] ὡς ἡ H^a, ἂν ἡ N. l ἄτομος] ἄτομος ἄν P, ἄτομον ἄν W^a. m τούτων] τῶν W^a. n μικρὰ L, μικρὰν N.H^a. o οἱ λόγοι] ὀλίγον L.P.H^a.W^a. p τὸν ἐπιταχθέντα post ἄτομον N. q τὴν μὴ]*τομὴν τὴν H^a. r εἰ om. L.N.P.H^a.W^a. s μερῶν] μεγάλων L.H^a. t ἔχειν H^a. v ἐστὶ] ἂν N. w μικρὸν W^a. x ἔχον L.P.H^a. y ἀπείρως W^a. z ἀξιοῖ N. a ὃ—ἐστι om. L.N.P.H^a.W^a. b τοὺς P.

κειμένου, τὸ τιθέναι τούτων ἰδέας· καὶ τρόπον τινὰ ταῦτ' ἀναιροῦσι δι' [c]ὧν δεικνύουσιν. Καὶ [d]γὰρ διὰ τούτων [e]τῶν λόγων ἀναιρεῖται [f]τὰ εἴδη. Πάλιν δὲ τῶν σωματικῶν στοιχείων εἴηθες τὸ ἀμερῆ ἀξιοῦν. Εἰ γὰρ αὖ καὶ ἀποφαίνονται τινες οὕτως, ἀλλὰ πρός γε τὴν ὑποκειμένην σκέψιν αὐτὸ τὸ ἐξ ἀρχῆς [g]λαμβάνουσιν. Μᾶλλον δὲ ὅσῳ [h]μᾶλλον [i]τὸ ἐξ ἀρχῆς [k]δόξειαν ἀναλαμβάνεσθαι, τόσῳ μᾶλλον δοκεῖ διαιρετὸν [l]εἶναι σῶμα [m]καὶ [n]μῆκος καὶ τοῖς ὄγκοις καὶ τοῖς διαστήμασιν. [o]Ὁ δὲ τοῦ Ζήνωνος [p]λόγος οὐ συμβιβάζει οὐ συμπεπερασμένῳ χρόνῳ τῶν ἀπείρων [q]ἅπτεσθαι τὸ φερόμενον ὠδὶ τὸν αὐτὸν τρόπον. [r]Ὁ [s]γὰρ χρόνος καὶ τὸ μῆκος ἄπειρον καὶ πεπερασμένον λέγεται, καὶ [t]τόσας ἔχει διαιρέσεις. Οὐδὲ δὴ τὸ καθ' ἕκαστον ἅπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν οὐκ ἔστιν ἀριθμεῖν, εἰ [u]ἄρα τις καὶ νοήσειεν οὕτως ἐφάπτεσθαι [v]τῶν ἀπείρων τὴν διάνοιαν. [w]Ὅπερ ἴσως ἀδύνατον· οὐ γὰρ ἐν συνεχέσι καὶ ὑποκειμένοις ἡ τῆς διανοίας κίνησις, ὥσπερ ἡ τῶν φερομένων. Εἰ δ' οὖν καὶ ἐγχωρεῖ κινεῖσθαι οὕτως, οὐκ ἔστι [x]τοῦτο ἀριθμεῖν· τὸ γὰρ ἀριθμεῖν ἐστὶ τὸ μετὰ [y]ἐπιστάσεως. [z]Ἀλλ' ἄτοπον ἴσως τὸ μὴ δυναμένους λύειν τὸν λόγον δουλεύειν τῇ ἀσθενείᾳ, καὶ προσεξαπατᾶν ἑαυτοὺς μείζους ἀπάτας, βοηθοῦντας τῇ ἀδυναμίᾳ. Τὸ δ' ἐπὶ τῶν συμμέτρων γραμμῶν, ὡς ὅτι αἱ πᾶσαι τῷ αὐτῷ τινὶ καὶ ἑνὶ μετροῦνται, κομιδῇ σοφιστικὸν καὶ ἥκιστα [a]κατὰ τὴν ὑπόθεσιν τὴν ἐν τοῖς μαθήμασιν· οὔτε γὰρ ὑποτίθενται οὕτως, οὔτε χρήσιμον αὐτοῖς ἐστίν. [b]Ἅμα δὲ καὶ ἐναντίον πᾶσαν [c]μὲν γραμμὴν [d]σύμμετρον γίνεσθαι, πασῶν δὲ τῶν συμμέτρων κοινὸν μέτρον [e]εἶναι ἀξιοῦν. [f]Ὥστε

[c] οὗ L.N.P.H[a].W[a]. [d] διὰ γὰρ N. [e] τῷ λόγῳ L.P.H[a]. [f] τῷ εἴδει L.H[a]. [g] λαμβάνουσιν om. L.N.P, λαμβάνουσι—ἀρχῆς om. H[a].W[a]. [h] μᾶλλον ante τὸ om. N. [i] τοῦ L.N. [k] δόξειεν L.P.W[a]. [l] εἶναι] γὰρ N. [m] καὶ om. L.N.P.H[a].W[a]. [n] μήκους L.N.H[a].W[a]. [o] λόγος] λέων pr. L. [p] ἅπτεται L.N.P.W[a]. [q] γὰρ] δὲ L.N.P.W[a]. [r] τοσαύτας N.P.W[a]. [s] ἄρα] ἔσται N. [t] τῶν ἀπείρων om. N. [u] τοῦτο] τὸ W[a]. [v] ἐπιστασίας L.P.W[a]. [x] κατὰ τὴν ἐν τοῖς μαθήμασιν ὑπόθεσιν N. [y] μὲν] μὲν γὰρ N. [z] σύμμετρον] τε N, om. L.P.W[a]. [a] εἶναι] ἔτι L.P.W[a]. et ante κοινὸν N.

γελοῖον [b]τὸ [c]κατὰ τὰς ἐκείνων δόξας καὶ ἐξ ὧν αὐτοὶ λέγουσι φάσκοντες δείξειν, εἰς ἐριστικὸν ἅμα καὶ σοφιστικὸν [d]ἐκκλίνειν λόγον, καὶ ταῦθ' οὕτως ἀσθενῆ. [e]Πολλαχῇ γὰρ ἀσθενής ἐστι καὶ πάντα τρόπον διαφυγεῖν καὶ τὰ παράδοξα
21 καὶ τοὺς ἐλέγχους. [f]Ἔτι δ' ἄτοπον ἂν εἴη διὰ μὲν τὸν Ζήνωνος λόγον [f]παραπεπεῖσθαί [g]τινας ἀτόμους ποιεῖν γραμμάς, [g]τῷ μὴ ἔχειν ἀντειπεῖν, διὰ δὲ τῆς εὐθείας εἰς τὴν [h]ἡμιόλιον κίνησιν, ἣν ἀναγκαῖον εὐθὺς τέμνειν ἀπείρων μεταξὺ πιπτουσῶν [i]περιφερειῶν καὶ διαστημάτων ὄντων, καὶ πάλιν διὰ τὴν τῶν ἴσων [k]κύκλων εὔπειστον, ὅτι ἀνάγκη [l]ἂν ὅτι [m]κινηθῇ, μεῖζον [n]ἡμικύκλιον κινεῖσθαι, καὶ ὅσα ἄλλα [o]τοιαῦτα [p]τεθεώρηται [q]περὶ τὰς γραμμὰς μὴ [r]οἷόν τε ἐνδέχεσθαι τοιαύτην [s]δή τινα γενέσθαι κίνησιν [t]ὥστ' ἐφ' ἑκάστην τῶν μεταξὺ [v]μὴ πίπτειν πρότερον· πολὺ γὰρ ταῦ-
22 τα [w]μᾶλλον ὁμολογούμενα ἐκείνων. [v]Ὅτι μὲν οὖν ἔκ [x]γε τῶν εἰρημένων [y]λόγων οὔτ' ἀναγκαῖον ἀτόμους εἶναι γραμμὰς οὔτε πιθανόν, φανερόν. [z]Ἔτι δὲ [z]καὶ ἐκ [a]τῶνδε γένοιτ' ἂν φανερώτερον. Πρῶτον μὲν ἐκ τῶν ἐν τοῖς μαθήμασι [b]δεικνυμένων καὶ τιθεμένων, ἃ [c]οὐ δίκαιον [d]ἢ πιστοτέροις
23 λόγοις κινεῖν. Οὔτε γὰρ ὁ τῆς γραμμῆς οὔτε ὁ τῆς εὐθείας [e]ὅρος ἐφαρμόσει τῇ ἀτόμῳ διὰ τὸ μήτε μεταξύ τινων εἶναι μήτ' ἔχειν μέσον. [f]Ἔπειτα πᾶσαι αἱ γραμμαὶ σύμμετροι ἔσονται. [f]Πᾶσαι γὰρ ὑπὸ [g]τῶν ἀτόμων [f]μετρη-
24 θήσονται, αἵ τε μήκει σύμμετροι καὶ αἱ δυνάμει. Αἱ δὲ ἄτομοι σύμμετροι [h]πᾶσαι μήκει· ἴσαι γάρ· ὥστε καὶ δυνάμει. Εἰ δὲ τοῦτο, διαιρετὸν [i]ἔσται τὸ τετράγωνον. [f]Ἔτι

[b] τὸ om. Wa. [c] κατὰ] καὶ N. [d] ἐγκλίνειν L.P.Wa, ἐγκλίναι N. [e] πολλαχῶς L.P.Wa. [f] πεπεῖσθαι N. [g] τινα et τὸ Wa. [h] ἡμιο P, ἡμικύκλιον N. [i] περιφερῆ N. [k] κύκλων εὔπιστον L, κεφαλαίων ἐπιστήμην N. [l] κὰν L. [m] κινηθῆναι N. [n] ἡμικύκλον P. [o] τοιαῦτα om. N. [p] θεωρεῖται P. [q] παρὰ P.Wa. [r] οἷόν τε] οἵονται P. [s] δέ L.N.P.Wa. [t] ὡς τῇ ἐφ' ἕκαστον L.P.Wa. [v] μὴ om. N. [w] μᾶλλον om. N. [x] γε] τε L.P.Wa. [y] λέγων L. [z] καὶ om. P. [a] τῶνδ' ἂν γένοιτο φανερόν N. [b] δεικνυμάτων N. [c] οὐ om. L.N.P.Wa. [d] ἢ] ἢ μένειν ἢ N. [e] ὅρος om. N. [f] πᾶσα et μετρηθήσεται L. [g] τοῦ ἀτόμου N. [h] πᾶσαι om. N. [i] ἔσται] ἐστι N.P.Wa.

εἰ [k] ἡ [l] περὶ τὴν μείζω τὸ πλάτος ποιεῖ [m] παραβαλλομένη, τὸ ἴσον [n] τῶν ἀπὸ τῆς ἀτόμου καὶ τῆς ποδιαίας [o] παραβαλλομένων περὶ τὴν δίπουν [p] ἔλαττον ποιήσει τὸ πλάτος τῆς ἀμεροῦς· ἔσται ἔλαττον τὸ [q] περὶ τῆς ἀτόμου. [1]Ετι εἰ ἐκ 25
τριῶν δοθεισῶν εὐθειῶν συνίσταται τρίγωνον, καὶ ἐκ τῶν ἀτόμων [r] συσταθήσεται. [2]Εν ἅπαντι δὲ ἰσοπλεύρῳ ἡ κάθετος ἐπὶ [s] μέσην πίπτει, ὥστε καὶ ἐπὶ τὴν ἄτομον. [3]Ετι εἰ τὸ [t] τετράγωνον τῶν ἀμερῶν διὰ μέσου ἐμπεσούσης καὶ καθέτου ἀχθείσης, ἡ τοῦ τετραγώνου [v] πλευρὰ τὴν κάθετον δύναται καὶ τὴν ἡμίσειαν τῆς διαμέτρου, ὥστε οὐκ ἐλαχίστη. Οὐδὲ διπλάσιον τὸ ἀπὸ τῆς [w] διαμέτρου χωρίον ἔσται τοῦ 26
ἀπὸ [x] τῆς ἀτόμου. [4]Αφαιρεθέντος γὰρ τοῦ ἴσου ἡ λοιπὴ ἔσται ἐλάσσων τῆς ἀμεροῦς. Εἰ γὰρ [y] ἴσως τετραπλάσιον ἂν ἔγραψεν ἡ διάμετρος, ἄλλα δ' ἄν τις καὶ ἕτερα τοιαῦτα συνάγοι· πᾶσι γὰρ ὡς εἰπεῖν ἐναντιοῦται τοῖς [z] ἐν τοῖς μαθήμασιν. Πάλιν τοῦ μὲν ἀμεροῦς μία ἡ σύναψις, [a] γραμ- 27
μῆς δὲ [b] δύο· καὶ γὰρ ὅλη [c] ὅλης ἅπτεται, καὶ κατὰ τὸ πέρας ἐξ [d] ἐναντίας. [1]Ετι γραμμὴ προστεθεῖσα οὐ [d] ποιεῖ μείζω τὴν ὅλην· τὰ γὰρ ἀμερῆ [e] συντιθέμενα οὐ ποιήσει [f] μεῖζον. [2]Ετι ἐκ δυοῖν ἀμεροῖν μηδὲν γίνεσθαι συνεχὲς διὰ 28
τὸ πλείους [g] διαιρέσεις ἔχειν ἅπαν τὸ συνεχές· [h] ἅπασα δὲ γραμμὴ παρὰ τὴν ἄτομον συνεχὴς οὐκ ἂν εἴη γραμμὴ ἄτομος. [3]Ετι [i] εἰ ἅπασα γραμμὴ [k] παρὰ τῆς ἀτόμου καὶ [l] ἴσα καὶ ἄνισα διαιρεῖται, καὶ μὴ ἐκ τριῶν ἀτόμων καὶ [m] ὅλως περιττῶν, ὥστ' ἀδιαίρετος ἡ ἄτομος. [4]Ομοίως δὲ κἂν εἰ 29
[n] δίχα [o] τέμνεται· πᾶσα γὰρ ἡ ἐκ τῶν περιττῶν. Εἰ δὲ

[k] ἡ om. N. [l] παρὰ P.W[a]. [m] περιβαλλομένη L.P, παραλαμβανόμενον N. [n] τῶν] τὸ L.P.W[a], τῆς N. [o] παραβαλλόμενον L.P.W[a], παραλαμβανόμενον N. [p] ἐλάττω N. [q] παρὰ P.W[a]. [r] συσταθήσεται] συσταίη ἄν L. [s] μέσον N. [t] τετράγωνον in lacuna om. L.P.W[a]. [v] πλευρὰ om. L. [w] ἀμέτρου W[a]. [x] τῆς] τοῦ P.W[a]. [y] ἴση N. [z] ἐν τοῖς] τοιούτοις L. [a] γραμμὴ L.P.W[a]. [b] δευτέρας N. [c] ὅλως P. [d] ἐναντίου et mox ποιήσει L.P. [e] συντεθειμένα οὐ ποιεῖ W[a]. [f] μείζω N. [g] διαιρέσεις om. L.P.W[a]. [h] ἅπασα—ἄτομος om. N. [i] εἰ] ἡ W[a]. [k] περὶ L.N.P. [l] ἴσα] εἰς ἴσα L. [m] ὅλη περιττοῦ W[a]. [n] διχῇ L.P. [o] τέμνηται L.N.P.

δίχα μὲν μὴ [p] πᾶσα τέμνεται ἀλλ' ἡ ἐκ τῶν ἀρτίων, τὴν δὲ δίχα διαιρουμένην καὶ ὅσα δυνατὸν τέμνειν, διαιρεθήσεται καὶ [q] οὕτως ἡ ἄτομος, ὅταν [r] ἡ ἐκ τῶν ἀρτίων εἰς ἄνισα [s] διαι-
30 ρῆται. Πάλιν εἰ τὸ κεκινημένον ἐν ᾧ χρόνῳ κινεῖται τὴν ὅλην ἐν τῷ ἡμίσει τὴν ἡμίσειαν κινηθήσεται, καὶ ἐν τῷ ἐλάττονι ἔλαττον ἢ τὴν ἡμίσειαν, ὥστ' εἰ μὲν περιττῶν σύγκειται τῶν ἀτόμων [t] τὸ μῆκος, ἀναιρεθήσεται ἡ μέση τομὴ τῶν ἀτόμων, εἴπερ ἐν τῷ ἡμίσει χρόνῳ τὸ ἥμισυ δίεισιν· [v] ὁμοίως
31 γὰρ ὅ τε χρόνος καὶ ἡ γραμμὴ τμηθήσεται. [w] Ὥστε οὐδεμία τῶν συγκειμένων τμηθήσεται εἰς [w] ἴσα καὶ ἄνισα, οὐδ' ὁμοίως τοῖς χρόνοις τμηθήσονται. Οὐκ ἔσονται ἄτομοι γραμμαί. Τὰ δὲ τοῦ αὐτοῦ λόγου ἐστί, καθάπερ ἐλέχθη, τὸ [x] πάντα ταῦτα ποιεῖν ἐξ ἀμερῶν. [y] Ἔτι ἅπασα ἡ μὴ ἄπειρος δύο
32 ἔχει πέρατα· [y] γραμμὴ γὰρ ὥρισται [z] τούτοις. [a] Ἡ δὲ ἄτομος οὐκ ἄπειρος, ὥστε ἕξει πέρας. Διαιρετὴ [a] ἄρα· τὸ γὰρ πέρας [b] ἄλλο καὶ οὗ πέρας. [c] Ἡ ἔσται τις οὔτ' ἄπειρος οὔτε πεπερασμένη γραμμὴ [c] παρὰ ταύτας. [d] Ἔτι οὐκ ἐν ἁπάσῃ γραμμῇ στιγμὴ ἔσται. [d] Ἐν μὲν γὰρ τῇ ἀτόμῳ οὐκ [d] ἔστιν· εἰ [e] μὲν γὰρ [f] μία μόνη, ὑπάρξει γραμμή, [g] εἶτα στιγμή· εἰ
33 δὲ πλείους, διαιρετὴ ἡ γραμμή. Εἰ μὲν οὖν ἐν τῇ ἀτόμῳ μὴ ἐνυπάρχει στιγμή, οὐδ' ὅλως ἐν γραμμῇ ἔσται· αἱ γὰρ ἄλλαι ἐκ τῶν ἀτόμων. [h] Ἔτι [h] ἢ μηθὲν [i] τῶν στιγμῶν ἔσται μεταξὺ [k] ἢ γραμμή· εἰ δὲ μεταξὺ γραμμή, ἐν ἁπάσαις δὲ πλείους στιγμαί, οὐκ ἔσται ἄτομος. [l] Ἔτι οὐχ [l] ἁπάσης ἔσται γραμμῆς τετράγωνον· ἕξει γὰρ μῆκος καὶ πλάτος,
34 ὥστε [m] διαιρετόν, ἐπεὶ τὸ μέν, τὸ δέ τι. Εἰ δὲ [n] τὸ τετράγωνον, καὶ ἡ γραμμή. [n] Ἔτι τὸ πέρας τῆς γραμμῆς στιγμὴ

[p] πᾶσα δὲ τέμνεται N.W[a]. [q] αὕτη N. [r] ἡ ante ἐκ om. L.P. [s] διαιρεῖται P.W[a]. [t] τὸ—ἀτόμων om. W[a]. [v] ὁμοίως bis ponit W[a]. [w] ἄνισα καὶ ἴσα N.W[a]. [x] ταῦτα πάντα L.P. [y] γραμμαὶ N. [z] τούτων L.P.W[a]. [a] ἄρα] ἔσται N. [b] ἄλλου codices. [c] περὶ ταῦτα L.P. [d] ἔσται L.W[a]. [e] μὲν] μὴ L. [f] μία] μάλιστα L.P. [g] εἶτα—γραμμή om. W[a]. [h] ἢ] εἰ L.P. [i] μεταξὺ τῶν στιγμῶν ἔσται N.Z[a]. [k] ἢ] ἢ L. [l] ἁπάσῃ ἔσται γραμμῇ τετραγώνῳ N. [m] διαιρετέον N.P.W[a]. [n] τὸ post δὲ om. N.

[o] ἔσται, ἀλλ' οὐ γραμμή. Πέρας μὲν γάρ, τὸ ἔσχατον δὲ
ἡ ἄτομος. [p] Εἰ γὰρ στιγμή, τὸ πέρας τῇ ἀτόμῳ ἔσται
στιγμή, καὶ ἔσται γραμμὴ [q]γραμμῆς στιγμῇ μείζων. [r] Εἰ
δ' ἐνυπάρχει τῇ ἀτόμῳ ἡ στιγμή, διὰ τὸ [s] ταὐτὸ πέρας τῶν
[t]συνεχουσῶν γραμμῶν, [v]ἔσται [w]τι πέρας τῆς ἀμεροῦς. [v]Ὅλως 35
[x] τε [y]τί διοίσει στιγμὴ γραμμῆς; Οὐδὲν γὰρ ἴδιον ἕξει ἡ
ἄτομος γραμμὴ παρὰ τὴν στιγμὴν πλὴν τοὔνομα. [z a] Ἔτι
ὁμοίως μένει ἐπίπεδον καὶ σῶμά ἐστιν ἄτομον. [b] Ἑνὸς γὰρ
ὄντος ἀδιαιρέτου καὶ τἆλλα [a]συνακολουθήσει διὰ τὸ θάτερον
διῃρῆσθαι κατὰ θάτερον. Σῶμα οὐκ [b]ἔσται ἀδιαίρετον διὰ τὸ 36
εἶναι ἐν αὐτῷ βάθος καὶ πλάτος, οὐδ' ἂν γραμμὴ εἴη ἀδιαί-
ρετος· σῶμα μὲν [c] γὰρ κατ' ἐπίπεδον, [d] ἐπίπεδον δὲ κατὰ
γραμμήν. [e] Ἐπεὶ δὲ οἵ [e] τε λόγοι δι' ὧν ἐπιχειροῦσι πείθειν
ἀσθενεῖς εἰσί, καὶ ψευδεῖς ἐναντίαι [f] δόξαι [g] πᾶσαι τοῖς
ἰσχύουσι πρὸς πίστιν, φανερὸν ὅτι οὐκ ἂν εἴη γραμμὴ ἄτο-
μος. Δῆλον δ' [h] ἐκ τούτων ὅτι οὐδ' ἂν [i] ἐκ στιγμῶν εἴη
[k] γραμμή. Σχεδὸν γὰρ οἱ πλεῖστοι [l] τῶν λόγων οἱ [l] αὐτοὶ 37
p ἐν add. E.Q.H^{a}.A^{b}.E^{b}. q οὗπερ] οὗ πρῶτον A^{b}. et rc. E^{b}. r τέχναι om. H^{a}.E^{b}. s ἀφείθη E.T.H^{a}.A^{b}.E^{b}: vulgo ἠφείθη. t τῶν post ἄλλων om. H^{a}. v οὗ δ'] ὧν οὖν F^{b}. w νῦν] καὶ νῦν H^{a}.E^{b}, om. F^{b}. x ὥστε] δι' A^{b}. y ὁ] ὅτι ὁ codices præter E.Q.T.A^{b}. z ὁποιαντινοῦν E.T.H^{a}.E^{b}. a δὲ ὁ ἀρχ. A^{b}. et rc. E^{b}. b ἀρχὰς καὶ αἰτίας A^{b}.H^{b}. c δὲ] δὲ καὶ T. d ἡ add. E.T.H^{a}.A^{b}.E^{b}. e ποίας αἰτίας καὶ ποίας ἀρχὰς E^{b}, ποίας ἀρχὰς καὶ ποίας αἰτίας H^{a}, ποίας ἀρχὰς A^{b}. f ἐστὶ σοφία A^{b}. g δὲ H^{a}. h ἔχομεν T.A^{b}.E^{b}.H^{b}: ceteri εἴχομεν. i τοὺς σοφοὺς A^{b}. k τούτων H^{a}.E^{b}. l γένηται H^{b}. m μὲν om. H^{a}.E^{b}. n πάντα A^{b}.F^{b}: ceteri μάλιστα πάντα. o τὸν om. H^{a}. p τὰ om. A^{b}. q τὸ—σοφόν om. T.H^{a}. et pr. E^{b}. r τὸν om. H^{a}.A^{b}.F^{b}. s ἑαυτῆς A^{b}.

[t]μᾶλλον εἶναι σοφίαν ἢ τὴν τῶν ἀποβαινόντων ἕνεκεν, καὶ τὴν ἀρχικωτέραν τῆς ὑπηρετούσης μᾶλλον [v]εἶναι σοφίαν· οὐ γὰρ δεῖν ἐπιτάττεσθαι [w]τὸν σοφὸν ἀλλ' ἐπιτάττειν, καὶ [x]οὐ τοῦτον ἑτέρῳ [y]πείθεσθαι, ἀλλὰ τούτῳ τὸν ἧττον σοφόν. Τὰς 4
μὲν οὖν ὑπολήψεις [z]τοιαύτας καὶ τοσαύτας ἔχομεν περὶ [a]τῆς σοφίας καὶ τῶν σοφῶν, τούτων δὲ τὸ μὲν [b]πάντα ἐπίστασθαι τῷ μάλιστα ἔχοντι τὴν [c]καθόλου ἐπιστήμην ἀναγκαῖον ὑπάρχειν· οὗτος γὰρ οἶδέ [d]πως [e]πάντα τὰ ὑποκείμενα. Σχεδὸν [f]δὲ καὶ χαλεπώτατα [g]ταῦτα γνωρίζειν τοῖς ἀνθρώποις, τὰ μάλιστα καθόλου· πορρωτάτω γὰρ τῶν αἰσθήσεών ἐστιν. [h]Ἀκριβέσταται [h]δὲ τῶν ἐπιστημῶν αἳ μάλιστα τῶν πρώτων 5
εἰσίν· αἱ γὰρ ἐξ ἐλαττόνων ἀκριβέστεραι τῶν ἐκ [i]προσθέσεως [k]λαμβανομένων, οἷον ἀριθμητικὴ γεωμετρίας. [l]Ἀλλὰ μὴν καὶ διδασκαλική γε ἡ τῶν αἰτιῶν θεωρητικὴ μᾶλλον· οὗτοι γὰρ διδάσκουσιν οἱ τὰς αἰτίας λέγοντες περὶ [l]ἕκαστον. [m]Τὸ δ' εἰδέναι καὶ τὸ ἐπίστασθαι αὐτῶν ἕνεκα μάλισθ' ὑπάρ- 6
χει τῇ τοῦ μάλιστα ἐπιστητοῦ ἐπιστήμῃ. [t]Ὁ γὰρ τὸ ἐπίστασθαι δι' [n]ἑαυτὸ αἱρούμενος τὴν μάλιστα ἐπιστήμην [o]μάλιστα αἱρήσεται, τοιαύτη δ' ἐστὶν ἡ τοῦ μάλιστα ἐπιστητοῦ, μάλιστα δ' ἐπιστητὰ τὰ πρῶτα καὶ [p]τὰ αἴτια· διὰ γὰρ ταῦτα καὶ ἐκ τούτων τἆλλα γνωρίζεται, ἀλλ' οὐ ταῦτα διὰ τῶν ὑποκειμένων. [q]Ἀρχικωτάτη δὲ τῶν ἐπιστημῶν, καὶ μᾶλ- 7
λον ἀρχικὴ τῆς ὑπηρετούσης, ἡ γνωρίζουσα τίνος [q]ἕνεκέν [r]ἐστι πρακτέον ἕκαστον· τοῦτο δ' ἐστὶ τἀγαθὸν [s]ἐν ἑκάστοις, ὅλως [t]δὲ τὸ ἄριστον ἐν τῇ φύσει πάσῃ. [u]Ἐξ ἁπάν- 8
των οὖν τῶν εἰρημένων ἐπὶ τὴν αὐτὴν ἐπιστήμην πίπτει τὸ

[t] μᾶλλον om. H[a]. et pr. E[b]. [v] εἶναι om. A[b]. [w] τὸν om. pr. E. [x] οὐκ αὐτὸν A[b]. et rc. E[b]. [y] τίθεσθαι pr. A[b]. [z] τοσαύτας καὶ τοιαύτας H[a]. om. καὶ τοσαύτας A[b]. [a] τῆς om. A[b]. [b] ἅπαντα A[b], om. F[b]. [c] καθόλου] κατὰ πάντων F[b]. [d] πως] πῶς ἔχει A[b]. [e] ἅπαντα E.H[a].E[b]. [f] δὲ] γὰρ T. [g] ταῦτα add. E.T.H[a].A[b].E[b]. cum iisdem omisi ἐστι ante τὰ. [h] τε A[b].F[b]. [i] προθέσεως codices. [k] λαμβανομένων A[b]: ceteri λεγομένων. [l] ἑκάστου E.H[a]. [m] τὸ δ'] τότε A[b]. [n] αὐτὸ A[b].F[b]. [o] μᾶλλον αἱρ. T. [p] τὰ post καὶ om. A[b]. [q] ἕνεκα E.F[b]. [r] πρακτέον ἕκαστόν ἐστι F[b], ἐστι πρακτέον ἕκαστον H[a].A[b].E[b]. [s] ἐν ἑκάστοις A[b]. et rc. E[b]: ceteri ἑκάστου. [t] δὲ om. H[a].

ζητούμενον ὄνομα· δεῖ γὰρ [v]ταύτην τῶν πρώτων ἀρχῶν καὶ αἰτιῶν εἶναι θεωρητικήν· καὶ γὰρ τἀγαθὸν καὶ τὸ οὗ ἕνεκα [w]ἐν τῶν αἰτίων ἐστίν. [v]Οτι δ' οὐ [x]ποιητική, δῆλον [y]καὶ ἐκ 9 τῶν πρώτων φιλοσοφησάντων. Διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄνθρωποι καὶ νῦν καὶ τὸ πρῶτον ἤρξαντο φιλοσοφεῖν, ἐξ ἀρχῆς μὲν τὰ πρόχειρα τῶν [z]ἀπόρων θαυμάσαντες, εἶτα κατὰ μικρὸν οὕτω [a]προϊόντες καὶ περὶ τῶν [b]μειζόνων διαπορήσαντες, οἷον περί [c]τε τῶν τῆς σελήνης παθημάτων καὶ τῶν περὶ τὸν ἥλιον καὶ [d]περὶ ἄστρων καὶ περὶ τῆς τοῦ παντὸς 10 γενέσεως. [t]Ο δ' ἀπορῶν καὶ θαυμάζων οἴεται ἀγνοεῖν. Διὸ καὶ φιλόμυθος [e]ὁ φιλόσοφός πως ἐστιν· ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμασίων. [v]Ωστ' εἴπερ διὰ τὸ φεύγειν τὴν ἄγνοιαν ἐφιλοσόφησαν, φανερὸν ὅτι διὰ τὸ εἰδέναι τὸ ἐπίστασθαι 11 ἐδίωκον, καὶ οὐ χρήσεώς τινος ἕνεκεν. Μαρτυρεῖ [f]δὲ αὐτὸ τὸ συμβεβηκός· σχεδὸν γὰρ πάντων ὑπαρχόντων τῶν ἀναγκαίων καὶ πρὸς ῥᾳστώνην καὶ διαγωγὴν ἡ τοιαύτη φρόνησις ἤρξατο ζητεῖσθαι. Δῆλον οὖν ὡς δι' οὐδεμίαν αὐτὴν ζητοῦμεν χρείαν ἑτέραν, ἀλλ' ὥσπερ ἄνθρωπός φαμεν ἐλεύθερος ὁ [g]αὐτοῦ ἕνεκα καὶ μὴ ἄλλου [h]ὤν, οὕτω καὶ [i]αὕτη μόνη ἐλευθέρα οὖσα τῶν ἐπιστημῶν· μόνη γὰρ αὐτὴ [k]αὐτῆς ἕνεκέν 12 ἐστιν. Διὸ καὶ δικαίως [l]ἂν οὐκ ἀνθρωπίνη νομίζοιτο αὐτῆς ἡ κτῆσις· πολλαχῇ γὰρ ἡ φύσις δούλη τῶν ἀνθρώπων ἐστίν, ὥστε κατὰ Σιμωνίδην θεὸς ἂν μόνος τοῦτο [m]ἔχοι γέρας, ἄνδρα δ' οὐκ ἄξιον [n]μὴ οὐ ζητεῖν τὴν καθ' αὐτὸν ἐπιστήμην. 13 Εἰ [o]δὴ λέγουσί [p]τι οἱ ποιηταὶ καὶ πέφυκε φθονεῖν τὸ θεῖον, ἐπὶ [q]τούτου [r]συμβαίνειν μάλιστα εἰκὸς καὶ δυστυχεῖς εἶναι πάντας τοὺς περιττοῦς. [t]Αλλ' οὔτε τὸ θεῖον [s]φθονερὸν ἐν-

[v] αὐτὴν Ab. [w] ἓν om. Fb. [x] ποιητικήν Ha. [y] καὶ om. T. [z] ἀτόπων Ab. [a] προϊέντες Ha. [b] μειζόνων οὕτω διαπορήσαντες Ha. [c] τε et τῆς om. Ha. [d] περὶ ἄστρων Ab: ceteri ἄστρα. [e] ὁ om. Ab. [f] δὲ] δὲ καὶ T. [g] ἑαυτοῦ Ab. [h] ὤν om. T. [i] αὐτὴ ἐλευθέρα μόνη οὖσα Ha, αὐτὴν ὡς μόνην οὖσαν ἐλευθέραν Ab. [k] ἑαυτῆς Ab. [l] ἂν] μὴ E, om. Ha.Eb. [m] ἔχοι τὸ γέρας omnes præter Ab. [n] μὴ] τὸ μὴ Ab. idem add. οὐ. [o] δὴ Ab: ceteri δὲ. [p] τι οἱ] πη E. [q] τούτω Ha. [r] συμβαίνειν Ab: ceteri συμβῆναι. [s] ἐνδέχεται φθονερὸν Fb.

δέχεται εἶναι, ἀλλὰ [t]καὶ κατὰ τὴν παροιμίαν [v]πολλὰ ψεύδονται ἀοιδοί, οὔτε τῆς τοιαύτης ἄλλην χρὴ νομίζειν τιμιωτέραν. [1]Ἡ γὰρ θειοτάτη καὶ τιμιωτάτη. Τοιαύτη δὲ διχῶς 14
ἂν εἴη [w]μόνον· ἥν [x]τε γὰρ μάλιστ' ἂν [y]ὁ θεὸς [z]ἔχοι, θεία τῶν ἐπιστημῶν ἐστί, κἂν [a]εἴ τις τῶν θείων [b]εἴη. [c]Μόνη δ' αὕτη τούτων ἀμφοτέρων τετύχηκεν· ὅ τε γὰρ θεὸς δοκεῖ τῶν αἰτίων [d]πᾶσιν εἶναι καὶ ἀρχή τις, καὶ τὴν τοιαύτην ἢ μόνος ἢ μάλιστ' [e]ἂν ἔχοι [f]ὁ θεός. [1]Αναγκαιότεραι μὲν οὖν πᾶσαι [g]ταύτης, ἀμείνων δ' οὐδεμία. Δεῖ μέντοι [h]πως καταστῆναι 15
τὴν [i]κτῆσιν αὐτῆς εἰς τοὐναντίον ἡμῖν τῶν ἐξ ἀρχῆς [k]ζητήσεων. [1]Αρχονται μὲν γάρ, ὥσπερ εἴπομεν, ἀπὸ τοῦ θαυμάζειν [l]πάντες εἰ οὕτως ἔχει, καθάπερ τῶν θαυμάτων ταὐτόματα τοῖς μήπω τεθεωρηκόσι τὴν αἰτίαν, ἢ περὶ τὰς τοῦ ἡλίου τροπὰς [m]ἢ τὴν τῆς διαμέτρου ἀσυμμετρίαν· θαυμαστὸν γὰρ εἶναι δοκεῖ πᾶσιν, εἴ τι [n]τῷ ἐλαχίστῳ [o]μὴ μετρεῖται. Δεῖ [p]δὲ εἰς τοὐναντίον καὶ τὸ ἄμεινον κατὰ τὴν 16
παροιμίαν ἀποτελευτῆσαι, καθάπερ καὶ ἐν τούτοις ὅταν μάθωσιν· οὐθὲν γὰρ [q]ἂν [r]οὕτω θαυμάσειεν ἀνὴρ γεωμετρικὸς ὡς [s]εἰ γένοιτο ἡ διάμετρος μετρητή. Τίς μὲν οὖν ἡ φύσις [t]τῆς ἐπιστήμης τῆς ζητουμένης, εἴρηται, καὶ τίς ὁ σκοπὸς οὗ δεῖ τυγχάνειν τὴν ζήτησιν καὶ τὴν ὅλην μέθοδον.

[1]Επεὶ δὲ φανερὸν ὅτι τῶν ἐξ ἀρχῆς αἰτίων δεῖ λαβεῖν 3
ἐπιστήμην (τότε γὰρ εἰδέναι φαμὲν ἕκαστον, ὅταν τὴν πρώτην αἰτίαν οἰώμεθα γνωρίζειν), τὰ δ' αἴτια λέγεται τετραχῶς, ὧν μίαν μὲν αἰτίαν φαμὲν εἶναι τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι (ἀνάγεται γὰρ τὸ διὰ τί [v]εἰς τὸν λόγον ἔσχατον,

[t] καὶ add. A^b. [v] πολλοὶ H^a. [w] μόνη A^b. [x] τε] τινα T. [y] ὁ om. A^b. [z] ἔχει H^a. [a] ἥτις E. [b] ἐστὶ A^b. [c] μόνον E^b. [d] πάντων H^a. [e] ἂν ἔχοι] ἔχει H^a. [f] ὁ om. T.A^b. [g] ταύτης A^b: ceteri αὐτῆς. [h] πως post καταστῆναι H^a, om. A^b. [i] τάξιν T.H^a.E^b. [k] κτήσεων E. [l] πάντως H^a. [m] ἢ τὴν] ἢ περὶ τὴν A^b. [n] τῶν ἐλαχίστων H^a, τῶν οὐκ ελαχίστων E.T.E^b, quorum E in margine γρ. τῷ ἐλαχίστῳ, καὶ ταύτην μᾶλλον τὴν γραφὴν οἶδεν Ἀλέξανδρος. [o] μὴ] οὐ H^a. [p] δὴ A^b. [q] ἂν om. H^a. [r] θαυμάσειεν οὕτως E.T.H^a.E^b. [s] εἰ] εἰ μὴ T. [t] τῆς ἐπ. τῆς ζητ. A^b.F^b: ceteri τῆς ζητουμένης ἐπιστήμης. [v] εἰς] πρῶτον εἰς omnes præter A^b.

αἴτιον δὲ καὶ ἀρχὴ τὸ διὰ τί πρῶτον), [w]ἑτέραν δὲ τὴν ὕλην καὶ τὸ ὑποκείμενον, τρίτην [x]δὲ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τετάρτην δὲ τὴν ἀντικειμένην αἰτίαν ταύτῃ, [y]τὸ οὗ [z]ἕνεκα καὶ τἀγαθόν· τέλος γὰρ γενέσεως καὶ κινήσεως πάσης τοῦτ'
2 ἐστίν. [a]Τεθεώρηται μὲν [b]οὖν ἱκανῶς περὶ αὐτῶν [c]ἡμῖν ἐν τοῖς περὶ φύσεως, ὅμως [d]δὲ παραλάβωμεν καὶ τοὺς πρότερον ἡμῶν εἰς ἐπίσκεψιν τῶν [e]ὄντων ἐλθόντας καὶ φιλοσοφήσαντας περὶ τῆς ἀληθείας. Δῆλον γὰρ ὅτι κἀκεῖνοι λέγουσιν ἀρχάς τινας καὶ αἰτίας· ἐπελθοῦσιν οὖν ἔσται τι προὔργου τῇ μεθόδῳ τῇ νῦν· ἢ γὰρ ἕτερόν [f]τι γένος εὑρήσομεν αἰτίας,
3 ἢ ταῖς νῦν λεγομέναις μᾶλλον πιστεύσομεν. Τῶν δὴ [g]πρώτων φιλοσοφησάντων οἱ πλεῖστοι τὰς ἐν ὕλης [h]εἴδει μόνας ᾠήθησαν ἀρχὰς εἶναι πάντων· ἐξ οὗ γὰρ ἔστιν ἅπαντα τὰ ὄντα, καὶ ἐξ οὗ γίγνεται [i]πρώτου καὶ εἰς ὃ φθείρεται τελευταῖον, τῆς μὲν οὐσίας ὑπομενούσης, τοῖς δὲ πάθεσι μεταβαλλούσης, τοῦτο στοιχεῖον καὶ [k]ταύτην ἀρχήν φασιν εἶναι τῶν ὄντων, καὶ διὰ τοῦτο [l]οὔτε γίγνεσθαι οὐθὲν οἴονται οὔτε ἀπόλλυσθαι, ὡς τῆς τοιαύτης φύσεως ἀεὶ σωζομένης, ὥσπερ οὐδὲ τὸν [m]Σωκράτην φαμὲν οὔτε γίγνεσθαι ἁπλῶς, ὅταν γίγνηται καλὸς ἢ μουσικός, οὔτε ἀπόλλυσθαι, ὅταν [n]ἀποβάλλῃ ταύτας τὰς ἕξεις, διὰ τὸ ὑπομένειν τὸ ὑποκείμενον
4 τὸν [m]Σωκράτην αὐτόν. Οὕτως οὐδὲ τῶν ἄλλων οὐδέν· δεῖ γὰρ εἶναί τινα φύσιν [o]μίαν ἢ πλείους μιᾶς, ἐξ ὧν γίγνεται
5 τἆλλα σωζομένης ἐκείνης. Τὸ μέντοι πλῆθος καὶ τὸ εἶδος τῆς τοιαύτης ἀρχῆς οὐ τὸ αὐτὸ πάντες λέγουσιν, ἀλλὰ Θαλῆς [p]μὲν ὁ τῆς τοιαύτης ἀρχηγὸς φιλοσοφίας ὕδωρ [q]εἶναί φησιν (διὸ καὶ τὴν γῆν ἐφ' ὕδατος [r]ἀπεφήνατο εἶναι), λαβὼν ἴσως τὴν ὑπόληψιν ἐκ τοῦ πάντων ὁρᾶν τὴν τροφὴν

w ἑτέραν A^b: ceteri μίαν. x δὲ] δὲ τὴν T. y τὸ] καὶ τὸ E.T.H^a.E^b. z ἕνεκεν T. a τεθεώρηται μὲν A^b. et γρ. E, τεθεωρημένον T.H^a: ceteri τεθεωρημένων. b οὖν om. H^a. c ἡμῖν add. A^b. d δὲ add. A^b.E^b. et γρ. E. e ὄντων] αὐτῶν H^a. f τι om. T.H^a. g πρῶτον E.H^a.E^b. h μόνον εἴδει H^a.E^b. i πρῶτον H^a. k ταῦτα τὴν E^b, ταύτην τὴν T.H^a. l οὔτε om. T. m utrobique σωκράτη E.T.H^a. n ἀποβάλη A^b. o μίαν A^b: ceteri ἢ μίαν. p μὲν om. T. q εἶναί φησιν A^b: ceteri φησὶν εἶναι. r ἀπεφαίνετο A^b.

ὑγρὰν οὖσαν καὶ αὐτὸ τὸ θερμὸν ἐκ τούτου γιγνόμενον [s] καὶ τούτῳ [t] ζῶν (τὸ δ' ἐξ οὗ [v] γίγνεται, τοῦτ' ἐστὶν ἀρχὴ πάντων), διά τε δὴ τοῦτο τὴν ὑπόληψιν λαβὼν ταύτην, καὶ διὰ τὸ πάντων τὰ σπέρματα τήν φύσιν ὑγρὰν ἔχειν, τὸ δ' ὕδωρ [w] ἀρχὴν τῆς φύσεως εἶναι [x] τοῖς ὑγροῖς. Εἰσὶ δέ τινες οἳ 6
καὶ τοὺς [y] παμπαλαίους καὶ πολὺ πρὸ τῆς νῦν γενέσεως καὶ πρώτους θεολογήσαντας οὕτως οἴονται περὶ τῆς φύσεως [z] ὑπολαβεῖν· [a] Ὠκεανόν τε γὰρ καὶ Τηθὺν ἐποίησαν τῆς γενέσεως πατέρας, καὶ [b] τὸν ὅρκον τῶν θεῶν ὕδωρ, τὴν καλουμένην [c] ὑπ' αὐτῶν Στύγα τῶν ποιητῶν· τιμιώτατον [d] μὲν γὰρ τὸ πρεσβύτατον, ὅρκος δὲ τὸ τιμιώτατόν ἐστιν. Εἰ μὲν οὖν 7
ἀρχαία τις αὕτη καὶ παλαιὰ [e] τετύχηκεν οὖσα περὶ τῆς φύσεως ἡ δόξα, τάχ' ἂν ἄδηλον εἴη, Θαλῆς μέντοι λέγεται [f] οὕτως ἀποφήνασθαι περὶ τῆς πρώτης αἰτίας· [v] Ἵππωνα [g] γὰρ οὐκ ἄν τις ἀξιώσειε θεῖναι μετὰ τούτων διὰ τὴν εὐτέλειαν αὐτοῦ τῆς διανοίας. [d] Ἀναξιμένης δὲ ἀέρα καὶ Διογένης πρό- 8
τερον ὕδατος καὶ μάλιστ' ἀρχὴν τιθέασι τῶν [h] ἁπλῶν σωμάτων, [v] Ἵππασος δὲ πῦρ ὁ Μεταποντῖνος καὶ [t] Ἡράκλειτος [i] ὁ [d] Ἐφέσιος, [d] Ἐμπεδοκλῆς δὲ τὰ τέτταρα, πρὸς τοῖς εἰρημένοις γῆν [k] προστιθεὶς τέταρτον· ταῦτα γὰρ ἀεὶ διαμένειν καὶ οὐ γίγνεσθαι ἀλλ' [l] ἢ πλήθει καὶ ὀλιγότητι συγκρινόμενα καὶ διακρινόμενα εἰς ἕν τε καὶ ἐξ ἑνός. [d] Ἀναξαγόρας δὲ ὁ Κλα- 9
ζομένιος τῇ μὲν ἡλικίᾳ πρότερος ὢν [m] τούτου, τοῖς δ' ἔργοις ὕστερος, ἀπείρους εἶναί [n] φησι τὰς ἀρχάς· σχεδὸν γὰρ ἅπαντα τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ ἢ πῦρ, οὕτω γίγνεσθαι καὶ ἀπόλλυσθαί φησι συγκρίσει καὶ διακρίσει μόνον, ἄλλως δ' οὔτε γίγνεσθαι οὔτ' ἀπόλλυσθαι, ἀλλὰ [o] διαμένειν ἀΐδια. [d] Ἐκ 10

s καὶ] καὶ τὸ ζώιον E.T.H[a].E[b]. t ζῆν F[b]. v γίγνεταί τι τοῦτ' H[a]. w ἀρχὴ τ. φ. ἐστὶ E.T.H[a].E[b]. x τῶν ὑγρῶν T. y πάνυ παλαιοὺς E[b], πάλαι παλαιοὺς T, παλαιοὺς A[b]. z διαλαβεῖν T. a τε om. T. b τῶν ὅρκων E[b]. c στύγα ὑπ' αὐτῶν H[a].E[b]. d μὲν om. T. e ἐτύγχανεν H[a]. f οὕτως A[b].F[b]: ceteri τοῦτον τὸν τρόπον. g γὰρ] μὲν γὰρ E.T.H[a].E[b], δ' οὖν F[b]. h πρώτων H[a].E[b]. i ὁ alterum om. A[b]. k προσθεὶς E.T.H[a].E[b].F[b]. l ἢ om. A[b]. m τούτων H[a]. n φησι om. F[b]. o μένειν A[b].

μὲν οὖν τούτων [p] μόνην τις αἰτίαν [q] νομίσειεν [r] ἂν τὴν ἐν ὕλης εἴδει [s] λεγομένην. Προϊόντων δ' οὕτως, αὐτὸ τὸ πρᾶγμα ὡδοποίησεν αὐτοῖς καὶ συνηνάγκασε ζητεῖν· εἰ γὰρ ὅτι μάλιστα πᾶσα [t] φθορὰ καὶ γένεσις ἔκ τινος ἐνὸς ἢ καὶ πλειόνων ἐστίν,
11 διὰ τί τοῦτο συμβαίνει καὶ τί τὸ αἴτιον; Οὐ γὰρ δὴ τό [v] γε ὑποκείμενον αὐτὸ ποιεῖ μεταβάλλειν ἑαυτό· λέγω δ' οἷον οὔτε τὸ ξύλον οὔτε ὁ χαλκὸς [w] αἴτιος τοῦ μεταβάλλειν ἑκάτερον αὐτῶν, οὐδὲ ποιεῖ τὸ μὲν ξύλον κλίνην ὁ δὲ χαλκὸς ἀνδριάντα, ἀλλ' ἕτερόν τι τῆς μεταβολῆς [x] αἴτιον. Τὸ δὲ τοῦτο ζητεῖν ἐστὶ τὸ τὴν ἑτέραν ἀρχὴν ζητεῖν, ὡς ἂν ἡμεῖς
12 φαίημεν, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. Οἱ μὲν οὖν πάμπαν ἐξ ἀρχῆς ἀψάμενοι [y] τῆς μεθόδου τῆς τοιαύτης καὶ ἓν φάσκοντες εἶναι τὸ ὑποκείμενον οὐθὲν [z] ἐδυσχέραναν ἑαυτοῖς, ἀλλ' ἔνιοί [a] γε τῶν ἓν λεγόντων, ὥσπερ ἡττηθέντες [b] ὑπὸ ταύτης τῆς ζητήσεως, τὸ ἓν ἀκίνητόν φασιν εἶναι καὶ τὴν φύσιν ὅλην οὐ μόνον κατὰ γένεσιν καὶ φθοράν ([c] τοῦτο μὲν γὰρ ἀρχαῖόν [d] τε καὶ πάντες ὡμολόγησαν), ἀλλὰ καὶ κατὰ τὴν [e] ἄλλην μετα-
13 βολὴν [f] πᾶσαν· [g] καὶ τοῦτο αὐτῶν ἴδιόν ἐστιν. Τῶν μὲν οὖν [h] ἓν φασκόντων εἶναι τὸ πᾶν οὐθενὶ συνέβη τὴν τοιαύτην [i] συνιδεῖν αἰτίαν, πλὴν [k] εἰ ἄρα Παρμενίδῃ, καὶ τούτῳ κατὰ τοσοῦτον ὅσον οὐ μόνον ἓν ἀλλὰ καὶ δύο πως τίθησιν αἰτίας
14 εἶναι. Τοῖς δὲ [l] δὴ πλείω ποιοῦσι [m] μᾶλλον ἐνδέχεται λέγειν, οἷον [n] τοῖς θερμὸν καὶ ψυχρὸν ἢ πῦρ καὶ γῆν· χρῶνται γὰρ ὡς κινητικὴν ἔχοντι τῷ πυρὶ τὴν φύσιν, ὕδατι δὲ καὶ γῇ καὶ τοῖς τοιούτοις [o] τοὐναντίον. Μετὰ δὲ τούτους καὶ τὰς τοιαύτας ἀρχάς, ὡς οὐχ ἱκανῶν [p] οὐσῶν γεννῆσαι τὴν τῶν ὄντων

p μόνον H^a. q νοήσειεν $H^a.E^b$, εἶναι νομίσειεν T. r ἂν ante αἰτίαν F^b, om. A^b. s λεγ.] προαγομένην H^a. t γένεσις καὶ φθορὰ A^b. v τε A^b. w αἴτιον $H^a.E^b$. x ἴδιον H^a. y τῆς τοιαύτης μεθόδου H^a. γρ. καὶ ταύτης, ἤτοι τῆς φυσικῆς margo E. z ἐδυσχ. ἐν ἑαυτοῖς $A^b.F^b$. a γε om. H^b. b ὑπ' αὐτῆς F^b. c τοῦτο—ὡμολόγησαν om. $A^b.F^b$. d τε om. T. e ἄλλην om. $H^a.E^b$. f ἅπασαν A^b. g καὶ—ἐστιν om. A^b. h ἓν] ἐν μόνον E.T.$H^a.E^b$. i ἰδεῖν $A^b.F^b$. k εἰ ἄρα] ἑνὶ H^a, ἑνὶ παρὰ E^b. l δὴ add. $A^b.C^b.F^b$. m ἐνδέχεται μᾶλλον H^a. n τοῖς] τὸ T. o ἐναντίον H^a. p οὐσῶν om. T.

φύσιν, [q] πάλιν [r] ὑπ' αὐτῆς τῆς ἀληθείας, ὥσπερ εἴπομεν, ἀναγκαζόμενοι τὴν ἐχομένην ἐζήτησαν [s] ἀρχήν. Τοῦ [t] γὰρ 15
εὖ καὶ καλῶς τὰ μὲν ἔχειν τὰ δὲ γίγνεσθαι τῶν ὄντων ἴσως οὔτε πῦρ οὔτε γῆν οὔτ' [v] ἄλλο τῶν τοιούτων οὐθὲν οὔτ' εἰκὸς αἴτιον εἶναι οὔτ' [w] ἐκείνους οἰηθῆναι· οὐδ' αὖ τῷ αὐτομάτῳ καὶ [x] τῇ τύχῃ τοσοῦτον ἐπιτρέψαι πρᾶγμα καλῶς [y] εἶχεν. Νοῦν [z] δή τις εἰπὼν [a] ἐνεῖναι, καθάπερ ἐν [b] τοῖς ζῴοις, καὶ ἐν 16
τῇ φύσει [c] τὸν αἴτιον [d] τοῦ κόσμου καὶ τῆς τάξεως [e] πάσης οἷον νήφων ἐφάνη παρ' [f] εἰκῇ λέγοντας τοὺς πρότερον. Φα- 17
νερῶς [g] μὲν οὖν [h] Ἀναξαγόραν ἴσμεν ἁψάμενον τούτων τῶν λόγων, [i] αἰτίαν δ' ἔχει πρότερον [k] Ἑρμότιμος ὁ Κλαζομένιος εἰπεῖν. Οἱ μὲν οὖν οὕτως ὑπολαμβάνοντες ἅμα [l] τοῦ καλῶς [n] τὴν αἰτίαν ἀρχὴν εἶναι τῶν ὄντων [o] ἔθεσαν, καὶ τὴν τοιαύτην ὅθεν ἡ κίνησις ὑπάρχει τοῖς οὖσιν. [t] Ὑποπτεύσειε 4
δ' ἄν τις [t] Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦτον, κἂν εἴ τις ἄλλος ἔρωτα ἢ ἐπιθυμίαν ἐν τοῖς οὖσιν ἔθηκεν ὡς ἀρχήν, οἷον καὶ Παρμενίδης· [p] οὗτος γὰρ κατασκευάζων τὴν τοῦ παντὸς γένεσιν

[q] πρώτιστον μέν φησιν ἔρωτα θεῶν μητίσατο πάντων,

[t] Ἡσίοδος [r] δὲ

πάντων μὲν πρώτιστα χάος γένετ', [s] αὐτὰρ ἔπειτα
[t] γαῖ' εὐρύστερνος,—
ἠδ' [v] ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν,

ὡς δέον ἐν τοῖς οὖσιν ὑπάρχειν [w] τιν' αἰτίαν ἥτις κινήσει καὶ [x] συνάξει τὰ πράγματα. [y] Τούτους μὲν οὖν πῶς χρὴ δια- 2

[q] πάλιν] πάντες E^b. [r] ἐπ' H^a. [s] post ἀρχήν A^b : τουτέστι τὴν ποιητικὴν τούτων εὖ ἔχειν καὶ καλῶς. [t] γὰρ] μὲν H^a. [v] ἄλλο τι τῶν A^b. [w] ἐκείνους εἰκὸς οἰηθῆναι E.T.H^a.E^b. [x] τῇ add. A^b. [y] ἔχειν E.S.T. H^a.B^b.C^b. [z] δ' εἴ τις E^b. γρ. καὶ νοῦν δ' εἴ τις margo E. [a] ἐνεῖναι E.T.A^b, ἓν εἶναι rc. E^b : ceteri εἶναι. [b] τοῖς om. E.S.B^b.C^b. [c] τὸ A^b. [d] τοῦ A^b : ceteri καὶ τοῦ. [e] πάσης om. H^a. [f] οἰκῇ S. [g] μὲν om. T. [h] αἴτιον E. [i] δ' ἂν ἔχῃ H^a.E^b [k] ὁ κλαζομένιος ἑρμότιμος S. [l] τῷ H^a. [n] τὴν om. H^a. [o] γρ. καὶ ἔθεσαν τὴν τοιαύτην, εἶτα ὅθεν ἡ κίνησις margo E. [p] οὗτος γὰρ A^b, καὶ γὰρ οὕτως E^b : ceteri καὶ γὰρ οὗτος. [q] πρῶτον E.H^a.A^b.E^b. [r] δὲ] μὲν H^a. [s] αὐτὸ H^a. [t] γέα γαῖα E. [v] ἔρως H^a.A^b. [w] τὴν H^a.A^b. [x] συνέξει E.T. [y] τούτοις A^b.

νεῖμαι [z] περὶ τοῦ τίς πρῶτος, ἐξέστω κρίνειν ὕστερον· [a] ἐπεὶ δὲ καὶ τἀναντία τοῖς ἀγαθοῖς ἐνόντα ἐφαίνετο ἐν τῇ φύσει, καὶ οὐ μόνον τάξις καὶ τὸ καλὸν ἀλλὰ καὶ ἀταξία καὶ τὸ αἰσχρόν, καὶ πλείω τὰ κακὰ τῶν ἀγαθῶν καὶ τὰ φαῦλα τῶν καλῶν, οὕτως ἄλλος τις φιλίαν εἰσήνεγκε [b] καὶ νεῖκος, ἑκάτε-
3 ρον ἑκατέρων αἴτιον τούτων. Εἰ γάρ τις ἀκολουθοίη καὶ [c] λαμβάνοι πρὸς τὴν διάνοιαν καὶ μὴ πρὸς ἃ ψελλίζεται λέ-γων [d] Ἐμπεδοκλῆς, εὑρήσει τὴν μὲν φιλίαν αἰτίαν [d] οὖσαν τῶν ἀγαθῶν, τὸ δὲ νεῖκος τῶν κακῶν· [e] ὥστ' εἴ τις φαίη τρόπον τινὰ [f] καὶ λέγειν καὶ πρῶτον λέγειν τὸ κακὸν καὶ τὸ ἀγαθὸν ἀρχὰς [d] Ἐμπεδοκλέα, τάχ' ἂν λέγοι καλῶς, εἴπερ τὸ τῶν ἀγαθῶν [g] ἁπάντων αἴτιον [h] αὐτὸ τἀγαθόν ἐστι [i] καὶ τῶν κα-
4 κῶν τὸ κακόν. Οὗτοι μὲν οὖν, ὥσπερ λέγομεν, καὶ μέχρι τούτου [k] δυοῖν αἰτίαιν [l] ἐφήψαντο [m] ὧν ἡμεῖς διωρίσαμεν ἐν τοῖς περὶ φύσεως, τῆς τε ὕλης καὶ τοῦ ὅθεν ἡ κίνησις, ἀμυ-δρῶς μέντοι καὶ οὐθὲν σαφῶς, ἀλλ' οἷον ἐν ταῖς μάχαις οἱ ἀγύμναστοι ποιοῦσιν· καὶ γὰρ ἐκεῖνοι περιφερόμενοι τύ-πτουσι πολλάκις καλὰς πληγάς, ἀλλ' οὔτε ἐκεῖνοι ἀπὸ ἐπι-στήμης οὔτε [n] οὗτοι ἐοίκασιν [o] εἰδόσι λέγειν [p] ὅ τι λέγουσιν· σχεδὸν γὰρ οὐθὲν χρώμενοι φαίνονται τούτοις ἀλλ' [q] ἢ κατὰ
5 μικρόν. [r] Ἀναξαγόρας τε [r] γὰρ μηχανῇ χρῆται τῷ νῷ πρὸς τὴν κοσμοποιίαν, [s] καὶ ὅταν ἀπορήσῃ [t] διὰ τίν' αἰτίαν ἐξ ἀνάγκης ἐστί, τότε [v] παρέλκει αὐτόν, ἐν δὲ τοῖς ἄλλοις πάντα μᾶλλον αἰτιᾶται τῶν γιγνομένων ἢ νοῦν. Καὶ [d] Ἐμ-πεδοκλῆς [w] ἐπὶ πλέον μὲν [x] τούτου χρῆται τοῖς αἰτίοις, οὐ μὴν οὔθ' ἱκανῶς, οὔτ' ἐν τούτοις [y] εὑρίσκει τὸ ὁμολογούμενον.
6 Πολλαχοῦ γοῦν αὐτῷ ἡ μὲν φιλία διακρίνει, τὸ δὲ νεῖκος

z παρὰ H^a. a ἐπειδὴ H^b. b καὶ τὸ νεῖκος ἑκάτερον ἑκατέρω H^a. c λαμβάνει $H^a.A^b$. d οὖσαν om. $H^a.E^b$. e ὡς H^a. f καὶ λέγειν καὶ om. H^a. g πάντων A^b. h αὐτῷ T. i καὶ—κακόν om. A^b. k δυοῖν A^b : vulgo δυεῖν. l ἐφήψαντο om. A^b, qui ἡμμένοι φαίνονται post φύ-σεως. m ὡς T. n αὐτοὶ T. o εἰδέναι, omisso λέγειν, A^b. p ὅ τι] ἃ H^a. q ἢ om. F^b. r γὰρ om. H^a. s καὶ ὅταν ἀπορήσῃ] ὅταν γὰρ ἀπορήσει H^a, ὅταν ἀπορήσῃ γὰρ E.T. t διὰ—ἐστί om. A^b. et margo E. v ἕλκει T.H^a.E^b. et pr. E. w ἐπὶ] δὲ ἐπὶ T, μὲν πρὸς H^a. x χρῆται τούτου A^b, τούτῳ χρῆται H^a. y ἐξευρίσκει A^b.

συγκρίνει. [v]Ὅταν μὲν γὰρ εἰς τὰ στοιχεῖα [z]διίστηται τὸ πᾶν ὑπὸ τοῦ νείκους, [a]τό τε πῦρ [b]εἰς ἓν συγκρίνεται καὶ τῶν ἄλλων στοιχείων ἕκαστον· ὅταν δὲ [c]πάλιν [d]πάντα ὑπὸ τῆς φιλίας συνίωσιν εἰς τὸ ἕν, ἀναγκαῖον [e]ἐξ ἑκάστου τὰ μόρια διακρίνεσθαι πάλιν. [1]Ἐμπεδοκλῆς μὲν οὖν παρὰ [f]τοὺς πρό- 7
τερον πρῶτος ταύτην τὴν αἰτίαν διελὼν εἰσήνεγκεν, οὐ μίαν ποιήσας τὴν [g]τῆς κινήσεως ἀρχὴν ἀλλ' ἑτέρας τε καὶ ἐναντίας. [1]Ἔτι δὲ τὰ ὡς ἐν ὕλης εἴδει λεγόμενα στοιχεῖα τέτταρα 8
πρῶτος εἶπεν· οὐ μὴν χρῆταί γε τέτταρσιν, ἀλλ' ὡς δυσὶν οὖσι [h]μόνοις, πυρὶ μὲν καθ' αὑτό, τοῖς δ' ἀντικειμένοις ὡς μιᾷ φύσει, γῇ τε [i]καὶ ἀέρι καὶ ὕδατι. Λάβοι δ' ἄν τις αὐτὸ θεωρῶν ἐκ τῶν ἐπῶν. Οὗτος μὲν οὖν, ὥσπερ λέγομεν, [k]οὕτω 9
τε καὶ [l]τοσαύτας εἴρηκεν ἀρχάς· Λεύκιππος δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος στοιχεῖα μὲν τὸ πλῆρες καὶ τὸ κενὸν εἶναί φασι, [m]λέγοντες τὸ μὲν ὂν τὸ δὲ μὴ ὄν, τούτων δὲ τὸ μὲν πλῆρες καὶ στερεὸν τὸ ὄν, τὸ δὲ κενόν [n]γε [o]καὶ μανὸν τὸ μὴ ὄν (διὸ καὶ οὐθὲν μᾶλλον τὸ ὂν τοῦ μὴ ὄντος εἶναί φασιν, ὅτι οὐδὲ τὸ κενὸν τοῦ σώματος), αἴτια δὲ τῶν ὄντων [p]ταῦτα ὡς [q]ὕλην. Καὶ καθάπερ οἱ ἓν ποιοῦντες τὴν ὑποκειμένην οὐ- 10
σίαν τἆλλα τοῖς πάθεσιν [r]αὐτῆς γεννῶσι, τὸ μανὸν καὶ τὸ πυκνὸν ἀρχὰς [s]τιθέμενοι [t]τῶν παθημάτων, τὸν αὐτὸν τρόπον καὶ οὗτοι τὰς διαφορὰς αἰτίας τῶν ἄλλων εἶναί φασιν. Ταύ- 11
τας μέντοι τρεῖς εἶναι λέγουσι, σχῆμά τε καὶ τάξιν καὶ θέσιν· [v]διαφέρειν γάρ [w]φασι τὸ ὂν [x]ῥυσμῷ καὶ [y]διαθιγῇ καὶ τροπῇ μόνον. Τούτων δὲ ὁ μὲν [z]ῥυσμὸς σχῆμά ἐστιν, ἡ δὲ διαθιγὴ τάξις, ἡ δὲ τροπὴ θέσις· διαφέρει [a]γὰρ τὸ μὲν Α τοῦ Ν σχήματι, τὸ δὲ Α Ν τοῦ Ν Α τάξει, τὸ δὲ Ζ τοῦ Ν θέσει. Περὶ δὲ κινήσεως, ὅθεν ἢ πῶς ὑπάρχει τοῖς οὖσι, καὶ 12

z διΐσταται Ha. a τότε τὸ E.T. b εἰς ἓν om. T. c πάλιν om. Ha. d πάντα om. E.Eb. e ἐξ om. Ha. f τοὺς] τὸ Ab. g τῆς] τε T. h μόνον Ha.Eb. i καὶ post τε om. Ha.Eb. k οὕτως T. l τοιαύτας Ha. m λέγοντες τὸ Ab: ceteri λέγοντες οἷον τὸ. n τε E, om. Ha.Ab.Eb. o καὶ μανὸν om. Ab. p ταῦτά γε ὡς Ab, ταῦτά ante τῶν T. q ὕλη Ha.Eb. r αὐτοῖς Eb. s ποιοῦμενοι Ha. t τῶν παθημάτων ante ἀρχάς Ab. v διαφέρει E.Ha.Eb. w φησι E.Ha. x ῥοισμῷ Ab. y διαθηγῇ E.T.Eb. z ῥοισμὸς Ab. a γὰρ om. Ha.

οὗτοι παραπλησίως τοῖς ἄλλοις ῥαθύμως [b]ἀφεῖσαν. Περὶ μὲν [c]οὖν τῶν δύο αἰτιῶν, ὥσπερ λέγομεν, ἐπὶ τοσοῦτον ἔοικεν ἐζητῆσθαι [d]παρὰ τῶν πρότερον.

5 [1]Ἐν δὲ τούτοις καὶ πρὸ τούτων οἱ καλούμενοι Πυθαγόρειοι τῶν μαθημάτων ἁψάμενοι [e]πρῶτοι [f]ταῦτα [g]προήγαγον, καὶ ἐντραφέντες ἐν αὐτοῖς τὰς τούτων ἀρχὰς [h]τῶν ὄντων ἀρχὰς
2 ᾠήθησαν εἶναι πάντων. [1]Ἐπεὶ δὲ τούτων οἱ ἀριθμοὶ φύσει πρῶτοι, ἐν δὲ [i]τοῖς ἀριθμοῖς ἐδόκουν θεωρεῖν ὁμοιώματα πολλὰ τοῖς οὖσι καὶ γιγνομένοις, μᾶλλον ἢ ἐν πυρὶ καὶ γῇ καὶ ὕδατι, ὅτι τὸ μὲν τοιονδὶ τῶν ἀριθμῶν πάθος δικαιοσύνη, τὸ δὲ τοιονδὶ [k]ψυχὴ καὶ νοῦς, ἕτερον δὲ καιρὸς καὶ τῶν ἄλλων ὡς εἰπεῖν ἕκαστον ὁμοίως· ἔτι δὲ τῶν [l]ἁρμονικῶν ἐν ἀριθμοῖς ὁρῶντες [m]τὰ πάθη καὶ τοὺς λόγους, ἐπειδὴ τὰ μὲν ἄλλα τοῖς ἀριθμοῖς [n]ἐφαίνετο [o]τὴν φύσιν [p]ἀφωμοιῶσθαι [q]πᾶσαν, οἱ δ' ἀριθμοὶ πάσης τῆς φύσεως πρῶτοι, τὰ τῶν ἀριθμῶν στοιχεῖα τῶν ὄντων στοιχεῖα πάντων [r]εἶναι ὑπέλαβον, καὶ τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν· καὶ ὅσα [s]εἶχον ὁμολογούμενα [t]δεικνύναι ἔν τε τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις πρὸς τὰ τοῦ οὐρανοῦ πάθη καὶ μέρη καὶ πρὸς τὴν [v]ὅλην
3 διακόσμησιν, ταῦτα συνάγοντες ἐφήρμοττον. Κἂν εἴ τί [w]που [x]διέλειπε, [y]προσεγλίχοντο τοῦ [z]συνειρομένην [a]πᾶσαν αὐτοῖς εἶναι τὴν πραγματείαν. Λέγω δ' [b]οἷον, ἐπειδὴ τέλειον ἡ δεκὰς [c]εἶναι δοκεῖ καὶ πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν, [d]καὶ τὰ φερόμενα κατὰ τὸν οὐρανὸν δέκα μὲν εἶναί φασιν, ὄντων δὲ ἐννέα [e]μόνον τῶν φανερῶν διὰ τοῦτο δεκάτην

b ἀφῆσαν E^b. c οὖν τούτων τῶν F^b. d παρὰ τῶν add. A^b. e πρῶτον $T.H^a.A^b$. f ταῦτά τε πρ. $A^b.C^b$. g προῆγον $E.T.H^a.E^b$. h τῶν] τὰς S. τῶν ὄντων ἀρχὰς om. A^b. i τοῖς ἀριθμοῖς] τούτοις A^b. k ψυχή τε καὶ A^b. l ἁρμονιῶν $S.H^a.B^b.C^b.E^b$. m τὰ πάθη] καὶ τὰ πάθη H^a. n ἐφαίνοντο A^b. o τὴν φύσιν om. $S.B^b.C^b$. p ἀφομοιῶσθαι A^b, ἀφομοιωθῆναι $E\,S.B^b.C^b$. q πᾶσιν $E.S.H^a.B^b$. r ὑπέλαβον εἶναι A^b. s εἶχεν $S.A^b.C^b$. t δεικνύναι om. A^b. v ἄλλην $T.H^a.E^b$. w που om. A^b. x διέλιπε $S.C^b.E^b$, διέλιπον T. y προσεπεγλίχοντο E. z συνηρημένην $S.B^b.C^b$, συνηρμοσμένην E^b. a εἶναι πᾶσαν αὐτοῖς T, αὐτοῖς πᾶσαν εἶναι H^a. b οἷον om. H^a. c εἶναι—φύσιν om. A^b. d καὶ τὰ φ.] καταφερόμενα S. e μόνων $E.H^a.A^b$, μὲν μόνον C^b.

τὴν ἀντίχθονα ποιοῦσιν. Διώρισται δὲ περὶ τούτων ἐν ἑτέ- 4
ροις ἡμῖν ἀκριβέστερον. Ἀλλ' οὗ δὴ χάριν ἐπερχόμεθα,
τοῦτό ἐστιν, ὅπως λάβωμεν καὶ παρὰ τούτων τίνας εἶναι τι-
θέασι τὰς ἀρχὰς καὶ πῶς εἰς τὰς εἰρημένας ἐμπίπτουσιν αἰ-
τίας. Φαίνονται δὴ καὶ οὗτοι τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν 5
εἶναι καὶ ὡς ὕλην τοῖς οὖσι καὶ ὡς πάθη τε καὶ ἕξεις, τοῦ δὲ
ἀριθμοῦ στοιχεῖα τό τε ἄρτιον καὶ τὸ περιττόν, τούτων δὲ
τὸ μὲν πεπερασμένον τὸ δὲ ἄπειρον, τὸ δ' ἓν ἐξ ἀμφοτέρων
εἶναι τούτων (καὶ γὰρ ἄρτιον εἶναι καὶ περιττόν), τὸν δ'
ἀριθμὸν ἐκ τοῦ ἑνός, ἀριθμοὺς δέ, καθάπερ εἴρηται, τὸν ὅλον
οὐρανόν. Ἕτεροι δὲ τῶν αὐτῶν τούτων τὰς ἀρχὰς δέκα λέ- 6
γουσιν εἶναι τὰς κατὰ συστοιχίαν λεγομένας, πέρας καὶ
ἄπειρον, περιττὸν καὶ ἄρτιον, ἓν καὶ πλῆθος, δεξιὸν καὶ
ἀριστερόν, ἄρρεν καὶ θῆλυ, ἠρεμοῦν καὶ κινούμενον, εὐθὺ
καὶ καμπύλον, φῶς καὶ σκότος, ἀγαθὸν καὶ κακόν, τε-
τράγωνον καὶ ἑτερόμηκες. Ὄνπερ τρόπον ἔοικε καὶ Ἀλ- 7
κμαίων ὁ Κροτωνιάτης ὑπολαβεῖν, καὶ ἤτοι οὗτος παρ' ἐκεί-
νων ἢ ἐκεῖνοι παρὰ τούτου παρέλαβον τὸν λόγον τοῦτον·
καὶ γὰρ ἐγένετο τὴν ἡλικίαν Ἀλκμαίων ἐπὶ γέροντι Πυθα-
γόρᾳ, ἀπεφήνατο δὲ παραπλησίως τούτοις· φησὶ γὰρ εἶναι
δύο τὰ πολλὰ τῶν ἀνθρωπίνων, λέγων τὰς ἐναντιότητας οὐχ
ὥσπερ οὗτοι διωρισμένας ἀλλὰ τὰς τυχούσας, οἷον λευκὸν
μέλαν, γλυκὺ πικρόν, ἀγαθὸν κακόν, μικρὸν μέγα. Οὗτος 8
μὲν οὖν ἀδιορίστως ἐπέρριψε περὶ τῶν λοιπῶν, οἱ δὲ Πυθα-
γόρειοι καὶ πόσαι καὶ τίνες αἱ ἐναντιώσεις ἀπεφήναντο.
Παρὰ μὲν οὖν τούτων ἀμφοῖν τοσοῦτον ἔστι λαβεῖν, ὅτι
τἀναντία ἀρχαὶ τῶν ὄντων· τὸ δ' ὅσαι παρὰ τῶν ἑτέρων,
καὶ τίνες αὗταί εἰσιν. Πῶς μέντοι πρὸς τὰς εἰρημένας αἰτίας 9
ἐνδέχεται συναγαγεῖν, σαφῶς μὲν οὐ διήρθρωται παρ' ἐκεί-

f δὲ $A^b.E^b$. g τε add. A^b. h ἄπειρον τὸ δὲ πεπερασμένον A^b. i καὶ—περιττόν om. A^b. k ἀριθμὸν S. l συστοιχείαν $T.A^b$. m πέρας—ἑτερόμηκες] καὶ add. A^b. n ἐγίνετο C^b. ἐγένετο τὴν ἡλικίαν et mox ἐπὶ γέροντι Πυθαγόρᾳ et δὲ om. A^b. o λέγω C^b. p διωρισμένως $S.B^b$. q μέγα μικρόν A^b. r οὗτος E^b. s οὖν om. E^b. t ἀπέρριψε $C^b.E^b$. v ἀμφοῖν μὲν τοσοῦτον A^b. w τὸ—ἑτέρων om. A^b. x περὶ E^b. y συναγαγεῖν A^b: ceteri συνάγειν.

νων, ἐοίκασι δ' ὡς ἐν ὕλης εἴδει τὰ στοιχεῖα τάττειν· ἐκ τούτων γὰρ ὡς ἐνυπαρχόντων συνεστάναι καὶ πεπλάσθαι [z]φασὶ
10 τὴν οὐσίαν. Τῶν μὲν οὖν παλαιῶν καὶ πλείω [a]λεγόντων τὰ στοιχεῖα τῆς φύσεως ἐκ τούτων ἱκανόν ἐστι θεωρῆσαι τὴν διάνοιαν· εἰσὶ δέ τινες οἳ περὶ τοῦ παντὸς ὡς ἂν μιᾶς οὔσης [b]φύσεως ἀπεφήναντο, τρόπον δὲ οὐ τὸν αὐτὸν πάντες οὔτε
11 τοῦ καλῶς οὔτε τοῦ κατὰ [c]τὴν φύσιν. Εἰς μὲν οὖν τὴν νῦν σκέψιν τῶν αἰτίων οὐδαμῶς συναρμόττει περὶ αὐτῶν ὁ λόγος· οὐ γὰρ ὥσπερ ἔνιοι τῶν φυσιολόγων ἓν ὑποθέμενοι τὸ ὂν ὅμως γεννῶσιν ὡς ἐξ ὕλης τοῦ ἑνός, ἀλλ' ἕτερον τρόπον οὗτοι λέγουσιν· ἐκεῖνοι μὲν γὰρ προστιθέασι κίνησιν, γεννῶντές [d]γε τὸ πᾶν, οὗτοι δὲ ἀκίνητον εἶναί φασιν. Οὐ μὴν ἀλλὰ
12 τοσοῦτόν γε οἰκεῖόν ἐστι τῇ νῦν σκέψει. Παρμενίδης μὲν [e]γὰρ ἔοικε τοῦ κατα [f]τὸν λόγον ἑνὸς ἅπτεσθαι, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην· διὸ καὶ ὁ μὲν πεπερασμένον, ὁ δ' ἄπειρόν φησιν εἶναι αὐτό· Ξενοφάνης δὲ πρῶτος τούτων ἐνίσας (ὁ γὰρ [g]Παρμενίδης τούτου λέγεται μαθητής) οὐθὲν [h]διεσαφήνισεν, [i]οὐδὲ τῆς φύσεως [k]τούτων οὐδετέρας ἔοικε [l]θιγεῖν, ἀλλ'
13 εἰς [m]τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι [n]τὸν θεόν. [o]Οὗτοι μὲν οὖν, καθάπερ εἴπομεν, [p]ἀφετέοι πρὸς τὴν νῦν [q]παροῦσαν ζήτησιν, οἱ μὲν δύο καὶ πάμπαν ὡς ὄντες μικρὸν ἀγροικότεροι, Ξενοφάνης καὶ Μέλισσος· Παρμενίδης δὲ μᾶλλον [r]βλέπων [s]ἔοικέ που λέγειν· παρὰ γὰρ τὸ ὂν τὸ μὴ ὂν οὐθὲν ἀξιῶν εἶναι, ἐξ ἀνάγκης ἓν οἴεται εἶναι τὸ ὂν καὶ ἄλλο οὐθέν (περὶ οὗ [t]σαφεστέρως ἐν τοῖς περὶ φύσεως εἰρήκαμεν), ἀναγκαζόμενος δ' ἀκολουθεῖν τοῖς φαινομένοις, καὶ τὸ ἓν μὲν κατὰ [v]τὸν λόγον, πλείω δὲ κατὰ τὴν αἴσθησιν [w]ὑπολαμβάνων εἶναι, δύο τὰς αἰτίας καὶ δύο [x]τὰς ἀρχὰς [y]πάλιν

[z] φησὶ T.C[b]. [a] τὰ στοιχεῖα λεγόντων E.S.T.H[a].E[b]. [b] φύσεως om. S, τῆς φύσεως T. [c] τὴν om. H[a].E[b]. [d] γε om. S.T.A[b]. [e] γὰρ om. S. [f] τὸν om. T.H[a].A[b].E[b]. [g] παρμενίδης ὃς τούτου E.T.E[b]. [h] διεσάφησεν T. [i] οὔτε A[b]. [k] τούτων post ἔοικε A[b]. [l] θιγεῖν ante ἔοικε S.B[b].C[b]. [m] ὅλον τὸν E[b]. [n] τὸν θεόν om. A[b]. [o] οὕτω T. [p] ἀφετείναντο S.B[b], ἀπεφήναντο C[b]. [q] παροῦσαν add. A[b]. [r] βλέπων om. E. [s] που λέγειν ἔοικε E[b]. [t] σαφέστερον T.A[b]. [v] τὸν om. T. [w] ὑπολαβὼν A[b]. [x] τὰς ante ἀρχὰς om. A[b]. [y] τίθησι πάλιν S.B[b].C[b].

τίθησι, θερμὸν καὶ ψυχρόν, οἷον πῦρ καὶ γῆν λέγων· τούτων δὲ [z]κατὰ μὲν τὸ ὂν τὸ θερμὸν τάττει, θάτερον δὲ κατὰ τὸ μὴ ὄν. [t]Ἐκ μὲν οὖν τῶν εἰρημένων καὶ [a]παρὰ τῶν [b]συνη- 14
δρευκότων ἤδη τῷ λόγῳ σοφῶν [c]τοσαῦτα παρειλήφαμεν, παρὰ μὲν τῶν πρώτων σωματικήν τε τὴν ἀρχήν (ὕδωρ γὰρ καὶ πῦρ καὶ τὰ τοιαῦτα σώματά ἐστιν), καὶ τῶν μὲν μίαν τῶν δὲ [d]πλείους ἀρχὰς τὰς σωματικάς, ἀμφοτέρων μέντοι ταύτας [e]ὡς ἐν ὕλης εἴδει τιθέντων, παρὰ δέ τινων ταύτην τε [f]τὴν αἰτίαν τιθέντων καὶ πρὸς ταύτῃ τὴν ὅθεν ἡ κίνησις, καὶ ταύτην [g]παρὰ τῶν μὲν μίαν παρὰ τῶν δὲ δύο. Μέχρι μὲν 15
οὖν τῶν [t]Ἰταλικῶν καὶ χωρὶς ἐκείνων [h]μετριώτερον εἰρήκασιν οἱ ἄλλοι [i]περὶ αὐτῶν, πλὴν ὥσπερ εἴπομεν, [k]δυοῖν [l]τε αἰτίαιν τυγχάνουσι κεχρημένοι, καὶ τούτων τὴν ἑτέραν οἱ μὲν μίαν οἱ δὲ δύο ποιοῦσι, τὴν ὅθεν ἡ κίνησις· οἱ δὲ Πυθαγόρειοι δύο μὲν τὰς ἀρχὰς κατὰ τὸν αὐτὸν εἰρήκασι τρόπον, τοσοῦτον [m]δὲ προσεπέθεσαν, ὃ καὶ ἴδιόν [n]ἐστιν αὐτῶν, ὅτι τὸ πεπερασμένον καὶ τὸ ἄπειρον [o]καὶ τὸ ἓν οὐχ ἑτέρας τινὰς [p]φήθησαν εἶναι φύσεις, οἷον πῦρ ἢ γῆν ἤ τι τοιοῦτον ἕτερον, ἀλλ' αὐτὸ τὸ ἄπειρον καὶ αὐτὸ τὸ ἓν οὐσίαν εἶναι τούτων ὧν κατηγοροῦνται, διὸ καὶ ἀριθμὸν εἶναι τὴν οὐσίαν [q]ἁπάντων. Περί 16
τε τούτων οὖν [r]τοῦτον ἀπεφήναντο τὸν τρόπον, καὶ περὶ τοῦ τί ἐστιν ἤρξαντο μὲν λέγειν καὶ ὁρίζεσθαι, λίαν δ' ἁπλῶς ἐπραγματεύθησαν. [t]Ὡρίζοντό [s]τε γὰρ ἐπιπολαίως, καὶ ᾧ [t]πρώτῳ [v]ὑπάρξειεν ὁ λεχθεὶς ὅρος, τοῦτ' εἶναι τὴν οὐσίαν τοῦ πράγματος [w]ἐνόμιζον, ὥσπερ εἴ τις οἴοιτο ταὐτὸν εἶναι διπλάσιον καὶ τὴν δυάδα, [x]διότι πρῶτον ὑπάρχει τοῖς [y]δυσὶ τὸ διπλάσιον. [t]Ἀλλ' οὐ ταὐτὸν ἴσως [z]ἐστὶ τὸ εἶναι διπλα- 17

z κατὰ μὲν Ab: ceteri τὸ μὲν κατὰ. a περὶ Eb. b συνεδρευκότων Ab. c τοσαῦτα Ab: vulgo ταῦτα. d πλ. τὰς ἀρχὰς τὰς Ab.Eb. e ὥσπερ ὕλης εἴδη T. f τὴν ante αἰτίαν om. T. g παρ' ὧν μὲν μίαν παρ' ὧν Ab. h μαλακώτερον Ab.Fb. et γρ. E. i περὶ τῶν αὐτῶν E.S.T.Bb.Cb. k δυεῖν T. l τε om. Fb. m δὲ om. T. n ἐστιν αὐτῶν Ab: vulgo αὐτῶν ἐστίν. o καὶ τὸ ἓν om. E.S.T.Bb.Cb.Eb. p φύσεις εἶναι Eb. q πάντων Ab. r ἀπεφήναντο τοῦτον Ab. s τε om. T. t πρώτως Ab. v ὑπάρξειν T. w ἐνόμιζον Ab: ceteri ἐνόμισαν. x ὅτι S. y δύο Ab, z ἐστὶ om. Eb, ante ἴσως ponit Ab.

σίῳ καὶ δυάδι· εἰ δὲ μή, πολλὰ τὸ ἓν ἔσται, ὃ κἀκείνοις συνέβαινεν. Παρὰ μὲν οὖν τῶν [a]πρότερον καὶ τῶν ἄλλων τοσαῦτα ἔστι λαβεῖν.

6 Μετὰ δὲ τὰς εἰρημένας φιλοσοφίας ἡ Πλάτωνος [b]ἐπεγένετο πραγματεία, τὰ μὲν πολλὰ τούτοις ἀκολουθοῦσα, τὰ δὲ καὶ ἴδια παρὰ τὴν τῶν [c]Ἰταλικῶν ἔχουσα φιλοσοφίαν.
2 [d]Ἐκ νέου [e]τε γὰρ [d]συνήθης γενόμενος πρῶτον Κρατύλῳ καὶ ταῖς [f]Ἡρακλειτείοις δόξαις, ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων καὶ ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης, ταῦτα μὲν καὶ ὕστερον [e]οὕτως ὑπέλαβεν· Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐθέν, ἐν [f]μέντοι τούτοις τὸ καθόλου ζητοῦντος καὶ περὶ ὁρισμῶν ἐπιστήσαντος πρώτου τὴν διάνοιαν, [g]ἐκεῖνον ἀποδεξάμενος διὰ τὸ τοιοῦτον ὑπέλαβεν ὡς περὶ ἑτέρων τοῦτο [h]γινόμενον καὶ οὐ τῶν αἰσθητῶν τινός· ἀδύνατον γὰρ εἶναι τὸν κοινὸν [i]ὅρον τῶν
3 αἰσθητῶν τινός, ἀεί γε μεταβαλλόντων. [k]Οὗτος [l]μὲν οὖν τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσε, τὰ δ' αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα· κατὰ μέθεξιν γὰρ εἶναι τὰ πολλὰ τῶν [m]συνωνύμων τοῖς εἴδεσιν. Τὴν δὲ μέθεξιν τοὔνομα μόνον [n]μετέβαλεν· οἱ μὲν γὰρ Πυθαγόρειοι [o]μιμήσει τὰ ὄντα φασὶν εἶναι τῶν ἀριθμῶν, Πλάτων δὲ με-
4 θέξει, [p]τοὔνομα μεταβαλών. Τὴν μέντοι [q]γε μέθεξιν ἢ τὴν μίμησιν, [r]ἥτις ἂν εἴη τῶν εἰδῶν, [s]ἀφεῖσαν [t]ἐν κοινῷ ζητεῖν.
[u]Ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη τὰ μαθηματικὰ τῶν πραγμάτων εἶναί [v]φησι μεταξύ, διαφέροντα τῶν μὲν αἰσθητῶν τῷ ἀΐδια καὶ ἀκίνητα εἶναι, τῶν δ' εἰδῶν τῷ τὰ μὲν πόλλ'
5 [w]ἄττα ὅμοια εἶναι τὸ δὲ εἶδος αὐτὸ ἓν ἕκαστον μόνον. [u]Ἐπεὶ

[a] προτέρων $E^b.F^b$. [b] ἐγένετο S. [c] τε om. A^b. [d] συνήθης γενόμενος A^b: ceteri συγγενόμενος. [e] οὗτος E, οὔτε B^b. [f] μέντοι] δὲ A^b. [g] ἐκείνων E^b. [h] γινόμενον καὶ οὐ περὶ τῶν αἰσθητῶν. ἀδύνατον A^b. [i] ὅρον] λόγον E.S.B^b.C^b.E^b. [k] οὕτως S.A^b.C^b.E^b. [l] τὰ μὲν οὖν A^b. [m] συνωνύμων τοῖς A^b.F^b. et γρ. E: ceteri συνωνύμων ὁμώνυμα τοῖς. [n] μετέβαλλεν T, μετέλαβεν A^b.F^b. μεταβάλλων E^b. [o] μίμησιν T. [p] τοὔνομα μεταβαλών om. A^b. [q] γε om. A^b. [r] ἥτις] τίς E^b. [s] ἀφῆσαν A^b. [t] ἐκ κοινῶν S.B^b.C^b. [v] φασι E^b. [w] ἄττα] τὰ A^b, om. F^b.

δ' αἴτια τὰ εἴδη τοῖς ἄλλοις, τἀκείνων στοιχεῖα [x] πάντων ᾠήθη τῶν ὄντων εἶναι στοιχεῖα. [t]Ὡς μὲν οὖν ὕλην τὸ μέγα καὶ τὸ μικρὸν εἶναι ἀρχάς, ὡς δ' οὐσίαν τὸ ἕν· ἐξ ἐκείνων [y] γὰρ κατὰ μέθεξιν τοῦ ἑνὸς τὰ εἴδη εἶναι τοὺς ἀριθμούς. Τὸ μέντοι γε ἓν οὐσίαν εἶναι, καὶ μὴ ἕτερόν [z] γέ τι [a] ὂν λέ- 6
γεσθαι [b] ἕν, παραπλησίως τοῖς Πυθαγορείοις ἔλεγε, καὶ τὸ τοὺς ἀριθμοὺς αἰτίους εἶναι τοῖς [c] ἄλλοις τῆς οὐσίας ὡσαύτως ἐκείνοις· τὸ δὲ ἀντὶ τοῦ ἀπείρου ὡς ἑνὸς δυάδα ποιῆσαι [d] καὶ τὸ ἄπειρον ἐκ μεγάλου καὶ μικροῦ, τοῦτ' ἴδιον· καὶ [e] ὅτι ὁ μὲν τοὺς ἀριθμοὺς παρὰ τὰ αἰσθητά, οἱ δ' ἀριθμοὺς εἶναί φασιν αὐτὰ τὰ πράγματα, καὶ τὰ μαθηματικὰ μεταξὺ τούτων οὐ τιθέασιν. Τὸ μὲν οὖν τὸ ἓν καὶ [f] τοὺς ἀριθμοὺς παρὰ 7
τὰ πράγματα ποιῆσαι, καὶ μὴ ὥσπερ οἱ [g] Πυθαγόρειοι, καὶ ἡ τῶν εἰδῶν εἰσαγωγὴ διὰ τὴν ἐν τοῖς λόγοις ἐγένετο σκέψιν (οἱ γὰρ πρότεροι διαλεκτικῆς οὐ μετεῖχον), τὸ δὲ δυάδα ποιῆσαι [h] τὴν ἑτέραν φύσιν διὰ τὸ τοὺς ἀριθμοὺς ἔξω τῶν πρώτων εὐφυῶς ἐξ αὐτῆς γεννᾶσθαι, ὥσπερ ἔκ τινος ἐκμαγείου. Καίτοι [i] συμβαίνει γ' ἐναντίως· οὐ γὰρ εὔλογον οὕ- 8
τως. [k]Οἱ μὲν γὰρ ἐκ τῆς ὕλης πολλὰ ποιοῦσιν, τὸ δ' εἶδος ἅπαξ γεννᾷ μόνον, φαίνεται δ' ἐκ μιᾶς ὕλης μία τράπεζα, ὁ δὲ τὸ εἶδος ἐπιφέρων εἷς ὢν πολλὰς ποιεῖ. [t]Ὁμοίως δ' ἔχει καὶ τὸ ἄρρεν πρὸς τὸ θῆλυ· τὸ μὲν γὰρ [l] θῆλυ ὑπὸ μιᾶς πληροῦται ὀχείας, τὸ δ' ἄρρεν πολλὰ πληροῖ· καίτοι ταῦτα μιμήματα τῶν ἀρχῶν ἐκείνων ἐστίν. Πλάτων μὲν οὖν περὶ 9
τῶν ζητουμένων οὕτω [m] διώρισεν· φανερὸν δ' ἐκ τῶν εἰρημένων ὅτι δυοῖν αἰτίαιν μόνον [n] κέχρηται, τῇ τε τοῦ τί ἐστι καὶ τῇ κατὰ τὴν ὕλην· τὰ γὰρ εἴδη τοῦ τί ἐστιν αἴτια τοῖς ἄλλοις, τοῖς δ' εἴδεσι τὸ ἕν. Καὶ τίς ἡ ὕλη ἡ ὑποκειμένη, καθ' ἣς τὰ 10
εἴδη [o] μὲν ἐπὶ τῶν αἰσθητῶν τὸ δ' ἓν ἐν τοῖς εἴδεσι λέγεται,

[x] ἁπάντων τῶν ὄντων ᾠήθη A^b. [y] γὰρ τὰ κατὰ T. [z] γε add. $A^b.F^b$. [a] ὂν] τὸ ὂν E. [b] ἕν $A^b.E^b.F^b$, om. T: ceteri εἶναι. [c] ὅλοις T. γρ. τῆς ὅλης οὐσίας E. [d] καὶ τὸ A^b: ceteri τὸ δ'. [e] ὅτι A^b: ceteri ἔτι. [f] τὸν ἀριθμὸν $A^b.H^b$. [g] πυθαγορικοὶ F^b. [h] τὴν] καὶ τὴν S. [i] γε συμβαίνει T. [k] οἱ A^b: ceteri νῦν. [l] θῆλυ add. A^b. [m] διώριζε A^b. [n] κέχρηται A^b, κεχρημένος T. et, addito ἐστι ante μόνον, ceteri. [o] μὲν] τὰ μὲν omnes præter A^b.

[p]ὅτι [q]αὕτη δυάς ἐστι, τὸ μέγα καὶ τὸ μικρόν. [r]Ἔτι δὲ τὴν τοῦ εὖ καὶ τοῦ κακῶς αἰτίαν τοῖς στοιχείοις ἀπέδωκεν ἑκατέροις ἑκατέραν, [s]ὥσπερ φαμὲν καὶ τῶν προτέρων ἐπιζητῆσαί τινας [t]φιλοσόφων, οἷον [u]Ἐμπεδοκλέα καὶ [u]Ἀναξαγόραν.

7 Συντόμως μὲν οὖν καὶ κεφαλαιωδῶς ἐπεληλύθαμεν τίνες τε καὶ πῶς τυγχάνουσιν εἰρηκότες περί τε [v]τῶν ἀρχῶν καὶ τῆς ἀληθείας· ὅμως δὲ [w]τοσοῦτόν [x]γ' ἔχομεν ἐξ αὐτῶν, ὅτι τῶν λεγόντων περὶ ἀρχῆς καὶ αἰτίας οὐθεὶς ἔξω τῶν ἐν τοῖς [y]περὶ φύσεως ἡμῖν διωρισμένων εἴρηκεν, ἀλλὰ πάντες ἀμυδρῶς μὲν 2 ἐκείνων δέ πως φαίνονται θιγγάνοντες. Οἱ μὲν γὰρ ὡς ὕλην τὴν ἀρχὴν λέγουσιν, [z]ἄν τε μίαν [z]ἄν τε πλείους ὑποθῶσι, καὶ ἐάν τε σῶμα ἐάν τε [a]ἀσώματον τιθῶσιν, οἷον Πλάτων μὲν τὸ μέγα καὶ τὸ μικρὸν λέγων, οἱ δ' [u]Ἰταλικοὶ τὸ ἄπειρον, [u]Ἐμπεδοκλῆς δὲ πῦρ καὶ γῆν καὶ [b]ὕδωρ καὶ 3 ἀέρα, [u]Ἀναξαγόρας δὲ τὴν τῶν ὁμοιομερῶν ἀπειρίαν. Οὗτοί τε δὴ πάντες τῆς τοιαύτης αἰτίας ἡμμένοι εἰσί, καὶ ἔτι ὅσοι ἀέρα ἢ πῦρ ἢ ὕδωρ ἢ πυρὸς μὲν πυκνότερον ἀέρος δὲ λεπτότερον· καὶ γὰρ τοιοῦτόν τινες εἰρήκασιν εἶναι τὸ πρῶτον στοιχεῖον. Οὗτοι μὲν οὖν ταύτης τῆς αἰτίας ἥψαντο [c]μόνον, ἕτεροι δέ τινες ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, οἷον ὅσοι φιλίαν 4 καὶ νεῖκος [d]ἢ νοῦν ἢ ἔρωτα ποιοῦσιν ἀρχήν. Τὸ δὲ τί ἦν εἶναι καὶ τὴν οὐσίαν σαφῶς μὲν οὐθεὶς [e]ἀπέδωκε, μάλιστα δ' οἱ τὰ εἴδη τιθέντες λέγουσιν· οὔτε γὰρ ὡς [f]ὕλην τοῖς αἰσθητοῖς τὰ εἴδη καὶ τὰ ἐν τοῖς εἴδεσιν, οὔθ' ὡς ἐντεῦθεν τὴν ἀρχὴν τῆς κινήσεως γιγνομένην ὑπολαμβάνουσιν (ἀκινησίας γὰρ [g]αἰτια μᾶλλον καὶ τοῦ ἐν ἠρεμίᾳ εἶναί φασιν), ἀλλὰ τὸ τί ἦν εἶναι ἑκάστῳ τῶν ἄλλων τὰ εἴδη παρέχονται, τοῖς δ' εἴδεσι τὸ 5 ἕν. Τὸ δ' οὗ ἕνεκα αἱ πράξεις καὶ αἱ μεταβολαὶ καὶ αἱ κινή-

p ὅτι—μικρόν om. A^b. q δυὰς αὕτη T. r δὲ] τε καὶ F^b. s ὥσπερ A^b F^b: ceteri ὅπερ μᾶλλον. t φιλοσόφων $A^b.F^b$: vulgo φιλοσόφους. v τῶν ἀρχῶν om. S. w τοῦτόν S. x γ' om. $F^b.H^b$. y περὶ τῆς φύσεως S.$B^b.C^b$. z ἐάν—ἐάν T. a ἀσωμάτους E.T, ἀσωμάτως S.C^b. b ἀέρα καὶ ὕδωρ E^b. c μόνον om. E^b. d ἢ νοῦν] καὶ νοῦν E.S.$B^b.C^b$. e ἀποδέδωκε E.S.$B^b.C^b$. f ὕλη A^b. g αἴτια E, αἰτία E^b: ceteri αἰτίαν, T. post μᾶλλον.

σεις, τρόπον μέν τινα λέγουσιν αἴτιον, οὕτω δὲ οὐ λέγουσιν, οὐδ' ὅνπερ [h]πέφυκεν. Οἱ μὲν γὰρ νοῦν λέγοντες [i]ἢ φιλίαν ὡς ἀγαθὸν μέν [k]τι [l]ταύτας τὰς αἰτίας τιθέασιν, οὐ μὴν ὡς ἕνεκά γε τούτων ἢ ὂν ἢ γιγνόμενόν τι τῶν ὄντων, ἀλλ' ὡς ἀπὸ τούτων τὰς κινήσεις [m]οὔσας λέγουσιν. [t]Ὡς δ' αὕτως καὶ 6
οἱ τὸ [n]ἓν ἢ τὸ ὂν φάσκοντες εἶναι τὴν τοιαύτην φύσιν, τῆς [o]μὲν οὐσίας [p]αἴτιόν φασιν εἶναι, οὐ μὴν τούτου γε ἕνεκα [q]ἢ εἶναι ἢ γίγνεσθαι. [v]Ὥστε λέγειν [r]τε καὶ μὴ λέγειν πως συμβαίνει αὐτοῖς τἀγαθὸν [s]αἴτιον· οὐ γὰρ ἁπλῶς [t]ἀλλὰ κατὰ [v]συμβεβηκὸς λέγουσιν. [v]Ὅτι μὲν οὖν ὀρθῶς διώρισται περὶ 7
τῶν αἰτίων, καὶ [w]πόσα καὶ ποῖα, μαρτυρεῖν ἐοίκασιν ἡμῖν καὶ οὗτοι πάντες, οὐ δυνάμενοι θιγεῖν ἄλλης αἰτίας. Πρὸς δὲ τούτοις, ὅτι ζητητέαι αἱ ἀρχαὶ ἢ οὕτως ἅπασαι ἢ τινὰ τρόπον [x]τούτων, δῆλον. Πῶς δὲ τούτων ἕκαστος εἴρηκε, καὶ πῶς ἔχει περὶ τῶν ἀρχῶν, τὰς ἐνδεχομένας ἀπορίας μετὰ τοῦτο διέλθωμεν περὶ αὐτῶν.

[v]Ὅσοι μὲν οὖν ἕν [y]τε τὸ πᾶν καὶ [z]μίαν τινὰ φύσιν ὡς ὕλην 8
τιθέασι, καὶ ταύτην σωματικὴν καὶ μέγεθος ἔχουσαν, δῆλον ὅτι πολλαχῶς ἁμαρτάνουσιν. Τῶν γὰρ σωμάτων τὰ στοιχεῖα τιθέασι μόνον, τῶν δ' ἀσωμάτων οὔ, [a]ὄντων καὶ ἀσωμάτων. Καὶ περὶ γενέσεως καὶ φθορᾶς ἐπιχειροῦντες τὰς αἰτίας λέγειν, καὶ περὶ [b]πάντων φυσιολογοῦντες, τὸ τῆς κινήσεως αἴτιον ἀναιροῦσιν. [v]Ἔτι δὲ τὸ τὴν οὐσίαν μηθενὸς αἰ- 2
τίαν τιθέναι, μηδὲ τὸ τί ἐστι, καὶ πρὸς τούτοις τὸ ῥᾳδίως των ἁπλῶν σωμάτων [c]λέγειν ἀρχὴν ὁτιοῦν πλὴν γῆς, οὐκ ἐπισκεψάμενοι τὴν ἐξ ἀλλήλων γένεσιν πῶς ποιοῦνται, λέγω δὲ πῦρ [d]καὶ [e]ὕδωρ καὶ γῆν καὶ ἀέρα· τὰ μὲν γὰρ συγκρί-

h πέφυκε τρόπον. οἱ E. i ἢ] καὶ A^b. k τι] τοι E^b, om. A^b. l τὰς αἰτίας ταύτας S.B^b.C^b. m οὔσας A^b, τούτων εἶναι S.B^b.C^b, ceteri εἶναι τούτων. n ὂν ἢ τὸ ἓν A^b. o οὐσίας μὲν E.S.B^b.C^b.E^b. p φασιν αἴτιον E^b. q ἢ ante εἶναι om. A^b. r τε om. T. s αἴτιον] τοιοῦτον S.B^b.C^b. t ἀλλὰ καὶ κατὰ C^b. v συμβεβηκὸς εἶναι λέγουσιν rc. E^b. w πόσαι καὶ ποῖαι E^b. x τοῦτον S. y τι H^b. z μίαν εἶναί τινα E.S.T.H^a.B^b.C^b.E^b. a ὄντων καὶ ἀσωμάτων om. A^b. b ἁπάντων A^b. c λέγειν] εἶναι E^b. d καὶ post πῦρ om. B^b. e γῆν καὶ ὕδωρ A^b.

3 σει, τὰ δὲ διακρίσει ἐξ ἀλλήλων γίγνεται. Τοῦτο δὲ πρὸς τὸ πρότερον εἶναι καὶ ὕστερον διαφέρει πλεῖστον· [f]τῇ μὲν γὰρ ἂν δόξειε στοιχειωδέστατον εἶναι πάντων ἐξ οὗ γίγνονται συγκρίσει πρώτου, τοιοῦτον δὲ τὸ μικρομερέστατον καὶ λε-
4 πτότατον ἂν εἴη τῶν σωμάτων. Διόπερ ὅσοι πῦρ ἀρχὴν τιθέασι, μάλιστα ὁμολογουμένως ἂν τῷ λόγῳ τούτῳ λέγοιεν. Τοιοῦτον δὲ καὶ τῶν ἄλλων [g]ἕκαστος ὁμολογεῖ τὸ στοιχεῖον εἶναι [h]τὸ τῶν σωμάτων. Οὐθεὶς [i]γοῦν [k]τῶν ὕστερον ἠξίωσε καὶ ἓν λεγόντων γῆν εἶναι στοιχεῖον, δηλονότι διὰ τὴν μεγα-
5 λομέρειαν. Τῶν δὲ τριῶν [l]στοιχείων ἕκαστον εἵληφε κριτήν [m]τινα· οἱ μὲν [n]γὰρ πῦρ, οἱ δ' ὕδωρ, οἱ δ' ἀέρα τοῦτ' εἶναί φασιν. Καίτοι διὰ τί ποτ' οὐ [o]καὶ τὴν γῆν λέγουσιν, ὥσπερ οἱ πολλοὶ τῶν ἀνθρώπων; Πάντα γὰρ εἶναί [p]φασι γῆν.
6 Φησὶ δὲ καὶ [r]Ἡσίοδος τὴν γῆν πρώτην [q]γενέσθαι τῶν σωμάτων· οὕτως ἀρχαίαν καὶ δημοτικὴν [r]συμβέβηκεν εἶναι τὴν ὑπόληψιν. Κατὰ μὲν οὖν τοῦτον τὸν λόγον οὔτ' εἴ τις τούτων [s]τι λέγει πλὴν πυρός, οὔτ' εἴ τις ἀέρος μὲν πυκνότερον τοῦτο τίθησιν ὕδατος δὲ λεπτότερον, οὐκ ὀρθῶς ἂν λέγοι.
7 Εἰ δ' ἔστι τὸ τῇ γενέσει [t]ὕστερον τῇ φύσει πρότερον, τὸ δὲ [v]πεπεμμένον καὶ συγκεκριμένον ὕστερον τῇ γενέσει, τοὐναντίον ἂν εἴη τούτων, ὕδωρ μὲν ἀέρος πρότερον, γῆ δὲ ὕδατος. Περὶ μὲν οὖν τῶν μίαν τιθεμένων αἰτίαν οἵαν εἴπομεν, ἔστω ταῦτ' εἰρημένα· τὸ δ' αὐτὸ κἂν εἴ τις [w]ταῦτα πλείω τίθησιν, οἷον [x]Ἐμπεδοκλῆς τέτταρά φησιν εἶναι σώματα τὴν
8 ὕλην. Καὶ γὰρ τούτῳ τὰ μὲν ταὐτὰ τὰ δ' ἴδια συμβαίνειν ἀνάγκη. Γιγνόμενά τε γὰρ ἐξ ἀλλήλων ὁρῶμεν ὡς οὐκ ἀεὶ διαμένοντος πυρὸς καὶ γῆς τοῦ αὐτοῦ σώματος (εἴρηται δὲ ἐν

[f] τῇ A^b, πῇ E, γῇ S.B^b.C^b, πῦρ T.E^b: vulgo deest. margo E. γρ. τί μὲν καὶ νῦν μέν, ἔστιν ὅτε καὶ τῇ μέν. [g] ἕκαστον ὡμολογεῖτο A^b. [h] τὸ alterum om. A^b. [i] γὰρ B^b.E^b. [k] τῶν ὕστ. ἠξίωσε καὶ] ἠξίωσε τῶν A^b. [l] ἕκαστον στοιχείων E.T.C^b, ἕκαστον στοιχεῖον S.B^b.E^b. [m] τινα om. A^b. [n] γὰρ τὸ πῦρ E^b. [o] καὶ] δὲ A^b. [p] φασι τὴν γῆν T.B^b.E^b. [q] γεγενῆσθαι A^b. [r] συμβέβηκεν εἶναι] εἶχε A^b. [s] τι post λέγει A^b, om. E^b. [t] πρότερον τῇ φύσει ὕστερον A^b.F^b.H^b. [v] πεπεμένον T. [w] πλείω ταῦτα S.

τοῖς περὶ φύσεως περὶ αὐτῶν)· καὶ περὶ τῆς τῶν [x] κινουμένων
αἰτίας, πότερον ἓν ἢ δύο θετέον, [y] οὔτ' ὀρθῶς οὔτε [z] εὐλόγως
οἰητέον εἰρῆσθαι παντελῶς. [a] Ὅλως τε ἀλλοίωσιν ἀναιρεῖ- 9
σθαι ἀνάγκη τοῖς οὕτω λέγουσιν· οὐ γὰρ ἐκ θερμοῦ ψυχρὸν
οὐδὲ ἐκ ψυχροῦ θερμὸν [b] ἔσται. Τί γὰρ [c] ἂν αὐτὰ πάσχοι
τἀναντία, καὶ τίς [d] ἂν εἴη μία φύσις ἡ γιγνομένη πῦρ καὶ
ὕδωρ; [e] Ὁ ἐκεῖνος οὔ φησιν. [f] Ἀναξαγόραν δ' εἴ τις [g] ὑπο- 10
λάβοι δύο λέγειν στοιχεῖα, μάλιστ' ἂν ὑπολάβοι κατὰ λό-
γον, ὃν ἐκεῖνος αὐτὸς μὲν [h] οὐ διήρθρωσεν, ἠκολούθησε μέντ'
ἂν ἐξ ἀνάγκης τοῖς [i] ἐπάγουσιν αὐτόν. [k] Ἀτόπου γὰρ ὄντος 11
καὶ ἄλλως τοῦ φάσκειν μεμῖχθαι τὴν ἀρχὴν πάντα, καὶ διὰ
τὸ συμβαίνειν ἄμικτα δεῖν προϋπάρχειν, καὶ διὰ τὸ μὴ πε-
φυκέναι τῷ τυχόντι μίγνυσθαι τὸ τυχόν, πρὸς δὲ τούτοις
ὅτι τὰ πάθη καὶ τὰ συμβεβηκότα χωρίζοιτ' ἂν τῶν οὐσιῶν
(τῶν γὰρ αὐτῶν μῖξίς ἐστι καὶ χωρισμός), ὅμως εἴ τις ἀκο-
λουθήσειε συνδιαρθρῶν ἃ βούλεται λέγειν, ἴσως ἂν φανείη
καινοπρεπεστέρως λέγων. [l] Ὅτε γὰρ οὐθὲν ἦν [m] ἀποκεκριμέ- 12
νον, δῆλον ὡς οὐθὲν ἦν ἀληθὲς εἰπεῖν κατὰ τῆς οὐσίας [n] ἐκεί-
νης, λέγω δ' [o] οἷον ὅτι οὔτε λευκὸν οὔτε μέλαν ἢ φαιὸν [p] ἢ
ἄλλο χρῶμα, ἀλλ' [q] ἄχρων [r] ἦν ἐξ ἀνάγκης· εἶχε γὰρ ἄν τι
[s] τούτων τῶν χρωμάτων. [t] Ὁμοίως δὲ καὶ ἄχυμον, [u] καὶ τῷ 13
αὐτῷ λόγῳ [v] τούτῳ οὐδὲ [w] ἄλλο [x] τι τῶν ὁμοίων οὐθέν· οὔτε
γὰρ ποιόν τι οἷόν τε αὐτὸ εἶναι οὔτε ποσὸν οὔτε τί. Τῶν
[y] γὰρ ἐν μέρει [z] τι λεγομένων εἰδῶν ὑπῆρχεν ἂν [a] αὐτῷ, [b] τοῦτο
δὲ ἀδύνατον μεμιγμένων γε πάντων· ἤδη γὰρ ἂν ἀπεκέκριτο,
φησὶ δ' εἶναι μεμιγμένα πάντα πλὴν τοῦ νοῦ, τοῦτον δὲ
ἀμιγῆ μόνον καὶ καθαρόν. [c] Ἐκ [d] δὴ τούτων συμβαίνει λέ- 14

[x] κινούντων A^b: ceteri κινουμένων. [y] οὔτ'] ὃ οὔτ' A^b. [z] ἀλόγως S.T.B^b.C^b.E^b. et pr. E. [a] ὅλως—φησιν om. A^b. [b] ἐστι S.T.B^b. [c] αὐτὰ ἂν E.T.E^b. [d] εἴη ἂν E.S.B^b.C^b. [e] ὑπολαμβάνει F^b. [f] οὐ] οὐ σαφῶς A^b. [g] διήρθρωκεν T. [h] ἐπάγουσιν A^b: ceteri λέγουσιν. [i] ἀποκεκρυμμένον S. [k] ἐκείνοις C^b. [l] οἷον add. A^b. [m] ἢ ἄλλο χρῶμα om. A^b. [n] ἄχροον S.T.B^b.C^b, ἄχρων E^b, ἀχρώματον A^b. [o] ἦν om. A^b. [p] τῶν χρωμάτων τούτων A^b. [q] καὶ ante τῷ add. A^b. [r] τοῦτο T. [s] ἄλλο om. T. [t] τι ante τῶν add. A^b. [u] γὰρ] δὲ E^b. [v] τι λεγομένων om T. [x] αὐτό E^b. [y] τούτω C^b. [z] δὴ] δὲ H^b, μὲν δὴ F^b.

γειν αὐτῷ τὰς ἀρχὰς τό τε ἕν (τοῦτο γὰρ ἁπλοῦν καὶ ἀμιγές) καὶ [a] θάτερον, οἷον τίθεμεν τὸ ἀόριστον πρὶν ὁρισθῆναι καὶ μετασχεῖν εἴδους τινός. [v]Ὥστε λέγεται μὲν οὔτ' ὀρθῶς οὔτε σαφῶς, βούλεται μέντοι [b]τι παραπλήσιον τοῖς τε ὕστερον λέγουσι καὶ τοῖς [b] νῦν φαινομένοις μᾶλλον. [1]Ἀλλὰ γὰρ οὗτοι μὲν τοῖς περὶ γένεσιν λόγοις καὶ φθορὰν καὶ κίνησιν οἰκεῖοι τυγχάνουσι μόνον· σχεδὸν γὰρ περὶ [c] τῆς τοιαύτης 16 οὐσίας καὶ τὰς ἀρχὰς καὶ τὰς αἰτίας ζητοῦσι [d] μόνον. [v]Οσοι δὲ περὶ μὲν ἁπάντων τῶν ὄντων [e] ποιοῦνται τὴν θεωρίαν, τῶν δ' ὄντων τὰ μὲν αἰσθητὰ τὰ δ' οὐκ αἰσθητὰ τιθέασι, δῆλον ὡς περὶ ἀμφοτέρων τῶν γενῶν ποιοῦνται τὴν ἐπίσκεψιν· διὸ μᾶλλον ἄν τις ἐνδιατρίψειε περὶ αὐτῶν, τί καλῶς ἢ μὴ καλῶς 17 λέγουσιν εἰς τὴν τῶν νῦν ἡμῖν προκειμένων σκέψιν. Οἱ μὲν οὖν καλούμενοι Πυθαγόρειοι ταῖς μὲν ἀρχαῖς καὶ τοῖς στοιχείοις ἐκτοπωτέρως χρῶνται [f] τῶν φυσιολόγων. Τὸ δ' αἴτιον ὅτι παρέλαβον αὐτὰς οὐκ ἐξ αἰσθητῶν· τὰ γὰρ μαθηματικὰ τῶν ὄντων ἄνευ κινήσεώς ἐστιν, ἔξω τῶν περὶ τὴν 18 ἀστρολογίαν. Διαλέγονται μέντοι καὶ πραγματεύονται [g] περὶ φύσεως πάντα· γεννῶσί [h] τε γὰρ τὸν οὐρανόν, καὶ περὶ τὰ τούτου μέρη καὶ τὰ πάθη καὶ [i] τὰ ἔργα διατηροῦσι τὸ συμβαῖνον, καὶ τὰς ἀρχὰς καὶ τὰ αἴτια εἰς ταῦτα καταναλίσκουσιν, ὡς ὁμολογοῦντες τοῖς ἄλλοις φυσιολόγοις ὅτι τό γε ὂν τοῦτ' ἐστὶν ὅσον αἰσθητόν ἐστι καὶ περιείληφεν ὁ καλούμενος 19 οὐρανός. Τὰς δ' αἰτίας καὶ τὰς ἀρχάς, ὥσπερ εἴπομεν, [k] ἱκανὰς λέγουσιν ἐπαναβῆναι καὶ ἐπὶ τὰ [l] ἀνωτέρω τῶν ὄντων, 20 καὶ μᾶλλον ἢ τοῖς περὶ φύσεως λόγοις ἁρμοττούσας. [1]Εκ τίνος μέντοι τρόπου κίνησις ἔσται πέρατος καὶ ἀπείρου [m] μόνον ὑποκειμένων καὶ περιττοῦ καὶ ἀρτίου, οὐθὲν λέγουσιν, ἢ πῶς δυνατὸν ἄνευ κινήσεως καὶ μεταβολῆς γένεσιν εἶναι καὶ 21 φθορὰν ἢ τὰ τῶν φερομένων ἔργα κατὰ τὸν οὐρανόν. [1]Ετι

[a] θάτερον, καθάπερ ὄν, οἷον E.S.B[b].C[b]. [b] τι et νῦν om. F[b]. [c] τῆς] τε E[b], τε τῆς T.C[b]. [d] μόνης A[b]. [e] ποιοῦσι E.S.T. [f] τὴν φυσιολογίαν E[b]. [g] πάντα περὶ φύσεως A[b]. [h] τε om. T. [i] τὰ ante ἔργα om. A[b]. [k] ἱκανὰς ὡς λέγουσι καὶ ἐπ. S.C[b]. [l] ἀνώτερα T. [m] μόνων E.

δὲ [n] εἴτε δῴη τις αὐτοῖς ἐκ τούτων εἶναι [o] τὸ μέγεθος [p] εἴτε δειχθείη τοῦτο, [q] ὅμως τίνα τρόπον ἔσται τὰ μὲν κοῦφα τὰ δὲ βάρος ἔχοντα τῶν σωμάτων; [1] Ἐξ ὧν γὰρ ὑποτίθενται καὶ λέγουσιν, οὐθὲν μᾶλλον περὶ τῶν μαθηματικῶν λέγουσι σωμάτων ἢ [r] περὶ τῶν αἰσθητῶν· διὸ περὶ πυρὸς ἢ γῆς ἢ τῶν ἄλλων τῶν τοιούτων σωμάτων οὐδ' ὁτιοῦν εἰρήκασιν, ἅτε οὐθὲν περὶ τῶν αἰσθητῶν οἶμαι λέγοντες ἴδιον. [1] Ἔτι [s] δὲ πῶς 22
δεῖ λαβεῖν αἴτια μὲν [t] εἶναι τὰ τοῦ ἀριθμοῦ πάθη καὶ τὸν ἀριθμὸν τῶν κατὰ [v] τὸν οὐρανὸν ὄντων καὶ γιγνομένων καὶ ἐξ ἀρχῆς καὶ νῦν, ἀριθμὸν δ' ἄλλον μηθένα εἶναι παρὰ τὸν ἀριθμὸν τοῦτον ἐξ οὗ συνέστηκεν ὁ κόσμος; [w] Ὅταν γὰρ ἐν 23
τῳδὶ μὲν τῷ μέρει δόξα καὶ καιρὸς [x] αὐτοῖς ᾖ, μικρὸν δὲ ἄνωθεν ἢ κάτωθεν [y] ἀδικία καὶ [y] κρίσις ἢ μῖξις, ἀπόδειξιν δὲ λέγωσιν ὅτι τούτων [z] μὲν [a] ἓν ἕκαστον ἀριθμός ἐστι, συμβαίνει δὲ κατὰ [b] τὸν τόπον τοῦτον ἤδη πλῆθος εἶναι τῶν συνισταμένων μεγεθῶν διὰ τὸ τὰ πάθη ταῦτα ἀκολουθεῖν τοῖς τόποις ἑκάστοις, [c] πότερον οὗτος [d] ὁ αὐτός [e] ἐστιν ἀριθμὸς ὁ ἐν τῷ οὐρανῷ, ὃν δεῖ λαβεῖν ὅτι τούτων ἕκαστόν ἐστιν, ἢ παρὰ τοῦτον ἄλλος; [1] Ὁ μὲν γὰρ Πλάτων ἕτερον εἶναί φησιν· 24
καίτοι κἀκεῖνος ἀριθμοὺς οἴεται καὶ ταῦτα εἶναι καὶ τὰς τούτων αἰτίας, ἀλλὰ τοὺς μὲν νοητοὺς αἰτίους, τούτους δὲ αἰσθητούς.

[f] Περὶ μὲν οὖν τῶν Πυθαγορείων ἀφείσθω [g] τὰ νῦν· ἱκα- 9
νὸν γὰρ αὐτῶν ἅψασθαι [h] τοσοῦτον. Οἱ δὲ τὰς ἰδέας [i] αἰτίας τιθέμενοι πρῶτον μὲν ζητοῦντες [k] τωνδὶ τῶν ὄντων λαβεῖν τὰς αἰτίας ἕτερα τούτοις ἴσα τὸν ἀριθμὸν ἐκόμισαν, ὥσπερ εἴ τις ἀριθμῆσαι βουλόμενος ἐλαττόνων μὲν ὄντων οἴοιτο μὴ δυνήσεσθαι, πλείω δὲ ποιήσας ἀριθμοίη· σχεδὸν

[n] εἴτι S.T. [o] τὸ add. $A^b.F^b$. [p] εἶτα S. [q] ὁμοίως $S.B^b.C^b.E^b$. [r] περὶ post ἢ om. A^b. [s] δὲ] καὶ F^b. [t] εἶναι om. T. [v] τῶν οὐρανῶν $S.E^b$. [w] ἢ αὐτοῖς T. [x] ἀνικία $E^b.H^b$. [y] διάκρισις $E.S.T.B^b.C^b$. [z] μὲν om. A^b. [a] ἓν om. S.T. [b] τὸν τρόπον τοῦτον S.T, τοῦτον τὸν τόπον $A^b.F^b$. [c] πότερον] πότερον δὲ A^b, πότερον οὖν E^b. [d] ὁ αὐτὸς post ἐστιν $B^b.C^b$, om. E^b. [e] ἀριθμός ἐστιν A^b. [f] περὶ μὲν οὖν] καὶ περὶ μὲν F^b. [g] τὸ E.S.T.$B^b.C^b$. [h] τοσοῦτον] μόνον F^b. [i] αἰτίας om. $E.S.B^b.C^b.E^b.H^b$. [k] τῶν διὰ τῶν S.

γὰρ ἴσα ἢ οὐκ ἐλάττω [l]τὰ εἴδη ἐστὶ τούτων περὶ ὧν ζητοῦντες τὰς αἰτίας ἐκ τούτων [m]ἐπ' ἐκεῖνα προῆλθον· καθ' ἕκαστον γὰρ ὁμώνυμόν τί ἐστι, καὶ παρὰ τὰς οὐσίας τῶν [m]τε ἄλλων [n]ὧν ἐστὶν [o]ἓν ἐπὶ πολλῶν, καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς
2 ἀϊδίοις. [q]Ἔτι [p]καθ' οὓς [q]τρόπους δείκνυμεν [r]ὅτι [s]ἔστι τὰ εἴδη, κατ' οὐθένα φαίνεται τούτων· ἐξ ἐνίων μὲν γὰρ οὐκ ἀνάγκη γίγνεσθαι συλλογισμόν, ἐξ ἐνίων δὲ καὶ οὐχ ὧν οἰό-
3 μεθα τούτων εἴδη γίγνεται. Κατά [t]τε γὰρ τοὺς λόγους τοὺς [v]ἐκ τῶν ἐπιστημῶν εἴδη ἔσται πάντων ὅσων ἐπιστῆμαί εἰσι, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τῶν ἀποφάσεων, κατὰ δὲ τὸ νοεῖν [v]τι [w]φθαρέντος τῶν φθαρτῶν· φάντασμα γάρ τι [x]τούτων ἐστίν. [y]Ἔτι δὲ [y]οἱ [z]ἀκριβέστεροι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ [a]φαμεν εἶναι καθ'
4 αὐτὸ γένος, οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγουσιν. [y]Ὅλως τε ἀναιροῦσιν οἱ περὶ τῶν [b]εἰδῶν λόγοι ἃ μᾶλλον εἶναι [c]βούλονται οἱ λέγοντες εἴδη τοῦ τὰς ἰδέας εἶναι· συμβαίνει γὰρ μὴ εἶναι τὴν δυάδα πρώτην ἀλλὰ τὸν ἀριθμόν, καὶ τὸ πρός τι [d]τοῦ καθ' αὐτό, καὶ πάνθ' ὅσα τινὲς ἀκολουθήσαντες ταῖς
5 περὶ τῶν [e]ἰδεῶν δόξαις ἠναντιώθησαν ταῖς ἀρχαῖς. [y]Ἔτι [f]δὲ κατὰ [g]μὲν τὴν ὑπόληψιν καθ' ἣν εἶναί φαμεν τὰς ἰδέας, οὐ μόνον τῶν οὐσιῶν [h]ἔσται εἴδη ἀλλὰ πολλῶν καὶ ἑτέρων (καὶ γὰρ τὸ νόημα ἓν οὐ μόνον περὶ [i]τὰς οὐσίας ἀλλὰ καὶ [k]κατὰ τῶν ἄλλων ἐστί, [l]καὶ ἐπιστῆμαι οὐ μόνον τῆς οὐσίας εἰσὶν ἀλλὰ καὶ ἑτέρων, καὶ ἄλλα δὲ μυρία συμβαίνει τοιαῦτα)· κατὰ δὲ τὸ ἀναγκαῖον καὶ τὰς δόξας τὰς περὶ αὐτῶν, εἰ ἔστι μεθεκτὰ [m]τὰ εἴδη, τῶν οὐσιῶν ἀναγκαῖον ἰδέας εἶναι μόνον· οὐ

[l] ἐστὶ τὰ εἴδη τούτοις A^b. [m] ἐπ' et mox τε om. A^b. [n] ὧν A^b, ἅ F^b. et margo E: ceteri om. [o] ἐπὶ πολλῶν ἓν E.S.T.B^b.C^b.E^b. [p] καθ'] δὲ καθ' S.B^b.C^b, δὲ καὶ καθ' E.T.E^b. [q] τρόπους δείκνυται A^b, δείκνυμεν τρόπους S.B^b.C^b. [r] ὅτι om. F^b. [s] ἔστι om. T.C^b.E^b. [t] τε] γε A^b. [v] ἐκ et mox τι om. A^b. [w] φθαρέντος] φθαρέντων S.T.B^b.C^b.E^b.H^b. [x] τοῦτ' T.B^b. [y] οἱ om. E^b. [z] ἀκριβέστατοι E.S.B^b.C^b.E^b. [a] φασιν E^b. [b] ἰδεῶν F^b. [c] βουλόμεθα E.S.T.B^b.C^b.E^b. [d] τοῦ] τῶν A^b. [e] εἰδῶν E.S.T.B^b.C^b.E^b. [f] δὲ om. A^b. [g] μὲν om. E^b. [h] ἔσονται A^b.E^b. [i] τῶν οὐσιῶν S.B^b.C^b. [k] κατὰ om. S.B^b.C^b. [l] καὶ αἱ ἐπιστ. T.A^b. [m] τὰ add. S.T.A^b.

γὰρ κατὰ συμβεβηκὸς μετέχονται, ἀλλὰ [n]δεῖ ταύτῃ [o]ἑκάστου μετέχειν, [p]ἢ μὴ καθ' ὑποκειμένου λέγεται. Λέγω δ' 6
οἷον, εἴ τι [q]αὐτοδιπλασίου μετέχει, τοῦτο καὶ ἀϊδίου μετέχει,
ἀλλὰ κατὰ συμβεβηκός· [r]συμβέβηκε γὰρ τῷ διπλασίῳ ἀϊ-
δίῳ εἶναι. [v]Ὥστ' ἔσται οὐσία τὰ εἴδη· [s]ταὐτὰ δὲ [t]ἐνταῦθα 7
οὐσίαν σημαίνει κἀκεῖ· ἢ [v]τί ἔσται τὸ εἶναι φάναι τι παρὰ
ταῦτα, τὸ ἓν ἐπὶ πολλῶν; Καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν 8
καὶ τῶν μετεχόντων, ἔσται τι κοινόν· τί γὰρ [w]μᾶλλον ἐπὶ
τῶν φθαρτῶν δυάδων, καὶ [x]τῶν πολλῶν μὲν ἀϊδίων δέ, τὸ
δυὰς [y]εἶναι ἓν καὶ ταὐτόν, ἢ ἐπὶ ταύτης καὶ τῆς τινός; Εἰ
δὲ μὴ τὸ αὐτὸ εἶδος, [z]ὁμώνυμα ἂν εἴη, καὶ ὅμοιον ὥσπερ
ἂν εἴ τις [a]καλοῖ ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον,
[b]μηδεμίαν κοινωνίαν ἐπιβλέψας αὐτῶν. Πάντων δὲ μάλιστα 9
διαπορήσειεν [c]ἄν τις, τί [d]ποτε συμβάλλεται τὰ [e]εἴδη τοῖς
ἀϊδίοις τῶν αἰσθητῶν ἢ τοῖς γιγνομένοις [f]καὶ φθειρομένοις·
οὔτε γὰρ κινήσεως οὔτε μεταβολῆς οὐδεμιᾶς ἐστὶν αἰτία αὐ-
τοῖς. [i]Ἀλλὰ μὴν [g]οὔτε πρὸς τὴν ἐπιστήμην οὐθὲν βοηθεῖ 10
τὴν τῶν ἄλλων ([g]οὐδὲ γὰρ [h]οὐσία ἐκεῖνα τούτων· ἐν τούτοις
γὰρ ἂν ἦν), οὔτε εἰς τὸ εἶναι, μὴ ἐνυπάρχοντά [i]γε τοῖς με-
τέχουσιν· οὕτω [k]μὲν γὰρ ἂν ἴσως [l]αἴτια δόξειεν εἶναι [m]ὡς
τὸ λευκὸν μεμιγμένον τῷ λευκῷ. [i]Ἀλλ' οὗτος μὲν ὁ λόγος 11
λίαν εὐκίνητος, ὃν [i]Ἀναξαγόρας μὲν πρῶτος Εὔδοξος δ'
[n]ὕστερον καὶ ἄλλοι τινὲς [o]ἔλεγον· ῥᾴδιον γὰρ συναγαγεῖν
πολλὰ καὶ ἀδύνατα πρὸς τὴν τοιαύτην δόξαν. [i]Ἀλλὰ μὴν
οὐδ' ἐκ τῶν [p]εἰδῶν ἔστι τἆλλα κατ' οὐθένα τρόπον τῶν εἰω-
θότων λέγεσθαι. Τὸ δὲ λέγειν παραδείγματα [q]αὐτὰ εἶναι 12

[n] δὴ E^b. [o] ἕκαστον H^b. [p] εἰ H^b. et rc. $B^b.C^b$. [q] αὐτοῦ τοῦ διπλασίου S.T.$B^b.C^b$. [r] συμβέβηκε—εἶναι om. A^b. [s] ταυτὰ F^b: vulgo ταῦτα. [t] δὲ ἐνταῦθα] γὰρ ἐνταῦθά τε F^b. [v] τί] ἔτι H^b. [w] μᾶλλον om. S. [x] τῶν π.] τῶν δυάδων τῶν π. F^b, δυάδων τῶν π. T.$A^b.E^b$. [y] εἶναι om. T.E.E^b. [z] ὁμωνυμία S.$B^b.C^b.E^b$. [a] καλοῖ E: ceteri καλοίη. [b] μηδ. δὲ κ. $B^b.C^b$. [c] ἄν om. A^b. [d] ποτε om. T. [e] εἴδη ἢ τοῖς F^b. [f] καὶ τοῖς φθ. E.S.T.$B^b.C^b.E^b$. [g] οὔτε] οὐδὲ et mox οὐδὲ] οὔτε codices. [h] οὐσίαν ἐκεῖνα C^b, ἐκεῖνα οὐσία E^b. [i] γε om. E.S.T. $B^b.C^b$. [k] μὲν om. E^b. [l] αἴτιον V. [m] ὡς om. E.T. [n] ὕστερον] δεύτερος H^b. [o] ἔλεγον om. S.$B^b.C^b$. [p] ἰδεῶν F^b. [q] ταῦτα H^b, om. A^b.

καὶ μετέχειν αὐτῶν τἆλλα κενολογεῖν ἐστὶ καὶ μεταφορὰς λέγειν ποιητικάς. Τί γάρ ἐστι τὸ ἐργαζόμενον [r] πρὸς τὰς ἰδέας ἀποβλέπον; [s] Ἐνδέχεται [t] τε καὶ εἶναι καὶ γίγνεσθαι ὅμοιον [t] ὁτιοῦν καὶ μὴ εἰκαζόμενον πρὸς ἐκεῖνο, ὥστε καὶ ὄντος Σωκράτους καὶ μὴ ὄντος [v] γένοιτ' ἂν οἷόσπερ Σωκρά-
13 της. [t] Ὁμοίως δὲ δῆλον ὅτι κἂν [w] εἰ ἦν ὁ Σωκράτης ἀΐδιος, ἔσται [x] τε πλείω παραδείγματα τοῦ αὐτοῦ, ὥστε καὶ εἴδη, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον καὶ τὸ δίπουν, ἅμα δὲ καὶ [y] τὸ [z] αὐτοάνθρωπος. [a] Ἔτι οὐ μόνον τῶν [b] αἰσθητῶν παραδείγματα [c] τὰ εἴδη, ἀλλὰ καὶ αὐτῶν [d] τῶν ἰδεῶν, οἷον τὸ γένος, [e] ὡς γένος εἰδῶν· ὥστε τὸ αὐτὸ ἔσται παράδειγμα καὶ
14 εἰκών. [a] Ἔτι δόξειεν ἂν ἀδύνατον εἶναι χωρὶς τὴν οὐσίαν καὶ οὗ ἡ οὐσία· ὥστε πῶς ἂν αἱ ἰδέαι οὐσίαι τῶν πραγμάτων οὖσαι χωρὶς εἶεν; [a] Ἐν δὲ τῷ Φαίδωνι οὕτως [f] λέγεται, ὡς καὶ
15 τοῦ εἶναι καὶ τοῦ γίγνεσθαι [g] αἴτια τὰ εἴδη ἐστίν. Καίτοι τῶν εἰδῶν ὄντων ὅμως οὐ γίγνεται τὰ μετέχοντα, [h] ἂν μὴ ᾖ τὸ κινῆσον, καὶ πολλὰ γίγνεται ἕτερα, οἷον οἰκία καὶ δακτύλιος, ὧν οὔ φαμεν εἴδη εἶναι· ὥστε δῆλον ὅτι ἐνδέχεται καὶ τἆλλα καὶ εἶναι καὶ γίγνεσθαι [i] διὰ τοιαύτας αἰτίας οἵας καὶ
16 τὰ ῥηθέντα νῦν. [a] Ἔτι εἴπερ [k] εἰσὶν ἀριθμοὶ τὰ εἴδη, πῶς αἴτιοι ἔσονται; Πότερον ὅτι ἕτεροι [l] ἀριθμοί εἰσι τὰ ὄντα, οἷον ὁδὶ μὲν [m] ἀριθμὸς ἄνθρωπος, ὁδὶ δὲ Σωκράτης, ὁδὶ δὲ Καλλίας; Τί οὖν ἐκεῖνοι τούτοις αἴτιοί εἰσιν; Οὐδὲ γὰρ εἰ
17 οἱ μὲν ἀΐδιοι οἱ δὲ μή, [n] οὐθὲν διοίσει. Εἰ δ' ὅτι λόγοι ἀριθμῶν τἀνταῦθα, οἷον ἡ συμφωνία, δῆλον ὅτι [o] ἔστιν ἕν [p] γέ τι ὧν [q] εἰσὶ λόγοι. Εἰ δή [r] τι τοῦτο, ἡ ὕλη, φανερὸν ὅτι καὶ αὐτοὶ [s] οἱ ἀριθμοὶ λόγοι τινὲς ἔσονται ἑτέρου πρὸς

[r] ἀποβλέπον πρὸς τὰς ἰδέας H^b, πρὸς τὰς ἰδέας ἀποβλέπειν T. [s] τε A^b, δὲ F^b: ceteri γὰρ. [t] ὁτιοῦν ante ὅμοιον H^b, om. F^b. [v] γίγνοιτ' E.S.B^b.C^b. [w] εἰ om. E^b. [x] τε om. H^b. [y] τοῦ A^b, ὁ H^b. [z] αὐτοανθρώπου A^b. [a] ἔτι δὲ οὐ H^b. [b] αἰσθ. ἔσονται παρ. H^b. [c] τὰ εἴδη] αἱ ἰδέαι H^b, εἴδη (omisso τὰ) S.B^b.C^b. [d] τῶν ἰδεῶν add. F^b.H^b. [e] ὡς T. [f] λέγομεν F^b.H^b. [g] τὰ εἴδη αἴτια F^b. [h] ἐὰν E.T.E^b. [i] διὰ] διὰ τὰς T, καὶ διὰ S.B^b.C^b. [k] εἰσὶν] εἶεν F^b. [l] εἰσιν ἀριθμοὶ T. [m] ἄνθρωπος ἀριθμὸς A^b. [n] οὐθὲν om. T. [o] ἔσται S.B^b.C^b. [p] δέ B^b.C^b. [q] εἰσὶν οἱ λόγοι S.E^b. [r] τι om. S.T.A^b. [s] οἱ om. T.

ἕτερον. Λέγω δ' οἷον, εἰ ἔστιν ὁ Καλλίας λόγος ἐν ἀριθμοῖς 18
πυρὸς καὶ γῆς καὶ ὕδατος [t]καὶ ἀέρος, [v]ἄλλων τινῶν ὑποκειμένων ἔσται, καὶ ἡ ἰδέα ἀριθμός· καὶ [w]αὐτοάνθρωπος, εἴτ' ἀριθμός τις ὢν εἴτε μή, ὅμως ἔσται λόγος ἐν ἀριθμοῖς τινῶν, καὶ οὐκ ἀριθμός, [x]οὐδ' ἔσται τις διὰ [y]ταῦτα ἀριθμός. [z]Ἔτι 19
ἐκ πολλῶν ἀριθμῶν εἷς ἀριθμὸς γίνεται, ἐξ εἰδῶν δὲ ἓν εἶδος πῶς; Εἰ δὲ [a]μὴ ἐξ αὐτῶν ἀλλ' [b]ἐκ τῶν [c]ἐναρίθμων, οἷον ἐν τῇ μυριάδι, πῶς ἔχουσιν αἱ μονάδες; [d]Εἴτε γὰρ ὁμοειδεῖς, πολλὰ [e]συμβήσεται ἄτοπα, εἴτε μὴ ὁμοειδεῖς, [f]μήτε αἱ αὐταὶ ἀλλήλαις μήτε [g]αἱ ἄλλαι πᾶσαι πάσαις· τίνι γὰρ διοίσουσιν ἀπαθεῖς οὖσαι; Οὔτε γὰρ εὔλογα ταῦτα οὔτε ὁμολογούμενα τῇ νοήσει. [h]Ἔτι δ' ἀναγκαῖον ἕτερόν [i]τι 20
γένος ἀριθμοῦ κατασκευάζειν, περὶ [k]ὃ ἡ ἀριθμητικὴ καὶ πάντα τὰ μεταξὺ λεγόμενα ὑπό τινων [l]ἁπλῶς· ἢ ἐκ τίνων ἐστὶν ἀρχῶν; [m]Ἢ διὰ τί [m]τὰ μεταξὺ τῶν [n]δεῦρό [o]τ' ἔσται καὶ αὐτῶν; [p]Ἔτι αἱ μονάδες αἱ ἐν τῇ δυάδι [q]ἑκάτερα ἔκ τινος προτέρας δυάδος· [r]καίτοι ἀδύνατον. [s]Ἔτι διὰ τί [s]ἓν 21
ὁ ἀριθμὸς συλλαμβανόμενος; [t]Ἔτι δὲ πρὸς τοῖς εἰρημένοις, εἴπερ εἰσὶν αἱ μονάδες [t]διάφοροι, ἐχρῆν οὕτω λέγειν ὥσπερ καὶ ὅσοι τὰ στοιχεῖα τέτταρα ἢ δύο λέγουσιν· [v]καὶ γὰρ τούτων ἕκαστος οὐ τὸ κοινὸν λέγει στοιχεῖον, οἷον τὸ σῶμα, ἀλλὰ πῦρ καὶ γῆν, εἴτ' ἔστι [w]τι κοινὸν τὸ σῶμα εἴτε μή. Νῦν δὲ λέγεται ὡς ὄντος τοῦ ἑνὸς ὥσπερ πυρὸς ἢ ὕδατος 22
ὁμοιομεροῦς· εἰ δ' οὕτως, οὐκ ἔσονται οὐσίαι οἱ ἀριθμοί, ἀλλὰ δῆλον ὅτι, [x]εἴπερ ἐστί τι ἓν αὐτὸ καὶ τοῦτό ἐστιν ἀρχή,

[t] καὶ ἀέρος om. E.S.B[b].C[b].E[b]. [v] ἄλλων—ἀριθμὸς καὶ om. S.T.B[b].C[b].E[b]. [w] ὁ αὐτὸς ἄνθρωπος T.C[b].E[b]. [x] οὐδ' A[b].F[b].H[b]: ceteri καὶ οὐκ. [y] ταῦτα ὁ ἀριθμός T. [z] ἔτι δ' ἐκ E.S.B[b].C[b]. [a] μηδ' S.T.B[b].C[b]. [b] ἐκ om. A[b]. [c] ἀριθμῶν H[b], ἐν τῷ ἀριθμῷ A[b]. γρ. ἀλλὰ ἐκ τῶν ἀριθμῶν. τὸ δὲ ἐνάριθμον ἀντὶ τοῦ ἐκ τῶν λόγων τοῦ ἀριθμοῦ margo E. [d] εἰ E[b]. [e] ἄτοπα συμβήσεται E.S.T.B[b].C[b].E[b]. [f] μηδὲ αἱ αὐταὶ A[b].F[b].H[b], μήτε αὐταὶ S. [g] ἄλλαι αἱ πᾶσαι E.E[b]. [h] δ'] τε A[b]. [i] τι om. A[b]. [k] ὃν A[b]. [l] ἁπλῶς] ἃ πῶς A[b]. [m] τὰ om. A[b]. [n] δεῦρό] δέ A[b]. [o] τ' om. C[b]. [p] ἑκατέρων A[b]. [q] τινος ἔτι προτέρας τῆς δυάδος A[b]. [r] καίτοι ἀδύνατον om. T. [s] ὁ ἀριθμὸς ἓν E[b]. [t] γρ. ἀδιάφοροι F[b]. [v] καὶ γὰρ καὶ τούτων T. [w] τι om. T.A[b].E[b]. [x] εἴπερ] εἰπεῖν S.B[b].C[b].

23 πλεοναχῶς λέγεται τὸ ἕν· ἄλλως γὰρ ἀδύνατον. Βουλόμενοι δὲ τὰς οὐσίας ἀνάγειν εἰς τὰς ἀρχὰς μήκη μὲν [y]τίθεμεν ἐκ [z]μακροῦ καὶ βραχέος, ἔκ τινος μικροῦ καὶ μεγάλου, καὶ ἐπίπεδον ἐκ πλατέος καὶ στενοῦ, σῶμα δ' ἐκ βαθέος καὶ ταπεινοῦ. [a]Καίτοι πῶς ἕξει [b]ἢ τὸ ἐπίπεδον γραμμὴν ἢ τὸ στε-
24 ρεὸν γραμμὴν καὶ ἐπίπεδον; [u]Αλλο γὰρ γένος [c]τὸ πλατὺ καὶ [d]τὸ στενὸν καὶ βαθὺ καὶ ταπεινόν· ὥσπερ οὖν οὐδ' ἀριθμὸς ὑπάρχει [e]ἐν αὐτοῖς, ὅτι τὸ πολὺ καὶ ὀλίγον ἕτερον τούτων, δῆλον [f]ὅτι οὐδ' ἄλλο οὐθὲν τῶν ἄνω ὑπάρξει τοῖς κάτω. [t]Αλλὰ μὴν οὐδὲ γένος τὸ πλατὺ τοῦ βαθέος· ἦν γὰρ
25 [g]ἂν ἐπίπεδόν τι τὸ σῶμα. [u]Ετι αἱ στιγμαὶ ἐκ τίνος [h]ἐνυπάρξουσιν; Τούτῳ μὲν οὖν τῷ γένει καὶ διεμάχετο Πλάτων ὡς ὄντι γεωμετρικῷ δόγματι, ἀλλ' ἐκάλει ἀρχὴν γραμμῆς, τοῦτο δὲ πολλάκις ἐτίθει τὰς ἀτόμους γραμμάς. Καίτοι ἀνάγκη τούτων εἶναί τι πέρας· ὥστ' ἐξ οὗ λόγου γραμμή
26 ἐστι, καὶ στιγμὴ ἐστιν. [v]Ολως δὲ ζητούσης τῆς [i]σοφίας περὶ τῶν φανερῶν τὸ αἴτιον, τοῦτο μὲν εἰάκαμεν (οὐθὲν γὰρ λέγομεν περὶ τῆς αἰτίας [k]ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς), τὴν δ' οὐσίαν οἰόμενοι λέγειν αὐτῶν ἑτέρας [l]μὲν οὐσίας εἶναι φαμέν, ὅπως δ' ἐκεῖναι τούτων οὐσίαι, διὰ κενῆς λέγομεν· τὸ γὰρ μετέχειν, ὥσπερ [m]καὶ πρότερον εἴπομεν, οὐθέν ἐστιν.
27 Οὐδὲ δὴ [n]ὅπερ ταῖς ἐπιστήμαις ὁρῶμεν ὂν αἴτιον, διὸ καὶ πᾶς νοῦς καὶ πᾶσα φύσις ποιεῖ, [o]οὐδὲ ταύτης τῆς αἰτίας ἥν φαμεν εἶναι μίαν τῶν ἀρχῶν, οὐθὲν ἅπτεται τὰ εἴδη, ἀλλὰ γέγονε τὰ μαθήματα [p]τοῖς νῦν ἡ φιλοσοφία, φασκόντων
28 [q]τῶν ἄλλων χάριν αὐτὰ δεῖν πραγματεύεσθαι. [u]Ετι δὲ τὴν ὑποκειμένην οὐσίαν ὡς ὕλην μαθηματικωτέραν ἄν τις ὑπολάβοι, καὶ μᾶλλον κατηγορεῖσθαι καὶ διαφορὰν εἶναι τῆς οὐσίας καὶ τῆς ὕλης [r]ἢ ὕλην, οἷον τὸ μέγα καὶ τὸ μικρόν,

y τίθενται S.B[b].C[b]. z βραχέος καὶ μακροῦ A[b]. a τοι om. F[b]. b ἢ om. A[b]. c τὸ πλ.] καὶ τὸ πλ. T.E[b]. d τὸ post καὶ om. A[b]. e ἐν om. A[b]. f ὅτι om. E[b]. g ἂν om. T. h ἐννυπάρχουσι E.S.T.B[b]. C[b].H[b]. i φιλοσοφίας A[b]. k πόθεν A[b]. l μὲν add. E.A[b].H[b]. m καὶ τὸ πρότερον S.T.B[b].C[b]. n ὃ περὶ τὰς ἐπιστήμας A[b]. o οὐδὲ] τὸ δὲ A[b]. p τῆς S. q τῶν add. A[b]. r ἢ ὕλην add. A[b].F[b].

ὥσπερ [s] καὶ οἱ φυσιολόγοι φασὶ [t] τὸ μανὸν καὶ τὸ πυκνόν, πρώτας [v] τοῦ ὑποκειμένου φάσκοντες εἶναι διαφορὰς [w] ταύτας· ταῦτα [x] γάρ ἐστιν ὑπεροχή τις [y] καὶ ἔλλειψις. Περί 29 [z] τε κινήσεως, εἰ μὲν [a] ἔσται ταῦτα κίνησις, δῆλον ὅτι κινήσεται τὰ εἴδη· εἰ δὲ μή, πόθεν ἦλθεν; [v] Ὅλη γὰρ ἡ περὶ φύσεως [b] ἀνήρηται σκέψις. [c v] Ὅ τε δοκεῖ ῥᾴδιον εἶναι, τὸ δεῖξαι ὅτι [d] ἓν ἅπαντα, [e] οὐ γίγνεται· τῇ γὰρ ἐκθέσει οὐ [f] γίγνεται πάντα ἓν ἀλλ' αὐτό τι ἕν, ἂν διδῷ τις πάντα. Καὶ οὐδὲ τοῦτο, [g] εἰ μὴ γένος [g] δώσει τὸ καθόλου εἶναι· 30 τοῦτο δ' [h] ἐν [i] ἐνίοις ἀδύνατον. Οὐθένα δ' ἔχει λόγον οὐδὲ [k] τὰ μετὰ τοὺς ἀριθμοὺς [l] μήκη καὶ ἐπίπεδα καὶ στερεά, [m] οὔτε ὅπως ἔστιν ἢ ἔσται, οὔτ' [n] εἴ τιν' ἔχει δύναμιν· ταῦτα γὰρ οὔτε εἴδη οἷόν τε εἶναι (οὐ γάρ εἰσιν ἀριθμοί) οὔτε τὰ μεταξύ (ο μαθηματικὰ γὰρ ἐκεῖνα) οὔτε τὰ φθαρτά, ἀλλὰ [p] πάλιν [q] τέταρτον ἄλλο [r] φαίνεται τοῦτό τι γένος. [v] Ὅλως 31 τε τὸ τῶν [s] ὄντων ζητεῖν στοιχεῖα μὴ [t] διελόντας, πολλαχῶς [v] λεγομένων, ἀδύνατον εὑρεῖν, ἄλλως τε καὶ τοῦτον τὸν τρόπον ζητοῦντας ἐξ [w] οἵων ἐστὶ στοιχείων. [d] Ἐκ τίνων γὰρ τὸ ποιεῖν ἢ πάσχειν, ἢ τὸ [x] εὐθύ, οὐκ ἔστι δῆπου λαβεῖν, ἀλλ' εἴπερ, τῶν οὐσιῶν μόνον ἐνδέχεται· ὥστε τὸ τῶν [y] ὄντων ἁπάντων τὰ στοιχεῖα [z] ἢ ζητεῖν ἢ οἴεσθαι ἔχειν οὐκ ἀληθές. Πῶς δ' ἄν τις καὶ μάθοι τὰ τῶν πάντων στοιχεῖα; Δῆλον 32 γὰρ ὡς οὐθὲν οἷόν τε προϋπάρχειν γνωρίζοντα πρότερον. [v] Ὥσπερ γὰρ [a] τῷ [b] γεωμετρεῖν μανθάνοντι ἄλλα μὲν ἐνδέχεται προειδέναι, ὧν δὲ ἡ ἐπιστήμη καὶ περὶ ὧν μέλλει μανθά-

[s] καὶ ante φ. om. S.B[b].C[b]. [t] τὸ μανὸν] καὶ μανὸν S. [v] τῆς ὑποκειμένης E[b]. [w] ταύτας om. A[b]. [x] γάρ] δέ S.T.H[b]. [y] καὶ ἔλλειψις om. A[b]. [z] δὲ A[b]. [a] ἔστι E[b].H[b]. [b] σκέψις ἀνήρηται A[b]. [c] ὃ δὲ T, καὶ ὃ E.H[b]. [d] ἓν τὰ πάντα H[b]. [e] οὐ] ἐκ τῆς ἐκθέσεως οὐ A[b], omissis τῇ γὰρ ἐκθέσει οὐ γίγνεται. [f] γ. τὰ πάντα H[b]. [g] εἰ et δώσει A[b].F[b]: ceteri ἐὰν et δῶ. [h] ἐν om. A[b]. [i] ἐνίοις τε ἀδ. H[b]. [k] τὰ om. S. [l] μήκη τε καὶ ἐπίπεδα A[b]. [m] οὐδὲ A[b]. [n] εἴ om. A[b]. [o] μαθ.] τὰ μαθ. E.S.T.B[b].C[b]. [p] πάλιν γε τ. B[b]. [q] ἄλλο τέταρτον E[b]. [r] τοῦτο φαίνεται γένος A[b]. [s] ὄντων] ὅλων T. [t] διελόντα E[b]. [v] λεγόμενα A[b]. [w] ὧν A[b]. [x] εὐθύ] εὖ A[b]. [y] ὄντων om. T.A[b]. [z] ἢ ante ζητεῖν om. A[b]. [a] τὸ T. [b] γεωμέτρη γεωμετρεῖν A[b].

33 νειν οὐθὲν προγιγνώσκει, οὕτω [c]δὴ καὶ ἐπὶ τῶν ἄλλων. [v]Ὥστ' [d]εἴ τις τῶν [e]πάντων ἐστὶν ἐπιστήμη, [f]ὥς τινές φασιν, οὐθὲν ἂν προϋπάρχοι γνωρίζων οὗτος. Καίτοι πᾶσα μάθησις διὰ προγιγνωσκομένων ἢ πάντων ἢ τινῶν ἐστί, καὶ ἡ διʼ ἀποδείξεως ἢ διʼ ὁρισμῶν· δεῖ γὰρ ἐξ ὧν ὁ ὁρισμὸς προειδέναι καὶ
34 [g]εἶναι γνώριμα. [t]Ὁμοίως δὲ καὶ ἡ διʼ ἐπαγωγῆς. [t]Ἀλλὰ μὴν [h]καὶ εἰ τυγχάνει σύμφυτος οὖσα, θαυμαστὸν πῶς λανθάνομεν ἔχοντες τὴν κρατίστην τῶν ἐπιστημῶν. [u]Ἔτι πῶς τις
35 [i]γνωριεῖ ἐκ τίνων ἐστί, καὶ πῶς ἔσται δῆλον; Καὶ γὰρ τοῦτʼ ἔχει ἀπορίαν· ἀμφισβητήσειε γὰρ ἄν τις, ὥσπερ καὶ [k]περὶ ἐνίας συλλαβάς· [l]οἱ μὲν γὰρ τὸ [m]σμα ἐκ τοῦ σ καὶ μ καὶ α φασὶν εἶναι, οἱ [n]δέ τινες ἕτερον φθόγγον φασὶν εἶναι καὶ
36 οὐθένα τῶν γνωρίμων. [u]Ἔτι [o]δὲ ὧν ἐστὶν [p]αἴσθησις, ταῦτα πῶς ἄν τις μὴ ἔχων τὴν αἴσθησιν [q]γνοίη; Καίτοι [r]ἔδει, εἴγε πάντων ταῦτα στοιχεῖά ἐστιν ἐξ ὧν, ὥσπερ αἱ σύνθετοι φωναί εἰσιν ἐκ τῶν οἰκείων στοιχείων.

10 [v]Ὅτι μὲν οὖν τὰς εἰρημένας ἐν τοῖς φυσικοῖς αἰτίας ζητεῖν ἐοίκασι πάντες, καὶ τούτων ἐκτὸς οὐδεμίαν [s]ἔχοιμεν ἂν εἰπεῖν, δῆλον καὶ ἐκ τῶν πρότερον εἰρημένων. [t]Ἀλλʼ ἀμυδρῶς ταύτας· καὶ τρόπον μέν τινα [t]πᾶσαι πρότερον εἴρηνται, τρόπον
2 δέ τινα οὐδαμῶς. Ψελλιζομένῃ γὰρ ἔοικεν ἡ πρώτη φιλοσοφία περὶ [v]πάντων, ἅτε νέα [w]τε κατʼ ἀρχὰς οὖσα καὶ τὸ πρῶτον, ἐπεὶ καὶ [t]Ἐμπεδοκλῆς ὀστοῦν τῷ λόγῳ φησὶν εἶναι, τοῦτο δʼ ἐστὶ τὸ τί ἦν εἶναι καὶ ἡ οὐσία τοῦ πράγματος.
3 [t]Ἀλλὰ μὴν [x]ὁμοίως ἀναγκαῖον καὶ [y]σαρκὸς καὶ τῶν ἄλλων [z]ἑκάστου εἶναι τὸν λόγον, ἢ [a]μηθενός· διὰ [b]τοῦτο γὰρ καὶ σὰρξ καὶ ὀστοῦν [c]ἔσται καὶ τῶν ἄλλων ἕκαστον, καὶ οὐ διὰ τὴν

c δὲ E^b, δεῖ E.S.B^b.C^b. d εἴ] ἤ S.B^b.C^b. e ἀπάντων A^b.E^b. f οἵαν δή τινες A^b. g εἶναι] εἶδε E^b. h εἰ καὶ τυγχάνοι B^b.F^b. i γνωρίσει F^b, γνωρίσειεν E.S.T.B^b.C^b. k ἐπὶ S. l ὁ T. m σῶμα E^b. n δὲ τὸν ἕτερον τρόπον ἴδιον εἶναι A^b. o δὲ et ἐστὶν om. F^b. p κ' αἴσθησις E^b. q γνοίη] ἔχοι F^b. r δεῖ A^b. s ἔχομεν A^b.E^b.F^b, A^b.F^b. omisso ἂν. t ἅπασαι S.B^b.C^b, αἱ πᾶσαι T. v ἁπάντων A^b. w τε] τε καὶ S, om. A^b.F^b. x ἀναγκαῖον ὁμοίως T. y σάρκα T.E^b, σάρκας A^b. z ἕκαστον codices. a μηδὲ ἕν E.S.T.B^b.C^b.F^b. b τοῦτο ἄρα καὶ ἡ σὰρξ A^b. c ἔστι S.T.B^b.C^b.F^b.

ὕλην, ἣν ἐκεῖνος [d]λέγει πῦρ [e]καὶ γῆν [f]καὶ ὕδωρ καὶ ἀέρα. [4]
[4]Ἀλλὰ ταῦτα ἄλλου [f]μὲν λέγοντος συνέφησεν ἂν ἐξ ἀνάγ-
κης, σαφῶς δὲ [g]οὐκ εἴρηκεν. Περὶ μὲν [h]οὖν τῶν [i]τοιούτων
δεδήλωται καὶ πρότερον· ὅσα [k]δὲ περὶ τῶν αὐτῶν τούτων
ἀπορήσειεν ἄν τις, ἐπανέλθωμεν πάλιν· τάχα γὰρ ἂν ἐξ αὐ-
τῶν [l]εὐπορήσαιμέν [m]τι πρὸς τὰς ὕστερον ἀπορίας.

[n]Α ΕΛΑΤΤΟΝ.

[o]Ἡ περὶ τῆς ἀληθείας θεωρία τῇ μὲν χαλεπή, τῇ δὲ ῥᾳ-
δία. Σημεῖον δὲ τὸ μήτ' ἀξίως [p]μηδένα δύνασθαι [q]τυχεῖν
αὐτῆς, μήτε πάντας ἀποτυγχάνειν, ἀλλ' ἕκαστον λέγειν τι
περὶ [r]τῆς φύσεως, καὶ καθ' ἕνα [s]μὲν μηθὲν ἢ μικρὸν ἐπιβάλ-
λειν αὐτῇ, ἐκ πάντων δὲ συναθροιζομένων γίνεσθαί τι μέγε-
θος. [v]Ὥστ' εἴπερ ἔοικεν ἔχειν καθάπερ τυγχάνομεν παροι- [2]
μιαζόμενοι, τίς ἂν θύρας ἁμάρτοι; Ταύτῃ μὲν ἂν εἴη ῥᾳδία·
τὸ δ' ὅλον [t]τι ἔχειν καὶ μέρος μὴ δύνασθαι δηλοῖ τὸ χαλε-
πὸν αὐτῆς. [u]Ἴσως δὲ καὶ τῆς χαλεπότητος οὔσης κατὰ δύο
τρόπους, οὐκ ἐν τοῖς πράγμασιν ἀλλ' ἐν ἡμῖν τὸ αἴτιόν [v]ἐστιν
αὐτῆς. [v]Ὥσπερ γὰρ [w]καὶ τὰ τῶν νυκτερίδων ὄμματα πρὸς [3]
τὸ φέγγος ἔχει [x]τὸ μεθ' ἡμέραν, οὕτω καὶ τῆς ἡμετέρας
ψυχῆς ὁ νοῦς πρὸς τὰ τῇ φύσει φανερώτατα πάντων. Οὐ
μόνον δὲ χάριν ἔχειν δίκαιον τούτοις [y]ὧν ἄν τις [z]κοινώσαιτο
ταῖς δόξαις, ἀλλὰ καὶ [a]τοῖς [b]ἐπιπολαιοτέρως ἀποφηναμένοις·
καὶ γὰρ οὗτοι [c]συνεβάλοντό τι· τὴν γὰρ ἕξιν [d]προήσκησαν

[d] λέγει om. T. [e] καὶ ante γῆν om. S. [f] καὶ post γῆν et mox μὲν om. S.B[b].C[b]. [g] οὐκ om. S. [h] οὖν om. F[b]. [i] τούτων A[b]. [k] δὲ] δὲ καὶ S. [l] εὐπορήσωμεν S.C[b]. [m] τι] τοι E[b], om. A[b].F[b]. [n] α τὸ ἔλαττον S.T, ἔλαττον α f, β E, βιβλίον β Q. addunt E.Q.S.B[b].C[b]: τοῦτο τὸ βιβλίον οἱ πλείους φασὶν εἶναι Πασικλέους τοῦ Ῥοδίου, ὃς ἦν ἀκροατὴς Ἀριστοτέλους, υἱὸς δὲ Βοηθοῦ τοῦ Εὐδήμου ἀδελφοῦ. Ἀλέξανδρος δὲ ὁ Ἀφροδισιεύς φησιν εἶναι αὐτὸ τοῦ Ἀριστοτέλους. [o] ἡ] ὅτι ἡ rc. H[b]. [p] μηδένα om. T. [q] θιγεῖν A[b]. [r] τῆς om. T. [s] μὲν] μὲν ἢ E. [t] τι A[b].E[b].F[b]: ceteri τ'. [v] ἐστιν add. A[b]. [w] καὶ om. E.Q.E[b]. [x] τὸ μεθ'] πρὸς Q. [y] ὧν] καὶ οὕτως ὧν E[b]. [z] κοινώσαιτο E[b], κοινωνήσαιτο E.T.A[b], κινήσαιτο F[b]: ceteri κοινωνήσαι. [a] τοῖς] τοῖς ἔτι omnes præter A[b]. [b] ἐπιπολαιότερον A[b].E[b]. [c] συνεβάλοντό A[b]: ceteri συμβάλλονταί. [d] ἤσκησαν A[b].

4 ἡμῶν. Εἰ μὲν γὰρ Τιμόθεος μὴ ἐγένετο, πολλὴν ἂν μελοποιίαν οὐκ εἴχομεν· εἰ δὲ μὴ [e]Φρῦνις, Τιμόθεος οὐκ ἂν ἐγένετο. Τὸν αὐτὸν [f]δὲ τρόπον καὶ [g]τῶν περὶ τῆς ἀληθείας ἀποφηναμένων· παρὰ μὲν γὰρ ἐνίων παρειλήφαμέν τινας
5 δόξας, οἱ δὲ τοῦ γενέσθαι [h]τούτους αἴτιοι γεγόνασιν. [i]Ὀρθῶς [i]δ' [k]ἔχει καὶ τὸ [l]καλεῖσθαι [m]τὴν φιλοσοφίαν ἐπιστήμην τῆς ἀληθείας. Θεωρητικῆς μὲν γὰρ τέλος ἀλήθεια, πρακτικῆς δ' ἔργον· καὶ γὰρ [n]ἐὰν τὸ πῶς [o]ἔχει σκοπῶσιν, [p]οὐ τὸ
6 ἀίδιον ἀλλὰ πρός τι καὶ νῦν θεωροῦσιν οἱ πρακτικοί. Οὐκ ἴσμεν δὲ τὸ ἀληθὲς ἄνευ τῆς αἰτίας. [q]Ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων, [q]καθ' ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον, οἷον τὸ πῦρ θερμότατον· καὶ γὰρ τοῖς ἄλλοις τὸ αἴτιον τοῦτο τῆς θερμότητος· ὥστε καὶ ἀληθέστατον τὸ τοῖς
7 ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι. Διὸ τὰς τῶν [r]ἀεὶ ὄντων ἀρχὰς ἀναγκαῖον ἀεὶ εἶναι ἀληθεστάτας· οὐ γάρ ποτε ἀληθεῖς, οὐδ' [s]ἐκείναις αἴτιόν τί [t]ἐστι τοῦ εἶναι, ἀλλ' ἐκεῖναι τοῖς ἄλλοις, ὥσθ' ἕκαστον ὡς ἔχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας.

2 [t]Ἀλλὰ μὴν ὅτι γ' ἐστὶν [v]ἀρχή τις καὶ οὐκ ἄπειρα τὰ αἴτια τῶν ὄντων, οὔτ' [w]εἰς [x]εὐθυωρίαν οὔτε κατ' εἶδος, δῆλον. Οὔτε γὰρ ὡς ἐξ ὕλης τόδ' ἐκ τοῦδε δυνατὸν [y]ἰέναι εἰς ἄπειρον, οἷον σάρκα μὲν ἐκ γῆς, γῆν δ' ἐξ ἀέρος, ἀέρα δ' ἐκ πυρός, καὶ τοῦτο μὴ ἵστασθαι· οὔτε ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, οἷον τὸν μὲν ἄνθρωπον ὑπὸ τοῦ ἀέρος κινηθῆναι, τοῦτον δ' ὑπὸ τοῦ ἡλίου, τὸν δὲ ἥλιον ὑπὸ τοῦ νείκους, καὶ τούτου μηδὲν εἶναι
2 πέρας. [t]Ὁμοίως δὲ [z]οὐδὲ τὸ οὗ ἕνεκα εἰς [a]ἄπειρον οἷόν τε ἰέναι, βάδισιν μὲν ὑγιείας [b]ἕνεκεν, ταύτην [c]δ' εὐδαιμονίας,

e φρένις E[b]. f δὲ om. S. g τῶν περὶ τῆς] περὶ τῶν A[b].E[b]. h τούτοις rc. E[b]. i δὴ E.T. k ἔχει om. A[b].F[b]. l καλέσαι E.S.T.B[b].C[b]. m τὴν κατὰ φ. A[b]. idem post ἀληθείας addit θεωρητικήν. n ἂν A[b].E[b]. o ἕχη E.Q.S. p οὐ τὸ αἴτιον E.Q.S, οὐ γὰρ αἴτιον T, οὐ τὸ αἴτιον οὐ E[b]. addunt omnes καθ' αὑτό, præter A[b]. q καθὸς S. r αἰεὶ Q.T. s ἐκείνων A[b].E[b]. t ἐστὶ om. A[b]. v τις ἀρχὴ F[b]. w ἐπ' A[b].E[b]. x εὐθεωρίαν E[b]. y εἶναι ἐπ' E.Q.S.T.E[b]. z οὐδὲ] καὶ A[b]. a ἄπ. οὐχ οἷόν τε εἶναι A[b]. b ἕνεκεν A[b]: ceteri ἕνεκα. c δ'] δι' T.

τὴν δ' εὐδαιμονίαν [d] ἄλλου, καὶ οὕτως ἀεὶ ἄλλο ἄλλου ἕνεκεν εἶναι. Καὶ ἐπὶ τῶν τί ἦν εἶναι δ' ὡσαύτως. Τῶν γὰρ μέ- 3
σων, ὧν ἐστὶν [e] ἔξω τι ἔσχατον καὶ πρότερον, ἀναγκαῖον εἶναι τὸ πρότερον αἴτιον [f] τῶν [g] μετ' αὐτό. Εἰ γὰρ [h] εἰπεῖν ἡμᾶς δέοι τι τῶν τριῶν αἴτιον, τὸ πρῶτον ἐροῦμεν· οὐ γὰρ δὴ [i] τόγ' ἔσχατον, οὐδενὸς γὰρ [k] τὸ τελευταῖον· ἀλλὰ μὴν οὐδὲ τὸ μέσον, ἑνὸς γάρ. Οὐθὲν δὲ διαφέρει ἓν ἢ πλείω εἶναι, 4
οὐδ' ἄπειρα [l] ἢ πεπερασμένα· τῶν δ' ἀπείρων τοῦτον τὸν τρόπον καὶ [m] ὅλως τοῦ ἀπείρου πάντα τὰ μόρια μέσα [n] ὁμοίως μέχρι τοῦ νῦν· ὥστ' εἴπερ μηθέν [o] ἐστι πρῶτον, ὅλως αἴτιον οὐθέν ἐστιν. [s] Ἀλλὰ μὴν οὐδ' ἐπὶ τὸ κάτω οἷόν τ' 5
[p] εἰς ἄπειρον [q] ἰέναι, [r] τοῦ ἄνω ἔχοντος ἀρχήν, ὥστ' ἐκ πυρὸς μὲν ὕδωρ, ἐκ δὲ [s] τούτου γῆν, καὶ οὕτως ἀεὶ ἄλλο τι γίγνεσθαι γένος. Διχῶς γὰρ [t] γίγνεται τόδε ἐκ τοῦδε, [v] ἢ ὡς τόδε λέγεται μετὰ τόδε, οἷον ἐξ [s] Ἰσθμίων [s] Ὀλύμπια, [w] ἢ οὐχ οὕτως ἀλλ' ὡς ἐκ παιδὸς [x] ἀνὴρ μεταβάλλοντος, [y] ἢ ἐξ ὕδατος ἀήρ. [t] Ὡς [z] μὲν οὖν ἐκ παιδὸς [a] ἄνδρα [b] γίγνεσθαί φαμεν, ὡς 6
ἐκ τοῦ γιγνομένου τὸ γεγονὸς ἢ [c] ἐκ τοῦ ἐπιτελουμένου τὸ τετελεσμένον· ἀεὶ γάρ ἐστι [d] μεταξύ, ὥσπερ τοῦ εἶναι καὶ μὴ εἶναι γένεσις, οὕτω καὶ τὸ γιγνόμενον τοῦ ὄντος καὶ μὴ ὄντος. [u] Ἔστι [e] δ' ὁ μανθάνων γιγνόμενος ἐπιστήμων, [f] καὶ τοῦτ' ἐστὶν [g] ὃ λέγεται, ὅτι γίγνεται ἐκ μανθάνοντος ἐπιστήμων. Τὸ δ' ὡς ἐξ ἀέρος ὕδωρ, φθειρομένου θατέρου. 7
Διὸ [h] ἐκεῖνα μὲν οὐκ ἀνακάμπτει [i] εἰς ἄλληλα, οὐδὲ γίγνεται ἐξ ἀνδρὸς παῖς· οὐ [k] γὰρ γίγνεται ἐκ τῆς γενέσεως τὸ γιγνό-

[d] ἄλλου ἕνεκεν καὶ A^b. [e] ἔξω τι om. $A^b.F^b$. τι ἔξω T. [f] τῶ E.T. [g] μεθ' αὐτό A^b, μέσων F^b. [h] ἡμᾶς εἰπεῖν A^b. [i] γε τὸ A^b. [k] τὸ] τότε Q, τόγε $E.B^b.C^b$. [l] ἢ πεπ.] οὐδὲ πεπ. E^b. [m] ὅλως] ἄλλως τε δὴ H^b. [n] ὁμοίως om. H^b. [o] ἐστι τὸ πρῶτον $S.T.B^b.C^b.E^b$. [p] εἰς A^b, ἐπ' F^b: ceteri ἐστὶν ἐπ'. [q] ἀπιέναι A^b, προϊέναι F^b. [r] ἔχοντος τοῦ ἄνω F^b. [s] τούτου] τοῦ ὕδατος H^b. [t] γίγνεται] λέγεται μετὰ Q. [v] ἢ E.T.$A^b.E^b$: vulgo μὴ. [w] ἢ οὐχ οὕτως ἀλλ' ὡς A^b, οὔτ' ἀλλ' ὡς S, ἄλλως E^b: ceteri ἢ. [x] μεταβάλλοντος ἀνὴρ E^b. [y] ἢ ὡς ἐξ A^b. [z] μὲν—φαμεν om. E. [a] ἀνὴρ Q.S.$C^b.E^b$. [b] γενέσθαι F^b. [c] ἐκ om. F^b. [d] μεταξύ] τι μεταξύ H^b, μεταξύ τι $S.T.B^b.C^b$. [e] δ'] γὰρ A^b. [f] καὶ—ἐπιστήμων om. A^b. [g] ὅτι γίγνεται om. T. [h] οὐκ ἀνακάμπτει μὲν ἐκεῖνα Q. [i] εἰς] πρὸς $S.B^b.C^b$. [k] γὰρ] δὲ A^b.

μενον, ἀλλ' [l]ἔστι μετὰ τὴν γένεσιν. Οὕτω γὰρ [m]καὶ ἡμέρα ἐκ τοῦ πρωΐ, ὅτι μετὰ τοῦτο· διὸ οὐδὲ [n]τὸ πρωΐ ἐξ ἡμέρας.
8 [o]Θάτερα δὲ ἀνακάμπτει. [p]Ἀμφοτέρως δὲ ἀδύνατον εἰς ἄπειρον ἰέναι. Τῶν μὲν [q]γὰρ ὄντων μεταξὺ ἀνάγκη τέλος εἶναι, τὰ δ' εἰς ἄλληλα [r]ἀνακάμπτει· ἡ γὰρ θατέρου φθορὰ θατέρου [s]ἐστὶ γένεσις. [v]Ἅμα δὲ καὶ ἀδύνατον τὸ [t]πρῶτον ἀΐδιον ὂν φθαρῆναι· [v]ἐπεὶ γὰρ οὐκ ἄπειρος [w]ἡ γένεσις ἐπὶ τὸ ἄνω, ἀνάγκη, ἐξ οὗ φθαρέντος πρώτου τι ἐγένετο, μὴ ἀΐδιον εἶναι.
9 [x]Ἔτι δὲ τὸ οὗ ἕνεκα τέλος, τοιοῦτον δὲ ὃ μὴ ἄλλου ἕνεκα, ἀλλὰ τἆλλα ἐκείνου· ὥστ' εἰ μὲν ἔσται τοιοῦτον τὸ ἔσχατον, οὐκ ἔσται ἄπειρον, εἰ δὲ μηθὲν τοιοῦτον, οὐκ ἔσται τὸ οὗ ἕνεκα. [y]Ἀλλ' οἱ τὸ ἄπειρον ποιοῦντες λανθάνουσιν ἐξαιροῦντες τὴν τοῦ ἀγαθοῦ φύσιν. Καίτοι οὐθεὶς ἂν [y]ἐγχειρήσειεν
10 οὐθὲν [z]πράττειν μὴ μέλλων ἐπὶ πέρας ἥξειν. Οὐδ' ἂν εἴη νοῦς ἐν [a]τοῖς [b]τοιούτοις· ἕνεκα γάρ τινος ἀεὶ πράττει ὅ γε νοῦν ἔχων· τοῦτο γάρ ἐστι πέρας· τὸ γὰρ [c]τέλος πέρας ἐστίν. [y]Ἀλλὰ μὴν οὐδὲ τὸ τί ἦν [d]εἶναι ἐνδέχεται ἀνάγεσθαι
11 εἰς ἄλλον ὁρισμὸν πλεονάζοντα τῷ λόγῳ. [y]Ἀεί, [e]τε γάρ ἐστιν ὁ ἔμπροσθεν μᾶλλον, ὁ δ' ὕστερος οὐκ ἔστιν· οὗ δὲ τὸ πρῶτον μὴ ἔστιν, οὐδὲ τὸ ἐχόμενόν [f]ἐστιν. [y]Ἔτι τὸ ἐπίστασθαι ἀναιροῦσιν οἱ οὕτως λέγοντες· οὐ γὰρ οἷόν τε εἰ-
12 δέναι πρὶν [g]ἢ εἰς τὰ ἄτομα [h]ἐλθεῖν. Καὶ τὸ γιγνώσκειν οὐκ ἔστιν· τὰ γὰρ οὕτως ἄπειρα πῶς ἐνδέχεται νοεῖν; Οὐ γὰρ ὅμοιον ἐπὶ τῆς γραμμῆς, [i]ἢ κατὰ τὰς διαιρέσεις μὲν οὐχ ἵσταται· νοῆσαι δ' οὐκ ἔστι μὴ στήσαντα· διόπερ οὐκ [k]ἀρι-
13 θμήσει τὰς τομὰς ὁ τὴν ἄπειρον διεξιών. [y]Ἀλλὰ καὶ τὴν ὕλην ἐν κινουμένῳ νοεῖν ἀνάγκη, καὶ ἀπείρῳ [l]οὐθενὶ ἔστιν εἶναι· εἰ δὲ μή, οὐκ ἄπειρόν [m]γ' ἐστὶν [n]τὸ ἀπείρῳ εἶναι.

[l] ἔστι om. F[b].H[b]. [m] καὶ ἡ ἡμέρα T. [n] τὸ om. A[b]. [o] θάτερον A[b]. [p] ἀμφοτέρας E[b]. [q] γὰρ om. E[b]. [r] ἀνακάμπτειν A[b]. [s] γένεσίς ἐστιν [t] πρῶτον αἴτιον ἀΐδιον F[b]. [v] ἐπεὶ—εἶναι om. pr. E[b]: ἐπειδὴ rc. E[b]. [w] ἡ om. A[b]. [x] ἔτι] ἐπεὶ A[b].F[b]. [y] ἐγχειρίσειεν S. [z] πράσσειν E.E[b]. [a] τοῖς om. E. [b] τοιούτοις] οὖσιν A[b]. [c] πέρας τέλος S.A[b]. [d] εἶναι Q. [e] τε om. T. [f] ἐστιν om. A[b]. [g] ἢ om. T.A[b]. [h] ἔλθη A[b]. [i] ἢ S.E[b]. [k] ἀριθμεῖ A[b]. [l] οὐδὲν S.T.A[b].B[b]. C[b].E[b]. [m] γ'] δ' A[b]. [n] τοῦ E[b].

[1]Αλλὰ μὴν καὶ [o]εἰ ἄπειρά γ' ἦσαν πλήθει τὰ εἴδη τῶν αἰτίων, οὐκ ἂν ἦν οὐδ' οὕτω τὸ γιγνώσκειν· τότε γὰρ εἰδέναι οἰόμεθα, ὅταν τὰ αἴτια γνωρίσωμεν· τὸ δ' ἄπειρον κατὰ τὴν [p]πρόσθεσιν οὐκ ἔστιν ἐν πεπερασμένῳ διεξελθεῖν.

Αἱ δ' ἀκροάσεις κατὰ τὰ ἔθη [q]συμβαίνουσιν· ὡς γὰρ εἰώ- 3
θαμεν, οὕτως [r]ἀξιοῦμεν λέγεσθαι, καὶ τὰ παρὰ ταῦτα οὐχ ὅμοια φαίνεται ἀλλὰ διὰ τὴν ἀσυνήθειαν [s]ἀγνωστότερα καὶ ξενικώτερα· τὸ γὰρ σύνηθες [t]γνωριμώτερον. [t]Ηλίκην δὲ ἰσχὺν ἔχει τὸ σύνηθες οἱ νόμοι δηλοῦσιν, ἐν οἷς [v]τὰ μυθώδη καὶ παιδαριώδη μεῖζον ἰσχύει τοῦ γινώσκειν περὶ αὐτῶν [w]διὰ τὸ ἔθος. Οἱ μὲν οὖν, ἐὰν μὴ μαθηματικῶς λέγῃ τις, οὐκ ἀπο- 2
δέχονται τῶν λεγόντων, οἱ δ', ἂν μὴ παραδειγματικῶς, οἱ δὲ μάρτυρα ἀξιοῦσιν [x]ἐπάγεσθαι ποιητήν. Καὶ οἱ μὲν πάντα ἀκριβῶς, τοὺς δὲ λυπεῖ τὸ ἀκριβὲς ἢ διὰ τὸ μὴ δύνασθαι συνείρειν ἢ διὰ τὴν μικρολογίαν· ἔχει γάρ τι τὸ ἀκριβὲς τοιοῦτον, ὥστε καθάπερ ἐπὶ τῶν [y]συμβολαίων, καὶ ἐπὶ τῶν λόγων ἀνελεύθερον εἶναί [z]τισι δοκεῖ. Διὸ δεῖ [a]πεπαιδεῦσθαι 3
πῶς ἕκαστα ἀποδεκτέον, ὡς ἄτοπον ἅμα ζητεῖν ἐπιστήμην καὶ τρόπον ἐπιστήμης· ἔστι [b]δ' οὐδέτερον ῥᾴδιον λαβεῖν. Τὴν δ' ἀκριβολογίαν τὴν μαθηματικὴν οὐκ ἐν ἅπασιν ἀπαιτητέον, ἀλλ' ἐν τοῖς μὴ ἔχουσιν ὕλην. Διόπερ οὐ φυσικὸς ὁ 4
[c]τρόπος· ἅπασα γὰρ ἴσως ἡ φύσις ἔχει ὕλην. Διὸ σκεπτέον πρῶτον τί ἐστιν [d]ἡ φύσις· οὕτω γὰρ καὶ περὶ [e]τίνος ἡ φυσικὴ δῆλον ἔσται, καὶ εἰ μιᾶς ἐπιστήμης ἢ πλειόνων τὰ αἴτια καὶ τὰς ἀρχὰς θεωρῆσαί ἐστιν.

B.

[1]Ανάγκη πρὸς τὴν [f]ζητουμένην ἐπιστήμην [g]ἐπελθεῖν ἡμᾶς [h]πρῶτον, περὶ ὧν ἀπορῆσαι δεῖ πρῶτον· ταῦτα δ' ἐστὶν ὅσα

o εἰ om. S. p πρόθεσιν S.Ab. q συμβαίνουσαι Fb. r ἀξιοῦμεν ἔτι τὸ λ. Fb. s ἀγνωριστότερα T. t γνώριμον Ab. v τὰ] περὶ τὰ Ab. w διὰ om. Ab. x μετάγεσθαι Q. y συμβόλων Eb. z δοκεῖ τισι Ab. a πεπαιδεῦθαι E. b δὲ θάτερον Ab.Fb. c λόγος Fb. d ἡ om. E.Q.S. e τίνων Ab.Fb. f ζητουμένην Ab: ceteri ἐπιζητουμένην. g ἀπελθεῖν Fb. h πρῶτον ante περὶ om. Ab.Fb.

τε περὶ αὐτῶν ἄλλως ὑπειλήφασί τινες, κἂν εἴ τι χωρὶς τού-
2 των [i] τυγχάνοι παρεωραμένον. Ἔστι δὲ τοῖς εὐπορῆσαι
βουλομένοις προὔργου τὸ διαπορῆσαι καλῶς· ἡ γὰρ ὕστερον
εὐπορία λύσις τῶν [k] πρότερον ἀπορουμένων ἐστί, λύειν [l] δ'
οὐκ ἔστιν [m] ἀγνοοῦντας τὸν δεσμόν. Ἀλλ' ἡ τῆς διανοίας
ἀπορία δηλοῖ τοῦτο περὶ τοῦ πράγματος· [n] ἡ γὰρ ἀπορεῖ,
ταύτῃ παραπλήσιον πέπονθε τοῖς δεδεμένοις· ἀδύνατον γὰρ
3 ἀμφοτέρως προελθεῖν εἰς τὸ πρόσθεν. Διὸ δεῖ τὰς δυσχε-
ρείας τεθεωρηκέναι πάσας πρότερον, τούτων τε χάριν καὶ διὰ
τὸ τοὺς ζητοῦντας ἄνευ τοῦ διαπορῆσαι πρῶτον ὁμοίους εἶναι
τοῖς ποῖ δεῖ βαδίζειν ἀγνοοῦσι, καὶ πρὸς τούτοις [o] οὐδ' εἴ
ποτε τὸ ζητούμενον εὕρηκεν ἢ μὴ γινώσκειν· τὸ γὰρ τέλος
4 τούτῳ μὲν οὐ δῆλον, τῷ [p] δὲ προηπορηκότι δῆλον. Ἔτι [q] δὲ
βέλτιον ἀνάγκη ἔχειν πρὸς τὸ κρῖναι τὸν ὥσπερ ἀντιδίκων
5 καὶ τῶν ἀμφισβητούντων λόγων ἀκηκοότα πάντων. Ἔστι
δ' ἀπορία πρώτη μὲν περὶ ὧν ἐν τοῖς [r] πεφροιμιασμένοις
διηπορήσαμεν, πότερον μιᾶς ἢ [s] πολλῶν ἐπιστημῶν θεωρῆσαι
τὰς αἰτίας, καὶ πότερον τὰς τῆς οὐσίας ἀρχὰς τὰς πρώτας
ἐστὶ τῆς ἐπιστήμης ἰδεῖν μόνον, ἢ καὶ περὶ τῶν ἀρχῶν ἐξ ὧν
δεικνύουσιν [t] ἅπαντες, οἷον πότερον ἐνδέχεται ταὐτὸ καὶ ἓν
ἅμα φάναι [v] καὶ ἀποφάναι ἢ οὔ, καὶ περὶ τῶν ἄλλων τῶν
6 τοιούτων. Εἶτ' ἔστι περὶ τὴν οὐσίαν, πότερον μία περὶ
πάσας ἢ πλείονές [w] εἰσι, [x] καὶ εἰ πλείονες, πότερον ἅπασαι
συγγενεῖς, ἢ τὰς μὲν σοφίας τὰς δ' ἄλλο τι λεκτέον αὐτῶν.
7 Καὶ τοῦτο δ' αὐτὸ τῶν ἀναγκαίων ἐστὶ ζητῆσαι, πότερον
τὰς αἰσθητὰς οὐσίας εἶναι μόνον φατέον ἢ καὶ παρὰ ταύτας
ἄλλας, καὶ πότερον μοναχῶς ἢ [y] πλείονα γένη τῶν οὐσιῶν,
οἷον οἱ ποιοῦντες τά τε εἴδη καὶ τὰ μαθηματικὰ μεταξὺ τού-
8 των τε καὶ τῶν αἰσθητῶν. Περί τε τούτων οὖν, καθάπερ

[i] τυγχάνη E.S.T.A[b].B[b].C[b]. [k] προειρημένων ἀπόρων F[b]. [l] δ'] γὰρ F[b]. [m] ἀγνοοῦντα E.S.T.B[b].C[b]. [n] ἡ γὰρ ἀπορία A[b]. [o] οὐδέποτε τὸ ζητούμενον εἰ εὕρηκεν A[b]. [p] δὲ καλῶς προηπορηκότι S.B[b].C[b]. [q] δὲ post ἔτι om. A[b]. [r] πεπροοιμιασμένοις E. [s] πολλῶν ἐστιν ἐπιστ. S.T. B[b].C[b]. [t] πάντες A[b].G[b].I[b]. [v] καὶ ἀποφάναι om. E. [w] εἰσι om. F[b]. [x] καὶ G[b].I[b] : ceteri κἂν. [y] πλεοναχῶς τὰ γ. A[b].

φαμέν, ἐπισκεπτέον, καὶ πότερον [z]περὶ τὰς οὐσίας [a]ἡ θεωρία μόνον ἐστὶν ἢ καὶ περὶ τὰ συμβεβηκότα καθ' αὑτὰ ταῖς οὐσίαις. Πρὸς δὲ τούτοις περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ὁμοίου 9
καὶ ἀνομοίου [b]καὶ ταυτότητος καὶ ἐναντιότητος, καὶ περὶ προτέρου καὶ ὑστέρου καὶ τῶν ἄλλων ἁπάντων τῶν τοιούτων, περὶ ὅσων οἱ διαλεκτικοὶ πειρῶνται σκοπεῖν ἐκ τῶν ἐνδόξων [c]μόνον ποιούμενοι τὴν σκέψιν, τίνος ἐστὶ θεωρῆσαι περὶ πάντων. [d]Ἔτι δὲ τούτοις αὐτοῖς ὅσα καθ' αὑτὰ συμβέβηκεν· 10
καὶ μὴ μόνον τί ἐστι τούτων ἕκαστον, ἀλλὰ καὶ [d]ἆρα ἓν ἑνὶ ἐναντίον· καὶ πότερον αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα [e]τὰ γένη ἐστὶν ἢ εἰς ἃ διαιρεῖται ἐνυπάρχοντα ἕκαστον· καὶ [f]εἰ τὰ γένη, πότερον ὅσα ἐπὶ τοῖς ἀτόμοις λέγεται τελευταῖα ἢ τὰ πρῶτα, οἷον πότερον ζῷον ἢ ἄνθρωπος ἀρχή τε καὶ μᾶλλον ἐστι παρὰ [g]τὸ καθ' ἕκαστον. [h]Μάλιστα δὲ ζητητέον 11
καὶ πραγματευτέον, πότερον ἔστι [i]τι παρὰ τὴν ὕλην [k]αἴτιον [l]καθ' αὑτὸ ἢ οὔ, [m]καὶ τοῦτο χωριστὸν ἢ οὔ, καὶ πότερον ἓν ἢ πλείω τὸν ἀριθμόν. Καὶ πότερον ἔστι τι παρὰ τὸ σύνολον (λέγω δὲ τὸ σύνολον, ὅταν κατηγορηθῇ τι τῆς ὕλης) ἢ οὐθέν, ἢ τῶν μὲν τῶν δ' οὔ, καὶ ποῖα [n]ταῦτα τῶν ὄντων. [o]Ἔτι αἱ ἀρχαὶ πότερον ἀριθμῷ ἢ εἴδει ὡρισμέναι, καὶ αἱ [p]ἐν 12
τοῖς λόγοις καὶ αἱ ἐν τῷ ὑποκειμένῳ· καὶ πότερον τῶν φθαρτῶν καὶ ἀφθάρτων [q]αἱ αὐταὶ ἢ ἕτεραι· καὶ πότερον ἄφθαρτοι πᾶσαι, ἢ τῶν φθαρτῶν φθαρταί. [r]Ἔτι δὲ [s]τὸ 13
πάντων χαλεπώτατον καὶ πλείστην ἀπορίαν ἔχον, [t]πότερον [v]τὸ ἓν καὶ τὸ ὄν, καθάπερ οἱ Πυθαγόρειοι καὶ Πλάτων [w]ἔλεγεν, οὐχ ἕτερόν [x]τί ἐστιν ἀλλ' οὐσία τῶν ὄντων, ἢ οὔ, ἀλλ' ἕτερόν τι [y]τὸ ὑποκείμενον, ὥσπερ [z]Ἐμπεδοκλῆς φησὶ

[z] περὶ] ἐπὶ $G^b.I^b$. [a] μόνον ἡ θεωρία F^b. [b] καὶ ταυτότητος] καὶ ἐναντίου $T.F^b$, om. $E.A^b.G^b.I^b$. [c] μόνων A^b. [d] ἆρα $E.A^b$: ceteri εἰ ἄρα. [e] τὰ ante γένη om. $G^b.I^b$. [f] εἰ om. E. [g] τὸν $G^b.I^b$. [h] μᾶλλον A^b. [i] τι om. $G^b.I^b$. [k] αἴτια F^b. [l] καθ' αὑτὸ ἢ οὔ om. A^b. [m] καὶ τοῦτο χωριστὸν om. E. [n] ταῦτα $G^b.I^b$: ceteri τοιαῦτα. [o] αἱ post ἔτι om. A^b. [p] αἱ add. $E.B^b.C^b.G^b.I^b$. [q] αἱ om. S. [r] ἔστι $G^b.I^b$. [s] τὸ] τῶν I^b. [t] πότερον om. F^b. [v] τὸ] καὶ τὸ G^b. [w] ἔλεγον $G^b.I^b$, om. F^b. [x] τι ante ἐστιν om. I^b. [y] τὸ om. $B^b.C^b$. [z] φησὶ om. I^b.

14 φιλίαν, ἄλλος δέ τις πῦρ, ὁ δὲ ὕδωρ, [a] ὁ δὲ ἀέρα. Καὶ πότερον αἱ ἀρχαὶ καθόλου εἰσὶν ἢ ὡς τὰ καθ' ἕκαστα τῶν πραγμάτων, [b] καὶ δυνάμει ἢ ἐνεργείᾳ. [γ]Ἔτι πότερον ἄλλως ἢ κατὰ κίνησιν· καὶ γὰρ ταῦτα ἀπορίαν [c] ἂν παράσχοι πολ-
15 λήν. Πρὸς δὲ τούτοις πότερον οἱ ἀριθμοὶ καὶ τὰ μήκη καὶ τὰ σχήματα καὶ αἱ στιγμαὶ οὐσίαι τινές εἰσιν ἢ οὔ, κἂν [d] εἰ οὐσίαι, πότερον κεχωρισμέναι τῶν αἰσθητῶν ἢ [e] ἐνυπάρχουσαι ἐν τούτοις. Περὶ γὰρ τούτων ἁπάντων οὐ μόνον χαλεπὸν τὸ εὐπορῆσαι τῆς ἀληθείας, ἀλλ' οὐδὲ τὸ διαπορῆσαι τῷ λόγῳ ῥᾴδιον καλῶς.

2 Πρῶτον μὲν οὖν περὶ ὧν πρῶτον εἴπομεν, πότερον μιᾶς ἢ πλειόνων ἐστὶν [f] ἐπιστημῶν θεωρῆσαι πάντα τὰ γένη τῶν αἰτίων. Μιᾶς μὲν γὰρ ἐπιστήμης πῶς ἂν εἴη μὴ ἐναντίας
2 [g] οὔσας τὰς ἀρχὰς γνωρίζειν; [δ]Ἔτι δὲ πολλοῖς τῶν ὄντων οὐχ [k] ὑπάρχουσι πᾶσαι. Τίνα γὰρ [l] τρόπον οἷόν τε κινήσεως ἀρχὴν εἶναι τοῖς ἀκινήτοις ἢ τὴν [m] τἀγαθοῦ φύσιν, [n] εἴπερ ἅπαν, [o] ὃ ἂν ᾖ ἀγαθὸν καθ' αὑτὸ καὶ διὰ τὴν αὑτοῦ φύσιν, τέλος ἐστὶν καὶ οὕτως αἴτιον, ὅτι ἐκείνου ἕνεκα καὶ γίγνεται καὶ [p] ἔστι τἆλλα, τὸ δὲ τέλος καὶ τὸ οὗ ἕνεκα πράξεώς τινός ἐστι τέλος, αἱ δὲ πράξεις πᾶσαι μετὰ κινήσεως· ὥστ' ἐν τοῖς ἀκινήτοις οὐκ ἂν ἐνδέχοιτο ταύτην εἶναι
3 τὴν ἀρχὴν οὐδ' εἶναί τι αὐτοαγαθόν. Διὸ καὶ ἐν τοῖς μαθήμασιν οὐθὲν δείκνυται διὰ ταύτης τῆς αἰτίας, οὐδ' ἔστιν ἀπόδειξις οὐδεμία διότι βέλτιον ἢ χεῖρον, ἀλλ' οὐδὲ τὸ παράπαν
4 μέμνηται οὐθεὶς [q] οὐθενὸς τῶν τοιούτων. [ε]Ὥστε διὰ ταῦτα τῶν σοφιστῶν τινὲς οἷον [ζ]Ἀρίστιππος προεπηλάκιζεν αὐτάς· ἐν μὲν γὰρ ταῖς ἄλλαις τέχναις, καὶ ταῖς [r] βαναύσοις, οἷον ἐν τεκτονικῇ καὶ σκυτικῇ, διότι βέλτιον ἢ χεῖρον λέγεσθαι πάντα, τὰς δὲ μαθηματικὰς οὐθένα ποιεῖσθαι λόγον περὶ

[a] ὁ δὲ ἀέρα A^b: ceteri ἢ ἀέρα. [b] καὶ δυνάμει ἢ ἐνεργείᾳ om. A^b. [c] ἂν om. F^b. [d] εἰ οὐσίαι] εἰ οὐσία A^b. [e] ἐνυπάρχουσαι add. A^b. [f] ἐπιστήμης A^b. [g] οὔσης G^b. [k] ὑπ. πᾶσι πᾶσαι E.S. [l] οἷόν τε τρόπον $G^b.I^b$. [m] ἀγαθοῦ S.A^b. [n] ὅπερ S. [o] ὃ] ἢ T. [p] ἔστι καὶ τἆλλα A^b. [q] οὐθενὸς om. T. [r] βαναύσοις αὐταῖς οἷον S.$A^b.B^b.C^b$.

ἀγαθῶν καὶ [s]κακῶν. [4]Ἀλλὰ μὴν [t]εἴ γε πλείους ἐπιστῆμαι 5
τῶν αἰτίων εἰσὶ καὶ [v]ἕτεραι ἑτέρας ἀρχῆς, τίνα τούτων φα-
τέον εἶναι τὴν ζητουμένην, ἢ τίνα μάλιστα τοῦ πράγματος
[w]τοῦ ζητουμένου ἐπιστήμονα τῶν ἐχόντων αὐτάς; [4]Ἐνδέχε- 6
ται γὰρ τῷ αὐτῷ πάντας τοὺς τρόπους [x]τοὺς τῶν αἰτίων
ὑπάρχειν, οἷον οἰκίας, ὅθεν μὲν ἡ κίνησις, ἡ τέχνη καὶ ὁ οἰκο-
δόμος, οὗ δ' ἕνεκα, τὸ ἔργον, ὕλη δὲ γῆ καὶ λίθοι, τὸ δ' εἶδος
ὁ λόγος. [4]Ἐκ μὲν οὖν τῶν πάλαι διωρισμένων, τίνα χρὴ
καλεῖν τῶν ἐπιστημῶν σοφίαν, [y]ἔχει λόγον ἑκάστην προσα-
γορεύειν. [z]Ἡι μὲν γὰρ ἀρχικωτάτη καὶ [a]ἡγεμονικωτάτη, 7
καὶ ᾗ ὥσπερ [b]δούλας οὐδ' [c]ἀντειπεῖν τὰς ἄλλας ἐπιστήμας
δίκαιον, [d]ἡ τοῦ τέλους καὶ [e]τἀγαθοῦ τοιαύτη ([f]τούτου γὰρ
ἕνεκα τἆλλα)· [g]ᾗ δὲ τῶν πρώτων αἰτίων καὶ τοῦ μάλιστα
ἐπιστητοῦ διωρίσθη εἶναι, ἡ τῆς οὐσίας ἂν εἴη τοιαύτη. Πολ- 8
λαχῶς γὰρ ἐπισταμένων τὸ αὐτὸ μᾶλλον [h]μὲν εἰδέναι φαμὲν
τὸν τῷ εἶναι γνωρίζοντα τί τὸ πρᾶγμα ἢ τῷ μὴ εἶναι, αὐ-
τῶν δὲ τούτων ἕτερον ἑτέρου μᾶλλον, καὶ μάλιστα [i]τὸν τί
ἐστιν, ἀλλ' οὐ [k]τὸν πόσον ἢ ποῖον ἢ τί ποιεῖν ἢ πάσχειν
πέφυκεν. [4]Ἔτι δὲ [l]καὶ ἐν τοῖς ἄλλοις τὸ εἰδέναι ἕκαστον, 9
καὶ ὧν ἀποδείξεις εἰσί, τότ' οἰόμεθα ὑπάρχειν, ὅταν εἰδῶμεν
τί ἐστιν, [m]οἷον τί ἐστι τὸ τετραγωνίζειν, ὅτι μέσης εὕρεσις·
ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Περὶ δὲ τὰς γενέσεις καὶ τὰς
πράξεις καὶ περὶ [n]ἅπασαν μεταβολήν, ὅταν εἰδῶμεν τὴν
ἀρχὴν τῆς κινήσεως. Τοῦτο δ' ἕτερον καὶ ἀντικείμενον τῷ 10
τέλει· ὥστ' [o]ἄλλης ἂν δόξειεν ἐπιστήμης εἶναι τὸ θεωρῆσαι
τῶν αἰτίων τούτων ἕκαστον. [4]Ἀλλὰ μὴν καὶ [p]περὶ τῶν
ἀποδεικτικῶν ἀρχῶν, πότερον μιᾶς ἐστὶν ἐπιστήμης ἢ πλει-
όνων, ἀμφισβητήσιμόν ἐστιν. Λέγω δὲ ἀποδεικτικὰς [q]τὰς 11

s καλῶν A^b. t πλείους εἴγε F^b. v ἕτεραι] ἑτέρα E.T. w τοῦ ζη-
τουμένου om. A^b. x τοὺς ante τῶν add. E.A^b. y ἔχει E.T.G^b.I^b:
ceteri οὐδαμῶς ἔχει. z ᾗ E.G^b: vulgo ἡ. a ἡ γενικωτάτη A^b. b δού-
λας om. G^b.I^b. c ἀντιτείνειν I^b. d ἢ G^b. e ἀγαθοῦ A^b. f τούτου
E.A^b.G^b.I^b: ceteri τούτων. g ᾗ E.G^b.I^b: ceteri ἡ. h μὲν om. F^b.
i τὸν E, τὸ G^b, τὸν τὸ I^b: vulgo τῶν. k τὸν E.G^b.I^b: ceteri τῶν.
l καὶ ἐν] κἂν ἐν G^b.I^b. m οἷον τί ἐστι om. T. n πᾶσαν A^b.G^b.I^b.
o ἂν ἄλλης T. p περὶ om. F^b. q τὰς E.A^b.I^b; ceteri καὶ τὰς.

κοινὰς δόξας, ἐξ ὧν ἅπαντες δεικνύουσιν, οἷον ὅτι [r]πᾶν ἀναγκαῖον ἢ φάναι ἢ ἀποφάναι, καὶ ἀδύνατον ἅμα εἶναι καὶ μὴ εἶναι, καὶ ὅσαι ἄλλαι τοιαῦται προτάσεις, πότερον μία τούτων ἐπιστήμη καὶ τῆς οὐσίας ἢ ἑτέρα, [s]κἂν εἰ μὴ μία, ποτέ-
12 ραν χρὴ προσαγορεύειν τὴν ζητουμένην [t]νῦν. Μιᾶς μὲν οὖν οὐκ εὔλογον εἶναι· τί γὰρ μᾶλλον γεωμετρίας ἢ ὁποιασοῦν [v]περὶ τούτων [w]ἐστὶν ἴδιον τὸ ἐπαΐειν; Εἴπερ οὖν ὁμοίως μὲν ὁποιασοῦν ἐστίν, ἁπασῶν δὲ [x]μὴ ἐνδέχεται, ὥσπερ οὐδὲ τῶν ἄλλων [y]οὕτως οὐδὲ τῆς γνωριζούσης τὰς οὐσίας ἴδιόν
13 ἐστι τὸ γινώσκειν περὶ αὐτῶν. [v]Ἅμα δὲ καὶ τίνα τρόπον ἔσται αὐτῶν ἐπιστήμη; Τί μὲν γὰρ ἕκαστον τούτων τυγχάνει ὂν καὶ νῦν γνωρίζομεν· χρῶνται [z]γοῦν ὡς γιγνωσκομένοις αὐτοῖς καὶ ἄλλαι τέχναι. [a]Εἰ δὲ ἀποδεικτικὴ περὶ αὐτῶν ἐστί, δεήσει τι γένος εἶναι ὑποκείμενον, καὶ τὰ μὲν
14 πάθη τὰ δ' ἀξιώματ' αὐτῶν. Περὶ πάντων γὰρ [b]ἀδύνατον ἀπόδειξιν εἶναι· ἀνάγκη γὰρ ἔκ τινων εἶναι καὶ περί τι καὶ τινῶν τὴν ἀπόδειξιν· ὥστε συμβαίνει πάντων εἶναι γένος [c]ἔν τι τῶν δεικνυμένων· πᾶσαι γὰρ αἱ ἀποδεικτικαὶ χρῶνται τοῖς ἀξιώμασιν. [d]Ἀλλὰ μὴν εἰ ἑτέρα ἡ τῆς οὐσίας καὶ ἡ περὶ
15 τούτων, ποτέρα κυριωτέρα καὶ προτέρα πέφυκεν αὐτῶν; Καθόλου γὰρ μάλιστα καὶ πάντων ἀρχαὶ τὰ ἀξιώματά ἐστιν. Εἶτ' ἐστὶ μὴ τοῦ φιλοσόφου, τίνος ἔσται περὶ αὐτῶν ἄλλου τὸ θεωρῆσαι τὸ ἀληθὲς καὶ [d]τὸ ψεῦδος; [v]Ὅλως τε τῶν οὐσιῶν πότερον μία πασῶν ἐστὶν ἢ πλείους ἐπιστῆμαι; Εἰ μὲν οὖν μὴ μία, ποίας οὐσίας [e]θετέον τὴν ἐπιστήμην ταύτην;
16 Τὸ δὲ μίαν πασῶν οὐκ εὔλογον· καὶ γὰρ ἂν ἀποδεικτικὴ μία περὶ [f]πάντων εἴη [g]τῶν συμβεβηκότων, εἴπερ πᾶσα ἀποδεικτικὴ περί τι ὑποκείμενον [h]θεωρεῖ τὰ καθ' αὑτὰ συμβεβηκότα
17 ἐκ τῶν κοινῶν δοξῶν. Περὶ οὖν τὸ αὐτὸ γένος τὰ συμβεβη-

[r] πᾶν] τὸ Gᵇ. [s] κἂν εἰ] καὶ ἂν εἴη Aᵇ. [t] νῦν add. E.T.Aᵇ.Gᵇ.Iᵇ. [v] περὶ] τῶν περὶ Aᵇ. [w] ἴδιόν ἐστι Gᵇ.Iᵇ. [x] μὴ] μηδὲ Gᵇ. [y] οὕτως] ὥσπερ T. [z] γοῦν E.T.Aᵇ.Iᵇ: ceteri οὖν. [a] εἰ] ἡ T. [b] ἀπόδειξιν εἶναι ἀδύνατον Gᵇ.Iᵇ. [c] ἕν om. Aᵇ. [d] τὸ post καὶ om. E.Bᵇ.Cᵇ.Iᵇ. [e] ῥητέον Gᵇ.Iᵇ. [f] πάντων ἂν εἴη Aᵇ. [g] τῶν καθ' αὑτὸ συμβ. S.Bᵇ.Cᵇ. [h] θεωρεῖται καθ' T.

κότα καθ' αὐτὰ τῆς αὐτῆς [i]ἐστὶ θεωρῆσαι ἐκ τῶν αὐτῶν δοξῶν. Περί τε γὰρ [k]τὸ ὅτι μιᾶς, καὶ ἐξ ὧν μιᾶς, εἴτε τῆς αὐτῆς εἴτε [l]ἄλλης· ὥστε καὶ τὰ συμβεβηκότα, εἶτ' αὐταὶ [m]θεωρήσουσιν, εἴτ' ἐκ τούτων μία. [j]Ἔτι δὲ πότερον περὶ τὰς οὐ- 18
σίας [n]μόνον ἡ θεωρία ἐστὶν ἢ [o]καὶ [p]περὶ τὰ συμβεβηκότα ταύταις· λέγω δ' οἷον, εἰ τὸ στερεὸν [q]οὐσία τίς ἐστι καὶ γραμμαὶ καὶ ἐπίπεδα, πότερον τῆς αὐτῆς ταῦτα [r]γνωρίζειν ἐπιστήμης καὶ τὰ συμβεβηκότα περὶ ἕκαστον γένος, περὶ ὧν αἱ μαθηματικαὶ δεικνύουσιν, ἢ ἄλλης. Εἰ μὲν γὰρ τῆς αὐ- 19
τῆς, ἀποδεικτική τις ἂν εἴη καὶ ἡ τῆς οὐσίας· οὐ δοκεῖ δὲ τοῦ τί ἐστιν ἀπόδειξις εἶναι. Εἰ δ' ἑτέρας, τίς [s]ἔσται ἡ θεωροῦσα περὶ τὴν οὐσίαν τὰ συμβεβηκότα; Τοῦτο γὰρ ἀποδοῦναι [t]παγχάλεπον. [j]Ἔτι [v]δὲ πότερον τὰς αἰσθητὰς οὐ- 20
σίας μόνας εἶναι φατέον ἢ καὶ παρὰ ταύτας ἄλλας· καὶ πότερον μοναχῶς ἢ πλείω γένη τετύχηκεν ὄντα τῶν οὐσιῶν, οἷον οἱ λέγοντες τά τε εἴδη καὶ τὰ μεταξύ, περὶ [w]ἃ τὰς μαθηματικὰς εἶναί φασιν ἐπιστήμας. [b]Ὡς μὲν οὖν λέγομεν τὰ 21
εἴδη αἴτιά τε [x]καὶ οὐσίας εἶναι καθ' αὑτὰς εἴρηται ἐν τοῖς πρώτοις λόγοις περὶ αὐτῶν· [y]πολλαχῇ δ' ἐχόντων δυσκολίαν, οὐθενὸς ἧττον ἄτοπον τὸ φάναι μὲν εἶναί τινας φύσεις παρὰ τὰς ἐν τῷ οὐρανῷ, ταύτας δὲ τὰς αὐτὰς φάναι τοῖς αἰσθητοῖς πλὴν [z]ὅτι τὰ μὲν ἀΐδια τὰ δὲ φθαρτά. Αὐτὸ γὰρ 22
ἄνθρωπόν φασιν εἶναι [a]καὶ ἵππον καὶ ὑγίειαν, ἄλλο δ' οὐδέν, [b]παραπλήσιον ποιοῦντες τοῖς θεοὺς μὲν εἶναι φάσκουσιν, ἀνθρωποειδεῖς [c]δέ· οὔτε γὰρ ἐκεῖνοι οὐθὲν ἄλλο [d]ἐποίουν ἢ ἀνθρώπους ἀϊδίους, οὔθ' οὗτοι τὰ εἴδη ἀλλ' ἢ αἰσθητὰ ἀΐδια. [j]Ἔτι δὲ εἴ τις παρὰ τὰ εἴδη καὶ τὰ αἰσθητὰ [e]τὰ μεταξὺ [f]θήσεται, πολλὰς ἀπορίας ἕξει. Δῆλον γὰρ ὡς ὁμοίως 23

[i] θεωρῆσαι ἐστι Ab. [k] τὸ ὅτι] ὃ Ab.Fb. [l] ἄλλοις Cb, τῆς ἄλλης Fb.Gb. [m] θεωροῦσιν Ab.Fb. [n] ἡ θεωρία μόνον omnes præter Ab. [o] καὶ om. Cb. [p] περὶ om. Fb. [q] οὐσίαι τι T. [r] γνωρίζειν ἐστὶν ἐπιστ. Ab. [s] ἐστιν S. [t] χαλεπόν Gb. [v] δὲ om. Gb. [w] ἃ om. Ab. [x] καὶ] τῆς Gb. [y] πολλὰς δ' ἐχόντων δυσκολίας Fb. [z] ὅτι] τί Ab. [a] καὶ αὐτὸ ἵππον T. [b] παραπλήσιον μὲν ποιοῦντες T. [c] δέ] δ' εἶναι Ab. [d] ποιοῦσιν Ib. [e] τὰ post αἰσθητὰ om. Fb. [f] τίθεται Fb.

γραμμαί τε [g] παρ' αὐτὰς καὶ τὰς αἰσθητὰς ἔσονται καὶ ἕκαστον τῶν ἄλλων γενῶν· ὥστ' ἐπείπερ ἡ ἀστρολογία μία τούτων ἐστίν, ἔσται τις καὶ οὐρανὸς παρὰ τὸν αἰσθητὸν οὐρανὸν καὶ ἥλιος [h] τε καὶ σελήνη καὶ τἆλλα ὁμοίως τὰ κατὰ
24 τὸν οὐρανόν. Καίτοι πῶς δεῖ πιστεῦσαι τούτοις; Οὐδὲ γὰρ ἀκίνητον εὔλογον εἶναι, κινούμενον δὲ καὶ παντελῶς ἀδύνατον. [i] Ὁμοίως δὲ καὶ περὶ ὧν ἡ ὀπτικὴ πραγματεύεται καὶ ἡ ἐν τοῖς [j] μαθήμασιν ἁρμονική· καὶ γὰρ ταῦτα [k] ἀδύνατον εἶναι [l] παρὰ τὰ αἰσθητὰ διὰ τὰς αὐτὰς αἰτίας· εἰ γάρ ἐστιν αἰσθητὰ μεταξὺ καὶ αἰσθήσεις, δῆλον ὅτι καὶ ζῷα ἔσονται μεταξὺ αὐτῶν
25 τε καὶ τῶν φθαρτῶν. [t] Ἀπορήσειε δ' ἄν τις καὶ [m] περὶ ποῖα τῶν ὄντων δεῖ ζητεῖν ταύτας τὰς ἐπιστήμας. Εἰ γὰρ τούτῳ διοίσει τῆς [n] γεωδαισίας ἡ γεωμετρία μόνον, ὅτι ἡ μὲν τούτων ἐστὶν [o] ὧν αἰσθανόμεθα ἡ δ' οὐκ αἰσθητῶν, [p] δῆλον ὅτι καὶ παρ' ἰατρικὴν [q] ἔσται τις ἐπιστήμη καὶ παρ' [r] ἑκάστην τῶν ἄλλων μεταξὺ [s] αὐτῆς τε ἰατρικῆς καὶ [t] τῆσδε [v] τῆς ἰατρικῆς.
26 Καίτοι πῶς τοῦτο δυνατόν; Καὶ γὰρ [w] ἂν ὑγιείη' [x] ἄττα εἴη [y] παρὰ τὰ αἰσθητὰ καὶ αὐτὸ τὸ ὑγιεινόν. [u] Ἅμα δὲ [z] οὐδὲ τοῦτο ἀληθές, ὡς [a] ἡ γεωδαισία τῶν αἰσθητῶν ἐστὶ μεγεθῶν καὶ φθαρτῶν· ἐφθείρετο γὰρ ἂν φθειρομένων. [t] Ἀλλὰ μὴν
[b] οὐδὲ τῶν αἰσθητῶν ἂν εἴη μεγεθῶν [c] οὐδὲ περὶ τὸν οὐρανὸν
27 ἡ ἀστρολογία τόνδε. Οὔτε γὰρ [d] αἱ αἰσθηταὶ γραμμαὶ τοιαῦταί εἰσιν οἵας λέγει ὁ γεωμέτρης· οὐθὲν γὰρ εὐθὺ τῶν αἰσθητῶν οὕτως [e] οὐδὲ στρογγύλον· ἅπτεται γὰρ τοῦ κανόνος οὐ κατὰ στιγμὴν ὁ κύκλος, ἀλλ' ὥσπερ Πρωταγόρας ἔλεγεν [f] ἐλέγχων τοὺς γεωμέτρας, οὔθ' αἱ κινήσεις [g] καὶ ἕλικες
[h] τοῦ οὐρανοῦ [i] ὅμοιαι, περὶ ὧν [i] ἡ ἀστρολογία ποιεῖται τοὺς

g παρὰ ταύτας Ab. h τε add. E.Ab. i μαθηματικοῖς T. k ἀδύνατα S. l περὶ Gb. m παρὰ E. n γεωδεσίας Gb. o ἃ E.S.T.Bb.Cb. Gb.Ib. p δῆλον οὖν ὅτι καὶ S.Bb, δῆλον καὶ Gb. q ἔσται] οὐκ ἔσται Gb. r ἑκάστης Gb. s αὐτῆς] τῆς Gb.Ib. t τῆσδε] τῆς τε Gb. v τῆς om. S. w ἂν om. T. x ἄττα] τὰ Ab. y περὶ Gb. z οὐδὲ add. E.S.T.Ab.Fb.Gb. a ἡ om. T. b οὐδ' αἰσθητῶν Ab. c οὐδ' ἡ περὶ τὸν οὐρανὸν ἀστρολογία Ab.Gb. d αἱ om. Ab. e οὔτε Gb. f τοὺς γεωμέτρας ἐλέγχων T. g καὶ] καὶ αἱ E.S. h τοῦ οὐρανοῦ om. S. i ὅμοιαι et ἡ om. Ab.

λόγους, οὔτε [k]τὰ σημεῖα τοῖς ἄστροις τὴν αὐτὴν [l]ἔχει φύσιν.
Εἰσὶ δέ τινες οἳ φασιν εἶναι μὲν τὰ μεταξὺ [m]ταῦτα λεγό- 28
μενα τῶν τε εἰδῶν καὶ τῶν αἰσθητῶν, οὐ μὴν [n]χωρίς γε τῶν
αἰσθητῶν ἀλλ' ἐν τούτοις· [o]οἷς τὰ [p]συμβαίνοντα ἀδύνατα
πάντα μὲν πλείονος λόγου διελθεῖν, ἱκανὸν δὲ καὶ τὰ τοιαῦτα
θεωρῆσαι. Οὔτε γὰρ ἐπὶ τούτων εὔλογον ἔχειν [q]οὕτω [r]μό- 29
νον, ἀλλὰ δῆλον ὅτι καὶ τὰ εἴδη ἐνδέχοιτ' ἂν ἐν τοῖς αἰσθη-
τοῖς εἶναι· τοῦ γὰρ αὐτοῦ λόγου ἀμφότερα ταῦτά ἐστιν.
[1]Ἔτι [s]δὲ δύο στερεὰ [t]ἐν τῷ αὐτῷ ἀναγκαῖον εἶναι τόπῳ, καὶ
μὴ εἶναι ἀκίνητα ἐν κινουμένοις [v]γε ὄντα τοῖς αἰσθητοῖς.
[2]Ὅλως [w]δὲ τίνος ἕνεκ' ἄν τις θείη εἶναι μὲν αὐτά, εἶναι δ' ἐν 30
τοῖς αἰσθητοῖς; Ταὐτὰ [x]γὰρ συμβήσεται [y]ἄτοπα τοῖς [z]προ-
ειρημένοις· ἔσται [a]γὰρ οὐρανός τις παρὰ τὸν οὐρανόν, πλήν
γ' οὐ χωρὶς ἀλλ' ἐν τῷ αὐτῷ τόπῳ· ὅ[b]περ ἐστὶν ἀδυνατώ-
τερον.

Περί τε τούτων [c]οὖν ἀπορία πολλὴ πῶς δεῖ θέμενον τυ- 3
χεῖν τῆς ἀληθείας, καὶ περὶ τῶν ἀρχῶν [d]πότερον δεῖ τὰ γένη
στοιχεῖα καὶ ἀρχὰς ὑπολαμβάνειν ἢ μᾶλλον ἐξ ὧν [e]ἐνυπαρ-
χόντων ἐστὶν [f]ἕκαστον [g]πρῶτον, οἷον φωνῆς στοιχεῖα καὶ
ἀρχαὶ δοκοῦσιν εἶναι [h]ταῦτ' ἐξ ὧν [i]σύγκεινται αἱ φωναὶ
[k]πᾶσαι [l]πρώτων, ἀλλ' οὐ τὸ κοινὸν ἡ φωνή· καὶ τῶν δια-
γραμμάτων [m]ταῦτα στοιχεῖα λέγομεν, ὧν αἱ ἀποδείξεις [n]ἐνυ-
πάρχουσιν ἐν ταῖς [o]τούτων ἀποδείξεσιν ἢ πάντων ἢ τῶν πλεί-
στων. [1]Ἔτι [p]δὲ τῶν σωμάτων καὶ οἱ πλείω λέγοντες εἶναι 2
στοιχεῖα καὶ οἱ ἕν, ἐξ ὧν [q]σύγκειται καὶ ἐξ ὧν συνέστηκεν
ἀρχὰς λέγουσιν εἶναι, οἷον [r]Ἐμπεδοκλῆς πῦρ καὶ ὕδωρ καὶ τὰ

[k] τὰ om. G^b. [l] φύσιν ἔχει S. [m] ταῦτα τὰ λεγόμενα S. [n] γε χωρὶς F^b. [o] οἷς] οἱ pr. E. [p] συμβεβηκότα T. [q] οὕτω om. S.B^b.C^b. [r] μόνων G^b.I^b. [s] τε E. [t] ἀναγκαῖον ἐν τῷ αὐτῷ G^b.I^b. [v] γε] τε T. [w] δὲ] δὲ καὶ T. [x] γὰρ καὶ συμβήσεται G^b. [y] ἄτοπον S.B^b. [z] εἰρημένοις G^b. [a] γὰρ] γοῦν T. [b] περ om. A^b. [c] οὖν om. A^b. [d] πότερα E. [e] ὑπαρχόντων A^b. [f] ἕκαστα F^b. [g] πρώτων rc. I^b. [h] ταῦτ' om. G^b.I^b. [i] σύγκειται G^b. [k] πᾶσαι om. A^b.G^b. [l] πρῶτον T.A^b, αὐτῶν G^b. [m] τοιαῦτα G^b. [n] ἐνυπάρχοντα A^b. [o] τούτων A^b: ceteri τῶν ἄλλων. [p] δὲ καὶ τῶν G^b. [q] σύγκειται G^b.I^b: ceteri σύγκεινται.

r μετὰ τούτων στοιχεῖά φησιν εἶναι ἐξ ὧν ἔστι τὰ ὄντα ἐνυπαρχόντων, ἀλλ' οὐχ ὡς γένη s λέγει ταῦτα τῶν ὄντων.
3 Πρὸς δὲ τούτοις καὶ τῶν ἄλλων εἴ τις t ἐθέλει τὴν φύσιν ἀθρεῖν, οἷον κλίνην ἐξ ὧν μορίων v συνέστηκε καὶ πῶς w συγκειμένων, τότε γνωρίζει τὴν φύσιν αὐτῆς. x Ἐκ μὲν οὖν τούτων τῶν λόγων οὐκ ἂν εἴησαν αἱ ἀρχαὶ τὰ γένη τῶν ὄντων· x ἢ δ' ἕκαστον μὲν γνωρίζομεν διὰ τῶν ὁρισμῶν, ἀρχαὶ δὲ τὰ
4 γένη τῶν ὁρισμῶν εἰσίν, ἀνάγκη καὶ τῶν ὁριστῶν ἀρχὰς εἶναι τὰ γένη. y Κἂν εἰ ἔστι z τὴν τῶν ὄντων λαβεῖν ἐπιστήμην a τὸ τῶν εἰδῶν λαβεῖν b καθ' ἃ λέγονται τὰ ὄντα, τῶν γε εἰδῶν c τὰ γένη ἀρχαί εἰσιν. Φαίνονται δέ τινες καὶ τῶν λεγόντων στοιχεῖα τῶν ὄντων τὸ d ἓν ἢ τὸ ὂν ἢ τὸ μέγα καὶ e τὸ μικρὸν ὡς γένεσιν αὐτοῖς χρῆσθαι. f Ἀλλὰ μὴν οὐδὲ
5 ἀμφοτέρως f γε οἷόν τε λέγειν τὰς ἀρχάς. g Ὁ μὲν γὰρ λόγος τῆς οὐσίας εἷς· ἕτερος δ' h ἔσται ὁ διὰ τῶν i γενῶν ὁρισμὸς καὶ ὁ λέγων ἐξ ὧν ἔστιν ἐνυπαρχόντων. Πρὸς δὲ τούτοις εἰ k καὶ ὅτι μάλιστα ἀρχαὶ τὰ γένη εἰσί, l πότερον δεῖ νομίζειν τὰ πρῶτα τῶν γενῶν ἀρχὰς ἢ τὰ ἔσχατα κατηγορούμενα m ἐπὶ τῶν ἀτόμων; Καὶ γὰρ τοῦτο ἔχει ἀμφι-
6 σβήτησιν. n Εἰ μὲν γὰρ o ὅτι τὰ καθόλου μᾶλλον p ἀρχαί, φανερὸν ὅτι τὰ ἀνωτάτω τῶν γενῶν· ταῦτα γὰρ λέγεται κατὰ πάντων. Τοσαῦται οὖν q ἔσονται ἀρχαὶ τῶν ὄντων ὅσαπερ τὰ πρῶτα γένη, ὥστ' ἔσται τό τε r ὂν καὶ τὸ ἓν ἀρχαὶ καὶ οὐσίαι· ταῦτα γὰρ s κατὰ πάντων μάλιστα λέ-
7 γεται τῶν ὄντων. Οὐχ οἷόν τε δὲ t τῶν ὄντων v οὔτε τὸ ἓν

r μετὰ τούτων] μεταξὺ A^b, τοιαῦτα S. s ταῦτα λέγει T. t ἐθέλοι T.G^b.I^b, θέλει A^b. v συνέστηκε A^b: ceteri ἐστὶ. w συγκειμένων καὶ τότε A^b. x ἢ] εἰ A^b.G^b. y κἂν] καὶ F^b.G^b.I^b. z τὴν om. F^b.G^b. a τὸ] τῷ F^b. b καθὸ λέγονται S.A^b. c τὰ γένη ἀρχαὶ A^b: ceteri ἀρχαὶ τὰ γένη. d ἓν ἢ] ἓν καὶ T.A^b. e τὸ post καὶ om. E.S.A^b.G^b.I^b. f γε om. F^b. g γὰρ] γὰρ ὁ I^b. h ἐστὶν pr. I^b. i γενῶν ὁ ὁρισμὸς E.T.A^b. k καὶ ὅτι] ἔτι καὶ F^b. l πότερον A^b.G^b.I^b: vulgo πότερα. m ἐπὶ om. G^b. n εἰ] ἢ E. o ὅτι] δεῖ A^b. p ἀρχὰς A^b. q ἀρχαὶ ἔσονται G^b.I^b. r ἓν καὶ τὸ ὂν F^b. s μάλιστα λέγεται κατὰ πάντων F^b. t τῶν ὄντων om. A^b. v οὔτε τὸ ἓν—γένος A^b: ceteri ἓν εἶναι γένος οὔτε τὸ ἓν οὔτε τὸ ὄν.

οὔτε τὸ ὂν εἶναι γένος· ἀνάγκη μὲν γὰρ τὰς διαφορὰς ἑκάστου γένους καὶ εἶναι καὶ μίαν [w]εἶναι ἑκάστην, ἀδύνατον [x]δὲ κατηγορεῖσθαι ἢ τὰ [y]εἴδη τοῦ γένους [z]ἐπὶ τῶν οἰκείων διαφορῶν, ἢ τὸ γένος [a]ἄνευ τῶν αὐτοῦ εἰδῶν· [b]ὥστ' εἴπερ τὸ ἓν γένος ἢ τὸ ὄν, οὐδεμία διαφορὰ [c]οὔτε ὂν οὔτε ἓν ἔσται. Ἀλλὰ μὴν εἰ μὴ γένη, [d]οὐδ' ἀρχαὶ ἔσονται, εἴπερ ἀρχαὶ τὰ 8
γένη. Ἔτι καὶ [e]τὰ μεταξὺ συλλαμβανόμενα μετὰ τῶν διαφορῶν ἔσται γένη μέχρι τῶν ἀτόμων· νῦν δὲ τὰ μὲν δοκεῖ τὰ δ' οὐ δοκεῖ. Πρὸς δὲ τούτοις ἔτι μᾶλλον αἱ διαφοραὶ ἀρχαὶ ἢ τὰ γένη· εἰ δὲ καὶ [f]αὗται ἀρχαί, ἄπειροι ὡς εἰπεῖν ἀρχαὶ γίγνονται, ἄλλως τε κἂν τις τὸ πρῶτον γένος [g]ἀρχὴν τιθῇ. Ἀλλὰ μὴν καὶ εἰ μᾶλλόν [h]γε ἀρχοειδὲς τὸ ἕν ἐστιν, 9
ἓν δὲ τὸ ἀδιαίρετον, ἀδιαίρετον δὲ ἅπαν ἢ κατὰ [i]τὸ ποσὸν ἢ [k]κατὰ τὸ εἶδος, πρότερον δὲ τὸ κατ' εἶδος, τὰ δὲ γένη [l]διαιρετὰ εἰς εἴδη, μᾶλλον [m]ἂν ἓν τὸ ἔσχατον εἴη κατηγορούμενον· οὐ γάρ [n]ἐστι γένος [o]ὁ ἄνθρωπος τῶν τινῶν ἀνθρώπων. Ἔτι ἐν οἷς [p]τὸ πρότερον καὶ ὕστερόν [q]ἐστιν, 10
οὐχ οἷόν τε τὸ ἐπὶ τούτων εἶναί τι παρὰ ταῦτα· οἷον εἰ πρώτη τῶν ἀριθμῶν ἡ δυάς, οὐκ [r]ἔσται τις ἀριθμὸς παρὰ τὰ εἴδη [s]τῶν ἀριθμῶν· ὁμοίως δὲ [t]οὐδὲ [v]σχῆμα παρὰ τὰ εἴδη τῶν σχημάτων. Εἰ δὲ μὴ τούτων, σχολῇ τῶν γε ἄλλων ἔσται τὰ γένη παρὰ τὰ εἴδη· τούτων γὰρ δοκεῖ μάλιστα εἶναι γένη. Ἐν δὲ τοῖς ἀτόμοις οὐκ ἔστι τὸ μὲν πρότερον 11
τὸ δ' ὕστερον. Ἔτι ὅπου τὸ μὲν βέλτιον τὸ δὲ χεῖρον, [w]ἀεὶ τὸ βέλτιον πρότερον· ὥστ' [x]οὐδὲν τούτων ἂν εἴη γένος. Ἐκ μὲν οὖν τούτων μᾶλλον φαίνεται τὰ ἐπὶ τῶν ἀτόμων κατηγορούμενα [y]ἀρχαὶ εἶναι τῶν γενῶν. Πάλιν δὲ πῶς αὖ

[w] ἑκάστην εἶναι T. [x] δὲ] γὰρ $G^b.I^b$. [y] εἴδη ἄνευ τοῦ E.$G^b.I^b$. [z] ἐπὶ A^b, καὶ E.$G^b.I^b$. [a] ἄνευ τούτων τῶν $A^b.I^b$. [b] ὡς I^b. [c] οὔτε ἓν οὔτε ὂν E.S.T.$B^b.C^b$. [d] οὐκ F^b. [e] τὰ post καὶ om. T. [f] αὐταὶ E. [g] τιθῇ ὡς ἀρχήν $G^b.I^b$. [h] γε om. F^b. [i] τὸ om. I^b. [k] κατ' εἶδος A^b. [l] διαιρεῖται I^b. [m] ἓν ἂν εἴη τὸ ἔσχατον T. ἓν τὸ om. G^b. [n] ἐστι] ἐστι τὸ E, om. F^b. [o] ὁ add. $A^b.G^b.I^b$. [p] τὸ om. C^b. [q] ἐστι ante τὸ πρότερον F^b. [r] ἔστι S. [s] τῶν] τὰ τῶν A^b, τούτων τῶν G^b. [t] οὐδὲ om. A^b. [v] σχήματα T. [w] τὸ βέλτιον ἀεὶ S. [x] οὐδὲ E.S.A^b. [y] ἀρχὰς F^b.

12 δεῖ [z] ταύτας [a] ἀρχὰς ὑπολαβεῖν οὐ ῥᾴδιον [b] εἰπεῖν. Τὴν μὲν γὰρ ἀρχὴν δεῖ καὶ τὴν αἰτίαν [c] εἶναι παρὰ τὰ πράγματα ὧν ἀρχή, καὶ δύνασθαι εἶναι χωριζομένην αὐτῶν· τοιοῦτον δέ τι παρὰ τὸ καθ' ἕκαστον εἶναι [d] διὰ τί ἄν τις ὑπολάβοι, πλὴν ὅτι καθόλου κατηγορεῖται καὶ κατὰ πάντων; [4]Αλλὰ μὴν εἰ διὰ τοῦτο, τὰ μᾶλλον καθόλου μᾶλλον θετέον ἀρχάς· ὥστε ἀρχαὶ τὰ πρῶτ' ἂν εἴησαν γένη.

4 [4]Εστι δ' ἐχομένη [e] τε τούτων ἀπορία καὶ πασῶν χαλεπωτάτη καὶ ἀναγκαιοτάτη θεωρῆσαι, περὶ ἧς ὁ λόγος ἐφέστηκε νῦν. [f] Εἴτε γὰρ μὴ ἔστι τι παρὰ τὰ καθ' ἕκαστα, [g] τὰ δὲ καθ' ἕκαστα ἄπειρα, τῶν δ' ἀπείρων πῶς ἐνδέχεται λαβεῖν ἐπιστήμην; [4]Ηι γὰρ ἕν τι καὶ [h] ταὐτόν, καὶ [i] ᾗ κα-2 θόλου τι ὑπάρχει, ταύτῃ πάντα γνωρίζομεν. [4]Αλλὰ μὴν εἰ τοῦτο ἀναγκαῖόν ἐστι, καὶ δεῖ τι εἶναι παρὰ τὰ καθ' [k] ἕκαστα, ἤτοι τὰ ἔσχατα ἢ τὰ πρῶτα· τοῦτο δ' ὅτι ἀδύνατον ἄρτι διηπορήσαμεν. [4]Ετι [l] εἰ ὅτι μάλιστα ἔστι [m] τι παρὰ τὸ σύνολον, ὅταν [n] κατηγορηθῇ τι τῆς ὕλης, πότερον, εἰ ἔστιν [o] εἶδός [p] τι, παρὰ πάντα δεῖ εἶναί τι, ἢ παρὰ μὲν ἕνια εἶναι 3 παρὰ δ' ἕνια μὴ εἶναι, ἢ παρ' οὐθέν; Εἰ μὲν οὖν μηθέν ἐστι παρὰ τὰ καθ' ἕκαστα, οὐθὲν ἂν εἴη νοητὸν ἀλλὰ πάντα αἰσθητὰ καὶ ἐπιστήμη οὐθενός, εἰ μή τις εἶναι [q] λέγει τὴν αἴσθησιν ἐπιστήμην. [4]Ετι [r] δ' οὐδ' ἀΐδιον οὐθὲν οὐδ' ἀκίνητον· τὰ γὰρ αἰσθητὰ πάντα φθείρεται καὶ ἐν κινήσει ἐστίν. 4 [4]Αλλὰ μὴν εἴ γε ἀΐδιον [s] οὐθέν ἐστιν, οὐδὲ γένεσιν εἶναι δυνατόν· ἀνάγκη γὰρ εἶναί τι τὸ γιγνόμενον καὶ ἐξ οὗ γίγνεται καὶ [t] τούτων τὸ ἔσχατον ἀγέννητον, εἴπερ ἵσταταί τε καὶ ἐκ 5 μὴ ὄντος [v] γενέσθαι ἀδύνατον. [w][4]Ετι δὲ γενέσεως οὔσης καὶ κινήσεως ἀνάγκη [x] καὶ πέρας εἶναι· οὔτε γὰρ ἄπειρός ἐστιν

z ταῦτα C[b].G[b]. a ὑπολαβεῖν ἀρχὰς A[b]. b εἰπεῖν om. A[b]. c εἶναι ante δεῖ A[b]. d διὸ C[b].G[b].I[b]. e τε om. F[b]. f εἰ A[b]. g τὰ δὲ—ἄπειρα om. S. h ταυτό A[b]. i ᾗ om. S. k ἕκαστα] addunt vulgo ἀναγκαῖον ἂν εἴη τὰ γένη εἶναι παρὰ τὰ καθ' ἕκαστα. l εἰ] δ' A[b], om. F[b]. m τι om. A[b]. n κατηγορηθήσης τῆς G[b]. o εἶδος om. E. p τι om. S. q λέγοι I[b]. r δ' add. A[b]. s μηθέν E.I[b]. t τοῦτο G[b]. v γίγνεσθαι F[b]. w ὅτι δὲ ἐκ γενέσεως S. x καὶ ante πέρας om. S.

οὐδεμία κίνησις ἀλλὰ πάσης ἐστὶ τέλος, γίγνεσθαί τε οὐχ
οἷόν τε τὸ ἀδύνατον γενέσθαι· τὸ δὲ γεγονὸς ἀνάγκη εἶναι
y ὅτε πρῶτον γέγονεν. Ἔτι δ' εἴπερ ἡ ὕλη ἐστὶ διὰ τὸ 6
ἀγέννητος εἶναι, πολὺ z ἔτι μᾶλλον εὔλογον εἶναι τὴν οὐσίαν
a ὁπότε ἐκείνη b γίγνεται· c εἰ γὰρ μήτε τοῦτο ἔσται μήτε
d ἐκείνη, οὐθὲν ἔσται τὸ παράπαν. Εἰ δὲ τοῦτο ἀδύνατον,
ἀνάγκη e τι εἶναι παρὰ τὸ σύνολον f τὴν μορφὴν καὶ τὸ εἶδος.
Εἰ δ' g αὖ τις h τοῦτο θήσει, ἀπορία ἐπὶ τίνων τε θήσει τοῦτο 7
καὶ ἐπὶ τίνων οὔ. Ὅτι μὲν γὰρ ἐπὶ πάντων οὐχ οἷόν τε,
φανερόν· οὐ γὰρ ἂν θείημεν εἶναί τινα οἰκίαν παρὰ τὰς τινὰς
οἰκίας. Πρὸς δὲ τούτοις πότερον ἡ οὐσία μία πάντων ἔσται,
οἷον τῶν ἀνθρώπων; i Ἀλλ' ἄτοπον· i ἓν γὰρ k ἅπαντα ὧν l ἡ
οὐσία μία. Ἀλλὰ πολλὰ καὶ διάφορα; Ἀλλὰ καὶ m τοῦτο 8
ἄλογον. Ἅμα δὲ καὶ πῶς γίγνεται n ἡ ὕλη o τούτων p ἕκα-
στον καὶ ἔστι τὸ σύνολον ἄμφω ταῦτα; Ἔτι δὲ q περὶ τῶν
ἀρχῶν καὶ r τόδε ἀπορήσειεν ἄν τις. Εἰ μὲν γὰρ s εἴδει
εἰσὶν ἕν, οὐθὲν ἔσται ἀριθμῷ ἕν, οὐδ' t αὐτὸ v τὸ ἓν καὶ w τὸ
ὄν. Καὶ τὸ ἐπίστασθαι x πῶς ἔσται, εἰ μή τι ἔσται ἓν ἐπὶ
πάντων; Ἀλλὰ μὴν εἰ ἀριθμῷ ἓν καὶ μία ἑκάστη τῶν ἀρ- 9
χῶν, καὶ μὴ ὥσπερ y ἐπὶ τῶν αἰσθητῶν ἄλλαι ἄλλων, οἷον
τῆσδε τῆς συλλαβῆς τῷ εἴδει τῆς αὐτῆς οὔσης καὶ z αἱ ἀρχαὶ
εἴδει a αἱ αὐταί· καὶ γὰρ αὗται ὑπάρχουσιν ἀριθμῷ ἕτεραι· εἰ
δὲ μὴ οὕτως, ἀλλ' αἱ τῶν ὄντων b ἀρχαὶ ἀριθμῷ c ἕν εἰσιν, οὐκ
ἔσται παρὰ τὰ στοιχεῖα οὐθὲν ἕτερον· τὸ γὰρ ἀριθμῷ ἓν ἢ
τὸ καθ' ἕκαστον λέγειν διαφέρει οὐθέν· οὕτω γὰρ λέγομεν
τὸ καθ' ἕκαστον d τὸ ἀριθμῷ ἕν, καθόλου δὲ τὸ ἐπὶ τούτων.

y ὅτε τὸ πρῶτον Gb.Ib. z μᾶλλον ἔτι S.Bb.Cb. a ὅ ποτε E. b γί-
γνεται] γίγνεται εἶναι T.Ab.Gb. c εἰ—παράπαν om. S. d ἐκεῖνο Gb.
e τι om. T.Fb. f τὴν] τι τὴν T. g αὖ τις] αὖθις T.Gb. h τοῦτο
θήσει T. i ἓν γὰρ Gb.Ib: ceteri οὐ γὰρ ἕν. k πάντα Ib. l ἡ om. Ab.
m τούτοις Ab. n ἡ] ποτε ἡ Ab. o τούτων] τούτων ἓν Gb.Ib. p ἑκά-
στου T. q περὶ—τόδε om. Ab. r τόδε] τοῦτο Fb. s εἴδη Fb.
t αὐτὸ] αὖ Ib. v τὸ om. E.Gb. w τὸ ante ὄν om. S.T. x ὅπως Fb.
y ἐπὶ add. E.S.Ab. z αἱ add. Ab. a αἱ om. T. b ἀρχαὶ add. Ab.
c ἕν om. E.S.Ab. d τὸ ἀρ.] τῷ ἀρ. S.T.

10 [v]Ωσπερ οὖν εἰ τὰ τῆς [e]φωνῆς ἀριθμῷ ἦν στοιχεῖα [f]ὡρισμένα, ἀναγκαῖον [g]ἦν τοσαῦτα εἶναι τὰ πάντα γράμματα [h]ὅσαπερ [i]τὰ στοιχεῖα, μὴ ὄντων γε δύο τῶν αὐτῶν μηδὲ πλειόνων.

11 Οὐθενὸς δ' ἐλάττων ἀπορία παραλέλειπται καὶ τοῖς νῦν καὶ τοῖς πρότερον, πότερον αἱ αὐταὶ τῶν φθαρτῶν καὶ τῶν ἀφθάρτων ἀρχαί εἰσιν ἢ ἕτεραι. Εἰ μὲν γὰρ αἱ αὐταί [k]εἰσι, πῶς τὰ μὲν [l]φθαρτὰ τὰ δὲ ἄφθαρτα, καὶ διὰ τίν' αἰτίαν;

12 Οἱ μὲν οὖν περὶ [t]Ησίοδον καὶ πάντες ὅσοι θεολόγοι μόνον ἐφρόντισαν τοῦ πιθανοῦ [m]τοῦ πρὸς αὐτούς, ἡμῶν δ' ὠλιγώρησαν· θεοὺς γὰρ ποιοῦντες τὰς ἀρχὰς καὶ [n]ἐκ θεῶν γεγονέναι, τὰ μὴ γευσάμενα τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας θνητὰ γενέσθαι φασίν, δῆλον [o]ὡς ταῦτα τὰ ὀνόματα γνώριμα λέ-

13 γοντες αὐτοῖς. [p]Καίτοι περὶ αὐτῆς τῆς [q]προσφορᾶς τῶν αἰτίων τούτων ὑπὲρ ἡμᾶς εἰρήκασιν. Εἰ μὲν γὰρ χάριν [r]ἡδονῆς αὐτῶν [s]θιγγάνουσιν, οὐθὲν αἴτια τοῦ εἶναι τὸ νέκταρ καὶ ἡ ἀμβροσία· εἰ δὲ τοῦ εἶναι, πῶς ἂν εἶεν [t]ἀΐδιοι [v]δεόμενοι

14 τροφῆς; [t]Αλλὰ περὶ [w]μὲν τῶν [x]μυθικῶς σοφιζομένων οὐκ ἄξιον μετὰ σπουδῆς σκοπεῖν· [y]παρὰ δὲ τῶν δι' ἀποδείξεως λεγόντων δεῖ πυνθάνεσθαι διερωτῶντας τί [z]δή ποτ' ἐκ τῶν αὐτῶν ὄντα τὰ μὲν ἀΐδια τὴν φύσιν ἐστὶ τὰ δὲ φθείρεται τῶν ὄντων. [t]Επεὶ δ' οὔτε αἰτίαν λέγουσιν οὔτε εὔλογον οὕτως ἔχειν, δῆλον ὡς οὐχ αἱ αὐταὶ ἀρχαὶ [a]οὐδὲ αἰτίαι [b]αὐ-

15 τῶν ἂν εἶεν. Καὶ γὰρ ὅνπερ οἰηθείη λέγειν ἄν τις μάλιστα ὁμολογουμένως αὐτῷ, [t]Εμπεδοκλῆς, καὶ οὗτος [c]ταὐτὸν πέπονθεν· τίθησι μὲν γὰρ ἀρχήν τινα αἰτίαν τῆς φθορᾶς τὸ νεῖκος, [d]δόξειε δ' ἂν οὐθὲν ἧττον καὶ τοῦτο [e]γεννᾶν [f]ἔξω τοῦ

[e] φωνῆς ἓν ἀριθμῷ E.S.T.G[b].I[b]. [f] ὡρισμένω A[b]. [g] ἦν ἂν τ. E.S. [h] ὅσαπερ—πλειόνων om. T. [i] τὰ om. A[b]. [k] εἰσι om. A[b]. [l] ἄφθαρτα τὰ δὲ φθαρτά E.T.G[b]. [m] τοῦ ante πρὸς om. G[b].I[b]. [n] ἐκ τῶν θεῶν E.G[b]. [o] ὡς] δὲ ὡς S. [p] καίτοι καὶ περὶ E. [q] προφορᾶς E.S.T.A[b]. [r] ἡδονῆς περὶ αὐτῶν E.S.T. [s] ἐριγγάνουσιν G[b]. [t] ἀΐδιον T, ἀΐδια I[b]. [v] δεόμενα I[b]. [w] μὲν om. S. [x] μυθικῶν A[b]. [y] περὶ S.T. [z] δή om. T. [a] οὐδὲ αἱ αἰτίαι S. [b] αὐτῶν ἂν A[b]: ceteri ἂν αὐτῶν. [c] ταὐτὸν A[b]: ceteri ταὐτὸ. [d] δόξειε δ' ἂν οὐθὲν] ὡς δόξειεν ἄν, οὐθὲν δὲ A[b]. [e] γεννᾶ A[b]. [f] ἔξω] ἐξ αὐτοῦ G[b].

ἑνός· ἅπαντα γὰρ ἐκ τούτου [g]τἆλλά ἐστι πλὴν ὁ θεός. Λέ- 16
γει γοῦν

ἐξ ὧν πάνθ' ὅσα τ' ἦν ὅσα τ' ἔσθ' [h]ὅσα τ' ἔσται [i]ὀπίσσω,
δένδρεά τ' ἐβλάστησε καὶ [k]ἀνέρες ἠδὲ γυναῖκες,
θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς,
[l]καί τε θεοὶ δολιχαίωνες.

Καὶ χωρὶς δὲ τούτων δῆλον· [m]εἰ γὰρ [n]μὴ ἦν τὸ νεῖκος ἐν 17
τοῖς πράγμασιν, ἓν ἂν ἦν ἅπαντα, ὡς φησίν· ὅταν γὰρ [o]συν-
ελθῃ, τότε [p]δ' ἔσχατον [q]ἵστατο νεῖκος. [r]Διὸ καὶ συμβαί-
νει αὐτῷ τὸν εὐδαιμονέστατον [s]θεὸν ἧττον φρόνιμον εἶναι
τῶν ἄλλων· οὐ γὰρ γνωρίζει [t]τὰ στοιχεῖα [v]πάντα· τὸ γὰρ
νεῖκος οὐκ ἔχει, ἡ δὲ γνῶσις τοῦ ὁμοίου τῷ ὁμοίῳ.

Γαίῃ μὲν γάρ, φησί, γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, 18
[w]αἰθέρι δ' αἰθέρα [x]δῖον, [y]ἀτὰρ πυρὶ πῦρ αἴδηλον,
[z]στοργὴν δὲ στοργῇ, νεῖκος δέ [a]τε νείκεϊ λυγρῷ.

[1]Αλλ' ὅθεν δὴ ὁ λόγος, τοῦτό γε φανερόν, ὅτι συμβαίνει
αὐτῷ τὸ νεῖκος μηθὲν μᾶλλον φθορᾶς ἢ τοῦ εἶναι [b]αἴτιον.
[1]Ομοίως δ' οὐδ' ἡ φιλότης τοῦ εἶναι· συνάγουσα γὰρ εἰς τὸ
ἓν φθείρει τἆλλα. Καὶ ἅμα δὲ αὐτῆς τῆς [c]μεταβολῆς αἴ- 19
τιον οὐθὲν λέγει, ἀλλ' [d]ἢ [e]ὅτι οὕτως πέφυκεν·

ἀλλ' ὅτε δὴ μέγα νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη,
[f]εἰς τιμάς τ' ἀνόρουσε [g]τελειομένοιο χρόνοιο,
ὅς σφιν ἀμοιβαῖος πλατέος [h]παρελήλαται ὅρκου,

ὡς ἀναγκαῖον μὲν ὂν μεταβάλλειν· αἰτίαν δὲ [i]τῆς ἀνάγκης
οὐδεμίαν δηλοῖ. [1]Αλλ' ὅμως τοσοῦτόν γε μόνον λέγει ὁμο- 20
λογουμένως· οὐ γὰρ τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα ποιεῖ

[g] τἆλλα om. T. [h] ὅσα τ' ἔστιν A^b. et margo E, om. S.B^b.C^b. et pr. E. [i] ὀπίσσω om. A^b. [k] ἀνέρες τ' ἠδὲ A^b. [l] καί] κἄν S.T.A^b. [m] εἰ] εἰ μὲν T. [n] μὴ ἦν τὸ νεῖκος F^b, μὴ ἓν ἦν τὸ νεῖκος G^b, μὴ ἓν ἦν E.S.B^b.C^b, μὴ ἦν A^b, ἑνῆν T. [o] συνελθωσι A^b. [p] δ' add. A^b. [q] ἵστατο A^b: ceteri ἱστᾷ τὸ. [r] διὸ] ὦ A^b. [s] θεὸν] βίον G^b. [t] τὰ στοιχεῖα om. A^b. [v] ἅπαντα A^b.C^b. [w] αἰθέρι—ἄϊδηλον om. E.S.T.B^b. [x] θεῖον A^b. [y] ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον om. A^b. [z] στοργῆ τε στοργὴν S.T.B^b.C^b. [a] τι B^b.C^b. [b] αἴτιον om. A^b. [c] μεταβολῆς τὸ αἴτιον A^b. [d] ἢ add. E.T.A^b.B^b.C^b. [e] ὅτι om. T. [f] εἰς] ἐπὶ G^b.I^b. [g] τελειομένοις χρόνοις G^b. [h] παρελήλατο E.T.C^b, παρήλατο S.B^b. [i] τῆς T.A^b: ceteri ἐξ.

τῶν ὄντων, ἀλλὰ πάντα φθαρτὰ πλὴν τῶν στοιχείων. [h]Ἡ δὲ νῦν λεγομένη ἀπορία ἐστὶ διὰ τί τὰ μὲν τὰ δ' οὔ, εἴπερ ἐκ τῶν αὐτῶν ἐστίν. [v]Ὅτι μὲν [k]οὖν οὐκ ἂν εἴησαν αἱ αὐταὶ
21 ἀρχαί, τοσαῦτα εἰρήσθω. Εἰ δὲ ἕτεραι ἀρχαί, μία μὲν ἀπορία πότερον ἄφθαρτοι καὶ [l]αὐταὶ ἔσονται ἢ φθαρταί. Εἰ μὲν γὰρ φθαρταί, δῆλον ὡς ἀναγκαῖον καὶ ταύτας ἔκ τινων εἶναι· [m]ἅπαντα γὰρ φθείρεται εἰς ταῦτ' ἐξ ὧν ἔστιν· ὥστε
22 συμβαίνει τῶν ἀρχῶν ἑτέρας ἀρχὰς εἶναι προτέρας. Τοῦτο δ' ἀδύνατον, καὶ εἰ ἵσταται καὶ εἰ βαδίζει εἰς ἄπειρον. [u]Ἔτι δὲ πῶς ἔσται [n]τὰ φθαρτά, εἰ αἱ ἀρχαὶ ἀναιρεθήσονται; Εἰ δὲ ἄφθαρτοι, διὰ τί ἐκ [o]μὲν τούτων ἀφθάρτων οὐσῶν φθαρτὰ ἔσται, ἐκ δὲ τῶν ἑτέρων ἄφθαρτα; Τοῦτο γὰρ οὐκ
23 εὔλογον, ἀλλ' ἢ ἀδύνατον [p]ἢ πολλοῦ λόγου δεῖται. [t]Ἔτι δὲ οὐδ' ἐγκεχείρηκεν οὐδεὶς ἑτέρας [q]λέγειν, ἀλλὰ τὰς αὐτὰς [r]ἁπάντων λέγουσιν ἀρχάς. [s]Ἀλλὰ τὸ πρῶτον ἀπορηθὲν ἀποτρώγουσιν ὥσπερ τοῦτο μικρόν τι λαμβάνοντες.
24 Πάντων δὲ καὶ [s]θεωρῆσαι χαλεπώτατον καὶ πρὸς τὸ γνῶναι τἀληθὲς ἀναγκαιότατον, πότερόν [t]ποτε τὸ ὂν καὶ τὸ ἓν οὐσίαι τῶν ὄντων εἰσί, καὶ ἑκάτερον αὐτῶν οὐχ ἕτερόν τι ὄν [v]τὸ μὲν ἓν τὸ δὲ ὄν ἐστιν, ἢ δεῖ ζητεῖν τί ποτ' ἔστι τὸ [w]ὄν
25 καὶ τὸ ἓν ὡς ὑποκειμένης ἄλλης φύσεως. Οἱ μὲν γὰρ ἐκείνως, οἱ δ' οὕτως οἴονται τὴν φύσιν ἔχειν. Πλάτων μὲν γὰρ καὶ οἱ Πυθαγόρειοι οὐχ ἕτερόν τι τὸ ὂν οὐδὲ τὸ ἕν, ἀλλὰ τοῦτο αὐτῶν τὴν φύσιν εἶναι, ὡς οὔσης τῆς οὐσίας [x]αὐτὸ τὸ
26 ἓν εἶναι καὶ [y]ὄν τι. Οἱ δὲ περὶ φύσεως, οἷον [u]Ἐμπεδοκλῆς, ὡς εἰς γνωριμώτερον ἀνάγων λέγει ὅτι [z]τὸ ἓν ὄν ἐστιν· δόξειε γὰρ ἂν λέγειν [a]τοῦτο τὴν φιλίαν εἶναι· αἰτία γοῦν ἐστὶν αὕτη τοῦ ἓν εἶναι πᾶσιν. [v]Ἕτεροι δὲ πῦρ, οἱ δ' ἀέρα φασὶν εἶναι τὸ ἓν τοῦτο καὶ τὸ ὄν, ἐξ οὗ τὰ ὄντα εἶναί τε καὶ γε-
27 γονέναι. [h]Ὡς δ' αὕτως καὶ οἱ πλείω τὰ στοιχεῖα τιθέμενοι·

k οὖν om. S. l αὗται E. m πάντα A^b. n τὰ om. T.A^b. o μὲν] μὲν οὖν S. p ἢ om. T. q λέγειν add. A^b. r λέγουσιν ἁπάντων A^b. s καὶ post δὲ om. $G^b.I^b$. t ποτε] τε G^b. v τὸ μὲν ἓν om. S. w ἓν καὶ τὸ ὂν F^b. x αὐτὸ τὸ F^b, αὐτοῦ τὸ A^b: ceteri ταυτὸ. y ὄν] ἕν F^b. z τὸ ἓν ὄν] ποτε τὸ ἕν A^b. a τοῦτο] ὅτι τοῦτο S, τοῦτο τί A^b.

ἀνάγκη γὰρ καὶ τούτοις τοσαῦτα λέγειν τὸ [b]ἓν καὶ τὸ ὂν ὅσας περ ἀρχὰς εἶναί φασιν. Συμβαίνει δέ, εἰ μέν τις μὴ θήσεται εἶναί [c]τινα οὐσίαν τὸ ἓν καὶ τὸ ὄν, μηδὲ τῶν ἄλλων εἶναι τῶν καθόλου μηθέν· ταῦτα γάρ ἐστι καθόλου μάλιστα πάντων. Εἰ [d]δὲ μὴ ἔστι τι ἓν αὐτὸ μηδ' αὐτὸ ὄν, σχολῇ 28
τῶν γε ἄλλων τι ἂν εἴη παρὰ τὰ λεγόμενα καθ' ἕκαστα. [e]Ἔτι δὲ μὴ ὄντος τοῦ ἑνὸς οὐσίας, δῆλον [f]ὅτι οὐδ' ἂν ἀριθμὸς εἴη ὡς [g]κεχωρισμένη [h]τις φύσις τῶν ὄντων· ὁ μὲν γὰρ ἀριθμὸς μονάδες, ἡ δὲ μονὰς ὅπερ ἕν τί ἐστιν. Εἰ δ' ἔστι 29
[i]τι αὐτὸ ἓν [k]καὶ ὄν, ἀναγκαῖον οὐσίαν [l]αὐτῶν εἶναι τὸ [m]ἓν καὶ τὸ ὄν· οὐ γὰρ ἕτερόν τι [n]καθόλου [o]κατηγορεῖται, ἀλλὰ [p]ταῦτα αὐτά. [q]Ἀλλὰ μὴν εἴ γ' ἔσται τι αὐτὸ [q]ὂν καὶ αὐτὸ ἕν, πολλὴ ἀπορία πῶς [r]ἔσται τι παρὰ ταῦτα ἕτερον, λέγω δὲ πῶς ἔσται πλείω ἑνὸς τὰ ὄντα. Τὸ γὰρ ἕτερον τοῦ ὄντος 30
οὐκ ἔστιν, ὥστε κατὰ τὸν Παρμενίδου [s]λόγον συμβαίνειν ἀνάγκη ἓν ἅπαντα εἶναι τὰ ὄντα καὶ τοῦτο εἶναι τὸ ὄν. [t]Ἀμφοτέρως δὲ [t]δύσκολον· [v]ἄν τε γὰρ μὴ ᾖ τὸ ἓν οὐσία ἄν [w]τε ᾖ [x]τι αὐτὸ [y]ἕν, ἀδύνατον τὸν ἀριθμὸν οὐσίαν εἶναι. [z]Ἐὰν 31
μὲν [z]οὖν μὴ ᾖ, εἴρηται πρότερον δι' ὅ· ἐὰν δὲ ᾖ, ἡ αὐτὴ ἀπορία καὶ περὶ τοῦ ὄντος. [a]Ἐκ τίνος [a]γὰρ παρὰ τὸ ἓν ἔσται αὐτὸ ἄλλο ἕν; [b]Ἀνάγκη [b]γὰρ [c]μὴ ἓν εἶναι· ἅπαντα δὲ τὰ ὄντα ἢ ἓν ἢ πολλά, ὧν [d]ἓν ἕκαστον. [e]Ἔτι εἰ ἀδιαίρετον αὐτὸ τὸ ἕν, κατὰ [e]μὲν τὸ Ζήνωνος ἀξίωμα οὐθὲν ἂν εἴη. [f]Ὃ 32
γὰρ μήτε προστιθέμενον μήτε ἀφαιρούμενον [f]ποιεῖ μεῖζον

b ἓν καὶ τὸ ὂν A^b: ceteri ὂν καὶ τὸ ἕν. c τινας οὐσίας S.A^b. d δὲ] γὰρ A^b. e ὅτι G^b.I^b. f ὅτι om. G^b. g συγκεχωρισμένη S, omisso ὡς. h τις φύσις A^b: vulgo φύσις τις. i τι αὐτὸ] τὸ αὐτὸ G^b. k καὶ] καὶ αὐτὸ T.I^b. l εἶναι αὐτῶν G^b. m ὂν καὶ τὸ ἕν E.S.T. n καθόλου om. G^b.I^b. o κατηγορεῖται om. F^b. p αὐτὰ ταῦτα F^b. q ἓν καὶ αὐτὸ ὄν F^b. r ἐστι παρὰ ταῦτα ἕτερα F^b. s λόγον συμβαίνειν ἀνάγκη G^b.I^b, ἀνάγκη συμβαίνειν λόγον A^b: vulgo συμβαίνειν ἀνάγκη λόγον. t δύσκαλον E. v ἐάν A^b.G^b.I^b. w τε ᾖ] τε μὴ ᾖ G^b, τις θῇ F^b. x τι A^b.G^b.I^b, om. F^b: ceteri τὸ. y ἕν om. F^b. z οὖν et ᾖ om. G^b. a γὰρ παρὰ A^b.F^b: vulgo γὰρ καὶ παρὰ. b γὰρ] δὲ G^b.I^b. c μὴ ἓν A^b: ceteri μηδὲν. d ἕκαστον ἕν G^b. e μὲν οὖν τὸ T. f ποιεῖ μ. E.A: ceteri ποιεῖ τι μ.

[g]μηδὲ ἔλαττον, οὗ [h]φησιν εἶναι τοῦτο τῶν ὄντων, ὡς δῆλον ὅτι ὄντος μεγέθους τοῦ ὄντος. Καὶ εἰ μέγεθος, σωματικόν· τοῦτο γὰρ πάντῃ ὄν. Τὰ δὲ ἄλλα πῶς μὲν [i]προστιθέμενα ποιήσει μεῖζον, πῶς δ' οὐθέν, οἷον ἐπίπεδον καὶ γραμμή· στι-
33 γμὴ δὲ καὶ μονὰς οὐδαμῶς. Ἀλλ' ἐπειδὴ [k]οὗτος θεωρεῖ φορτικῶς, [l]καὶ ἐνδέχεται εἶναι ἀδιαίρετόν [m]τι ὥστε καὶ οὕτως καὶ πρὸς ἐκεῖνον τιν' [n]ἀπολογίαν ἔχει (μεῖζον μὲν [o]γὰρ οὐ ποιήσει, πλεῖον δὲ προστιθέμενον τὸ τοιοῦτον)· ἀλλὰ πῶς [p]δὴ ἐξ ἑνὸς [q]τοιούτου ἢ πλειόνων [r]τοιούτων ἔσται μέγεθος; [v]Ὅμοιον γὰρ καὶ τὴν γραμμὴν ἐκ στιγμῶν εἶναι φάσκειν.
34 Ἀλλὰ μὴν καὶ εἴ τις οὕτως ὑπολαμβάνει ὥστε [s]γενέσθαι, καθάπερ λέγουσί τινες, ἐκ τοῦ ἑνὸς αὐτοῦ καὶ ἄλλου μὴ ἑνός τινος τὸν ἀριθμόν, οὐθὲν ἧττον ζητητέον διὰ τί καὶ πῶς ὁτὲ μὲν ἀριθμὸς ὁτὲ δὲ μέγεθος ἔσται τὸ γενόμενον, εἴπερ τὸ μὴ ἓν [t]ἡ ἀνισότης, καὶ ἡ αὐτὴ φύσις ἦν. Οὔτε γὰρ ὅπως ἐξ ἑνὸς καὶ ταύτης, [v]οὔτε ὅπως ἐξ ἀριθμοῦ τινὸς καὶ ταύτης γένοιτ' ἂν τὰ μεγέθη, δῆλον.

5 Τούτων δ' ἐχομένη ἀπορία, πότερον οἱ ἀριθμοὶ καὶ τὰ σώματα [w]καὶ τὰ ἐπίπεδα καὶ αἱ στιγμαὶ οὐσίαι τινές εἰσιν ἢ οὔ. Εἰ [x]γὰρ μή εἰσιν, διαφεύγει τί τὸ ὂν καὶ τίνες αἱ οὐσίαι τῶν ὄντων. Τὰ μὲν γὰρ πάθη καὶ αἱ κινήσεις καὶ τὰ πρός τι καὶ αἱ διαθέσεις καὶ οἱ λόγοι οὐθενὸς δοκοῦσιν οὐσίαν σημαίνειν· λέγονται γὰρ πάντα καθ' ὑποκειμένου τινός, καὶ
2 οὐθὲν τόδε τι. [y]Ἃ δὲ [y]μάλιστ' ἂν δόξειε σημαίνειν οὐσίαν, ὕδωρ καὶ γῆ καὶ πῦρ [z]καὶ ἀήρ, ἐξ ὧν τὰ σύνθετα σώματα συνέστηκε, [a]τούτων θερμότητες μὲν καὶ ψυχρότητες καὶ τὰ
3 τοιαῦτα πάθη, οὐκ οὐσίαι, τὸ δὲ σῶμα τὸ ταῦτα πεπονθὸς μόνον ὑπομένει ὡς ὄν τι καὶ οὐσία τις οὖσα. Ἀλλὰ μὴν τό

[g] μηδὲ ἔλαττον add. A^b. [h] φησιν E.S.A^b: vulgo φασιν. [i] προστιθεμένων A^b. [k] οὗτος E.T: ceteri οὕτως. [l] καὶ οὐκ ἐνδέχεται E.S.G^b. [m] τι om. E.S. [n] ἀπολογίαν ἔχει A^b, ἔχειν ἀπολογίαν S: ceteri ἔχει ἀπολογίαν. [o] γὰρ add. E.S.T.A^b. [p] δεῖ G^b. [q] τούτου G^b. [r] τοιούτων add. A^b. [s] γίνεσθαι T. [t] ἡ post ἓν om. F^b. [v] οὔτε ὅπως—ταύτης om. T. [w] καὶ τὰ ἐπίπεδα om. F^b. [x] μὴ γάρ G^b.I^b. [y] ἂν μάλιστα G^b. [z] καὶ ἀήρ add. A^b. [a] τούτων δὲ θ. G^b.

[b] γε σῶμα [c] ἧττον οὐσία τῆς ἐπιφανείας, καὶ αὕτη τῆς γραμμῆς, καὶ [d] ἡ γραμμὴ τῆς μονάδος καὶ τῆς στιγμῆς· τούτοις γὰρ ὥρισται τὸ σῶμα. Καὶ τὰ μὲν ἄνευ σώματος ἐνδέχεσθαι δοκεῖ εἶναι, τὸ δὲ σῶμα ἄνευ τούτων [e] εἶναι ἀδύνατον. Διόπερ 4
οἱ μὲν πολλοὶ καὶ οἱ πρότερον τὴν οὐσίαν καὶ τὸ ὂν ᾠοντο [f] τὸ σῶμα εἶναι, [g] τὰ δὲ ἄλλα τούτου πάθη, ὥστε καὶ τὰς ἀρχὰς τὰς τῶν σωμάτων [h] τῶν ὄντων εἶναι ἀρχάς· οἱ δ' ὕστερον [i] καὶ σοφώτεροι τούτων εἶναι δόξαντες ἀριθμούς. Καθά- 5
περ οὖν εἴπομεν, εἰ μὴ ἔστιν οὐσία ταῦτα, ὅλως [k] οὐδεμία ἐστὶν οὐσία οὐδὲ ὂν οὐθέν· οὐ γὰρ [l] δὴ τά [m] γε συμβεβηκότα τούτοις ἄξιον ὄντα καλεῖν. [t] Ἀλλὰ μὴν εἰ τοῦτο μὲν ὁμολογεῖται, ὅτι [n] μᾶλλον [o] οὐσία [p] τὰ μήκη τῶν σωμάτων καὶ αἱ στιγμαί, ταῦτα δὲ μὴ ὁρῶμεν ποίων ἂν εἶεν σωμάτων (ἐν γὰρ τοῖς αἰσθητοῖς ἀδύνατον εἶναι), οὐκ ἂν εἴη οὐσία οὐδεμία. [u] Ἔτι [q] δὲ φαίνεται ταῦτα πάντα διαιρέσεις ὄντα [r] τοῦ σώ- 6
ματος, τὸ μὲν εἰς πλάτος, τὸ δ' εἰς βάθος, τὸ δ' εἰς μῆκος. Πρὸς δὲ τούτοις ὁμοίως [s] ἕν ἐστιν ἐν τῷ στερεῷ ὁποιονοῦν σχῆμα [t] ἢ οὐθέν· ὥστ' εἰ μηδ' ἐν τῷ [v] λίθῳ [t] Ἑρμῆς, οὐδὲ τὸ ἥμισυ τοῦ κύβου ἐν τῷ κύβῳ οὕτως ὡς ἀφωρισμένον. Οὐκ 7
ἄρα οὐδ' ἐπιφάνεια· εἰ γὰρ ὁποιαοῦν, κἂν [w] αὕτη ἂν [x] ἦν ἡ ἀφορίζουσα τὸ ἥμισυ. [t] Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ γραμμῆς [y] καὶ στιγμῆς καὶ μονάδος. [u] Ὥστ' εἰ μάλιστα μὲν οὐσία τὸ σῶμα, τούτου δὲ μᾶλλον ταῦτα, μή ἐστι δὲ ταῦτα μηδ' οὐσίαι τινές, διαφεύγει τί τὸ ὂν καὶ τίς ἡ οὐσία τῶν ὄντων. Πρὸς 8
γὰρ τοῖς εἰρημένοις καὶ τὰ περὶ τὴν γένεσιν καὶ τὴν φθορὰν συμβαίνει ἄλογα. Δοκεῖ [z] μὲν γὰρ ἡ οὐσία, [a] ἐὰν μὴ [b] οὖσα πρότερον [c] νῦν ᾖ ἢ πρότερον οὖσα ὕστερον μὴ [d] ᾖ, μετὰ τοῦ

[b] τε $A^b.G^b$. [c] ἥττων E. [d] ἡ γραμμὴ A^b: vulgo αὕτη. [e] εἶναι om. E.S. [f] τὸ ante σῶμα add. E.A^b. [g] τὰ δὲ ἄλλα A^b: vulgo τἆλλα δὲ. [h] τῶν om. F^b. [i] καὶ οἱ σ. A^b. [k] οὐδεμία] οὐδὲν A^b. [l] δὴ] ἂν A^b. [m] γε om. S. [n] μᾶλλον] μᾶλλόν ἐστιν T.G^b. [o] οὐσίαι S. [p] τῶν σωμάτων τὰ μήκη $G^b.I^b$. [q] δὲ add. $A^b.G^b.I^b$. [r] τοῦ om. $G^b.I^b$. [s] ἕν om. F^b. [t] ἢ οὐθέν add. $A^b.G^b.I^b$. [v] λίθῳ ὁ ἑρμῆς I^b. [w] αὕτη ἂν] αὐτὴ G^b. [x] ἦν] εἴη $G^b.I^b$. [y] καὶ ἐπὶ σ. E.S.T.G^b. [z] μὲν om. A^b. [a] ἐὰν add. A^b. [b] οὖσα τὸ πρ. A^b. [c] νῦν ᾖ Brandis, om. A^b: ceteri νῦν εἶναι. [d] ᾖ add. A^b.

γίγνεσθαι καὶ φθείρεσθαι [e]ταῦτα πάσχειν· τὰς δὲ στιγμὰς καὶ τὰς γραμμὰς καὶ τὰς ἐπιφανείας οὐκ ἐνδέχεται οὔτε γίγνεσθαι οὔτε φθείρεσθαι, ὁτὲ μὲν οὔσας ὁτὲ δὲ οὐκ οὔσας. 9 [v]Οταν γὰρ ἅπτηται ἢ διαιρῆται τὰ σώματα, ἅμα ὁτὲ μὲν μία ἁπτομένων, ὁτὲ δὲ δύο διαιρουμένων [f]γίγνονται· ὥστ' οὔτε [g]συγκειμένων ἐστὶν ἀλλ' [h]ἔφθαρται, διῃρημένων τέ εἰσιν αἱ πρότερον οὐκ οὖσαι. Οὐ γὰρ δὴ ἥ [i]γ' ἀδιαίρετος στιγμὴ διῃρέθη εἰς δύο. Εἴ τε γίγνονται καὶ φθείρονται, ἔκ τινος γίγνονται. Παραπλησίως δ' ἔχει καὶ περὶ τὸ νῦν τὸ ἐν [k]τῷ χρόνῳ· οὐδὲ γὰρ τοῦτο ἐνδέχεται γίγνεσθαι καὶ φθείρεσθαι, ἀλλ' ὅμως ἕτερον ἀεὶ [l]δοκεῖ [m]εἶναι, οὐκ οὐσία τις οὖσα. [t]Ομοίως δὲ δῆλον ὅτι ἔχει [n]καὶ περὶ τὰς [o]στιγμὰς καὶ τὰς γραμμὰς [p]καὶ τὰ ἐπίπεδα· ὁ γὰρ αὐτὸς λόγος· ἅπαντα γὰρ ὁμοίως ἢ πέρατα ἢ [q]διαιρέσεις εἰσίν.

6 [v]Ολως δ' ἀπορήσειεν ἄν τις διὰ τί καὶ δεῖ ζητεῖν [r]ἄλλ' ἄττα παρά [s]τε τὰ αἰσθητὰ καὶ [t]τὰ μεταξύ, οἷον ἃ [v]τίθεμεν 2 [w]εἴδη. Εἰ γὰρ διὰ τοῦτο, ὅτι τὰ μὲν μαθηματικὰ τῶν δεύρο ἄλλῳ μέν τινι διαφέρει, τῷ δὲ [x]πόλλ' ἄττα ὁμοειδῆ εἶναι οὐθὲν διαφέρει· ὥστ' οὐκ ἔσονται αὐτῶν αἱ ἀρχαὶ [y]ἀριθμῷ ἀφωρισμέναι, ὥσπερ οὐδὲ τῶν ἐνταῦθα γραμμάτων [z]ἀριθμῷ μὲν [a]πάντων οὐκ εἰσὶν αἱ ἀρχαὶ ὡρισμέναι, εἴδει δέ, ἐὰν μὴ λαμβάνῃ τις τησδὶ τῆς συλλαβῆς ἢ τησδὶ τῆς φωνῆς· τού- 3 των δ' ἔσονται καὶ ἀριθμῷ ὡρισμέναι. [t]Ομοίως δὲ καὶ ἐπὶ τῶν μεταξύ· ἄπειρα γὰρ κἀκεῖ τὰ ὁμοειδῆ. [v]Ωστ' εἰ μή ἐστι παρὰ τὰ αἰσθητὰ καὶ τὰ μαθηματικὰ ἕτερ' ἄττα, οἷα λέγουσι τὰ εἴδη τινές, οὐκ ἔσται μία ἀριθμῷ [b]καὶ εἴδει οὐσία, οὐδ' αἱ ἀρχαὶ τῶν ὄντων [c]ἀριθμῷ ἔσονται ποσαί τινες ἀλλὰ 4 εἴδει. Εἰ οὖν τοῦτο ἀναγκαῖον, καὶ τὰ εἴδη ἀναγκαῖον διὰ

[e] τοῦτο T.G[b]. [f] γίγνεται F[b]. [g] συγκειμένου A[b]. [h] ἔφθαρτο E. [i] δ' S. [k] τῷ om. G[b].I[b]. [l] δοκεῖ ante ἀεὶ G[b], post εἶναι S. [m] εἶναι om. A[b]. [n] καὶ τὰ περὶ G[b]. [o] γραμμὰς καὶ στιγμὰς T. τὰς add. A[b]. [p] καὶ περὶ τὰ G[b]. [q] διαίρεσις E. [r] ἄλλα τοιαῦτα A[b].I[b], ἄλλα τὰ τοιαῦτα F[b], ἄλλα τοιαῦτα ἄλλ' ἄττα G[b]. [s] τε add. A[b].G[b].I[b]. [t] τὰ post καὶ om. E. [v] τίθεται μὲν G[b]. [w] ἤδη F[b]. [x] πολλὰ τὰ A[b]. [y] ἀφωρισμέναι ἀριθμῷ S. [z] ἀριθμῶν A[b]. [a] πάντων om. F[b]. [b] καὶ] καὶ τῷ F[b]. [c] ἀριθμῷ ἓν ἔσ. A[b].

τοῦτο εἶναι [d] τιθέναι. Καὶ γὰρ εἰ μὴ καλῶς διαρθροῦσιν οἱ λέγοντες, ἀλλ' ἔστι [e] γε τοῦθ' ὃ βούλονται, καὶ ἀνάγκη [f] ταῦτα λέγειν [g] αὐτοῖς, ὅτι τῶν εἰδῶν οὐσία τις [h] ἕκαστόν ἐστι, καὶ οὐθὲν κατὰ συμβεβηκός. [4] Ἀλλὰ μὴν εἴ γε θήσομεν 5 τά [i] τε εἴδη εἶναι, καὶ [k] ἓν ἀριθμῷ τὰς ἀρχὰς ἀλλὰ μὴ εἴδει, εἰρήκαμεν ἃ συμβαίνειν ἀναγκαῖον [l] ἀδύνατα. Σύνεγγυς δὲ [m] τούτων ἐστὶ τὸ διαπορῆσαι πότερον δυνάμει ἐστὶ τὰ στοιχεῖα ἢ τίν' ἕτερον τρόπον. Εἰ μὲν γὰρ ἄλλως, πῶς πρό- 6 τερόν τι ἔσται τῶν ἀρχῶν ἄλλο; Πρότερον γὰρ ἡ δύναμις ἐκείνης τῆς αἰτίας, τὸ δὲ [n] δυνατὸν οὐκ ἀναγκαῖον ἐκείνως πᾶν ἔχειν. Εἰ δ' ἔστι δυνάμει τὰ στοιχεῖα, ἐνδέχεται μηθὲν εἶναι τῶν ὄντων· δυνατὸν γὰρ εἶναι καὶ τὸ μήπω ὄν· γίγνε- ται μὲν γὰρ τὸ μὴ ὄν, οὐθὲν δὲ γίγνεται τῶν εἶναι ἀδυνάτων. Ταύτας [o] τε οὖν τὰς ἀπορίας ἀναγκαῖον ἀπορῆσαι περὶ τῶν 7 ἀρχῶν, καὶ πότερον καθόλου εἰσὶν ἢ ὡς λέγομεν τὰ καθ' ἕκαστα. Εἰ μὲν γὰρ καθόλου, οὐκ ἔσονται οὐσίαι· οὐθὲν γὰρ τῶν κοινῶν τόδε τι σημαίνει, ἀλλὰ τοιόνδε, ἡ δ' οὐσία τόδε τι. Εἰ δ' [p] ἔσται τόδε τι καὶ ἐκθέσθαι τὸ κοινῇ κατηγο- 8 ρούμενον, πολλὰ ἔσται ζῷα ὁ Σωκράτης αὐτός τε καὶ ὁ ἄν- θρωπος καὶ τὸ ζῷον, εἴπερ σημαίνει ἕκαστον τόδε τι καὶ ἕν. Εἰ μὲν οὖν καθόλου αἱ ἀρχαί, ταῦτα συμβαίνει· εἰ δὲ μὴ 9 καθόλου ἀλλ' ὡς τὰ καθ' ἕκαστα, οὐκ ἔσονται [q] ἐπιστηταί· καθόλου γὰρ [r] αἱ ἐπιστῆμαι πάντων. [v]Ωστ' ἔσονται ἀρχαὶ ἕτεραι πρότεραι τῶν ἀρχῶν [s] αἱ [t] καθόλου κατηγορούμεναι, ἄνπερ μέλλῃ ἔσεσθαι αὐτῶν ἐπιστήμη.

Γ.

[1]Ἔστιν ἐπιστήμη τις ἣ θεωρεῖ τὸ ὂν ᾗ ὂν καὶ τὰ [v] τούτῳ ὑπάρχοντα καθ' [v] αὑτό. Αὕτη δ' ἐστὶν οὐδεμιᾷ τῶν ἐν μέρει λεγομένων ἡ αὐτή· οὐδεμία γὰρ τῶν ἄλλων ἐπισκοπεῖ καθό-

[d] *τιθέναι* add. A[b]. [e] *γε* add. A[b]. [f] *ταῦτα* om. S. [g] *αὐτούς* A[b]. [h] *ἑκάστων* T.G[b]. [i] *τε* add. A[b]. [k] *ἓν* om. E.S. [l] *ἀδύνατα πρότερον. σύνεγγυς* A[b]. [m] *τούτω* T. [n] *ἀδύνατον* F[b]. [o] *τε* om. S. [p] *ἐστὶ* T.G[b]. [q] *ἐπιστῆμαι* A[b]. [r] *ἡ ἐπιστήμη* A[b]. [s] *αἱ* add. A[b]. [t] *καθόλοι* ante *ἀρχῶν* T. [v] *αὐτῷ* et mox *αὐτά* F[b].

λου περὶ τοῦ ὄντος ᾗ ὄν, ἀλλὰ μέρος αὐτοῦ τι ἀποτεμόμεναι [w] περὶ τούτου θεωροῦσι τὸ συμβεβηκός, οἷον αἱ μαθη-
2 ματικαὶ τῶν ἐπιστημῶν. [1] Ἐπεὶ δὲ τὰς ἀρχὰς καὶ τὰς ἀκροτάτας αἰτίας ζητοῦμεν, δῆλον ὡς φύσεώς τινος αὐτὰς ἀναγκαῖον εἶναι καθ' αὐτήν. Εἰ οὖν καὶ οἱ τὰ στοιχεῖα τῶν ὄντων ζητοῦντες ταύτας τὰς ἀρχὰς ἐζήτουν, ἀνάγκη καὶ τὰ στοιχεῖα τοῦ ὄντος εἶναι μὴ κατὰ συμβεβηκός, ἀλλ' ᾗ [x] ὄντα· διὸ καὶ ἡμῖν τοῦ ὄντος ᾗ ὂν τὰς πρώτας αἰτίας ληπτέον.

2 Τὸ δὲ ὂν λέγεται [y] μὲν πολλαχῶς, ἀλλὰ πρὸς ἓν καὶ μίαν τινὰ φύσιν, [z] καὶ οὐχ ὁμωνύμως [a] ἀλλ' ὥσπερ καὶ τὸ ὑγιεινὸν ἅπαν πρὸς ὑγίειαν, τὸ μὲν τῷ φυλάττειν, τὸ δὲ τῷ ποιεῖν, τὸ δὲ τῷ σημεῖον εἶναι τῆς ὑγιείας, τὸ δ' ὅτι δεκτικὸν αὐτῆς.
2 Καὶ τὸ ἰατρικὸν πρὸς ἰατρικήν· τὸ μὲν γὰρ τῷ ἔχειν [b] τὴν ἰατρικὴν λέγεται ἰατρικόν, τὸ δὲ τῷ εὐφυὲς εἶναι πρὸς αὐτήν, τὸ δὲ τῷ ἔργον εἶναι [c] τῆς ἰατρικῆς. [d] Ὁμοιοτρόπως δὲ καὶ
3 ἄλλα ληψόμεθα λεγόμενα τούτοις. Οὕτω δὲ καὶ τὸ ὂν λέγεται πολλαχῶς μέν, [e] ἀλλ' ἅπαν πρὸς μίαν ἀρχήν· τὰ μὲν γὰρ ὅτι [f] οὐσίαι, ὄντα λέγεται, τὰ δ' ὅτι πάθη οὐσίας, τὰ δ' ὅτι ὁδὸς εἰς οὐσίαν, ἢ [g] φθοραὶ ἢ στερήσεις ἢ ποιότητες ἢ ποιητικὰ ἢ γεννητικὰ οὐσίας, ἢ τῶν πρὸς τὴν οὐσίαν λεγομένων, ἢ τούτων [h] τινὸς [i] ἀποφάσεις ἢ οὐσίας· διὸ καὶ τὸ μὴ
4 ὂν εἶναι μὴ ὂν φαμέν. Καθάπερ οὖν καὶ τῶν ὑγιεινῶν ἁπάντων μία ἐπιστήμη ἐστίν, ὁμοίως τοῦτο καὶ ἐπὶ τῶν ἄλλων. Οὐ γὰρ μόνον τῶν καθ' ἓν λεγομένων ἐπιστήμης ἐστὶ θεωρῆσαι μιᾶς, ἀλλὰ καὶ τῶν πρὸς μίαν λεγομένων φύσιν· καὶ γὰρ ταῦτα τρόπον τινὰ [k] λέγεται καθ' ἕν. Δῆλον οὖν ὅτι καὶ
5 τὰ ὄντα μιᾶς θεωρῆσαι ᾗ ὄντα. Πανταχοῦ δὲ κυρίως τοῦ πρώτου ἡ ἐπιστήμη, καὶ ἐξ οὗ τὰ ἄλλα ἤρτηται, καὶ δι' ὃ λέγονται. Εἰ οὖν τοῦτ' ἐστὶν ἡ οὐσία, τῶν οὐσιῶν ἂν δέοι

[w] περὶ τοῦτο θεωροῦσι E.T, θεωροῦσι περὶ τοῦτο S.G[b]. [x] ὄντας A[b], omissis διὸ—τὰς. [y] μὲν om. F[b]. [z] καὶ add. E.T.A[b]. [a] ἀλλ' om. A[b]. [b] τὴν add. A[b]. [c] τὴν ἰατρικήν A[b]. [d] ὁμοίως S.T.G[b]. [e] ἀλλ' ἅπαν A[b]: vulgo ἀλλὰ πᾶν. [f] οὐσία S.A[b].G[b]. [g] φθορὰ ἢ στέρησις A[b]. [h] τινῶν T. [i] ἀπόφασις A[b]. [k] λέγονται A[b].

τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχειν τὸν φιλόσοφον. [v]Ἅπαντος δὲ γένους καὶ [l]αἴσθησις μία ἑνὸς καὶ ἐπιστήμη, οἷον [m]ἡ γραμματικὴ μία οὖσα πάσας θεωρεῖ τὰς φωνάς. Διὸ καὶ 6
τοῦ ὄντος [n]ὅσα εἴδη θεωρῆσαι μιᾶς ἐστὶν ἐπιστήμης τῷ γένει, τά [o]τε εἴδη τῶν εἰδῶν. Εἰ δὴ τὸ [p]ἓν καὶ τὸ ὂν ταὐτὸν καὶ μία φύσις, τῷ ἀκολουθεῖν ἀλλήλοις ὥσπερ ἀρχὴ καὶ αἴτιον, ἀλλ' οὐχ ὡς ἑνὶ λόγῳ δηλούμενα. Διαφέρει δ' οὐθὲν οὐδ' ἂν ὁμοίως ὑπολάβωμεν, ἀλλὰ καὶ πρὸ ἔργου μᾶλλον. Ταὐτὸ γὰρ εἷς ἄνθρωπος καὶ ὢν ἄνθρωπος καὶ ἄν- 7
θρωπος, καὶ οὐχ ἕτερόν τι δηλοῖ κατὰ τὴν [q]λέξιν ἐπαναδιπλούμενον [r]τὸ [s]εἷς ἐστὶν ἄνθρωπος καὶ ἔστιν ἄνθρωπος· δῆλον δ' ὅτι [t]οὐ χωρίζεται οὔτ' ἐπὶ γενέσεως οὔτ' ἐπὶ φθορᾶς. [t]Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἑνός. [v]Ὥστε φανερὸν ὅτι ἡ πρόσθεσις ἐν τούτοις ταὐτὸ δηλοῖ, καὶ [v]οὐθὲν ἕτερον τὸ ἓν παρὰ τὸ ὄν. [u]Ἔτι δ' ἡ ἑκάστου οὐσία ἕν ἐστιν οὐ κατὰ συμ- 8
βεβηκός, ὁμοίως δὲ καὶ ὅπερ ὄν τι· ὥσθ' ὅσα [w]περ τοῦ ἑνὸς εἴδη, τοσαῦτα καὶ τοῦ ὄντος ἐστίν· περὶ ὧν τὸ τί ἐστι τῆς αὐτῆς ἐπιστήμης τῷ γένει θεωρῆσαι, λέγω δ' οἷον περὶ ταὐτοῦ [x]καὶ ὁμοίου καὶ τῶν ἄλλων τῶν [y]τοιούτων. Σχεδὸν δὲ 9
πάντα ἀνάγεται τἀναντία εἰς τὴν ἀρχὴν ταύτην. [z]Τεθεωρήσθω [a]δ' ἡμῖν ταῦτα ἐν τῇ ἐκλογῇ τῶν ἐναντίων. Καὶ τοσαῦτα μέρη φιλοσοφίας [b]ἐστὶν [c]ὅσαι περ αἱ οὐσίαι· ὥστε ἀναγκαῖον εἶναι [d]πρώτην τινὰ καὶ ἐχομένην αὐτῶν. [t]Ὑπάρ- 10
χει γὰρ εὐθὺς γένη [e]ἔχοντα τὸ [f]ἓν καὶ τὸ ὄν· διὸ καὶ [g]αἱ ἐπιστῆμαι ἀκολουθήσουσι τούτοις. [u]Ἔστι γὰρ ὁ [h]φιλόσοφος ὥσπερ ὁ μαθηματικὸς λεγόμενος· καὶ γὰρ αὕτη ἔχει μέρη, καὶ πρώτη τις καὶ δευτέρα ἐστὶν ἐπιστήμη καὶ [i]ἄλλαι

l ἑνὸς αἴσθησις μία Fb. m ἡ add. Ab. n ὅσα] ἢ ὂν ὅσα Ab, τὰ Fb. o τε] δὲ Fb. p ἓν καὶ τὸ ὂν Ab.Fb: vulgo ὂν καὶ τὸ ἕν. q τάξιν Cb. r τὸ] τί E. s εἷς—δῆλον Ab: vulgo ἔστιν ὁ ἄνθρωπος, καὶ ἄνθρωπος, καὶ εἷς ἄνθρωπος· δῆλον. t οὐχ ὁρίζεται S.T.Gb. v οὐδὲν ἔτι ἕτερον Ab. w περὶ τοῦ T. x καὶ τοῦ ὁμοίου S.Gb. y post τοιούτων S.Gb. καὶ τῶν τούτοις ἀντικειμένων. z τεθεωρήσθω Ab, θεωρείσθω Fb, ceteri τεθεώρηται. sed T. hæc τεθ.—ἐναντίων om. a δὲ τοῦτο ἡμῖν Fb. b εἰσὶν Fb. c ὅσα T.Fb. d τινὰ πρώτην E.S.T. e ἔχον Ab. f ὂν καὶ τὸ ἕν E.S.T.Gb. g αἱ add. Ab. h φιλ. οὕτως ὥσπερ Ab. i ἄλλη S.Gb.

11 ἐφεξῆς ἐν τοῖς μαθήμασιν. [1]Ἐπεὶ δὲ μιᾶς τἀντικείμενα θεωρῆσαι, τῷ δ' ἑνὶ ἀντίκειται πλῆθος, ἀπόφασιν δὲ καὶ στέρησιν μιᾶς ἐστὶ θεωρῆσαι διὰ τὸ ἀμφοτέρως θεωρεῖσθαι τὸ ἕν, οὗ ἡ ἀπόφασις ἢ [k] ἡ στέρησις [l] ἡ ἁπλῶς λεγομένη ὅτι οὐχ [m] ὑπάρχει [n] ἐκείνῳ ἤ τινι γένει· ἔνθα μὲν οὖν τῷ ἑνὶ ἡ διαφορὰ πρόσεστι παρὰ τὸ ἐν τῇ ἀποφάσει (ἀπουσία γὰρ ἡ ἀπόφασις ἐκείνου ἐστίν), ἐν δὲ τῇ στερήσει καὶ ὑποκειμένη
12 τις φύσις γίγνεται, καθ' ἣς λέγεται ἡ στέρησις. Τῷ [o] δ' ἑνὶ πλῆθος ἀντίκειται, ὥστε καὶ τἀντικείμενα τοῖς εἰρημένοις, τό τε ἕτερον [p] καὶ ἀνόμοιον καὶ ἄνισον, καὶ ὅσα ἄλλα λέγεται ἢ κατὰ [q] ταῦτα ἢ [r] κατὰ πλῆθος καὶ τὸ ἕν, [s] τῆς εἰρημένης γνωρίζειν ἐπιστήμης· ὧν [t] ἐστὶ καὶ ἡ ἐναντιότης· δια-
13 φορὰ γάρ τις ἡ ἐναντιότης, ἡ [v] δὲ διαφορὰ ἑτερότης. [w]Ὥστ' ἐπειδὴ [w] πολλαχῶς τὸ ἓν λέγεται, καὶ ταῦτα πολλαχῶς μὲν λεχθήσεται, ὅμως δὲ μιᾶς ἅπαντά [x] ἐστι γνωρίζειν· οὐ γὰρ εἰ πολλαχῶς, ἑτέρας, ἀλλ' εἰ μήτε καθ' ἓν μήτε πρὸς ἓν οἱ
14 λόγοι [y] ἀναφέρονται. [z]Ἐπεὶ δὲ πάντα πρὸς τὸ πρῶτον [a] ἀναφέρεται, οἷον ὅσα ἓν λέγεται πρὸς τὸ [b] πρῶτον ἕν, ὡσαύτως φατέον καὶ περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ τῶν ἐναντίων ἔχειν· ὥστε διελόμενον ποσαχῶς λέγεται ἕκαστον οὕτως ἀποδοτέον πρὸς τὸ πρῶτον ἐν ἑκάστῃ κατηγορίᾳ, πῶς πρὸς ἐκεῖνο λέγεται· τὰ μὲν γὰρ τῷ ἔχειν [c] ἐκεῖνα, τὰ δὲ τῷ ποιεῖν,
15 τὰ δὲ κατ' ἄλλους λεχθήσεται τοιούτους τρόπους. Φανερὸν οὖν, [d] ὅπερ ἐν ταῖς ἀπορίαις ἐλέχθη, ὅτι μιᾶς περὶ τούτων καὶ τῆς οὐσίας ἐστὶ λόγον ἔχειν. Τοῦτο δ' ἦν ἓν τῶν ἐν τοῖς ἀπορήμασιν. Καὶ ἔστι τοῦ φιλοσόφου περὶ πάντων

k ἡ post ἢ om. S. l ἡ T.A^b: vulgo ἢ. m ὑπάρξει S.G^b. n ἐκεῖνο G^b. o δ' om. F^b. p καὶ τὸ ἀνόμοιον S.G^b. q ταῦτα T.F^b, ταυτὰ E.A^b: vulgo αὐτὰ. r κατὰ τὸ πλ. F^b. s τοῖς εἰρημένοις E. t ἐστὶ] ἕν τι E.S.T.G^b, E.S.G^b. addito ἐστί post ἐναντιότης. v δὲ διαφορὰ] δὲ ἐναντιότης A^b. w τὸ ἓν πολλαχῶς T. x γνωρίζειν ἐστὶ E.S.T.G^b. y post ἀναφέρονται E.S.G^b. τότε ἑτέρας. z ἐπεὶ—ἀναφέρεται om. T. a ἀναφέρετε E, ἀναφέρονται A^b. b πρώτως A^b. c ἐκεῖνο T.A^b. d ὅπερ—ελέχθη om. A^b. ἔν τισι λείπει τὸ ὅπερ ἐν ταῖς ἀπορίαις ἐλέχθη margo E.

δύνασθαι θεωρεῖν. Εἰ γὰρ μὴ τοῦ φιλοσόφου, τίς [e] ἔσται 16
ὁ ἐπισκεψόμενος εἰ [e] ταὐτὸ Σωκράτης καὶ Σωκράτης καθή-
μενος, ἢ εἰ ἓν ἑνὶ ἐναντίον, ἢ τί ἐστι τὸ ἐναντίον, ἢ ποσαχῶς
λέγεται; [f] Ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων.
[g] Ἐπεὶ οὖν τοῦ ἑνὸς ᾗ ἓν καὶ τοῦ ὄντος ᾗ ὂν ταῦτα καθ' αὑτά 17
ἐστι πάθη, ἀλλ' οὐχ [h] ᾗ ἀριθμοὶ ἢ [i] γραμμαὶ ἢ πῦρ, δῆλον
ὡς ἐκείνης τῆς ἐπιστήμης καὶ τί ἐστι γνωρίσαι καὶ τὰ συμ-
βεβηκότ' αὐτοῖς. Καὶ οὐ ταύτῃ ἁμαρτάνουσιν οἱ περὶ αὐτῶν 18
σκοπούμενοι ὡς οὐ φιλοσοφοῦντες, ἀλλ' ὅτι πρότερον ἡ οὐ-
σία, περὶ ἧς οὐθὲν ἐπαΐουσιν, ἐπεὶ ὥσπερ ἐστὶ καὶ ἀριθμοῦ ᾗ
ἀριθμὸς ἴδια πάθη, οἷον περιττότης ἀρτιότης, συμμετρία
ἰσότης, ὑπεροχὴ ἔλλειψις, καὶ ταῦτα καὶ καθ' [k] αὑτοὺς
καὶ πρὸς ἀλλήλους ὑπάρχει τοῖς ἀριθμοῖς· ὁμοίως δὲ καὶ
στερεῷ καὶ ἀκινήτῳ καὶ κινουμένῳ [l] ἀβαρεῖ τε καὶ βάρος
ἔχοντι ἔστιν ἕτερα ἴδια· [m] οὕτω καὶ τῷ ὄντι ᾗ ὂν ἔστι τινὰ
ἴδια, καὶ ταῦτ' ἐστὶ περὶ ὧν τοῦ φιλοσόφου ἐπισκέψασθαι
τἀληθές. Σημεῖον δέ· οἱ γὰρ διαλεκτικοὶ [n] καὶ σοφισταὶ 19
ταὐτὸν μὲν ὑποδύονται σχῆμα τῷ φιλοσόφῳ (ἡ γὰρ σο-
φιστικὴ φαινομένη μόνον σοφία ἐστί, καὶ οἱ διαλεκτικοὶ δια-
λέγονται περὶ ἁπάντων), κοινὸν δὲ πᾶσι τὸ ὄν ἐστιν. Δια-
λέγονται δὲ περὶ τούτων δῆλον ὅτι διὰ τὸ τῆς φιλοσοφίας
[o] εἶναι αὐτὰ οἰκεῖα. Περὶ μὲν γὰρ τὸ αὐτὸ γένος [p] στρέ- 20
φεται ἡ σοφιστικὴ καὶ [q] ἡ διαλεκτικὴ τῇ φιλοσοφίᾳ, ἀλλὰ
διαφέρει τῆς μὲν τῷ τρόπῳ τῆς δυνάμεως, τῆς δὲ τοῦ βίου
[r] τῇ προαιρέσει. [s] Ἔστι δὲ ἡ διαλεκτικὴ [t] πειραστικὴ περὶ
ὧν ἡ φιλοσοφία γνωριστική, ἡ δὲ σοφιστικὴ φαινομένη, οὖσα
δ' οὔ. [u] Ἔτι τῶν ἐναντίων ἡ ἑτέρα συστοιχία στέρησις, καὶ 21
[v] πάντα ἀνάγεται εἰς τὸ ὂν καὶ [w] τὸ μὴ ὄν, καὶ [x] ἓν καὶ πλῆ-
θος, οἷον στάσις τοῦ ἑνός, κίνησις δὲ τοῦ πλήθους. Τὰ δ'

[e] ἔστιν et mox ταυτὸν F^b. [f] ᾗ ἀριθμὸς $A^b.F^b$, οἱ ἀριθμοὶ T. [g] γραμμὴ A^b. [h] ἑαυτοὺς plerique. [i] ἀβαρεῖ τε] καὶ ἀβαρεῖ A^b. [k] οὕτω— ἴδια om. A^b. [l] καὶ οἱ σοφ. F^b. [m] ταῦτα εἶναι A^b. [n] στρ. καὶ ἡ F^b. [o] ἡ post καὶ om. E. [p] τῇ om. A^b. [q] πειρ.] ἡ πειρ. T. [r] ἅπαντα F^b. [s] τὸ post καὶ om. F^b. [t] ἓν] εἰς ἓν E.S.G^b, εἰς τὸ ἓν T.

ὄντα καὶ τὴν οὐσίαν ὁμολογοῦσιν [v]ἐξ ἐναντίων σχεδὸν ἅπαντες συγκεῖσθαι· πάντες [w]γοῦν τὰς ἀρχὰς ἐναντίας λέγουσιν.
22 Οἱ μὲν γὰρ περιττὸν καὶ ἄρτιον, οἱ δὲ θερμὸν καὶ ψυχρόν, οἱ δὲ πέρας καὶ ἄπειρον, οἱ δὲ φιλίαν καὶ νεῖκος. [x]Πάντα δὲ καὶ τἆλλα [y]ἀναγόμενα φαίνεται εἰς τὸ ἓν [z]καὶ πλῆθος· εἰλήφθω γὰρ ἡ ἀναγωγὴ [a]ἡμῖν. Αἱ δ' ἀρχαὶ καὶ παντελῶς
23 [b]αἱ παρὰ τῶν ἄλλων ὡς [c]εἰς γένη ταῦτα πίπτουσιν. Φανερὸν οὖν καὶ ἐκ τούτων ὅτι μιᾶς ἐπιστήμης τὸ ὂν [d]ᾗ ὂν θεωρῆσαι. Πάντα γὰρ ἢ ἐναντία ἢ ἐξ ἐναντίων, ἀρχαὶ δὲ τῶν ἐναντίων [d]τὸ ἓν [e]καὶ πλῆθος. Ταῦτα [f]δὲ μιᾶς ἐπιστήμης, εἴτε καθ' ἓν λέγεται εἴτε μή, ὥσπερ ἴσως ἔχει [g]καὶ τἀληθές. [h]Ἀλλ' ὅμως εἰ καὶ πολλαχῶς [h]λέγεται τὸ ἕν, πρὸς τὸ πρῶ-
24 τον [i]τἆλλα [k]λεχθήσεται καὶ τὰ ἐναντία ὁμοίως. [l]Καὶ διὰ τοῦτο [m]καὶ εἰ μή ἐστι τὸ ὂν [n]ἢ τὸ ἕν καθόλου καὶ ταὐτὸ ἐπὶ πάντων ἢ χωριστόν, ὥσπερ ἴσως οὐκ ἔστιν, ἀλλὰ [o]τὰ μὲν πρὸς ἓν τὰ δὲ [p]τῷ ἐφεξῆς, καὶ διὰ τοῦτο οὐ τοῦ γεωμέτρου θεωρῆσαι τί τὸ ἐναντίον ἢ τέλειον ἢ [q]ὂν ἢ ἓν ἢ ταὐτὸν
25 ἢ ἕτερον, ἀλλ' ἢ ἐξ ὑποθέσεως. [v]Ὅτι μὲν οὖν μιᾶς ἐπιστήμης τὸ ὂν ᾗ ὂν θεωρῆσαι, καὶ τὰ ὑπάρχοντα αὐτῷ ᾗ ὄν, δῆλον, καὶ ὅτι οὐ μόνον τῶν οὐσιῶν ἀλλὰ καὶ τῶν ὑπαρχόντων ἡ αὐτὴ θεωρητική, τῶν τε εἰρημένων καὶ περὶ προτέρου καὶ ὑστέρου, καὶ γένους [r]καὶ εἴδους, καὶ ὅλου καὶ μέρους καὶ τῶν ἄλλων τῶν τοιούτων.

3 Λεκτέον δὲ πότερον μιᾶς ἢ ἑτέρας ἐπιστήμης περί τε τῶν ἐν τοῖς μαθήμασι καλουμένων ἀξιωμάτων καὶ περὶ τῆς οὐσίας. Φανερὸν δὴ ὅτι μιᾶς τε καὶ τῆς [s]τοῦ φιλοσόφου καὶ ἡ περὶ τούτων [t]ἐστὶ σκέψις· ἅπασι γὰρ [v]ὑπάρχει τοῖς οὖσιν, ἀλλ' οὐ γένει τινὶ χωρὶς ἰδίᾳ τῶν ἄλλων. Καὶ χρῶνται μὲν πάν-

[v] σχεδὸν ἅπαντες ἐξ ἐναντίων Fb. [w] γοῦν om. T. [x] ἅπαντα Ab. [y] φαίνεται ἀναγόμενα Ab. [z] καὶ τὸ πλῆθος T. [a] ἡμῖν] ἡμῖν ἐν τῷ πρώτῳ περὶ ἀγαθοῦ T. [b] αἱ παρὰ] καὶ παρὰ T. [c] εἰς γένη εἰς τ. Ab. [d] ᾗ ὂν et τὸ ἓν om. T. [e] καὶ τὸ πλῆθος T. [f] δὲ καὶ μιᾶς Ab. [g] καὶ add. Ab. [h] τὸ ἓν λέγεται Ab. [i] ἄλλο S. [k] ἀναχθήσεται T. [l] καὶ διὰ τοῦτο om. Ab. [m] καὶ om. S. [n] ἢ καὶ τὸ Ab. [o] τὸ μὲν—τὸ δὲ E. [p] τῷ om. S.T. [q] ἓν ἢ ὂν E.S. [r] καὶ ὅλου καὶ εἴδους S. [s] τοῦ] τούτου S. [t] ἐστὶ σκέψις] ἐπίσκεψις Ab. [v] τοῖς οὖσιν ὑπάρχει S.

τες, ὅτι τοῦ [w] ὄντος ἐστὶν ᾗ ὄν, ἕκαστον δὲ τὸ γένος [x] ὄν. [1] Ἐπὶ τοσοῦτον δὲ χρῶνται, ἐφ' ὅσον αὐτοῖς ἱκανόν· τοῦτο δ' 2
ἔστιν, ὅσον ἐπέχει τὸ γένος περὶ οὗ φέρουσι τὰς ἀποδείξεις. [v] Ὥστ' ἐπεὶ δῆλον [y] ὅτι ᾗ ὄντα ὑπάρχει πᾶσι (τοῦτο γὰρ αὐ-
τοῖς τὸ κοινόν), τοῦ περὶ [z] τὸ ὂν ᾗ ὂν γνωρίζοντος καὶ περὶ
τούτων ἐστὶν ἡ θεωρία. Διόπερ οὐθεὶς τῶν κατὰ μέρος ἐπι- 3
σκοπούντων ἐγχειρεῖ λέγειν τι περὶ αὐτῶν, [a] εἰ ἀληθῆ [b] ἢ μή,
οὔτε γεωμέτρης οὔτ' ἀριθμητικός, ἀλλὰ τῶν φυσικῶν ἔνιοι,
εἰκότως τοῦτο δρῶντες· μόνοι γὰρ ᾤοντο περί [c] τε τῆς ὅλης
φύσεως σκοπεῖν καὶ περὶ τοῦ ὄντος. [1] Ἐπεὶ δ' ἔστιν [d] ἔτι 4
τοῦ φυσικοῦ [e] τις ἀνωτέρω (ἔν γάρ τι γένος τοῦ ὄντος [f] ἡ
φύσις), τοῦ καθόλου καὶ [g] τοῦ περὶ τὴν πρώτην οὐσίαν θεω-
ρητικοῦ καὶ ἡ περὶ τούτων [h] ἂν εἴη σκέψις. [v] Ἔστι δὲ [i] σοφία
τις καὶ ἡ φυσική, ἀλλ' οὐ πρώτη. [v] Ὅσα δ' ἐγχειροῦσι τῶν 5
λεγόντων τινὲς περὶ τῆς ἀληθείας, ὃν τρόπον δεῖ ἀποδέ-
χεσθαι, δι' ἀπαιδευσίαν τῶν ἀναλυτικῶν τοῦτο δρῶσιν· δεῖ
γὰρ περὶ τούτων ἥκειν προεπισταμένους, ἀλλὰ μὴ ἀκούοντας
ζητεῖν. [v] Ὅτι μὲν οὖν τοῦ φιλοσόφου καὶ τοῦ περὶ πάσης 6
τῆς οὐσίας θεωροῦντος ᾗ πέφυκεν, καὶ περὶ τῶν συλλογιστι-
κῶν ἀρχῶν ἐστὶν ἐπισκέψασθαι, δῆλον. Προσήκει δὲ τὸν
μάλιστα γνωρίζοντα περὶ ἕκαστον γένος ἔχειν λέγειν τὰς
βεβαιοτάτας ἀρχὰς τοῦ πράγματος, ὥστε καὶ τὸν περὶ τῶν
ὄντων ᾗ ὄντα [k] τὰς πάντων βεβαιοτάτας. [1] Ἔστι δ' οὗτος ὁ 7
φιλόσοφος. Βεβαιοτάτη δ' ἀρχὴ πασῶν περὶ ἣν διαψευ-
σθῆναι ἀδύνατον· γνωριμωτάτην [l] τε γὰρ ἀναγκαῖον εἶναι
τὴν τοιαύτην (περὶ γὰρ ἃ μὴ γνωρίζουσιν, ἀπατῶνται πάν-
τες) καὶ ἀνυπόθετον. [n] Ἣν [m] γὰρ ἀναγκαῖον ἔχειν τὸν ὁτι- 8
οὖν [n] ξυνιέντα τῶν ὄντων, τοῦτο οὐχ [o] ὑπόθεσις· [p] ὃ δὲ γνω-
ρίζειν ἀναγκαῖον τῷ ὁτιοῦν γνωρίζοντι, καὶ ἥκειν [q] ἔχοντα

[w] ὄντως E. [x] οὖ T, ἕν A^b. [y] ὅτι om. T. [z] τὸ ὂν] τοῦ ὂν S. [a] εἰ S.A^b, εἰ ᾗ E: vulgo εἰ ᾗ. [b] ᾗ [εἴτε T. [c] τε om. A^b. [d] ἔτι om. S. [e] τις E.T.A^b: ceteri τι. [f] ἡ φύσις τοῦ ὄντος S. [g] τοῦ post καὶ om. T. [h] εἴη ἂν S. [i] τις σοφία S.A^b. [k] τὰς περὶ πάντων A^b. [l] τε om. T. [m] γὰρ ἂν ἀναγκαῖον T. [n] ξυνιόντα A^b. [o] ὑποθέσει A^b. [p] ὃ] οὐ S. [q] ἔχοντι E.S.T.

ἀναγκαῖον. [v]Ὅτι μὲν οὖν [r]ἡ τοιαύτη πασῶν βεβαιοτάτη
9 ἀρχή, δῆλον· τίς δ' ἔστιν αὕτη, μετὰ ταῦτα [s]λέγομεν. Τὸ
γὰρ αὐτὸ ἅμα ὑπάρχειν [t]τε καὶ μὴ ὑπάρχειν ἀδύνατον [v]τῷ
αὐτῷ καὶ κατὰ τὸ αὐτό· καὶ ὅσα ἄλλα [w]προσδιορισαίμεθ'
ἄν, [x]ἔστω προσδιωρισμένα πρὸς τὰς λογικὰς δυσχερείας.
Αὕτη [y]δὴ πασῶν ἐστὶ βεβαιοτάτη τῶν ἀρχῶν· ἔχει γὰρ
10 τὸν εἰρημένον διορισμόν. [t]Ἀδύνατον γὰρ ὀντινοῦν ταὐτὸν
ὑπολαμβάνειν εἶναι καὶ μὴ εἶναι, καθάπερ τινὲς οἴονται λέ-
γειν [t]Ἡράκλειτον· οὐκ ἔστι γὰρ ἀναγκαῖον, ἅ τις λέγει,
11 ταῦτα καὶ ὑπολαμβάνειν. Εἰ δὲ [z]μὴ ἐνδέχεται ἅμα [a]ὑπάρ-
χειν τῷ αὐτῷ τἀναντία ([b]προσδιωρίσθω δ' ἡμῖν καὶ [c]ταύτῃ
τῇ προτάσει τὰ εἰωθότα), ἐναντία δ' ἐστὶ δόξα δόξῃ ἡ τῆς
ἀντιφάσεως, φανερὸν ὅτι [d]ἀδύνατον ἅμα ὑπολαμβάνειν τὸν
αὐτὸν εἶναι καὶ μὴ εἶναι τὸ αὐτό· ἅμα γὰρ ἂν ἔχοι τὰς ἐναν-
12 τίας δόξας ὁ [e]διεψευσμένος περὶ τούτου. Διὸ πάντες [f]οἱ
ἀποδεικνύντες εἰς ταύτην ἀνάγουσιν ἐσχάτην δόξαν· φύσει
γὰρ ἀρχὴ καὶ τῶν ἄλλων ἀξιωμάτων αὕτη πάντων.

4 Εἰσὶ δέ τινες οἵ, καθάπερ εἴπομεν, αὐτοί τε ἐνδέχεσθαί
φασι τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, [g]καὶ ὑπολαμβάνειν οὕτως.
Χρῶνται δὲ τῷ λόγῳ τούτῳ πολλοὶ καὶ τῶν περὶ φύσεως.
[t]Ἡμεῖς δὲ νῦν εἰλήφαμεν [h]ὡς ἀδυνάτου ὄντος ἅμα εἶναι καὶ
μὴ εἶναι, καὶ διὰ [i]τούτου ἐδείξαμεν ὅτι βεβαιοτάτη αὕτη τῶν
2 ἀρχῶν [k]πασῶν. [t]Ἀξιοῦσι [l]δὴ καὶ τοῦτο ἀποδεικνύναι τινὲς
δι' ἀπαιδευσίαν· ἔστι γὰρ ἀπαιδευσία τὸ μὴ γιγνώσκειν τί-
νων δεῖ ζητεῖν ἀπόδειξιν καὶ τίνων οὐ δεῖ. [v]Ὅλως μὲν γὰρ
[m]ἁπάντων [n]ἀδύνατον ἀπόδειξιν εἶναι· εἰς ἄπειρον γὰρ ἂν
3 βαδίζοι, ὥστε μηδ' οὕτως εἶναι ἀπόδειξιν. Εἰ δέ τινων μὴ
δεῖ ζητεῖν [o]ἀπόδειξιν, τίνα ἀξιοῦσιν [p]εἶναι μᾶλλον τοιαύτην

[r] βεβαιοτάτη ἡ τοιαύτη πασῶν ἀρχὴ A^b, ἡ τοιαύτη ἀρχὴ πασῶν βεβαιοτάτη S.T. [s] λέγωμεν S.T. [t] τε add. A^b.F^b. [v] τῷ αὐτῷ καὶ κατὰ om. C^b, καὶ om. S. [w] προδιωρισάμεθα, omisso ἄν, A^b.F^b. [x] ἔστω] οὕτω τὰ A^b. [y] δ' ἁπασῶν E.S.T. [z] μὴ ἐνδέχεται μὴ ὑπάρχειν ἅμα S. [a] τῷ αὐτῷ ὑπάρχειν A^b. [b] προδιωρίσθω ἡμῖν A^b. [c] ταῦτα S.T.A^b. [d] ἅμα ἀδύνατον A^b. [e] διαψευσάμενος E. [f] οἱ add. A^b.F^b. [g] καὶ μὴ ὑπ. T. [h] ὡς add. E.S.A^b.F^b. [i] τοῦτο S. [k] ἁπασῶν A^b. [l] δὲ T. [m] πάντων A^b. [n] ἀπόδειξιν ἀδύνατον S. [o] ἀπόδειξιν om. T. [p] μᾶλλον εἶναι T.

ἀρχὴν οὐκ ἂν ἔχοιεν εἰπεῖν. Ἔστι δ' ἀποδεῖξαι ἐλεγκτικῶς καὶ περὶ τούτου ὅτι [q] ἀδύνατον, ἂν μόνον τι λέγῃ ὁ ἀμφισβητῶν· ἂν δὲ μηθέν, γελοῖον τὸ [r] ζητεῖν λόγον πρὸς τὸν μηθενὸς ἔχοντα λόγον, ᾗ [s] μὴ ἔχει· ὅμοιος γὰρ φυτῷ ὁ τοιοῦτος ᾗ τοιοῦτος [t] ἤδη. Τὸ δ' ἐλεγκτικῶς ἀποδεῖξαι λέγω διαφέρειν καὶ τὸ ἀποδεῖξαι, ὅτι [v] ὁ ἀποδεικνύων μὲν ἂν δόξειεν [w] αἰτεῖσθαι τὸ ἐν ἀρχῇ, ἄλλου δὲ [x] τοῦ τοιούτου [y] αἰτίου ὄντος ἔλεγχος ἂν [z] εἴη καὶ οὐκ ἀπόδειξις. [a] Ἀρχὴ δὲ πρὸς ἅπαντα τὰ τοιαῦτα [a] οὐ τὸ [b] ἀξιοῦν ἢ εἶναί τι λέγειν ἢ μὴ εἶναι (τοῦτο μὲν γὰρ [c] τάχ' ἄν τις ὑπολάβοι τὸ ἐξ ἀρχῆς αἰτεῖν), ἀλλὰ τὸ σημαίνειν γέ [d] τι καὶ [e] αὐτῷ καὶ ἄλλῳ· τοῦτο γὰρ ἀνάγκη, εἴπερ λέγοι τι. [f] Εἰ γὰρ μή, οὐκ ἂν εἴη τῷ τοιούτῳ λόγος, [g] οὔτ' αὐτῷ πρὸς αὑτὸν οὔτε πρὸς ἄλλον. [h] Ἂν δέ τις τοῦτο διδῷ, ἔσται ἀπόδειξις· ἤδη γὰρ τι ἔσται ὡρισμένον. [i] Ἀλλ' αἴτιος οὐχ ὁ ἀποδεικνὺς ἀλλ' ὁ ὑπομένων· ἀναιρῶν γὰρ λόγον ὑπομένει λόγον. [i] Ἔτι δὲ ὁ τοῦτο συγχωρήσας συγκεχώρηκέ τι ἀληθὲς εἶναι χωρὶς ἀποδείξεως, ὥστε οὐκ ἂν πᾶν οὕτως καὶ οὐχ οὕτως ἔχοι. Πρῶτον μὲν οὖν δῆλον ὡς τοῦτό γ' αὐτὸ ἀληθές, ὅτι σημαίνει τὸ ὄνομα τὸ εἶναι ἢ μὴ εἶναι τοδί· ὥστ' οὐκ ἂν [k] πᾶν οὕτως καὶ οὐχ οὕτως ἔχοι. [j] Ἔτι εἰ τὸ ἄνθρωπος σημαίνει ἕν, ἔστω [l] τοῦτο τὸ ζῷον δίπουν. Λέγω δὲ τὸ ἓν σημαίνειν τοῦτο· [m] εἰ τοῦτ' ἔστιν [n] ἄνθρωπος, ἂν [o] ᾖ τι ἄνθρωπος, τοῦτ' [p] ἔσται τὸ ἀνθρώπῳ εἶναι. Διαφέρει δ' οὐθὲν οὐδ' [q] εἰ πλείω τις φαίη σημαίνειν, μόνον δὲ ὡρισμένα· τεθείη γὰρ ἂν ἐφ' ἑκάστῳ [r] τῷ λόγῳ ἕτερον ὄνομα. Λέγω δ' οἷον, εἰ μὴ φαίη [s] τὸ ἄνθρωπος ἓν σημαίνειν, πολλὰ δέ, [t] ὧν ἑνὸς μὲν εἷς λό-

[q] ἀδύνατον om. S. [r] ζητεῖν τὸν λ. C[b]. [s] μὴ ἔχει A[b].F[b]: ceteri μηθένα ἔχει (ἔχειν B[b].) λόγον. [t] ἤδη A[b], ἤδη ἐστίν T: ceteri om. [v] ὁ om. A[b]. [w] αἰτῆσθαι S.A[b]. [x] τοῦ om. T. [y] αἰτίου om. A[b]. [z] εἴη om. S.B[b].C[b]. [a] οὐχὶ A[b]. [b] ἀξίωμα οὖν ἢ S.B[b].C[b]. [c] τάχ' om. T. [d] τι om. A[b]. [e] ἑαυτῷ A[b]. [f] εἰ] οὐ S.B[b].C[b]. [g] οὔτ' αὐτῷ A[b]: ceteri οὔθ' αὑτῷ. [h] ἐὰν A[b]. [i] ἔτι—ἔχοι add. A[b]. [k] ἅπαν A[b]. [l] τοῦτο om. T. [m] εἰ] τὸ εἰ A[b]. [n] ἄνθρωπος om. A[b]. [o] ᾖ] εἰ A[b]. [p] ἔσται A[b].F[b]: ceteri ἐστι. [q] εἰ ἐπὶ πλείω A[b]. [r] τῷ add. A[b]. [s] τὸν ἄνθρωπον E.S.T. [t] ὧν εἷς μὲν εἴη λόγος A[b].

γος, τὸ ζῷον [v]δίπουν. [w]Εἰσὶ δὲ καὶ ἕτεροι πλείους, ὡρισμένοι δὲ τὸν ἀριθμόν· τεθείη γὰρ ἂν ἴδιον ὄνομα καθ' ἕκαστον [x]τῶν
10 λόγων. Εἰ δὲ μὴ τεθείη ἀλλ' ἄπειρα σημαίνειν φαίη, φανερὸν ὅτι οὐκ ἂν εἴη λόγος· τὸ γὰρ μὴ ἕν [y]τι σημαίνειν οὐθὲν σημαίνειν ἐστίν, μὴ σημαινόντων δὲ τῶν ὀνομάτων ἀνήρηται τὸ διαλέγεσθαι πρὸς ἀλλήλους, κατὰ δὲ τὴν ἀλήθειαν καὶ πρὸς αὐτόν· οὐθὲν γὰρ ἐνδέχεται νοεῖν [z]μὴ νοοῦντα ἕν. Εἰ δ' ἐν-
11 δέχεται, τεθείη ἂν ὄνομα τούτῳ τῷ πράγματι ἕν. [a]Ἐστω [b]δή, ὥσπερ [c]ἐλέχθη κατ' ἀρχάς, [d]σημαινόν τι τὸ ὄνομα καὶ σημαῖνον ἕν. Οὐ δὴ ἐνδέχεται τὸ [e]ἀνθρώπῳ εἶναι [f]σημαί-
νειν ὅπερ μὴ εἶναι ἀνθρώπῳ, εἰ τὸ ἄνθρωπος σημαίνει [g]μὴ
12 μόνον καθ' ἑνὸς ἀλλὰ καὶ ἕν. Οὐ γὰρ τοῦτο ἀξιοῦμεν τὸ ἓν σημαίνειν τὸ καθ' ἑνός, ἐπεὶ οὕτω γε κἂν τὸ μουσικὸν καὶ [h]τὸ λευκὸν καὶ [i]τὸ ἄνθρωπος ἓν ἐσήμαινεν, ὥστε ἓν ἅπαντα ἔσται· συνώνυμα γάρ. Καὶ οὐκ ἔσται εἶναι καὶ μὴ εἶναι τὸ αὐτὸ ἀλλ' ἢ καθ' ὁμωνυμίαν, ὥσπερ [k]ἂν εἰ ὂν ἡμεῖς ἄνθρωπον
13 καλοῦμεν, ἄλλοι μὴ ἄνθρωπον καλοῖεν. Τὸ δ' ἀπορούμενον οὐ τοῦτό ἐστιν, εἰ ἐνδέχεται [l]τὸ αὐτὸ ἅμα [m]εἶναι καὶ μὴ εἶναι ἄνθρωπον τὸ ὄνομα, ἀλλὰ τὸ πρᾶγμα. Εἰ δὲ μὴ σημαίνει ἕτερον τὸ ἄνθρωπος καὶ τὸ μὴ ἄνθρωπος, δῆλον ὅτι καὶ τὸ μὴ εἶναι ἀνθρώπῳ τοῦ εἶναι ἀνθρώπῳ· ὥστ' ἔσται τὸ
14 ἀνθρώπῳ εἶναι [n]μὴ ἀνθρώπῳ εἶναι· ἕν γὰρ ἔσται. Τοῦτο γὰρ σημαίνει [o]τὸ εἶναι ἕν, ὡς λώπιον καὶ ἱμάτιον, εἰ ὁ λόγος εἷς. Εἰ δ' ἔσται ἕν, ἓν σημαίνει τὸ ἀνθρώπῳ εἶναι καὶ μὴ ἀνθρώπῳ. [q]Ἀλλ' ἐδέδεικτο ὅτι ἕτερον σημαίνει. [r]Ἀνάγκη τοίνυν, εἴ τι ἔστιν ἀληθὲς εἰπεῖν, ὅτι ἄνθρωπος ζῷον εἶναι
15 δίπουν· τοῦτο γὰρ ἦν ὃ ἐσήμαινε τὸ ἄνθρωπος. Εἰ δ' ἀνάγκη [p]τοῦτο, οὐκ ἐνδέχεται μὴ εἶναι [q]τὸ αὐτὸ ζῷον δίπουν· τοῦτο

[v] δίπουν om. E. [w] εἶεν A^b. [x] τὸν λόγον T.A^b. [y] τι om. E.S.T.A^b. [z] μὴ A^b: ceteri μηθὲν. [a] ἔσται F^b. [b] δὴ] ἄρα δὴ T, δὲ F^b. [c] ἐλέχθη καὶ κατ' E. [d] σημαίνειν τι A^b. [e] ἄνθρωπος S. [f] σημαίνειν—εἶναι] σημαίνειν ἀνθρώπῳ μὴ εἶναι A^b. [g] μὴ om. S. [h] τὸ post καὶ add. A^b. [i] τὸ om. E.S.T. [k] ἂν om. T. [l] ἅμα τὸ αὐτὸ E.S.T. [m] εἶναι καὶ] καὶ εἶναι καὶ S. [n] μὴ ἀνθρώπῳ εἶναι] τὸ μὴ εἶναι ἀνθρώπῳ S. [o] τὸ εἶναι ἕν] ἓν τὸ A^b. [p] τοῦτο E.A^b: ceteri τότε. [q] τὸ A^b: ceteri τότε.

γὰρ σημαίνει τὸ ἀνάγκη εἶναι, τὸ ἀδύνατον εἶναι μὴ εἶναι ἄνθρωπον. Οὐκ ἄρα ἐνδέχεται ἅμα ἀληθὲς εἶναι εἰπεῖν τὸ αὐτὸ ἄνθρωπον εἶναι καὶ μὴ εἶναι ἄνθρωπον. [r]Ὁ δ' αὐτὸς λόγος 16
καὶ ἐπὶ τοῦ μὴ εἶναι ἄνθρωπον· τὸ γὰρ ἀνθρώπῳ εἶναι καὶ τὸ μὴ [s]ἀνθρώπῳ εἶναι ἕτερον σημαίνει, εἴπερ καὶ τὸ λευκὸν εἶναι καὶ τὸ ἄνθρωπον εἶναι ἕτερον· πολὺ γὰρ ἀντίκειται ἐκεῖνο μᾶλλον, ὥστε [t]σημαίνειν ἕτερον. Εἰ δὲ καὶ τὸ λευ- 17
κὸν [v]φήσει τὸ αὐτὸ καὶ ἓν σημαίνειν, πάλιν τὸ αὐτὸ ἐροῦμεν ὅπερ καὶ πρότερον ἐλέχθη, ὅτι [w]ἓν πάντα ἐστὶ καὶ οὐ μόνον τὰ ἀντικείμενα. Εἰ δὲ μὴ ἐνδέχεται τοῦτο, συμβαίνει τὸ λεχθέν, ἂν ἀποκρίνηται τὸ ἐρωτώμενον. [x]Ἐὰν δὲ προστιθῇ [x]ἐρωτῶντος ἁπλῶς καὶ τὰς ἀποφάσεις, οὐκ ἀποκρίνεται τὸ ἐρωτώμενον. Οὐθὲν γὰρ κωλύει [y]εἶναι τὸ αὐτὸ καὶ ἄνθρω- 18
πον καὶ λευκὸν καὶ ἄλλα μυρία τὸ πλῆθος· ἀλλ' ὅμως [z]ἐρομένου εἰ ἀληθὲς εἰπεῖν ἄνθρωπον τοῦτο εἶναι ἢ οὔ, ἀποκριτέον τὸ ἓν σημαῖνον, καὶ οὐ προσθετέον ὅτι καὶ λευκὸν καὶ μέγα. Καὶ γὰρ ἀδύνατον ἄπειρά [a]γ' ὄντα τὰ συμβεβηκότα διελθεῖν· ἢ [b]οὖν ἅπαντα διελθέτω ἢ μηθέν. [r]Ὁμοίως 19
τοίνυν εἰ καὶ μυριάκις ἐστὶ τὸ αὐτὸ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, οὐ προσαποκριτέον τῷ [c]ἐρομένῳ εἰ ἔστιν ἄνθρωπος, ὅτι ἔστιν [d]ἅμα καὶ οὐκ ἄνθρωπος, εἰ [e]μὴ καὶ τἆλλα ὅσα συμβέβηκε προσαποκριτέον, ὅσα ἐστὶν ἢ μὴ ἐστίν· ἐὰν δὲ τοῦτο ποιῇ, οὐ διαλέγεται. [u]Ὅλως δ' ἀναιροῦσιν οἱ τοῦτο λέγοντες οὐσίαν καὶ τὸ τί ἦν [f]εἶναι. Πάντα γὰρ ἀνάγκη 20
συμβεβηκέναι φάσκειν αὐτοῖς, καὶ τὸ ὅπερ ἀνθρώπῳ εἶναι [g]ἢ ζῴῳ εἶναι, [h]μὴ εἶναι. Εἰ γὰρ ἔσται τι ὅπερ ἀνθρώπῳ εἶναι, τοῦτο οὐκ ἔσται μὴ ἀνθρώπῳ εἶναι ἢ μὴ εἶναι ἀνθρώπῳ, καίτοι αὗται ἀποφάσεις τούτου· ἓν γὰρ ἦν ὃ [i]ἐσήμηνε, καὶ ἦν τοῦτο τινὸς [k]οὐσία. Τὸ δ' οὐσίαν [l]σημαίνειν ἐστὶν ὅτι οὐκ 21

r αὐτὸς δὲ Ab. s εἶναι ἀνθρώπῳ T. t σημαίνει Ab. v φησι Ab. w ἓν τὰ πάντα S. x ἐρωτῶντός τινος ἁπλῶς S.T. y τὸ αὐτὸ εἶναι Ab. z ἐρωμένου E. a γ' om. S. b οὖν τὰ ἄπειρα πάντα διελθετέον Ab. c ἐρωμένῳ E. d ἅμα] ἀλλὰ Ab. e μὴ καὶ] καὶ μὴ S. f εἶναι μὴ εἶναι πάντα Ab. g ἢ] τὸ μὴ ἢ Cb. ἢ—ἀνθρώπῳ εἶναι om. E. h μὴ εἶναι τι ἦν εἶναι τινός. εἰ Ab. i ἐσήμανε T.Ab. k οὐσία τῆδ' οὐσία S. l σημαίνειν δ' αὐτῆς ἐστὶν Ab.

ἄλλο τι τὸ εἶναι αὐτῷ. Εἰ δ' ἔσται [m] αὐτῷ τὸ ὅπερ ἀνθρώπῳ εἶναι [n] ἢ ὅπερ [o] μὴ ἀνθρώπῳ εἶναι ἢ ὅπερ μὴ εἶναι
22 ἀνθρώπῳ, ἄλλο [p] τι ἔσται. [v]Ωστ' ἀναγκαῖον αὐτοῖς λέγειν ὅτι οὐθενὸς ἔσται τοιοῦτος λόγος, ἀλλὰ πάντα κατὰ συμβεβηκός· [q] τούτῳ γὰρ διώρισται οὐσία καὶ τὸ συμβεβηκός· τὸ γὰρ λευκὸν τῷ ἀνθρώπῳ συμβέβηκεν, ὅτι [r] ἔστι μὲν λευ-
23 κὸς ἀλλ' οὐχ ὅπερ λευκόν. Εἰ δὲ πάντα κατὰ συμβεβηκὸς λέγεται, οὐθὲν ἔσται πρῶτον τὸ καθόλου, [s] εἰ ἀεὶ τὸ συμβεβηκὸς καθ' ὑποκειμένου τινὸς σημαίνει τὴν κατηγορίαν. [t]Ανάγκη ἄρα εἰς ἄπειρον ἰέναι. [t]Αλλ' ἀδύνατον· [t] οὐδὲ γὰρ
[v] πλείω συμπλέκεται δυοῖν· τὸ γὰρ συμβεβηκὸς οὐ συμβεβηκότι συμβεβηκός, εἰ μὴ ὅτι ἄμφω συμβέβηκε ταὐτῷ.
24 Λέγω δ' οἷον τὸ λευκὸν [w] μουσικόν, καὶ τοῦτο λευκόν, ὅτι ἄμφω τῷ ἀνθρώπῳ συμβέβηκεν. [t]Αλλ' οὐχ ὁ Σωκράτης μουσικὸς [x] οὕτως, ὅτι ἄμφω συμβέβηκεν ἑτέρῳ τινί. [t]Επεὶ τοίνυν τὰ μὲν οὕτως τὰ δ' [y] ἐκείνως λέγεται συμβεβηκότα, ὅσα οὕτως λέγεται ὡς τὸ λευκὸν τῷ Σωκράτει, οὐκ ἐνδέχε-
ται ἄπειρα εἶναι ἐπὶ τὸ [z] ἄνω, οἷον τῷ Σωκράτει τῷ [a] λευκῷ ἕτερόν τι συμβεβηκός· οὐ γὰρ γίγνεταί τι ἓν ἐξ ἁπάντων.
25 Οὐδὲ δὴ τῷ λευκῷ [b] ἕτερόν τι ἔσται συμβεβηκός, οἷον τὸ μουσικόν· οὐθέν τε [c] γὰρ μᾶλλον τοῦτο ἐκείνῳ ἢ ἐκεῖνο τούτῳ συμβέβηκεν, καὶ ἅμα διώρισται ὅτι τὰ μὲν [d] οὕτω συμβέβηκε, τὰ δ' ὡς τὸ μουσικὸν Σωκράτει· ὅσα δ' οὕτως, οὐ συμβεβηκότι συμβέβηκε [e] τὸ συμβεβηκός, ἀλλ' ὅσα [f] ἐκεί-
26 νως, ὥστ' οὐ πάντα κατὰ συμβεβηκὸς λεχθήσεται. [t]Εσται ἄρα τι καὶ ὡς οὐσίαν σημαῖνον. Εἰ δὲ τοῦτο, δέδεικται ὅτι ἀδύνατον ἅμα κατηγορεῖσθαι τὰς ἀντιφάσεις. [t]Ετι εἰ ἀληθεῖς αἱ ἀντιφάσεις ἅμα [g] κατὰ τοῦ αὐτοῦ πᾶσαι, δῆλον ὡς
27 ἅπαντα ἔσται ἕν. [t]Εσται γὰρ τὸ αὐτὸ καὶ τριήρης καὶ τοῖ-

[m] αὐτῷ τὸ] τί Ab. [n] ἢ add. Ab. [o] ἀνθρώπῳ μὴ Ab. [p] τι add. Ab. [q] τοῦτο S.T. τούτῳ—συμβεβηκός om. E. [r] ἔσται S. [s] εἰ δ' ἀεὶ E.S.T. [t] οὐ S.T. [v] πλείω] δύο Ab. [w] μουσικὸν] καὶ μ. T. [x] οὗτος S. [y] ἐκείνως] ἄλλως T. [z] ἄνω] ἀνθρώπῳ T. [a] λευκῷ καὶ ἕτ. T. [b] ἔσται ἕτερόν τι S. [c] γὰρ om. T. [d] τούτῳ Ab. [e] τὸ om. E.S. [f] ἐκείνῳ S. [g] κατὰ] καὶ S.

χος καὶ ἄνθρωπος, εἰ κατὰ [h] παντός [i] τι ἢ καταφῆσαι ἢ ἀποφῆσαι ἐνδέχεται, καθάπερ ἀνάγκη τοῖς τὸν Πρωταγόρου [k] λέγουσι λόγον. Εἰ γάρ τῳ [l] δοκεῖ μὴ εἶναι τριήρης ὁ ἄνθρωπος, δῆλον [m] ὅτι οὐκ [n] ἔστι τριήρης· ὥστε καὶ ἔστιν, εἴπερ [o] ἡ ἀντίφασις ἀληθής. Καὶ γίγνεται δὴ τὸ τοῦ [4] Αναξ- 28
αγόρου, ὁμοῦ πάντα χρήματα· ὥστε μηθὲν ἀληθῶς [p] ὑπάρχειν. Τὸ ἀόριστον οὖν [q] ἐοίκασι λέγειν, καὶ οἰόμενοι [r] τὸ ὂν λέγειν περὶ τοῦ μὴ ὄντος λέγουσιν· τὸ γὰρ δυνάμει ὂν καὶ μὴ ἐντελεχείᾳ [s] τὸ ἀόριστόν ἐστιν. [4] Αλλὰ μὴν λεκτέον γ' 29
[t] αὐτοῖς κατὰ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν· ἄτοπον γὰρ εἰ ἑκάστῳ ἡ μὲν αὐτοῦ ἀπόφασις ὑπάρξει, ἡ δ' ἑτέρου ὃ μὴ ὑπάρχει αὐτῷ οὐχ ὑπάρξει. Λέγω δ' οἷον εἰ ἀληθὲς εἰπεῖν τὸν ἄνθρωπον ὅτι οὐκ ἄνθρωπος, δῆλον ὅτι καὶ [v] οὐ τριήρης. Εἰ μὲν οὖν ἡ κατάφασις, ἀνάγκη καὶ τὴν 30
ἀπόφασιν· εἰ δὲ μὴ ὑπάρχει ἡ κατάφασις, [w] ἥ γε ἀπόφασις ὑπάρξει μᾶλλον [x] ἡ [y] αὐτοῦ. Εἰ οὖν κἀκείνη ὑπάρχει, ὑπάρξει καὶ ἡ τῆς τριήρους· εἰ δ' αὕτη, καὶ ἡ κατάφασις. Ταῦτά τε οὖν συμβαίνει τοῖς λέγουσι τὸν λόγον τοῦτον, καὶ ὅτι οὐκ ἀνάγκη [z] ἢ φάναι ἢ ἀποφάναι. Εἰ γὰρ ἀληθές [a] ἐστιν 31
ὅτι ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, δῆλον ὅτι καὶ οὔτ' ἄνθρωπος οὔτ' οὐκ ἄνθρωπος ἔσται· τοῖν γὰρ δυοῖν δύο ἀποφάσεις. Εἰ δὲ μία ἐξ [b] ἀμφοῖν ἐκείνη, καὶ αὕτη μία ἂν εἴη ἀντικειμένη. [c] Ἔτι ἤτοι περὶ ἅπαντα οὕτως ἔχει, καὶ ἔστι [d] καὶ 32
λευκὸν καὶ [e] οὐ λευκὸν καὶ ὂν καὶ οὐκ ὄν, καὶ περὶ τὰς ἄλλας φάσεις καὶ ἀποφάσεις ὁμοιοτρόπως, ἢ οὗ ἀλλὰ [f] περὶ μέν τινας, περί τινας δ' οὔ. Καὶ εἰ μὲν μὴ περὶ πάσας, αὗται 33
ἂν εἶεν ὁμολογούμεναι· εἰ δὲ περὶ πάσας, πάλιν [g] ἤτοι καθ' ὅσων τὸ φῆσαι καὶ ἀποφῆσαι καὶ καθ' ὅσων ἀποφῆσαι καὶ

[h] πάντα S. [i] τι om. A^b. [k] λόγον λέγουσιν A^b. [l] δοκεῖν S.A^b. [m] ὅτι] ὡς A^b. [n] ἔστι] ἔσται T. [o] ἡ] ἦν ἡ A^b. [p] ἐνυπάρχειν E, ἓν ὑπάρχειν S.T. [q] ἐοίκασι τῆς ὕλης λέγειν T. [r] λέγειν τὸ ὂν A^b. [s] τοῦ T. [t] αὐτὸς S. [v] οὐ] ἢ τριήρης ἢ οὐ A^b. [w] ἥ] εἰ ἥ E. [x] ἡ] ἢ S, ἢ ἡ E.T, om. A^b. [y] post αὐτοῦ T. ἢ τῆς τριήρους. [z] ἢ ante φάναι om. S.T. [a] ἐστιν add. A^b. [b] ἀμφοτέρων E.S.T. [c] ἔτι] τι A^b, ἔτι εἴτι T. [d] καὶ post ἔστι om. T. [e] οὐ om. S. [f] μὲν περί A^b. [g] ἤτοι] εἴτι T.

φῆσαι, ἢ κατὰ μὲν ὧν φῆσαι καὶ ἀποφῆσαι, [h]καθ' ὅσων δὲ
34 ἀποφῆσαι οὐ [i]πάντων φῆσαι. Καὶ εἰ μὲν οὕτως, εἴη ἄν τι παγίως οὐκ ὄν, καὶ αὕτη βεβαία δόξα· καὶ εἰ τὸ μὴ εἶναι, βέβαιόν τι καὶ γνώριμον· γνωριμωτέρα [k]γὰρ ἂν εἴη [l]ἡ φάσις [m]ἡ ἀντικειμένη. Εἰ δὲ ὁμοίως καὶ [n]ὧν ἔστιν ἀποφῆσαι κατὰ τούτων ἔστι φάναι, ἀνάγκη ἤτοι ἀληθὲς διαιροῦντα λέ-
35 γειν, οἷον ὅτι λευκὸν καὶ πάλιν ὅτι οὐ λευκόν, ἢ οὔ. Καὶ εἰ μὲν μὴ ἀληθὲς διαιροῦντα [o]λέγειν, οὐ λέγει τε ταῦτα καὶ οὐκ ἔστιν οὐθέν· τὰ δὲ μὴ ὄντα πῶς ἂν φθέγξαιτο ἢ [p]νοήσειεν; Καὶ [q]πάντα δ' ἂν εἴη ἕν, ὥσπερ καὶ πρότερον εἴρηται, καὶ ταὐτὸν ἔσται [r]καὶ ἄνθρωπος καὶ θεὸς καὶ τριή-
36 ρης καὶ αἱ ἀντιφάσεις αὐτῶν. Εἰ [s]γὰρ ὁμοίως καθ' [t]ἕκάστου, [v]οὐθὲν διοίσει ἕτερον ἑτέρου· εἰ γὰρ διοίσει, τοῦτ' ἔσται ἀληθὲς καὶ ἴδιον. [x]Ὁμοίως δὲ [w]καὶ εἰ διαιροῦντα ἐνδέχεται ἀληθεύειν, συμβαίνει τὸ λεχθέν. Πρὸς δὲ τούτῳ ὅτι πάντες ἂν [x]ἀληθεύοιεν καὶ πάντες ἂν ψεύδοιντο, καὶ αὐτὸς αὑτὸν ὁμολογεῖ ψεύδεσθαι. [y]Ἅμα δὲ φανερὸν ὅτι περὶ οὐθενός
37 ἐστι πρὸς τοῦτον ἡ σκέψις· οὐθὲν γὰρ λέγει. Οὔτε γὰρ οὕτως οὔτ' οὐχ οὕτως λέγει, ἀλλ' οὕτως τε καὶ οὐχ οὕτως. Καὶ πάλιν γε ταῦτα [y]ἀπόφησιν ἄμφω, ὅτι οὔθ' οὕτως οὔτε [z]οὐχ οὕτως· εἰ γὰρ μή, ἤδη ἄν τι [a]εἴη ὡρισμένον. [y]Ἔτι εἰ ὅταν ἡ φάσις ἀληθὴς ᾖ, ἡ ἀπόφασις ψευδής, κἂν αὕτη ἀληθὴς [b]ᾖ, ἡ κατάφασις ψευδής, οὐκ ἂν εἴη [c]τὸ αὐτὸ ἅμα φάναι
38 καὶ ἀποφάναι ἀληθῶς. [x]Ἀλλ' ἴσως φαῖεν ἂν τοῦτ' εἶναι τὸ ἐξ ἀρχῆς κείμενον. [y]Ἔτι ἆρα ὁ μὲν ἢ ἔχειν πως ὑπολαμβάνων ἢ μὴ ἔχειν διέψευσται, ὁ δὲ ἄμφω ἀληθεύει; Εἰ [d]γὰρ ἀληθεύει, τί ἂν εἴη τὸ λεγόμενον ὅτι τοιαύτη τῶν ὄντων ἡ [e]φύσις; Εἰ δὲ μὴ ἀληθεύει, ἀλλὰ μᾶλλον ἀληθεύει [f]ὁ ἐκεί-

[h] καθ'] καὶ καθ' T. [i] πάντως E.S. [k] γὰρ add. Ab. [l] ἡ om. T. [m] ἡ ἀντικειμένη] ἢ ἡ ἀντικειμένη ἀπόφασις Ab. [n] ὧν—φάναι Ab: ceteri ὅσα ἀποφῆσαι φάναι. [o] λέγειν] λέγει Ab. [p] νοήσεις Ab: ceteri βαδίσειεν. [q] ἅπαντα Ab. [r] καὶ post ἔσται om. T. [s] γὰρ Ab: ceteri δ'. [t] ἕκαστον S.T. [v] οὐδενὶ Ab. [w] εἰ καὶ T. [x] ἀληθεύσειεν Ab. [y] ἀπόφασιν T. [z] post οὐχ οὕτως S. λέγει, ἀλλ' οὕτως τε καὶ οὐχ οὕτως. [a] εἴη] πω Ab. [b] ᾖ alterum om. Ab. [c] ἅμα τὸ αὐτὸ E.S.T. [d] γὰρ] γὰρ μὴ Ab. [e] φύσις] φύσις ἀληθεύει S. [f] ὁ] ἢ ὁ Ab.

νως ὑπολαμβάνων, ἤδη πως ἔχοι ἂν τὰ ὄντα, καὶ τοῦτ' ἀληθὲς ἂν εἴη, καὶ οὐχ ἅμα καὶ οὐκ ἀληθές. Εἰ δὲ ὁμοίως 39
ἅπαντες καὶ ψεύδονται [g]καὶ ἀληθῆ λέγουσιν, οὔτε [h]φθέγξασθαι οὔτ' εἰπεῖν τῷ τοιούτῳ [i]ἔστιν· ἅμα γὰρ [k]ταὐτά τε καὶ
οὐ ταὐτα λέγει. Εἰ δὲ μηθὲν ὑπολαμβάνει ἀλλ' ὁμοίως οἴεται καὶ οὐκ οἴεται, τί ἂν διαφερόντως ἔχοι [l]τῶν πεφυκότων; [v]Οθεν καὶ μάλιστα φανερόν ἐστιν ὅτι οὐθεὶς οὕτω διάκειται οὔτε τῶν ἄλλων οὔτε τῶν λεγόντων τὸν λόγον τοῦτον.
Διὰ τί γὰρ βαδίζει Μέγαράδε ἀλλ' οὐχ ἡσυχάζει οἰόμε- 40
νος βαδίζειν; Οὐδ' [m]εὐθέως ἕωθεν πορεύεται εἰς φρέαρ ἢ [n]εἰς φάραγγα, ἐὰν τύχῃ, ἀλλὰ φαίνεται εὐλαβούμενος, ὡς οὐχ ὁμοίως οἰόμενος μὴ ἀγαθὸν εἶναι [o]τὸ ἐμπεσεῖν καὶ ἀγαθόν;
Δῆλον ἄρα ὅτι τὸ μὲν βέλτιον ὑπολαμβάνει τὸ δ' οὐ βέλτιον. Εἰ δὲ τοῦτο, καὶ τὸ μὲν ἄνθρωπον τὸ δ' οὐκ ἄνθρωπον 41
καὶ τὸ μὲν γλυκὺ τὸ δ' οὐ γλυκὺ ἀνάγκη ὑπολαμβάνειν.
Οὐ γὰρ ἐξ ἴσου ἅπαντα ζητεῖ καὶ ὑπολαμβάνει, ὅταν [p]οἰηθεὶς βέλτιον εἶναι τὸ πιεῖν ὕδωρ καὶ ἰδεῖν ἄνθρωπον εἶτα [q]ζητῇ αὐτά· καίτοι [r]γ' ἔδει, εἰ ταὐτὸν ἦν ὁμοίως καὶ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος. [s]Αλλ' ὅπερ ἐλέχθη, οὐθεὶς ὃς οὐ 42
φαίνεται τὰ μὲν εὐλαβούμενος τὰ δ' οὔ. [v]Ωστε, [s]ὡς ἔοικε, πάντες ὑπολαμβάνουσιν ἔχειν ἁπλῶς, εἰ μὴ περὶ ἅπαντα, ἀλλὰ περὶ τὸ ἄμεινον καὶ χεῖρον. Εἰ δὲ μὴ ἐπιστάμενοι 43
ἀλλὰ δοξάζοντες, πολὺ μᾶλλον ἐπιμελητέον ἂν εἴη τῆς ἀληθείας, ὥσπερ καὶ νοσώδει ὄντι ἢ ὑγιεινῷ τῆς ὑγιείας· καὶ γὰρ ὁ δοξάζων πρὸς [t]τὸν ἐπιστάμενον οὐχ ὑγιεινῶς διάκειται πρὸς τὴν ἀλήθειαν. [v]Ετι [v]εἰ ὅτι μάλιστα πάντα οὕτως 44
ἔχει καὶ οὐχ οὕτως, ἀλλὰ τό γε μᾶλλον καὶ ἧττον ἔνεστιν ἐν τῇ φύσει τῶν ὄντων· οὐ γὰρ ἂν ὁμοίως φήσαιμεν εἶναι τὰ [w]δύο ἄρτια καὶ τὰ τρία, οὐδ' ὁμοίως διέψευσται ὁ τὰ τέτταρα [x]πέντε οἰόμενος καὶ ὁ χίλια. Εἰ οὖν μὴ ὁμοίως,

g καὶ οὐκ ἀλ. E. h φθέγγεσθαι S. i ἔσται Ab. k ταὐτά τε καὶ οὐ ταὐτὰ plerique. l τῶν] τί τῶν T. m εὐθὺς Ab. n εἰς post ἢ om. E. o τὸ om. E. p οἰηθῆς Ab. q ζητεῖ S.T.Ab. r γε δεῖ T, ἔδει γ' E.S. s ὡς om. T. t τὸν om. S. v εἰ] ἢ T. w δύο] δύο εἶναι Ab. x πέντε] πάντα E.

δῆλον ὅτι ἄτερος ἧττον, ὥστε μᾶλλον ἀληθεύει. Εἰ οὖν τὸ μᾶλλον ἐγγύτερον, εἴη γε ἄν [y] τι ἀληθὲς οὗ ἐγγύτερον τὸ μᾶλλον ἀληθές. Κἂν εἰ μή ἐστιν, ἀλλ' ἤδη γέ τι ἐστὶ βεβαιότερον καὶ ἀληθινώτερον, καὶ τοῦ λόγου ἀπηλλαγμένοι ἂν εἴημεν τοῦ ἀκράτου καὶ κωλύοντος τι τῇ διανοίᾳ ὁρίσαι.

Ἔστι δ' ἀπὸ τῆς αὐτῆς δόξης καὶ ὁ Πρωταγόρου λόγος, καὶ ἀνάγκη ὁμοίως [z] ἄμφω αὐτοὺς ἢ εἶναι ἢ μὴ εἶναι. Εἴτε γὰρ τὰ δοκοῦντα πάντα ἐστὶν ἀληθῆ καὶ τὰ φαινόμενα, ἀνάγκη πάντα ἅμα ἀληθῆ καὶ ψευδῆ [a] εἶναι. Πολλοὶ γὰρ τἀναντία ὑπολαμβάνουσιν ἀλλήλοις, καὶ τοὺς μὴ ταὐτὰ δοξάζοντας ἑαυτοῖς διεψεῦσθαι νομίζουσιν· ὥστ' ἀνάγκη τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι. Καὶ εἰ τοῦτ' ἐστίν, ἀνάγκη τὰ δοκοῦντα [b] εἶναι πάντ' ἀληθῆ· τὰ ἀντικείμενα γὰρ δοξάζουσιν ἀλλήλοις οἱ διεψευσμένοι καὶ ἀληθεύοντες. Εἰ οὖν ἔχει τὰ ὄντα οὕτως, [c] ἀληθεύσουσι πάντες. Ὅτι μὲν οὖν [d] ἀπὸ τῆς αὐτῆς εἰσὶ διανοίας ἀμφότεροι οἱ λόγοι, δῆλον. Ἔστι δ' οὐχ ὁ αὐτὸς τρόπος πρὸς [e] πάντας τῆς ἐντεύξεως· οἱ μὲν γὰρ πειθοῦς δέονται, οἱ δὲ βίας. Ὅσοι μὲν γὰρ ἐκ τοῦ ἀπορῆσαι ὑπέλαβον οὕτως, τούτων εὐίατος ἡ ἄγνοια· οὐ γὰρ πρὸς τὸν λόγον ἀλλὰ πρὸς τὴν διάνοιαν ἡ ἀπάντησις αὐτῶν· ὅσοι δὲ λόγου χάριν λέγουσι, τούτων δ' ἔλεγχος ἴασις τοῦ [f] τ' ἐν τῇ φωνῇ λόγου καὶ τοῦ ἐν τοῖς ὀνόμασιν. Ἐλήλυθε δὲ τοῖς διαποροῦσιν αὕτη ἡ δόξα ἐκ τῶν αἰσθητῶν, ἡ μὲν τοῦ ἅμα τὰς ἀντιφάσεις καὶ τἀναντία [g] ὑπάρχειν ὁρῶσιν ἐκ ταὐτοῦ γινόμενα τἀναντία. Εἰ οὖν μὴ ἐνδέχεται [h] γενέσθαι τὸ μὴ ὄν, προϋπῆρχεν ὁμοίως τὸ πρᾶγμα [i] ἄμφω ὄν, ὥσπερ καὶ Ἀναξαγόρας μεμῖχθαι πᾶν ἐν παντί φησι καὶ Δημόκριτος· καὶ γὰρ οὗτος τὸ κενὸν καὶ τὸ πλῆρες ὁμοίως καθ' ὁτιοῦν ὑπάρχειν μέρος, καίτοι τὸ μὲν ὂν τούτων εἶναι, τὸ δὲ μὴ ὄν.

Πρὸς μὲν [k] οὖν τοὺς ἐκ τούτων ὑπολαμβάνοντας ἐροῦμεν ὅτι

[y] τι om. A[b]. [z] αὐτοὺς ἄμφω A[b]. [a] εἶναι post ἀνάγκη A[b]. [b] πάντα εἶναι T. [c] ἀληθεύουσι E.S.T. [d] εἰσὶν ἀπὸ τῆς αὐτῆς δ. οἱ τοιοῦτοι λόγοι A[b]. [e] ἅπαντας E.S.T. [f] τ' om. A[b]. [g] ὑπάρξειν E.T. [h] γίνεσθαι A[b]. [i] post ἄμφω ὄν A[b]. τουτέστιν ὂν καὶ μὴ ὄν. [k] οὖν add. E A[b].

τρόπον μέν τινα [l] ὀρθῶς λέγουσι, τρόπον δέ τινα ἀγνοοῦσιν. Τὸ γὰρ ὂν λέγεται διχῶς, ὥστ' ἔστιν ὃν τρόπον ἐνδέχεται γίγνεσθαί τι ἐκ τοῦ μὴ ὄντος, ἔστι δ' [m] ὃν οὔ, καὶ ἅμα τὸ αὐτὸ εἶναι [n] καὶ ὂν καὶ μὴ ὄν, ἀλλ' οὐ [o] κατὰ [p] ταὐτὸ ὄν· δυνάμει μὲν γὰρ ἐνδέχεται ἅμα ταὐτὸ εἶναι τὰ ἐναντία, ἐντελεχείᾳ δ' οὔ. [4] Ἔτι δ' ἀξιώσομεν αὐτοὺς ὑπολαμβάνειν καὶ ἄλ- 7
λην [q] τινὰ οὐσίαν εἶναι τῶν ὄντων, ἣ οὔτε κίνησις ὑπάρχει οὔτε φθορὰ οὔτε γένεσις τὸ παράπαν. [v] Ὁμοιως δὲ καὶ ἡ περὶ τὰ φαινόμενα ἀλήθεια ἐνίοις ἐκ τῶν αἰσθητῶν ἐλήλυθεν. Τὸ μὲν γὰρ ἀληθὲς οὐ πλήθει κρίνεσθαι οἴονται προσήκειν 8
οὐδὲ ὀλιγότητι, τὸ δ' αὐτὸ τοῖς μὲν γλυκὺ γενομένοις [r] δοκεῖν εἶναι, τοῖς δὲ πικρόν· ὥστ' εἰ πάντες ἔκαμνον ἢ πάντες παρεφρόνουν, δύο δ' ἢ τρεῖς ὑγίαινον ἢ νοῦν εἶχον, δοκεῖν ἂν τούτους κάμνειν καὶ παραφρονεῖν, τοὺς δ' ἄλλους οὔ. [4] Ἔτι [s] δὲ 9
πολλοῖς τῶν [t] ἄλλων [v] ζώων τἀναντία [w] περὶ τῶν αὐτῶν φαίνεσθαι καὶ ἡμῖν, καὶ αὐτῷ δὲ ἑκάστῳ πρὸς αὐτὸν οὐ ταὐτὰ κατὰ τὴν αἴσθησιν ἀεὶ δοκεῖν. Ποῖα οὖν τούτων [x] ἀληθῆ ἢ ψευδῆ, ἄδηλον· οὐθὲν γὰρ μᾶλλον τάδε ἢ τάδε ἀληθῆ, ἀλλ' ὁμοίως. Διὸ Δημόκριτός γέ φησιν ἤτοι οὐθὲν εἶναι ἀληθὲς ἢ ἡμῖν γ' ἄδηλον. [y] Ὅλως δὲ διὰ τὸ ὑπολαμβάνειν φρόνησιν 10
μὲν τὴν αἴσθησιν, ταύτην δ' εἶναι ἀλλοίωσιν, τὸ φαινόμενον κατὰ τὴν αἴσθησιν ἐξ ἀνάγκης ἀληθὲς εἶναί φασιν· ἐκ τούτων γὰρ καὶ [4] Ἐμπεδοκλῆς καὶ Δημόκριτος καὶ τῶν ἄλλων ὡς ἔπος εἰπεῖν ἕκαστος τοιαύταις δόξαις γεγένηνται ἔνοχοι. Καὶ 11
γὰρ [4] Ἐμπεδοκλῆς μεταβάλλοντας τὴν ἕξιν μεταβάλλειν φησὶ τὴν φρόνησιν·

πρὸς παρεὸν γὰρ μῆτις [z] ἐναύξεται ἀνθρώποισιν.

Καὶ ἐν ἑτέροις δὲ λέγει ὅτι

ὅσσον . . . ἀλλοῖοι [a] μετέφυν, [b] τόσον ἄρ σφισιν αἰεὶ
καὶ τὸ φρονεῖν ἀλλοῖα παρίστατο.

l ἀληθῶς T. m ὂν] ὅπως A^b. n καὶ ante ὂν add. A^b. o κατὰ om. A^b. p αὐτὸ T. q τινὰ add. A^b. r δοκεῖ E.S.T. s δὲ καὶ π. A^b. t ἄλλων om. A^b. v ζώων ὑγιαίνουσι τἀν. A^b.F^b. w περὶ τῶν αὐτῶν add. A^b. x ψευδῆ ἢ ἀληθῆ T. y ὁμοίως A^b. z ἀέξεται S.B^b.C^b. a μετέφην S.T.A^b. b τόσσον E.

12 Καὶ Παρμενίδης δὲ ἀποφαίνεται τὸν αὐτὸν τρόπον·

ὡς γὰρ [c]ἕκαστος [d]ἔχει κρᾶσιν μελέων πολυκάμπτων,
[e]τὼς νόος ἀνθρώποισι παρίσταται. . . . Τὸ γὰρ αὐτὸ
ἔστιν ὅπερ φρονέει μελέων [f]φύσις ἀνθρώποισιν
καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα.

13 Ἀναξαγόρου δὲ [g]καὶ ἀπόφθεγμα μνημονεύεται πρὸς τῶν ἑταίρων [h]τινάς, ὅτι τοιαῦτ' αὐτοῖς ἔσται τὰ ὄντα οἷα ἂν
14 ὑπολάβωσιν. Φασὶ δὲ καὶ τὸν Ὅμηρον [i]ταύτην ἔχοντα φαίνεσθαι τὴν δόξαν, ὅτι ἐποίησε τὸν Ἕκτορα, ὡς ἐξέστη ὑπὸ τῆς πληγῆς, κεῖσθαι ἀλλοφρονέοντα, ὡς φρονοῦντας μὲν καὶ τοὺς παραφρονοῦντας ἀλλ' οὐ ταὐτά. Δῆλον οὖν ὅτι, [k]εἰ ἀμφότεραι φρονήσεις, καὶ τὰ ὄντα ἅμα οὕτω τε καὶ οὐχ
15 οὕτως [l]ἔχει. [m]Ἥι καὶ χαλεπώτατον τὸ συμβαῖνον ἐστίν· εἰ γὰρ οἱ μάλιστα τὸ ἐνδεχόμενον ἀληθὲς ἑωρακότες (οὗτοι δ' εἰσὶν οἱ μάλιστα ζητοῦντες αὐτὸ καὶ φιλοῦντες) οὗτοι τοιαύτας ἔχουσι τὰς δόξας καὶ ταῦτα ἀποφαίνονται περὶ τῆς ἀληθείας, πῶς οὐκ ἄξιον [n]ἀθυμῆσαι τοὺς φιλοσοφεῖν ἐγχειροῦντας; Τὸ γὰρ τὰ [o]πετόμενα διώκειν τὸ ζητεῖν ἂν εἴη
16 τὴν ἀλήθειαν. Αἴτιον δὲ τῆς δόξης τούτοις ὅτι περὶ τῶν ὄντων μὲν τὴν ἀλήθειαν ἐσκόπουν, τὰ δ' ὄντα ὑπέλαβον εἶναι τὰ αἰσθητὰ μόνον· ἐν δὲ τούτοις πολλὴ ἡ τοῦ ἀορίστου φύσις ἐνυπάρχει, καὶ ἡ τοῦ ὄντος οὕτως ὥσπερ εἴπομεν· διὸ εἰ-
17 κότως μὲν λέγουσιν, οὐκ ἀληθῆ δὲ λέγουσιν. Οὕτω γὰρ ἁρμόττει μᾶλλον εἰπεῖν ἢ ὥσπερ [p]Ἐπίχαρμος [p]εἰς Ξενοφάνην. [q]Ἔτι δὲ πᾶσαν ὁρῶντες ταύτην κινουμένην τὴν φύσιν, κατὰ δὲ τοῦ μεταβάλλοντος οὐθὲν ἀληθευόμενον, περί γε τὸ
18 [q]πάντῃ πάντως μεταβάλλον οὐκ ἐνδέχεσθαι ἀληθεύειν. [r]Ἐκ γὰρ ταύτης τῆς ὑπολήψεως ἐξήνθησεν ἡ ἀκροτάτη δόξα τῶν εἰρημένων, ἡ τῶν φασκόντων ἡρακλειτίζειν, καὶ οἵαν Κρατύλος εἶχεν, ὃς τὸ τελευταῖον οὐθὲν ᾤετο [r]δεῖν λέγειν ἀλλὰ

[c] ἑκάστω A^b, ἑκάστοτ' S.B^b.C^b. [d] ἔχη S.B^b. [e] ὣς E. [f] φύσις ἀνθρώποισιν om. A^b. [g] καὶ om. T. [h] τινός E.T.A^b. [i] τοιαύτην S.T. [k] εἰ om. A^b. [l] ἔχη E. [m] ᾗ] ἢ T.A^b. [n] ἀθυμεῖν E. [o] πετώμενα E. [p] ἢ ξενοφάνης T. [q] πάντως πάντη S.T. [r] λέγειν δεῖν T.

τὸν δάκτυλον ἐκίνει μόνον, καὶ [t]Ἡρακλείτῳ ἐπετίμα εἰπόντι [s]ὅτι δὶς τῷ αὐτῷ ποταμῷ οὐκ ἔστιν ἐμβῆναι· αὐτὸς γὰρ ᾤετο οὐδ' ἅπαξ. [t]Ἡμεῖς δὲ καὶ πρὸς [t]τοῦτον τὸν λόγον 19
ἐροῦμεν ὅτι τὸ μὲν μεταβάλλον ὅτε μεταβάλλει ἔχει τινὰ αὐτοῖς ἀληθῆ λόγον μὴ οἴεσθαι εἶναι. Καίτοι ἔστι γε ἀμφισβητήσιμον· τό τε γὰρ ἀποβάλλον ἔχει τι τοῦ ἀποβαλλομένου, καὶ τοῦ γιγνομένου ἤδη ἀνάγκη τι εἶναι. [u]Ὅλως τε 20
εἰ φθείρεται, ὑπάρξει τι ὄν· καὶ εἰ γίγνεται, ἐξ οὗ γίγνεται καὶ ὑφ' οὗ γεννᾶται, ἀναγκαῖον εἶναι, καὶ τοῦτο μὴ [v]ἰέναι εἰς ἄπειρον. [t]Ἀλλὰ ταῦτα παρέντες ἐκεῖνα [w]λέγωμεν, ὅτι οὐ ταὐτόν ἐστι τὸ μεταβάλλειν κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν. Κατὰ μὲν οὖν τὸ ποσὸν ἕστω μὴ μένον· ἀλλὰ κατὰ 21
τὸ εἶδος ἅπαντα γιγνώσκομεν. [u]Ἔτι δ' ἄξιον ἐπιτιμῆσαι τοῖς οὕτως ὑπολαμβάνουσιν, ὅτι καὶ αὐτῶν τῶν αἰσθητῶν ἐπὶ τῶν ἐλαττόνων τὸν ἀριθμὸν [x]ἰδόντες οὕτως ἔχοντα περὶ ὅλου τοῦ οὐρανοῦ ὁμοίως ἀπεφήναντο. [t]Ὁ γὰρ περὶ ἡμᾶς τοῦ 22
αἰσθητοῦ τόπος ἐν [y]φθορᾷ καὶ γενέσει διατελεῖ μόνος ὤν· ἀλλ' οὗτος [z]οὐθὲν ὡς εἰπεῖν [a]μόριον τοῦ παντός ἐστιν, ὥστε δικαιότερον [b]ἂν δι' ἐκεῖνα. [c]τούτων ἀπεψηφίσαντο [d]ἢ διὰ ταῦτα ἐκείνων κατεψηφίσαντο. [u]Ἔτι δὲ δῆλον ὅτι καὶ πρὸς τούτους ταὐτὰ τοῖς πάλαι λεχθεῖσιν ἐροῦμεν· ὅτι γὰρ ἔστιν ἀκίνητός τις φύσις δεικτέον αὐτοῖς καὶ πειστέον αὐτούς. Καί- 23
τοι [e]συμβαίνει γε τοῖς ἅμα φάσκουσιν εἶναι καὶ μὴ εἶναι ῥᾳδίως μᾶλλον φάναι [f]πάντα ἢ κινεῖσθαι· οὐ γάρ ἐστιν εἰς ὅ τι [g]μεταβάλλει· ἅπαντα γὰρ ὑπάρχει πᾶσιν. Περὶ δὲ τῆς ἀληθείας, ὡς οὐ πᾶν τὸ φαινόμενον ἀληθές, πρῶτον μέν [h]γε [i]ὅτι οὐδ' ἡ αἴσθησις ψευδὴς τοῦ ἰδίου ἐστίν, ἀλλ' ἡ φαντασία οὐ ταὐτὸν τῇ αἰσθήσει. Εἶτ' ἄξιον θαυμάσαι εἰ τοῦτ' 24
ἀποροῦσι, πότερον τηλικαῦτα ἐστὶ τὰ μεγέθη καὶ τὰ χρώματα τοιαῦτα οἷα τοῖς ἄποθεν φαίνεται [k]ἢ οἷα τοῖς ἐγγύθεν,

[s] ὅτι add. A[b]. [t] τούτων E. [v] ἰέναι] εἶναι codices. [w] λέγομεν S. [x] εἰδότες S.T. [y] φορᾷ E. [z] ὡς εἰπεῖν οὐδὲν A[b]. [a] τοῦ παντὸς μόριόν S.B[b].C[b]. [b] ἂν] εἰ A[b]. [c] τοῦτον E.A[b]. [d] ἢ] ἢ E, εἰ A[b]. [e] γε συμβαίνει E.S.T. [f] ἢ κινεῖσθαι πάντα A[b]. [g] μεταβάλλειν A[b]. [h] γε add. A[b]. [i] ὅτι om. T.A[b]. [k] ἢ om. S.

καὶ [l]πότερον οἷα τοῖς [m]ὑγιαίνουσιν [n]ἢ οἷα τοῖς [o]κάμνουσιν, [p]καὶ βαρύτερα πότερον [q]ἃ τοῖς ἀσθενοῦσιν ἢ [q]ἃ τοῖς [r]ἰσχύουσιν, καὶ ἀληθῆ πότερον [q]ἃ τοῖς καθεύδουσιν ἢ [q]ἃ τοῖς
25 [s]ἐγρηγορόσιν. [v]Ὅτι μὲν γὰρ [t]οὐκ οἴονταί γε, φανερόν· οὐθεὶς γοῦν [v]ἐὰν ὑπολάβῃ νύκτωρ [u]Ἀθήνησιν εἶναι ὢν ἐν Λιβύῃ, πορεύεται εἰς τὸ ᾠδεῖον. [w]Ἔτι δὲ περὶ τοῦ μέλλοντος, ὥσπερ καὶ Πλάτων λέγει, οὐ δήπου ὁμοίως κυρία ἡ τοῦ ἰατροῦ δόξα καὶ ἡ τοῦ ἀγνοοῦντος, οἷον περὶ τοῦ μέλλοντος
26 ἔσεσθαι ὑγιοῦς ἢ μὴ μέλλοντος. [w]Ἔτι δὲ ἐπ' αὐτῶν τῶν αἰσθήσεων οὐχ ὁμοίως κυρία ἡ τοῦ ἀλλοτρίου καὶ ἰδίου ἢ τοῦ πλησίον καὶ τοῦ αὐτῆς, ἀλλὰ [x]περὶ μὲν χρώματος ὄψις, οὐ γεῦσις, περὶ δὲ χυμοῦ γεῦσις, [x]οὐκ ὄψις· [y]ὧν ἑκάστη ἐν τῷ αὐτῷ χρόνῳ περὶ τὸ αὐτὸ [z]οὐδέ ποτέ φησιν ἅμα οὕτω καὶ
27 οὐχ οὕτως ἔχειν. [a]Ἀλλ' οὐδ' ἐν ἑτέρῳ χρόνῳ περί [a]γε τὸ πάθος [b]ἠμφισβήτησεν, ἀλλὰ περὶ τὸ ᾧ συμβέβηκε τὸ πάθος. Λέγω δ' οἷον ὁ μὲν αὐτὸς οἶνος δόξειεν ἂν ἢ [c]μεταβαλὼν ἢ τοῦ σώματος [c]μεταβαλόντος ὁτὲ μὲν εἶναι γλυκὺς ὁτὲ δὲ οὐ γλυκύς· ἀλλ' οὐ τό [d]γε γλυκὺ οἷόν ἐστιν ὅταν ᾖ, οὐδεπώποτε [e]μετέβαλεν, ἀλλ' ἀεὶ ἀληθεύει περὶ αὐτοῦ, καὶ
28 ἔστιν ἐξ ἀνάγκης τὸ ἐσόμενον γλυκὺ τοιοῦτον. Καίτοι τοῦτο ἀναιροῦσιν οὗτοι οἱ λόγοι [f]ἅπαντες, ὥσπερ καὶ οὐσίαν μὴ εἶναι μηθενός, οὕτω μηδ' ἐξ ἀνάγκης μηθέν· τὸ γὰρ ἀναγκαῖον οὐκ ἐνδέχεται ἄλλως καὶ ἄλλως ἔχειν, ὥστ' εἴ τι ἔστιν ἐξ ἀνάγκης, οὐχ [g]ἕξει οὕτω τε καὶ οὐχ οὕτως. [v]Ὅλως τ' εἰ πέρ ἐστι τὸ αἰσθητὸν μόνον, οὐθὲν ἂν εἴη μὴ ὄντων τῶν
29 ἐμψύχων· αἴσθησις γὰρ οὐκ ἂν εἴη. Τὸ μὲν οὖν [h]μήτε τὰ αἰσθητὰ εἶναι μήτε τὰ αἰσθήματα ἴσως ἀληθές (τοῦ γὰρ αἰσθανομένου πάθος τοῦτό ἐστι), τὸ δὲ τὰ ὑποκείμενα μὴ εἶναι,

l πότερον ἢ οἷα T. m ἰσχύουσιν T. n ἢ om. S. o νοσοῦσι A^b. p καὶ β.—ἰσχύουσιν om. T. q ἃ A^b: ceteri οἷα. r ἰσχυροῖς A^b. s ἐγρηγόρωσιν E. t οὐχ οἷόν τε A^b. v ἐὰν ὑπολάβῃ] ὑπολαβὼν A^b. w μὲν περὶ T. x οὐκ] ἀλλ' οὐκ E.S. y ὧν καὶ ἑκάστη A^b. z οὐδεπώποτε A^b. a γε] δὲ A^b. b ἠμφισβήτησαν S. c μεταβάλλων et μεταβάλλοντος A^b. d γε] τε T.A^b. e μεταβάλλει A^b. f πάντες A^b. g ἕξει om. T. h μηδὲ A^b, omissis mox μήτε τὰ αἰσθήματα.

ἃ ποιεῖ τὴν αἴσθησιν, καὶ ἄνευ αἰσθήσεως [i]ἀδύνατον. Οὐ γὰρ 30
δὴ ἥ γ' αἴσθησις [k]αὐτὴ ἑαυτῆς ἐστίν, ἀλλ' ἔστι τι καὶ ἕτε-
ρον παρὰ τὴν αἴσθησιν, ὃ ἀνάγκη πρότερον εἶναι τῆς αἰσθή-
σεως· τὸ γὰρ κινοῦν τοῦ κινουμένου φύσει πρότερόν ἐστι· κἂν
εἰ [l]λέγεται πρὸς [m]ἄλληλα [n]ταῦτα, οὐθὲν ἧττον.

Εἰσὶ δέ τινες οἳ ἀποροῦσι καὶ τῶν ταῦτα πεπεισμένων καὶ 6
τῶν τοὺς λόγους τούτους μόνον λεγόντων· ζητοῦσι γὰρ τίς
ὁ κρίνων τὸν ὑγιαίνοντα καὶ ὅλως τὸν περὶ ἕκαστα [o]κρι-
νοῦντα ὀρθῶς. Τὰ δὲ τοιαῦτα ἀπορήματα ὁμοιά ἐστι τῷ
ἀπορεῖν πότερον καθεύδομεν νῦν ἢ ἐγρηγόραμεν. Δύνανται 2
δ' αἱ ἀπορίαι [p]αἱ τοιαῦται πᾶσαι τὸ αὐτό· πάντων γὰρ
[q]λόγον ἀξιοῦσιν [r]οὗτοι εἶναι· ἀρχὴν γὰρ ζητοῦσι, καὶ ταύ-
την δι' ἀποδείξεως λαμβάνειν, ἐπεὶ [s]ὅτι γε [t]οὐ πεπεισμένοι
εἰσί, φανεροί εἰσιν ἐν ταῖς πράξεσιν. Ἀλλ' ὅπερ εἴπομεν,
τοῦτο αὐτῶν τὸ πάθος ἐστίν· λόγον γὰρ ζητοῦσιν ὧν οὐκ
ἔστι λόγος· ἀποδείξεως γὰρ ἀρχὴ οὐκ ἀπόδειξίς ἐστιν. Οὖ- 3
τοι μὲν οὖν ῥᾳδίως ἂν τοῦτο πεισθεῖεν· ἔστι γὰρ οὐ χαλεπὸν
λαβεῖν. Οἱ δ' ἐν τῷ λόγῳ τὴν βίαν [v]μόνον ζητοῦντες ἀδύ-
νατον ζητοῦσιν· [w]ἐναντία γὰρ εἰπεῖν ἀξιοῦσιν, εὐθὺς ἐναντία
λέγοντες. Εἰ δὲ μή ἐστι πάντα πρός τι, ἀλλ' ἔνιά [x]ἐστι 4
καὶ αὐτὰ καθ' [y]αὑτά, οὐκ ἂν εἴη [z]πᾶν τὸ φαινόμενον ἀληθές·
τὸ γὰρ φαινόμενον τινί ἐστι φαινόμενον· ὥστε ὁ λέγων
ἅπαντα τὰ φαινόμενα [a]εἶναι ἀληθῆ, ἅπαντα ποιεῖ τὰ ὄντα
πρός τι. Διὸ καὶ φυλακτέον τοῖς τὴν βίαν ἐν τῷ λόγῳ ζη- 5
τοῦσιν, ἅμα δὲ καὶ ὑπέχειν λόγον ἀξιοῦσιν, ὅτι οὐ τὸ φαινό-
μενόν ἐστιν, ἀλλὰ τὸ φαινόμενον ᾧ φαίνεται καὶ ὅτε φαί-
νεται καὶ ᾗ καὶ ὡς. [b]Ἂν δ' ὑπέχωσι μὲν λόγον, μὴ οὕτω
δ' ὑπέχωσι, συμβήσεται [c]αὐτοῖς τἀναντία ταχὺ λέγειν. Ἐν- 6
δέχεται γὰρ [d]τῷ αὐτῷ κατὰ μὲν τὴν ὄψιν μέλι φαίνεσθαι,

i δυνατον Ab. k αὐτῆ E, om. Ab. l λέγηται S. m ἄλλα Ab.
n ταυτὰ Ab, ταῦτα αὐτὰ E.T. o κρίνοντα Ab. p αἱ τοιαῦται] αὗται Ab.
q λόγων S. r εἶναι οὗτοι E.S. s ὅτι γε Ab: ceteri γε ὅτι. t πεπει-
σμένοι οὐκ Ab. v μόνην Ab. w ἐναντία γὰρ] ἐναντίον γὰρ S. x ἐστι
καὶ] εἰσὶ καὶ T. y ἑαυτά S.T. z ἅπαν E. a ἀληθῆ εἶναι T. b ἐὰν Ab.
c ἑαυτοῖς idem. d τὸ αὐτὸ S.

[e]τῇ δὲ γεύσει μή, καὶ τῶν ὀφθαλμῶν [f]δυοῖν ὄντοιν μὴ [g]ταὐτὰ ἑκατέρᾳ τῇ ὄψει, [h]ἂν ὦσιν [i]ἀνόμοιαι, ἐπεὶ πρός γε τοὺς διὰ τὰς πάλαι εἰρημένας αἰτίας τὸ φαινόμενον φάσκοντας [k]ἀληθὲς εἶναι, καὶ διὰ τοῦτο πάνθ' ὁμοίως εἶναι ψευδῆ καὶ ἀληθῆ· οὔτε γὰρ ἅπασι ταὐτὰ φαίνεσθαι οὔτε [l]αὐτῷ ἀεὶ ταὐτά,
7 ἀλλὰ πολλάκις τἀναντία κατὰ τὸν αὐτὸν [m]χρόνον. [n]Ἡ μὲν γὰρ ἁφὴ δύο λέγει ἐν τῇ [o]ἐπαλλάξει τῶν δακτύλων, ἡ δ' ὄψις ἕν. [q]Ἀλλ' [p]οὔτε τῇ αὐτῇ γε καὶ κατὰ τὸ αὐτὸ αἰσθήσει καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ, ὥστε τοῦτ' ἂν εἴη ἀληθές. [q]Ἀλλ' ἴσως διὰ τοῦτ' ἀνάγκη [q]λέγειν τοῖς μὴ δι' ἀπορίαν ἀλλὰ λόγου χάριν λέγουσιν, ὅτι οὐκ ἔστιν ἀλη-
8 θὲς τοῦτο, ἀλλὰ τούτῳ ἀληθές. Καὶ ὥσπερ δὴ πρότερον εἴρηται, ἀνάγκη [r]καὶ πρός τι ποιεῖν ἅπαντα καὶ πρὸς δόξαν καὶ αἴσθησιν, ὥστ' οὔτε γέγονεν οὔτ' ἔσται οὐθὲν μηθενὸς προδοξάσαντος. Εἰ δὲ γέγονεν ἢ ἔσται, δῆλον ὅτι οὐκ ἂν εἴη ἅπαντα πρὸς δόξαν. [q]Ἔτι εἰ ἕν, πρὸς ἓν [s]ἢ πρὸς ὡρισμένον· καὶ εἰ ταὐτὸ καὶ ἥμισυ καὶ ἴσον, ἀλλ' οὐ πρὸς τὸ
9 διπλάσιόν γε τὸ ἴσον. Πρὸς δὴ τὸ [t]δοξάζον εἰ ταὐτὸ ἄνθρωπος καὶ τὸ δοξαζόμενον, οὐκ [v]ἔσται ἄνθρωπος τὸ δοξάζον, ἀλλὰ τὸ δοξαζόμενον. Εἰ [w]δ' ἕκαστον ἔσται πρὸς τὸ
10 δοξάζον, [x]ἄπειρα ἔσται τῷ εἴδει τὸ δοξάζον. [y]Ὅτι μὲν οὖν βεβαιοτάτη δόξα πασῶν τὸ μὴ εἶναι ἀληθεῖς ἅμα τὰς ἀντικειμένας φάσεις, καὶ τί συμβαίνει τοῖς οὕτω λέγουσι, καὶ [y]διὰ τί οὕτω λέγουσι, τοσαῦτα εἰρήσθω. [q]Ἐπεὶ δ' ἀδύνατον τὴν ἀντίφασιν ἀληθεύεσθαι [z]ἅμα κατὰ τοῦ αὐτοῦ, φανερὸν ὅτι
11 οὐδὲ τἀναντία ἅμα ὑπάρχειν ἐνδέχεται τῷ αὐτῷ. Τῶν μὲν γὰρ ἐναντίων θάτερον στέρησίς ἐστιν οὐχ [a]ἧττον, οὐσίας δὲ στέρησις ἀπόφασίς ἐστιν ἀπό τινος ὡρισμένου γένους. Εἰ

[e] τῇ—φαίνεσθαι om. pr. S. [f] δυεῖν T. [g] ταὐθ' E. [h] ἐὰν E.T. [i] ἀνόμοια T. [k] ἀληθεῖς, omisso εἶναι, S. [l] ἑαυτῷ A^b, ταυτῷ T. [m] λόγον T. [n] ἡ μὲν—οὔτε om. pr. S. [o] ἀπαλλάξει A^b. [p] οὐ τί A^b. [q] λέγειν om. T. [r] καὶ ante πρός om. A^b. [s] ἢ] ἢ A^b. [t] δοξάζειν S.T. [v] ἔστιν E.S.T. [w] δὲ καθ' ἕκαστον A^b. [x] ἄπειρα] πρὸς ἄπειρα A^b. [y] διὰ τί] ἂν A^b. [z] ἅμα ἀληθεύεσθαι A^b. [a] ἧττον· οὐσίας στέρησις. ἡ δὲ στέρησις ἀπ. A^b.

οὖν ἀδύνατον ἅμα καταφάναι καὶ ἀποφάναι ἀληθῶς, ἀδύνατον καὶ τἀναντία ὑπάρχειν ἅμα, ἀλλ' ἢ πῇ ἄμφω, ἢ θάτερον [b]μὲν πῇ θάτερον δὲ ἁπλῶς.

[d]Ἀλλὰ μὴν οὐδὲ μεταξὺ ἀντιφάσεως ἐνδέχεται εἶναι οὐθέν, 7
ἀλλ' ἀνάγκη ἢ φάναι ἢ ἀποφάναι [c]ἓν καθ' ἑνὸς ὁτιοῦν. Δῆλον δὲ πρῶτον μὲν ὁρισαμένοις τί τὸ ἀληθὲς καὶ ψεῦδος. Τὸ μὲν γὰρ λέγειν τὸ ὂν μὴ εἶναι ἢ [d]τὸ μὴ ὂν εἶναι ψεῦδος, τὸ δὲ [e]τὸ ὂν εἶναι [f]καὶ τὸ μὴ ὂν μὴ εἶναι ἀληθές, ὥστε [g]καὶ ὁ λέγων εἶναι ἢ [h]μὴ ἀληθεύσει ἢ ψεύσεται. [i]Αλλ' οὔτε τὸ 2
ὂν [i]λέγεται μὴ εἶναι ἢ εἶναι οὔτε τὸ μὴ ὄν. [j]Ετι [k]ἤτοι [l]τὸ μεταξὺ [m]ἔσται τῆς ἀντιφάσεως, ὥσπερ τὸ φαιὸν μέλανος καὶ λευκοῦ, ἢ ὡς τὸ μηδέτερον ἀνθρώπου καὶ ἵππου. Εἰ μὲν οὖν οὕτως, οὐκ ἂν μεταβάλλοι (ἐκ μὴ ἀγαθοῦ γὰρ εἰς ἀγαθὸν μεταβάλλει, ἢ ἐκ τούτου εἰς μὴ ἀγαθόν)· νῦν δ' [n]ἀεὶ φαίνεται. Οὐ γάρ ἐστι μεταβολὴ ἀλλ' ἢ εἰς τὰ ἀντικείμενα 3
καὶ μεταξύ. Εἰ δ' ἔστι μεταξύ, καὶ οὕτως [o]εἴη ἄν τις εἰς λευκὸν οὐκ ἐκ [p]μὴ λευκοῦ γένεσις· νῦν δ' οὐχ ὁρᾶται. [j]Ετι πᾶν τὸ διανοητὸν καὶ νοητὸν ἡ διάνοια ἢ κατάφησιν ἢ ἀπόφησιν· τοῦτο δ' ἐξ ὁρισμοῦ δῆλον ὅταν [q]ἀληθεύῃ ἢ ψεύδηται. [h]Οταν μὲν ὠδὶ συνθῇ φᾶσα ἢ ἀποφᾶσα, ἀληθεύει, ὅταν 4
δὲ ὡδί, ψεύδεται. [j]Ετι παρὰ πάσας δεῖ εἶναι τὰς ἀντιφάσεις, εἰ μὴ λόγου ἕνεκα [r]λέγεται· ὥστε καὶ οὔτε ἀληθεύσει τις οὔτ' οὐκ ἀληθεύσει. Καὶ παρὰ τὸ ὂν καὶ [s]τὸ μὴ ὂν ἔσται, ὥστε καὶ παρὰ γένεσιν καὶ φθορὰν μεταβολή τις ἔσται. [j]Ετι ἐν ὅσοις [t]γένεσιν ἡ ἀπόφασις τὸ ἐναντίον ἐπι- 5
φέρει, καὶ ἐν τούτοις ἔσται, οἷον ἐν ἀριθμοῖς οὔτε περιττὸς οὔτε οὐ περιττὸς ἀριθμός. [i]Αλλ' ἀδύνατον· ἐκ τοῦ ὁρισμοῦ δὲ δῆλον. [j]Ετι εἰς ἄπειρον βαδιεῖται, καὶ οὐ μόνον ἡμιόλια

[b] μὲν om. A[b]. [c] ἓν om. A[b]. [d] τὸ μὴ ὂν] τοῦτο E.S.T. [e] τὸ post δὲ om. E. [f] καὶ τὸ] τὸ δὲ E.T. [g] καὶ ὁ] ἐκεῖνο A[b]. [h] μὴ] μὴ εἶναι S. [i] λέγει E. [k] ἤτοι] εἴ τι S. [l] τὸ post ἤτοι add. A[b]. [m] ἐστι A[b]. [n] ἀεὶ om. A[b]. [o] εἴη ἄν τις] ἢ ἡ ἀντίφασις A[b], et omisso ἢ F[b]. [p] μὴ] μὴ οὐ S.T. [q] ἀληθεύει ἢ ψεύδεται S. [r] λέγηται A[b]. [s] τὸ ante μὴ om. T. [t] γένεσις rc. T.

6 [v]τὰ ὄντα ἔσται [w]ἀλλὰ πλείω. Πάλιν γὰρ ἔσται ἀποφῆσαι τοῦτο πρὸς τὴν φάσιν καὶ τὴν ἀπόφασιν, καὶ τοῦτ' ἔσται τι· ἡ γὰρ οὐσία [x]ἐστί τις αὐτοῦ ἄλλη. [y]Ἔτι ὅταν [y]ἐρομένου [z]εἰ λευκόν ἐστιν εἴπῃ [a]ὅτι οὔ, οὐθὲν [b]ἄλλο [c]ἀποπέ-
7 φυκεν ἢ τὸ εἶναι· ἀπόφασις δὲ τὸ μὴ εἶναι. [d]Ἐλήλυθε δ' ἐνίοις αὕτη ἡ δόξα ὥσπερ [d]καὶ ἄλλαι τῶν παραδόξων· ὅταν [e]γὰρ λύειν μὴ δύνωνται λόγους ἐριστικούς, ἐνδόντες τῷ λόγῳ σύμφασιν ἀληθὲς εἶναι τὸ συλλογισθέν. Οἱ μὲν οὖν διὰ τοιαύτην αἰτίαν λέγουσιν, οἱ δὲ διὰ τὸ πάντων [f]ζητεῖν λόγον. [g]Ἀρχὴ δὲ πρὸς ἅπαντας τούτους ἐξ ὁρισμοῦ. [h]Ὁρι-
8 σμὸς δὲ γίνεται ἐκ τοῦ σημαίνειν τι ἀναγκαῖον [g]εἶναι αὐτούς· ὁ γὰρ λόγος, οὗ τὸ ὄνομα σημεῖον, ὁρισμὸς [h]γίνεται. [i]Ἔοικε δ' ὁ μὲν [h]Ἡρακλείτου λόγος, λέγων πάντα εἶναι καὶ μὴ εἶναι, ἅπαντα ἀληθῆ ποιεῖν, ὁ δ' [g]Ἀναξαγόρου εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως, [i]ὥστε πάντα ψευδῆ· ὅταν γὰρ μιχθῇ, οὔτ' ἀγαθὸν οὔτ' οὐκ ἀγαθὸν τὸ μῖγμα, ὥστ' οὐθὲν εἰπεῖν ἀληθές.

8 Διωρισμένων δὲ τούτων φανερὸν ὅτι καὶ τὰ μοναχῶς λεγόμενα καὶ [k]τὰ κατὰ πάντων ἀδύνατον ὑπάρχειν, ὥσπερ τινὲς λέγουσιν, οἱ μὲν οὐθὲν φάσκοντες ἀληθὲς εἶναι (οὐθὲν γὰρ [l]κωλύειν φασὶν οὕτως ἅπαντα εἶναι ὥσπερ τὸ τὴν διά-
2 μετρον σύμμετρον εἶναι), οἱ δὲ πάντ' ἀληθῆ. Σχεδὸν γὰρ [m]οὗτοι οἱ λόγοι οἱ αὐτοὶ [n]τῷ [h]Ἡρακλείτου· ὁ γὰρ λέγων ὅτι πάντ' ἀληθῆ καὶ πάντα ψευδῆ, καὶ χωρὶς λέγει τῶν λόγων ἑκάτερον τούτων, ὥστ' εἴπερ ἀδύνατα ἐκεῖνα, καὶ ταῦτα ἀδύνατον εἶναι. [o]Ἔτι δὲ φανερῶς ἀντιφάσεις εἰσὶν ἃς οὐχ οἷόν τε ἅμα ἀληθεῖς εἶναι. Οὐδὲ [o]δὴ ψευδεῖς [p]πάσας· καί-
3 τοι δόξειέ [q]γ' ἂν μᾶλλον ἐνδέχεσθαι ἐκ τῶν εἰρημένων. [g]Ἀλλὰ

[v] τὰ ὄντα] ταῦτα Ab. [w] ἀλλὰ καὶ πλείω S.T. [x] ἔσται S. [y] ἐρωμένου E. [z] εἰ om. Ab. [a] ὅτι om. T. [b] ἄλλο om. Ab. [c] ἀπέφηνεν S. [d] καὶ αἱ ἄλλαι E.S.T. [e] γὰρ om. Ab. [f] λόγον ζητεῖν E.S.T. [g] αὐτοὺς εἶναι T. [h] ἔσται Ab, γίνεται τοῦ πράγματος S. [i] ὥστε om. Ab. [k] τὰ om. E.T.Ab. [l] κωλύει Ab. [m] οὗτοι] αὐτοῖς E.S.T. [n] τῷ τοῦ ἡρακλείδου Ab. [o] δὴ] δεῖ E. [p] πάσας om. T. [q] γ' om. S.Ab.

πρὸς [r]ἅπαντας τοὺς τοιούτους λόγους αἰτεῖσθαι δεῖ, καθάπερ ἐλέχθη καὶ ἐν τοῖς ἐπάνω λόγοις, [s]οὐκ εἶναί τι ἢ μὴ εἶναι ἀλλὰ σημαίνειν τι, ὥστε ἐξ ὁρισμοῦ [t]διαλεκτέον [v]λαβόντας τί [w]σημαίνει τὸ ψεῦδος [x]ἢ τὸ ἀληθές. Εἰ δὲ μηθὲν ἄλλο [y]ἢ τὸ ἀληθὲς φάναι ἢ [z]ἀποφάναι ψεῦδός ἐστιν, ἀδύνατον πάντα ψευδῆ εἶναι· ἀνάγκη γὰρ τῆς ἀντιφάσεως θάτερον εἶναι μόριον ἀληθές. [4]Ἔτι εἰ πᾶν [a]ἢ φάναι [b]ἢ ἀποφάναι 4
ἀναγκαῖον, ἀδύνατον ἀμφότερα ψευδῆ εἶναι· θάτερον γὰρ [c]μέρος τῆς ἀντιφάσεως ψεῦδός ἐστιν. Συμβαίνει δὴ καὶ τὸ θρυλλούμενον πᾶσι τοῖς τοιούτοις λόγοις, αὐτοὺς ἑαυτοὺς ἀναιρεῖν. [5]Ὁ μὲν γὰρ πάντα ἀληθῆ λέγων καὶ [d]τὸν ἐναντίον 5
αὐτοῦ λόγον ἀληθῆ ποιεῖ, ὥστε τὸν [e]αὐτοῦ οὐκ ἀληθῆ (ὁ γὰρ ἐναντίος [f]οὗ φησιν αὐτὸν ἀληθῆ), ὁ δὲ πάντα ψευδῆ καὶ [g]αὐτὸς [h]αὑτόν. [6]Ἐὰν δ' ἐξαιρῶνται ὁ μὲν τὸν ἐναντίον ὡς 6
[i]οὐκ ἀληθὴς μόνος [k]ἐστίν, ὁ δὲ τὸν [l]αὐτὸς [m]αὑτοῦ ὡς [n]οὐ ψευδής, οὐθὲν ἧττον [o]ἀπείρους συμβαίνει αὐτοῖς αἰτεῖσθαι λόγους ἀληθεῖς καὶ ψευδεῖς· ὁ γὰρ λέγων τὸν ἀληθῆ λόγον [p]ἀληθῆ ἀληθής, τοῦτο δ' εἰς ἄπειρον βαδιεῖται. Φανερὸν δ' 7
ὅτι οὐδ' οἱ πάντα ἠρεμεῖν λέγοντες ἀληθῆ λέγουσιν, οὐδ' οἱ πάντα κινεῖσθαι. Εἰ μὲν γὰρ ἠρεμεῖ [q]πάντα, ἀεὶ ταὐτὰ ἀληθῆ καὶ ψευδῆ ἔσται, φαίνεται δὲ τοῦτο μεταβάλλον· ὁ γὰρ λέγων ποτὲ αὐτὸς οὐκ ἦν καὶ πάλιν οὐκ ἔσται. Εἰ δὲ πάντα κινεῖται, οὐθὲν ἔσται ἀληθές· πάντα ἄρα ψευδῆ. [7]Ἀλλὰ δέδεικται ὅτι ἀδύνατον. [8]Ἔτι [r]τὸ ὂν ἀνάγκη μεταβάλλειν· 8
ἔκ τινος γὰρ [s]εἴς τι ἡ μεταβολή. [9]Ἀλλὰ μὴν οὐδὲ πάντα ἠρεμεῖ ἢ κινεῖται, ποτὲ [t]δέ, ἀεὶ δ' οὐθέν· ἔστι γάρ [v]τι

[r] πάντας Ab. [s] οὐχὶ E.S.T. [t] δεῖ λεκτέον T. [v] λαβόντα Ab. [w] σημαίνειν T. [x] ἢ] καὶ Bb. [y] ἢ ante τὸ om. Ab. [z] ἀποφάναι om. Cb. [a] ἢ φάναι om. T. [b] ἢ ἀποφάναι om. Cb. [c] μόριον Ab. [d] τὸ Ab. [e] ἑαυτοῦ οὐκ S.T. [f] οὗ φησιν εἶναι αὐτὸν ἀληθῆ T, ὃν φησιν αὐτὸς εἶναι ἀληθῆ ἐκεῖνός φησι μὴ εἶναι ἀληθῆ Ab. [g] αὐτοῖς S. [h] αὐτόν Ab. [i] οὐκ om. T. [k] ἐστίν om. Ab. [l] αὐτὸς] αὐτὸν codices. [m] αὑτοῦ om. Ab. [n] οὐ om. T. [o] ἀπείρου Ab. [p] ἀληθῆ om. Ab. [q] πάντα καὶ ἀεὶ Ab. [r] ἀνάγκη τὸ ὂν E.S.T. [s] εἴς τι] ἐστιν Ab. [t] δέ add. E.Ab. [v] τι ὅτι T, τιν' ἃ Ab.

ὃ ἀεὶ [w]κινεῖ τὰ κινούμενα, καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον [x]αὐτό.

Δ.

[y]Ἀρχὴ [z]λέγεται ἡ μὲν ὅθεν ἄν [a]τις τοῦ πράγματος κινηθείη πρῶτον, οἷον τοῦ μήκους καὶ ὁδοῦ ἐντεῦθεν μὲν αὕτη ἀρχή, ἐξ ἐναντίας [b]δ' ἑτέρα· ἡ δὲ ὅθεν ἂν κάλλιστα [c]γένοιτο ἕκαστον, οἷον καὶ μαθήσεως οὐκ ἀπὸ τοῦ πρώτου καὶ τῆς τοῦ πράγματος ἀρχῆς ἐνίοτε ἀρκτέον, ἀλλ' ὅθεν ῥᾷστ' ἂν μάθοι· ἡ δὲ ὅθεν πρῶτον γίνεται ἐνυπάρχοντος, οἷον ὡς πλοίου τρόπις καὶ οἰκίας θεμέλιος, καὶ τῶν ζῴων οἱ μὲν καρδίαν οἱ δὲ ἐγκέφαλον οἱ δ' ὅ τι ἂν τύχωσι τοιοῦτον ὑπολαμβάνουσιν· ἡ δὲ ὅθεν γίγνεται [d]πρῶτον μὴ ἐνυπάρχοντος, καὶ ὅθεν [e]πρῶτον ἡ κίνησις πέφυκεν ἄρχεσθαι καὶ [f]ἡ μεταβολή, οἷον τὸ τέκνον ἐκ τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ ἡ μάχη ἐκ τῆς λοιδορίας· ἡ δὲ [g]οὗ κατὰ προαίρεσιν κινεῖται τὰ κινούμενα καὶ μεταβάλλει τὰ μεταβάλλοντα, ὥσπερ αἵ τε κατὰ πόλεις ἀρχαὶ καὶ αἱ δυναστεῖαι καὶ αἱ βασιλεῖαι καὶ τυραννίδες. 2 [i]Ἀρχαὶ λέγονται καὶ αἱ τέχναι, καὶ τούτων αἱ ἀρχιτεκτονικαὶ μάλιστα. [h]Ἔτι ὅθεν γνωστὸν τὸ πρᾶγμα πρῶτον· καὶ [i]γὰρ αὕτη ἀρχὴ λέγεται τοῦ πράγματος, οἷον τῶν ἀποδείξεων αἱ ὑποθέσεις. [i]Ἰσαχῶς δὲ καὶ τὰ αἴτια λέγεται· 3 πάντα γὰρ τὰ αἴτια ἀρχαί. Πασῶν μὲν οὖν [k]κοινὸν τῶν ἀρχῶν τὸ πρῶτον εἶναι ὅθεν ἢ ἔστιν ἢ γίγνεται ἢ γιγνώσκεται· τούτων δὲ αἱ μὲν ἐνυπάρχουσαί εἰσιν αἱ δὲ ἐκτός. Διὸ ἥ τε φύσις ἀρχὴ καὶ [l]τὸ στοιχεῖον καὶ [m]ἡ διάνοια καὶ [n]ἡ προαίρεσις καὶ οὐσία καὶ τὸ οὗ ἕνεκα· πολλῶν γὰρ καὶ τοῦ γνῶναι καὶ τῆς κινήσεως ἀρχὴ τἀγαθὸν καὶ τὸ [o]καλόν.

2 [p]Αἴτιον λέγεται ἕνα μὲν τρόπον ἐξ οὗ γίγνεταί [q]τι ἐνυ-

[w] κινεῖται κ. A^b. [x] αὐτό] αὐτὸ ἀρχὴ λέγεται A^b. [y] ἀρχὴ δὲ λ. H^b. [z] ἡ μὲν λέγεται T. [a] τι A^b. [b] δ' ἡ ἑτέρα H^b. [c] γένοιτο ἕκαστον A^b: ceteri ἕκαστον γένοιτο. [d] πρώτου H^b. [e] ἡ κίνησις πρῶτον T. [f] ἡ om. A^b. [g] οὗ T. [h] ἔτι] ἀρχὴ λέγεται ἔτι A^b. [i] γὰρ add. A^b. [k] τῶν ἀρχῶν κοινὸν A^b. [l] τὸ om. H^b. [m] ἡ add. E.A^b.H^b. [n] ἡ om. E. [o] καλόν F^b: vulgo κακόν. [p] αἴτιον δὲ λέγεται E.T. [q] τι om. T.

πάρχοντος, οἷον [r] ὁ χαλκὸς τοῦ ἀνδριάντος καὶ ὁ ἄργυρος τῆς φιάλης καὶ τὰ τούτων γένη, ἄλλον δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα· τοῦτο δ' ἐστὶν [s] ὁ λόγος τοῦ τί ἦν εἶναι καὶ τὰ [t] τούτων γένη, οἷον τοῦ διὰ πασῶν τὰ δύο πρὸς ἓν καὶ ὅλως ὁ ἀριθμὸς καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ. [u] Ἔτι ὅθεν ἡ 2
ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη ἢ τῆς ἠρεμήσεως, οἷον ὁ βουλεύσας αἴτιος, καὶ ὁ πατὴρ τοῦ τέκνου, καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου καὶ τὸ μεταβλητικὸν τοῦ μεταβάλλοντος. [v] Ἔτι ὡς τὸ τέλος· τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα, οἷον τοῦ περιπατεῖν ἡ ὑγίεια. Διὰ τί γὰρ περιπατεῖ; Φαμέν, ἵνα ὑγιαίνῃ, 3
καὶ εἰπόντες οὕτως οἰόμεθα ἀποδεδωκέναι τὸ αἴτιον. Καὶ ὅσα δὴ κινήσαντος [y] ἄλλου μεταξὺ γίγνεται τοῦ τέλους, οἷον τῆς ὑγιείας ἡ ἰσχνασία ἢ ἡ κάθαρσις ἢ τὰ φάρμακα ἢ τὰ ὄργανα· πάντα γὰρ ταῦτα τοῦ τέλους ἕνεκά ἐστι, διαφέρει δὲ ἀλλήλων ὡς ὄντα τὰ [w] μὲν ὄργανα τὰ [x] δ' ἔργα. Τὰ μὲν 4
οὖν αἴτια σχεδὸν τοσαυταχῶς λέγεται, [y] συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων καὶ πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι [z] οὐ κατὰ συμβεβηκός, οἷον τοῦ ἀνδριάντος καὶ ἡ [a] ἀνδριαντοποικὴ καὶ ὁ [b] χαλκὸς οὐ καθ' ἕτερόν τι ἀλλ' [c] ᾗ ἀνδριάς· ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς ὕλη τὸ δ' ὡς ὅθεν ἡ κίνησις. Καὶ ἀλλήλων αἴτια, οἷον τὸ [d] πονεῖν 5
τῆς εὐεξίας καὶ αὕτη τοῦ πονεῖν· ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς τέλος τὸ δ' ὡς ἀρχὴ κινήσεως. [u] Ἔτι δὲ ταὐτὸ [e] ἐνίοτε τῶν ἐναντίων ἐστίν· ὃ γὰρ παρὸν αἴτιον τουδί, τοῦτ' [f] ἀπὸν αἰτιώμεθα ἐνίοτε τοῦ ἐναντίου, οἷον τὴν ἀπουσίαν τοῦ κυβερνήτου τῆς [g] ἀνατροπῆς, οὗ ἦν ἡ παρουσία αἰτία τῆς σωτηρίας. [u] Ἀμφω [h] δέ, καὶ ἡ παρουσία καὶ ἡ 6
στέρησις, αἴτια ὡς κινοῦντα. [v] Ἅπαντα [i] δὲ τὰ νῦν εἰρημένα αἴτια εἰς τέτταρας τρόπους πίπτει τοὺς φανερωτάτους. Τὰ 7

r ὁ post οἷον om. A^b. s ὁ om. A^b. t τούτου E. v ἀλλ' οὐ T. w μὲν] μὲν ὡς E. x δ'] δ' ὡς E.T. y συμβ.] καὶ συμβ. T. z οὐ] καθ' αὑτὸ οὐ F^b. a ἀνδριαντοποιητικὴ T.A^b. b χαλκοῦς T. c ᾗ T. d πονεῖν αἴτιον τῆς A^b. e ἐνίοτε om. A^b.F^b.H^b. f ἀπὸν A^b: ceteri αὐτό. g ἀνατροπῆς τοῦ πλοίου οὗ H^b. h δὲ τὸ αὐτὸ καὶ A^b. i δὲ καὶ τὰ A^b.

μὲν γὰρ στοιχεῖα τῶν συλλαβῶν καὶ ἡ ὕλη τῶν σκευαστῶν καὶ τὸ πῦρ καὶ ἡ [k] γῆ καὶ τὰ τοιαῦτα [l] πάντα τῶν σωμάτων, καὶ τὰ μέρη τοῦ ὅλου καὶ αἱ [m] ὑποθέσεις τοῦ συμπεράσματος, ὡς τὸ ἐξ οὗ αἴτιά ἐστιν· τούτων δὲ τὰ μὲν ὡς τὸ ὑποκείμενον, οἷον τὰ μέρη, τὰ δὲ ὡς τὸ τί ἦν εἶναι, τό τε ὅλον
8 καὶ ἡ σύνθεσις καὶ τὸ εἶδος. Τὸ δὲ σπέρμα καὶ ὁ ἰατρὸς καὶ ὁ βουλεύσας καὶ ὅλως τὸ ποιοῦν, πάντα ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἢ στάσεως. Τὰ δ' [n] ἄλλα ὡς τὸ τέλος καὶ τἀγαθὸν τῶν ἄλλων· τὸ γὰρ οὗ ἕνεκα βέλτιστον καὶ τέλος τῶν
9 ἄλλων [o] ἐθέλει εἶναι. Διαφερέτω δὲ μηδὲν αὐτὸ [p] εἰπεῖν ἀγαθὸν ἢ φαινόμενον ἀγαθόν. Τὰ μὲν [q] οὖν αἴτια ταῦτα καὶ τοσαῦτά ἐστι τῷ εἴδει, τρόποι δὲ τῶν αἰτίων ἀριθμῷ μέν
10 εἰσι πολλοί, κεφαλαιούμενοι δὲ καὶ οὗτοι ἐλάττους. [r] Λέγεται [s] γὰρ αἴτια πολλαχῶς καὶ αὐτῶν τῶν ὁμοειδῶν, προτέρως καὶ ὑστέρως [t] ἄλλου ἄλλο, οἷον ὑγιείας ὁ ἰατρὸς καὶ [v] ὁ τεχνίτης, καὶ τοῦ διὰ πασῶν τὸ διπλάσιον καὶ ἀριθμός, καὶ ἀεὶ
11 τὰ περιέχοντα ὁτιοῦν τῶν καθ' [w] ἕκαστα. [y] Ἔτι δ' ὡς τὸ συμβεβηκὸς καὶ τὰ τούτων γένη, οἷον ἀνδριάντος ἄλλως Πολύκλειτος καὶ ἄλλως ἀνδριαντοποιός, ὅτι συμβέβηκε τῷ ἀνδριαντοποιῷ Πολυκλείτῳ εἶναι. Καὶ τὰ περιέχοντα δὲ τὸ συμβεβηκός, οἷον ἄνθρωπος αἴτιος ἀνδριάντος, [x] ἢ καὶ ὅλως ζῷον, ὅτι ὁ Πολύκλειτος ἄνθρωπος, ὁ δὲ ἄνθρωπος ζῷον.
12 [y] Ἔστι δὲ καὶ τῶν συμβεβηκότων [y] ἄλλα ἄλλων [z] πρότερον καὶ ἐγγύτερον, οἷον εἰ ὁ λευκὸς καὶ ὁ μουσικὸς αἴτιος [a] λέγοιτο τοῦ ἀνδριάντος, ἀλλὰ μὴ μόνον Πολύκλειτος ἢ ἄνθρωπος. Παρὰ πάντα δὲ καὶ τὰ οἰκείως λεγόμενα καὶ [b] τὰ κατὰ συμβεβηκός, τὰ μὲν ὡς δυνάμενα λέγεται τὰ δ' ὡς ἐνεργοῦντα, [c] οἷον τοῦ οἰκοδομεῖσθαι οἰκοδόμος ἢ οἰκοδομῶν οἰκο-

k γῆ] γῆ καὶ τὸ ὕδωρ H^b. l πάντων H^b. m προτάσεις H^b. n ἄλλα om. $A^b.F^b$. o ἐθέλειν A^b. p εἰπεῖν ἢ ἀγαθὸν E.T. q οὖν om. A^b. r λέγονται A^b. s γὰρ τὰ αἴτια F^b. t ἄλλου ἄλλο A^b : ceteri ἄλλο ἄλλου. v ὁ post καὶ add. A^b. w ἕκαστον A^b. x ἢ] εἴη ἢ A^b. y ἄλλα $A^b.F^b$: vulgo ἄλλο. z πορρώτερα καὶ ἐγγύτερα $A^b.F^b$, πορρώτερον καὶ ἐγγύτερον E.H^b. a λέγοιτο] οἴοιτο A^b. b τὰ ante κατὰ om. T. c οἷον τὸ τοῦ A^b.

δόμος. [b]Ὁμοίως δὲ λεχθήσεται καὶ ἐφ' ὧν αἴτια τὰ αἴτια 13
τοῖς εἰρημένοις, οἷον τοῦδε τοῦ ἀνδριάντος [d]ἢ ἀνδριάντος ἢ
ὅλως εἰκόνος, [e]καὶ χαλκοῦ τοῦδε [f]ἢ χαλκοῦ ἢ ὅλως ὕλης· καὶ
ἐπὶ τῶν συμβεβηκότων ὡσαύτως. [g]Ἔτι δὲ συμπλεκόμενα καὶ
ταῦτα κἀκεῖνα λεχθήσεται, οἷον οὐ Πολύκλειτος οὐδὲ ἀνδρι-
αντοποιός, [g]ἀλλὰ Πολύκλειτος ἀνδριαντοποιός. [i]Ἀλλ' ὅμως 14
ἅπαντά γε ταῦτ' ἐστὶ τὸ μὲν πλῆθος ἕξ, λεγόμενα δὲ διχῶς·
ἢ γὰρ ὡς τὸ καθ' ἕκαστον, [h]ἢ ὡς τὸ γένος αὐτοῦ, ἢ ὡς τὸ
συμβεβηκός, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος, ἢ ὡς συμ-
πλεκόμενα ταῦτα, ἢ ἁπλῶς λεγόμενα, [i]ἔτι ὡς ἐνεργοῦντα
ἢ κατὰ δύναμιν. Διαφέρει δὲ τοσοῦτον, ὅτι τὰ μὲν ἐνερ- 15
γοῦντα καὶ τὰ καθ' ἕκαστον ἅμα ἔστι καὶ οὐκ ἔστιν [k]αὐτά
τε καὶ ὧν αἴτια, οἷον ὅδε [l]ὁ ἰατρεύων τῷδε τῷ ὑγιαζομένῳ,
καὶ ὅδε ὁ οἰκοδόμος τῷδε τῷ οἰκοδομουμένῳ, [m]τὰ δὲ κατὰ
δύναμιν οὐκ ἀεί· φθείρεται γὰρ οὐχ ἅμα ἡ οἰκία καὶ ὁ οἰκο-
δόμος.

Στοιχεῖον λέγεται ἐξ οὗ σύγκειται πρώτου ἐνυπάρχοντος, 3
ἀδιαιρέτου τῷ εἴδει [n]εἰς ἕτερον εἶδος, οἷον φωνῆς στοιχεῖα
ἐξ ὧν σύγκειται ἡ φωνὴ καὶ εἰς ἃ [o]διαιρεῖται ἔσχατα, ἐκεῖνα
δὲ μηκέτ' εἰς ἄλλας φωνὰς ἑτέρας τῷ εἴδει αὐτῶν. [p]Ἀλλὰ
κἂν διαιρῆται, τὰ μόρια ὁμοειδῆ, οἷον ὕδατος τὸ μόριον
ὕδωρ, ἀλλ' οὐ τῆς συλλαβῆς. [b]Ὁμοίως δὲ καὶ τὰ τῶν σωμά- 2
των στοιχεῖα λέγουσιν οἱ λέγοντες, εἰς ἃ διαιρεῖται τὰ σώ-
ματα ἔσχατα, ἐκεῖνα δὲ μηκέτ' εἰς ἄλλα εἴδει [q]διαφέροντα·
καὶ εἴτε ἓν εἴτε πλείω τὰ τοιαῦτα, ταῦτα στοιχεῖα λέγουσιν.
Παραπλησίως δὲ καὶ τὰ τῶν διαγραμμάτων στοιχεῖα λέγε- 3
ται, καὶ ὅλως τὰ τῶν ἀποδείξεων· αἱ γὰρ πρῶται ἀποδείξεις
καὶ ἐν πλείοσιν ἀποδείξεσιν ἐνυπάρχουσαι, αὗται στοιχεῖα
τῶν ἀποδείξεων λέγονται· εἰσὶ [r]δὲ τοιοῦτοι συλλογισμοὶ οἱ

[d] ἢ E. [e] καὶ] ἢ E.T. [f] ἢ E. [g] ἀλλὰ Πολύκλειτος ἀνδριαντοποιός om. T. [h] ἢ ὡς τὸ γένος αὐτοῦ om. E.T. [i] ἔτι] πάντα δὲ A^b. [k] αὐτά τε om. A^b.F^b. [l] ὁ om. A^b. [m] τὸ T. [n] εἰς ἕτερον εἶδος om. F^b. [o] διαιρεῖ E. [p] κἂν] ἂν καὶ A^b. [q] διαφέροντα σώματα καὶ E.T. [r] δὲ οἱ τοιοῦτοι T.

πρῶτοι [s]ἐκ τῶν [t]τριῶν δι' ἑνὸς μέσου. Καὶ μεταφέροντες δὲ στοιχεῖον καλοῦσιν ἐντεῦθεν, ὃ ἂν ἓν ὂν καὶ μικρὸν ἐπὶ πολλὰ ᾖ χρήσιμον. Διὸ καὶ τὸ μικρὸν καὶ ἁπλοῦν καὶ ἀδιαίρετον στοιχεῖον λέγεται. [v]Ὅθεν ἐλήλυθε τὰ μάλιστα καθόλου στοιχεῖα εἶναι, ὅτι ἕκαστον αὐτῶν ἓν ὂν καὶ ἁπλοῦν ἐν πολλοῖς ὑπάρχει ἢ πᾶσιν ἢ ὅτι πλείστοις. [v]Διὸ καὶ τὸ ἓν καὶ τὴν στιγμὴν ἀρχάς τισι [w]δοκεῖ εἶναι. [t]Ἐπεὶ οὖν τὰ καλούμενα γένη καθόλου καὶ ἀδιαίρετα ([x]εἷς γάρ ἐστι λόγος αὐτῶν), στοιχεῖα τὰ γένη λέγουσί [y]τινες, καὶ μᾶλλον ἢ τὴν διαφοράν, ὅτι καθόλου μᾶλλον τὸ γένος· ᾧ μὲν [z]γὰρ ἡ διαφορὰ ὑπάρχει, καὶ τὸ γένος ἀκολουθεῖ, ᾧ δὲ τὸ γένος, οὐ παντὶ ἡ διαφορά. [t]Ἁπάντων δὲ κοινὸν τὸ εἶναι στοιχεῖον ἑκάστου τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ.

4 [a]Φύσις λέγεται ἕνα μὲν τρόπον ἡ τῶν φυομένων γένεσις, οἷον εἴ τις ἐπεκτείνας λέγοι τὸ [b]υ, ἕνα δὲ ἐξ οὗ φύεται [c]πρῶτον τὸ [d]φυόμενον ἐνυπάρχοντος· ἔτι ὅθεν ἡ κίνησις ἡ πρώτη ἐν ἑκάστῳ τῶν φύσει ὄντων ἐν αὐτῷ [e]ᾗ αὐτῷ ὑπάρχει. Φύεσθαι δὲ λέγεται ὅσα αὔξησιν ἔχει δι' ἑτέρου τῷ ἅπτεσθαι καὶ [f]συμπεφυκέναι ἢ προσπεφυκέναι ὥσπερ τὰ ἔμ-
2 βρυα. Διαφέρει δὲ σύμφυσις ἁφῆς· ἔνθα μὲν γὰρ οὐθὲν [g]παρὰ τὴν ἁφὴν ἕτερον ἀνάγκη εἶναι, ἐν δὲ τοῖς συμπεφυκόσιν ἐστί τι ἓν τὸ αὐτὸ ἐν ἀμφοῖν, ὃ ποιεῖ ἀντὶ τοῦ ἅπτεσθαι συμπεφυκέναι καὶ εἶναι ἓν κατὰ τὸ συνεχὲς καὶ ποσόν,
3 ἀλλὰ μὴ κατὰ τὸ ποιόν. [t]Ἔτι [h]δὲ φύσις λέγεται ἐξ οὗ πρώτου ἢ ἔστιν ἢ γίγνεταί τι τῶν φύσει ὄντων, ἀρυθμίστου ὄντος καὶ ἀμεταβλήτου ἐκ τῆς δυνάμεως τῆς [i]αὐτοῦ, οἷον ἀνδριάντος καὶ τῶν σκευῶν τῶν χαλκῶν ὁ χαλκὸς ἡ φύσις λέγεται, τῶν δὲ ξυλίνων ξύλον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.
4 [t]Ἐκ τούτων γάρ ἐστιν ἕκαστον διασωζομένης τῆς πρώτης

[s] ἐκ om. F[b]. [t] τριῶν] τριῶν μέσων A[b]. [v] διὸ A[b], ὁμοίως F[b]: ceteri om. [w] δοκεῖν E. [x] εἷς] οὐ A[b].F[b]. [y] τινες εἶναι καὶ A[b]. [z] γὰρ om. T. [a] φύσις δὲ λέγεται E, φύσις μὲν λέγεται T. [b] υ] γ. T. [c] πρῶτον corr. E. [d] φαινόμενον T. [e] ᾗ αὐτῷ E: ceteri αὐτὸ. [f] συμπεφυκέναι ἢ om. A[b]. [g] περὶ T, [h] δὲ om. A[b]. [i] ἑαυτοῦ E.T.

ὕλης· τοῦτον γὰρ τὸν τρόπον καὶ τῶν φύσει ὄντων τὰ στοιχεῖά φασιν εἶναι φύσιν, οἱ μὲν πῦρ οἱ δὲ γῆν οἱ δ' ἀέρα οἱ δ' ὕδωρ οἱ δ' ἄλλο τι τοιοῦτον λέγοντες, οἱ δ' ἔνια τούτων, οἱ δὲ πάντα ταῦτα. Ἔτι δ' ἄλλον τρόπον λέγεται ἡ φύσις ἡ τῶν [k]φύσει ὄντων οὐσία, οἷον οἱ λέγοντες τὴν φύσιν εἶναι τὴν πρώτην σύνθεσιν, [l]ὥσπερ [4]Ἐμπεδοκλῆς λέγει ὅτι

φύσις οὐθενός ἐστιν ἑόντων,
ἀλλὰ μόνον μῖξίς τε διάλλαξις [m]τε μιγέντων
[n]ἐστί, φύσις δ' ἐπὶ [o]τοῖς ὀνομάζεται ἀνθρώποισιν.

Διὸ καὶ ὅσα [p]φύσει ἐστὶν ἢ γίγνεται, ἤδη ὑπάρχοντος ἐξ οὗ πέφυκε γίγνεσθαι ἢ εἶναι, οὔπω φαμὲν τὴν φύσιν ἔχειν, [q]ἂν μὴ ἔχῃ τὸ εἶδος καὶ τὴν μορφήν. Φύσει μὲν οὖν τὸ ἐξ ἀμφοτέρων τούτων ἐστίν, οἷον τὰ ζῷα καὶ τὰ μόρια αὐτῶν· φύσις δὲ ἥ τε πρώτη ὕλη, καὶ αὕτη διχῶς, [r]ἢ ἡ πρὸς αὐτὸ πρώτη ἢ [r]ἡ ὅλως πρώτη, οἷον τῶν χαλκῶν ἔργων πρὸς αὐτὰ μὲν πρῶτος ὁ χαλκός, ὅλως δ' ἴσως ὕδωρ, εἰ πάντα τὰ τηκτὰ ὕδωρ, καὶ τὸ εἶδος καὶ ἡ οὐσία· [s]τοῦτο δ' ἐστὶ τὸ τέλος τῆς γενέσεως. [t]Μεταφορᾷ δ' ἤδη καὶ ὅλως πᾶσα οὐσία φύσις λέγεται διὰ ταύτην, ὅτι καὶ ἡ φύσις οὐσία τίς ἐστιν. [4]Ἐκ δὴ τῶν εἰρημένων ἡ πρώτη φύσις καὶ κυρίως λεγομένη ἐστὶν ἡ οὐσία ἡ τῶν ἐχόντων ἀρχὴν κινήσεως ἐν αὐτοῖς ᾗ αὐτά· ἡ γὰρ ὕλη τῷ ταύτης δεκτικὴ εἶναι λέγεται φύσις, [v]καὶ αἱ γενέσεις καὶ [w]τὸ φύεσθαι τῷ ἀπὸ ταύτης [x]εἶναι κινήσεις. Καὶ ἡ ἀρχὴ τῆς κινήσεως [y]τῶν φύσει ὄντων [z]αὕτη ἐστὶν ἐνυπάρχουσά πως ἢ δυνάμει ἢ [a]ἐντελεχείᾳ.

[4]Ἀναγκαῖον λέγεται, οὗ ἄνευ οὐκ ἐνδέχεται ζῆν ὡς συναιτίου, οἷον τὸ ἀναπνεῖν καὶ ἡ τροφὴ τῷ ζῴῳ ἀναγκαῖον· ἀδύνατον γὰρ ἄνευ τούτων εἶναι. Καὶ ὧν ἄνευ τὸ ἀγαθὸν μὴ ἐνδέχεται ἢ εἶναι ἢ γενέσθαι, ἤ [b]τι κακὸν ἀποβαλεῖν ἢ στερηθῆναι, οἷον τὸ πιεῖν τὸ φάρμακον ἀναγκαῖον ἵνα μὴ

k ὄντων φύσει H^b. l ὥσπερ] ἢ ὥσπερ E.A^b. m τε om. A^b. n ἐστὶ καὶ φύσις A^b. o τοῖς E.A^b: ceteri τοῖσδ'. p ἐστι φύσει T. q ἐὰν A^b. r ἢ post διχῶς et ἡ ante ὅλως om. A^b. s τούτου T. t μεταφορὰ A^b. v καὶ γένεσις A^b. w τῷ T.A^b. x εἶναι κίνησις A^b. y τῶν] ἕως τῶν F^b. z ἡ αὐτή A^b. a ἐνεργεία F^b. b τι] τὸ A^b.

κάμνῃ, καὶ τὸ πλεῦσαι εἰς Αἴγιναν ἵν' [c]ἀπολάβῃ τὰ χρή-
2 ματα. Ἔτι τὸ βίαιον καὶ ἡ βία· τοῦτο δ' ἐστὶ τὸ παρὰ τὴν ὁρμὴν καὶ [d]τὴν προαίρεσιν ἐμποδίζον καὶ κωλυτικόν. Τὸ γὰρ βίαιον ἀναγκαῖον λέγεται, διὸ καὶ λυπηρόν, ὥσπερ καὶ Εὔηνός φησι

πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.

3 Καὶ ἡ βία ἀνάγκη τις, ὥσπερ καὶ Σοφοκλῆς [e]λέγει

ἀλλ' ἡ βία με ταῦτ' ἀναγκάζει ποιεῖν.

Καὶ δοκεῖ ἡ ἀνάγκη ἀμετάπειστόν τι εἶναι, ὀρθῶς· ἐναντίον γὰρ τῇ κατὰ [f]τὴν προαίρεσιν κινήσει [g]καὶ κατὰ τὸν λογισμόν. Ἔτι τὸ μὴ ἐνδεχόμενον ἄλλως ἔχειν ἀναγκαῖόν φαμεν
4 οὕτως ἔχειν. Καὶ κατὰ τοῦτο τὸ ἀναγκαῖον καὶ τἆλλα λέγεταί πως ἅπαντα [h]ἀναγκαῖα· τό τε γὰρ βίαιον ἀναγκαῖον λέγεται ἢ ποιεῖν ἢ πάσχειν τότε, ὅταν μὴ ἐνδέχηται κατὰ τὴν ὁρμὴν διὰ τὸ βιαζόμενον, [i]ὡς ταύτην ἀνάγκην οὖσαν, δι' ἣν μὴ ἐνδέχεται ἄλλως, καὶ ἐπὶ τῶν συναιτίων τοῦ ζῆν καὶ τοῦ ἀγαθοῦ ὡσαύτως· ὅταν γὰρ μὴ [k]ἐνδέχηται ἔνθα μὲν τὸ ἀγαθὸν ἔνθα δὲ τὸ ζῆν καὶ τὸ εἶναι ἄνευ τινῶν, ταῦτα ἀναγ-
5 καῖα καὶ ἡ αἰτία ἀνάγκη τίς ἐστιν [l]αὕτη. Ἔτι ἡ ἀπόδειξις τῶν ἀναγκαίων, ὅτι οὐκ ἐνδέχεται ἄλλως ἔχειν, εἰ ἀποδέδεικται ἁπλῶς· τούτου δ' αἴτια τὰ πρῶτα, εἰ ἀδύνατον ἄλλως ἔχειν ἐξ ὧν ὁ συλλογισμός. Τῶν μὲν [m]δὴ ἕτερον αἴτιον τοῦ ἀναγκαῖα εἶναι, τῶν δὲ οὐθέν, ἀλλὰ διὰ ταῦτα ἕτερά ἐστιν ἐξ
6 ἀνάγκης. Ὥστε τὸ πρῶτον καὶ κυρίως ἀναγκαῖον τὸ ἁπλοῦν ἐστίν· τοῦτο γὰρ οὐκ ἐνδέχεται πλεοναχῶς ἔχειν, ὥστ' οὐδὲ ἄλλως καὶ ἄλλως· ἤδη γὰρ πλεοναχῶς ἂν ἔχοι. Εἰ [n]ἄρα ἐστὶν [o]ἄττα ἀΐδια καὶ ἀκίνητα, [p]οὐθὲν ἐκείνοις ἐστὶ βίαιον οὐδὲ παρὰ φύσιν.

6 [q]Ἓν λέγεται τὸ μὲν κατὰ συμβεβηκός, [r]τὸ δὲ καθ' αὑτό, κατὰ συμβεβηκὸς μὲν οἷον Κορίσκος καὶ τὸ μουσικὸν καὶ

[c] ἀπολάβῃ] μὴ ἀποβάλῃ T. [d] τὴν post καὶ om. Ab. [e] λέγει om. T. [f] τὴν om. idem. [g] καὶ τῇ κατὰ Fb. [h] ἀναγκαῖα] ἀναγκαῖον T. [i] ὥστ' αὐτὴν T. [k] ἐνδέχεται Ab. [l] αὐτῆς Ab. [m] δι' ἕτερον αἴτιον τὸ ἀναγκαῖον Ab. [n] ἄρα] γὰρ Ab. [o] ἄττα καὶ ἀΐδια καὶ Ab. [p] οὐδ' ἐν E. [q] ἓν] τὸ ἓν Fb. [r] τὸ δὲ—μὲν om. Ab.

[s] Κορίσκος μουσικός· [t] ταὐτὸ γὰρ εἰπεῖν Κορίσκος καὶ τὸ μουσικόν, καὶ Κορίσκος μουσικός. Καὶ τὸ μουσικὸν καὶ τὸ 7
δίκαιον, καὶ μουσικὸς [v] δίκαιος Κορίσκος· πάντα γὰρ ταῦτα ἓν λέγεται κατὰ συμβεβηκός, τὸ μὲν δίκαιον καὶ τὸ μουσικόν, ὅτι μιᾷ οὐσίᾳ συμβέβηκεν, [w] τὸ δὲ μουσικὸν καὶ Κορίσκος, ὅτι θάτερον θατέρῳ συμβέβηκεν. [t] Ὁμοίως δὲ τρό- 8
πον τινὰ καὶ ὁ μουσικὸς Κορίσκος τῷ Κορίσκῳ ἕν, ὅτι θάτερον τῶν μορίων θατέρῳ συμβέβηκε τῶν ἐν τῷ λόγῳ, οἷον τὸ μουσικὸν τῷ Κορίσκῳ, καὶ ὁ μουσικὸς Κορίσκος δικαίῳ Κορίσκῳ, ὅτι ἑκατέρου [x] μέρος [y] τῷ αὐτῷ ἐνὶ συμβέβηκεν [z] ἕν. [t] Ὡσαύτως δὲ κἂν ἐπὶ γένους κἂν ἐπὶ [a] τῶν καθόλου 9
τινὸς ὀνομάτων λέγηται τὸ συμβεβηκός, οἷον [b] ὅτι ἄνθρωπος τὸ αὐτὸ καὶ μουσικὸς ἄνθρωπος· ἢ γὰρ ὅτι [c] τῷ ἀνθρώπῳ μιᾷ οὔσῃ οὐσίᾳ συμβέβηκε τὸ μουσικόν, ἢ ὅτι ἄμφω τῶν καθ' ἕκαστόν τινι συμβέβηκεν, οἷον Κορίσκῳ. Πλὴν οὐ τὸν 10
αὐτὸν τρόπον ἄμφω ὑπάρχει, ἀλλὰ τὸ μὲν ἴσως ὡς γένος καὶ ἐν τῇ οὐσίᾳ, τὸ δὲ [d] ὡς ἕξις ἢ πάθος τῆς οὐσίας. [v] Ὅσα μὲν οὖν κατὰ συμβεβηκὸς λέγεται ἕν, τοῦτον τὸν τρόπον λέγεται. Τῶν δὲ καθ' ἑαυτὰ ἓν λεγομένων τὰ μὲν λέγεται τῷ συνεχῆ 11
εἶναι, οἷον [e] φάκελλος δεσμῷ καὶ ξύλα κόλλῃ, καὶ γραμμὴ κἂν [f] κεκαμμένη ᾖ, συνεχὴς δέ, μία λέγεται, ὥσπερ καὶ τῶν μερῶν ἕκαστον, [g] οἷον σκέλος καὶ βραχίων. Αὐτῶν δὲ τούτων μᾶλλον ἓν τὰ φύσει συνεχῆ ἢ τέχνῃ. Συνεχὲς δὲ λέγεται, οὗ 12
κίνησις μία καθ' αὐτὸ καὶ μὴ οἷόν τε ἄλλως· μία δ' οὗ ἀδιαίρετος, ἀδιαίρετος δὲ [h] κατὰ χρόνον. Καθ' αὑτὰ δὲ συνεχῆ ὅσα μὴ ἁφῇ ἕν· εἰ γὰρ θείης ἁπτόμενα ἀλλήλων ξύλα, οὐ φήσεις ταῦτα εἶναι ἕν, οὔτε ξύλον οὔτε σῶμα οὔτ' ἄλλο συνεχὲς οὐθέν. Τά τε δὴ ὅλως συνεχῆ ἓν λέγεται, κἂν ἔχῃ κάμψιν, καὶ 13
ἔτι μᾶλλον τὰ μὴ ἔχοντα κάμψιν, οἷον κνήμη ἢ μηρὸς σκέ-

[s] Κορίσκος] ὁ κορίσκος T, κορίσκος καὶ A^b. [t] ταὐτὸ—μουσικός· καὶ om. A^b. [v] δίκαιος om. A^b. [w] τὸ—συμβέβηκεν om. E. [x] μέρους T.A^b. [y] τῷ om. T. [z] ἕν om. A^b. addunt E.T. οὐδὲν γὰρ διαφέρει ἢ Κορίσκω τὸ μουσικὸν συμβεβηκέναι. [a] τοῦ T. [b] ὅτι ὁ ἄνθρωπος A^b. [c] τῶν ἀνθρώπων T. [d] ὡς om. T. [e] φάκελος E.T, σφάκελλος F^b. [f] κεκλασμένη H^b. [g] οἷον add. A^b. [h] κατὰ τὸν χρ. F^b.H^b.

λους, ὅτι ἐνδέχεται μὴ μίαν εἶναι τὴν κίνησιν τοῦ σκέλους.
14 Καὶ ἡ εὐθεῖα τῆς κεκαμμένης μᾶλλον ἕν. Τὴν δὲ κεκαμμένην καὶ ἔχουσαν γωνίαν καὶ μίαν καὶ οὐ μίαν λέγομεν, ὅτι ἐνδέχεται καὶ μὴ ἅμα τὴν κίνησιν αὐτῆς εἶναι καὶ ἅμα· τῆς δ' εὐθείας [i]ἀεὶ ἅμα, καὶ οὐθὲν μόριον ἔχον μέγεθος τὸ μὲν ἠρεμεῖ τὸ δὲ κινεῖται, ὥσπερ τῆς κεκαμμένης. [j]Ἔτι ἄλλον τρόπον [k]ἓν λέγεται τῷ τὸ ὑποκείμενον τῷ εἴδει εἶναι ἀδιάφορον.
15 [l]Ἀδιάφορα δ' ὧν ἀδιαίρετον τὸ εἶδος κατὰ τὴν αἴσθησιν· τὸ δ' ὑποκείμενον ἢ τὸ πρῶτον ἢ τὸ τελευταῖον πρὸς τὸ τέλος. Καὶ γὰρ οἶνος εἷς λέγεται καὶ ὕδωρ ἕν, ᾗ ἀδιαίρετον κατὰ τὸ εἶδος· καὶ οἱ χυμοὶ πάντες λέγονται ἕν, οἷον ἔλαιον οἶνος καὶ τὰ τηκτά, ὅτι πάντων τὸ ἔσχατον ὑποκείμενον τὸ αὐτό·
16 ὕδωρ γὰρ [m]ἢ ἀὴρ πάντα ταῦτ' ἐστίν. Λέγεται δ' ἓν καὶ ὧν τὸ γένος ἓν διαφέρον ταῖς ἀντικειμέναις διαφοραῖς. Καὶ ταῦτα λέγεται [n]ἓν πάντα, ὅτι τὸ γένος ἓν τὸ ὑποκείμενον ταῖς διαφοραῖς, οἷον ἵππος ἄνθρωπος κύων ἕν [o]τι, ὅτι πάντα
17 ζῷα, καὶ τρόπον δὴ παραπλήσιον, ὥσπερ ἡ ὕλη μία. Ταῦτα δὲ ὁτὲ μὲν οὕτως ἓν λέγεται, ὁτὲ δὲ τὸ ἄνω γένος, ᾧ [p]ταὐτὸν λέγεται, ἂν ᾖ τελευταῖα τοῦ γένους εἴδη τὰ ἀνωτέρω τούτων, οἷον [q]τὸ ἰσοσκελὲς καὶ τὸ ἰσόπλευρον ταὐτὸ καὶ ἓν
18 σχῆμα, ὅτι ἄμφω [r]τρίγωνα· τρίγωνα δ' οὐ ταὐτά. [s]Ἔτι δὲ ἓν λέγεται ὅσων ὁ λόγος [t]ὁ τὸ τί ἦν εἶναι λέγων ἀδιαίρετος πρὸς ἄλλον τὸν δηλοῦντα τί [u]ἦν εἶναι τὸ πρᾶγμα· αὐτὸς γὰρ καθ' αὑτὸν [v]πᾶς λόγος [w]διαιρετός. Οὕτω γὰρ καὶ τὸ ἠξημένον καὶ φθῖνον ἕν ἐστιν, ὅτι ὁ λόγος εἷς, ὥσπερ ἐπὶ τῶν
19 ἐπιπέδων ὁ τοῦ εἴδους [x]εἷς. [y]Ὅλως δὲ ὧν ἡ νόησις ἀδιαίρετος ἡ νοοῦσα τὸ τί ἦν εἶναι, καὶ μὴ δύναται χωρίσαι μήτε χρόνῳ μήτε τόπῳ μήτε λόγῳ, μάλιστα ταῦτα ἕν. Καὶ τούτων ὅσα οὐσίαι· καθόλου [z]γὰρ ὅσα μὴ ἔχει διαίρεσιν, [a]ᾗ μὴ ἔχει, ταύτῃ

[i] ἀεὶ] δεῖ Ab. [k] ἓν om. E.T. [l] ἀδιάφορον E. ἀδιάφορα δὲ om. Ab. [m] ἢ] καὶ T. [n] πάντα ἕν E.T. [o] τι om. Ab. [p] ταὐτὸ E, τὸ αὐτὸ Ab. [q] τὸ μὲν ἰσοσκελὲς T. [r] τρίγωνον E.T. [s] ὁ ante τὸ om. Ab. [t] ἦν om. T. [u] ἦν εἶναι τὸ λ. T. [v] πᾶς ὁ λ. T. [w] ἀδιαίρετος Ab. [x] εἷς om. Ab. [y] γὰρ] δὲ E. [z] ᾗ μὴ ἔχει om. Ab.

ἓν λέγεται, οἷον εἰ ἡ ἄνθρωπος μὴ ἔχει διαίρεσιν, εἷς ἄνθρωπος, εἰ δ' ἡ ζῷον, ἓν ζῷον, εἰ δὲ ἡ μέγεθος, ἓν μέγεθος. Τὰ μὲν 20
οὖν πλεῖστα ἓν λέγεται τῷ ἕτερόν τι ἢ ποιεῖν [a] ἢ πάσχειν ἢ ἔχειν ἢ πρός τι εἶναι ἕν, τὰ δὲ πρώτως λεγόμενα ἕν, ὧν ἡ οὐσία μία. Μία δὲ ἡ συνεχείᾳ ἢ εἴδει ἢ λόγῳ· [b] καὶ γὰρ ἀριθμοῦμεν ὡς πλείω [c] ἢ τὰ μὴ συνεχῆ, [d] ἢ ὧν μὴ ἓν τὸ εἶδος, ἢ ὧν ὁ λόγος μὴ εἷς. [e] Ἐπεὶ δ' ἔστι μὲν ὡς ὁτιοῦν [f] ἕν φαμεν 21
εἶναι, ἂν ᾖ ποσὸν καὶ συνεχές, ἔστι δ' ὡς οὔ, ἂν μή τι ὅλον ᾖ, τοῦτο δὲ ἂν μὴ [g] τὸ εἶδος ἔχῃ ἕν· [h] οἷον οὐκ ἂν φαῖμεν ὁμοίως ἓν [i] ἰδόντες ὁπωσοῦν τὰ μέρη συγκείμενα τοῦ ὑποδήματος, [k] ἂν μὴ διὰ τὴν συνέχειαν, ἀλλ' ἐὰν οὕτως ὥστε ὑπόδημα εἶναι καὶ εἶδός τι [l] ἤδη ἔχειν ἕν. Διὸ καὶ ἡ τοῦ κύκλου 22
μάλιστα μία τῶν γραμμῶν, ὅτι ὅλη [m] καὶ τέλειός ἐστιν. Τὸ δὲ [n] ἑνὶ εἶναι [o] ἀρχὴ τινί ἐστιν [p] ἀριθμοῦ εἶναι· τὸ γὰρ πρῶτον [q] μέτρον ἀρχή· ᾧ γὰρ πρώτῳ [r] γνωρίζομεν, τοῦτο πρῶτον μέτρον ἑκάστου γένους· ἀρχὴ οὖν τοῦ γνωστοῦ περὶ ἕκαστον τὸ ἕν. Οὐ ταὐτὸ δὲ ἐν πᾶσι τοῖς γένεσι τὸ ἕν.
[s] Ἔνθα μὲν γὰρ δίεσις, ἔνθα δὲ τὸ φωνῆεν ἢ ἄφωνον· βάρους 23
δ' ἕτερον καὶ κινήσεως ἄλλο. Πανταχοῦ δὲ τὸ ἓν ἢ τῷ ποσῷ ἢ τῷ εἴδει ἀδιαίρετον. Τὸ μὲν οὖν κατὰ τὸ ποσὸν [s] καὶ ᾗ 24
ποσὸν ἀδιαίρετον, τὸ μὲν πάντῃ καὶ ἄθετον λέγεται μονάς, τὸ δὲ πάντῃ καὶ θέσιν ἔχον στιγμή, τὸ δὲ μοναχῇ γραμμή, τὸ δὲ διχῇ ἐπίπεδον, τὸ δὲ πάντῃ καὶ τριχῇ διαιρετὸν κατὰ τὸ ποσὸν σῶμα. Καὶ ἀντιστρέψαντι δὴ τὸ μὲν διχῇ διαι- 25
ρετὸν ἐπίπεδον, τὸ δὲ μοναχῇ γραμμή· τὸ δὲ μηδαμῇ διαιρετὸν κατὰ τὸ ποσὸν στιγμὴ καὶ μονάς, ἡ μὲν ἄθετος μονάς, ἡ δὲ [t] θετὸς στιγμή. [u] Ἔτι [v] δὲ τὰ μὲν κατ' ἀριθμόν [v] ἐστιν 26
ἕν, τὰ δὲ κατ' εἶδος, τὰ δὲ κατὰ γένος, τὰ δὲ κατ' ἀναλο-

[a] ἢ πάσχειν post ἢ ἔχειν E.A[b]. [b] γρ. καὶ ἀριθμῶ μόνως. καὶ ἐπεὶ δ' ἐστὶν ἢ τὰ μὲν κ.τ.λ. margo E. [c] ἢ om. A[b]. [d] ἢ ὧν μὴ—εἷς om. A[b]. [e] ἐπεὶ] ἔτι T. [f] ἕν om. F[b]. ἓν συνεχεία T. [g] τὸ] τι A[b]. [h] οἷον add. E.A[b]. [i] ὁπωσοῦν ἰδόντες A[b]. [k] ἂν μὴ] ἓν T. [l] ἔχειν ἤδη E.T. [m] καὶ om. T. [n] ἓν A[b].H[b]. [o] ἀρχῆ A[b]. [p] ἀριθμῶ E.T, ἀριθμοῦ καὶ τοῦ H[b]. [q] μέτρον ἑκάστου γένους ἀρχή A[b]. [r] γνωρίζομέν τι τοῦτο F[b]. [s] καὶ ᾗ ποσὸν om. A[b]. [t] θετὴ T. [v] δὲ et ἐστιν om. A[b].

γίαν, ἀριθμῷ [w]μὲν ὧν ἡ ὕλη μία, εἴδει δ' ὧν ὁ λόγος [x]εἷς, γένει δ' ὧν τὸ αὐτὸ σχῆμα τῆς κατηγορίας, κατ' ἀναλογίαν δὲ
27 ὅσα ἔχει ὡς ἄλλο πρὸς ἄλλο. [1]Αεὶ [y]δὲ τὰ ὕστερα τοῖς ἔμπροσθεν ἀκολουθεῖ, οἷον ὅσα ἀριθμῷ καὶ εἴδει ἕν, ὅσα δ' εἴδει οὐ πάντα ἀριθμῷ· ἀλλὰ γένει πάντα ἓν ὅσαπερ καὶ εἴδει· ὅσα δὲ γένει οὐ πάντα εἴδει ἀλλ' ἀναλογίᾳ· ὅσα δὲ [z]ἓν ἀνα-
28 λογίᾳ, οὐ πάντα γένει. Φανερὸν δὲ καὶ ὅτι τὰ πολλὰ ἀντικειμένως λεχθήσεται τῷ ἑνί· τὰ μὲν γὰρ τῷ μὴ συνεχῆ εἶναι, τὰ δὲ τῷ διαιρετὴν ἔχειν τὴν ὕλην κατὰ τὸ εἶδος, ἢ τὴν πρώτην ἢ τὴν τελευταίαν, τὰ δὲ [a]τῷ τοὺς λόγους πλείους τοὺς τί ἦν εἶναι, λέγονται.

7 Τὸ ὂν λέγεται τὸ μὲν κατὰ συμβεβηκός, τὸ δὲ καθ' αὑτό, κατὰ συμβεβηκὸς μέν, οἷον [b]τὸν δίκαιον μουσικὸν εἶναί φαμεν καὶ τὸν ἄνθρωπον μουσικὸν καὶ [c]τὸν μουσικὸν ἄνθρωπον, παραπλησίως [d]λέγοντες [e]ὥσπερ τὸν μουσικὸν οἰκοδομεῖν, ὅτι συμβέβηκε τῷ οἰκοδόμῳ μουσικῷ εἶναι ἢ τῷ μουσικῷ οἰκοδόμῳ· τὸ γὰρ τόδε εἶναι [f]τόδε σημαίνει τὸ συμβεβηκέναι
2 [g]τῷδε τόδε. Οὕτω δὲ καὶ ἐπὶ τῶν εἰρημένων· τὸν [h]γὰρ ἄνθρωπον ὅταν μουσικὸν λέγωμεν καὶ τὸν μουσικὸν ἄνθρωπον, [i]ἢ τὸν λευκὸν μουσικὸν ἢ τοῦτον λευκόν, τὸ μὲν ὅτι ἄμφω τῷ [k]αὐτῷ συμβεβήκασι, τὸ δ' ὅτι [l]συμβέβηκε τῷ ὄντι· [m]τὸ δὲ μουσικὸν ἄνθρωπον, ὅτι τούτῳ τὸ μουσικὸν
3 συμβέβηκεν. Οὕτω δὲ λέγεται καὶ τὸ [n]μὴ λευκὸν εἶναι, ὅτι ᾧ συμβέβηκεν, ἐκεῖνό ἐστιν. Τὰ μὲν οὖν κατὰ συμβεβηκὸς εἶναι λεγόμενα οὕτω λέγεται ἢ διότι τῷ αὐτῷ [o]ὄντι ἄμφω ὑπάρχει, ἢ [p]ὅτι ὄντι [q]ἐκείνῳ ὑπάρχει, ἢ ὅτι αὐτό ἐστιν [r]ᾧ
4 ὑπάρχει οὗ αὐτὸ κατηγορεῖται. Καθ' αὑτὰ δὲ εἶναι λέγεται ὅσαπερ σημαίνει τὰ σχήματα τῆς κατηγορίας· ὁσαχῶς γὰρ λέγεται, τοσαυταχῶς τὸ εἶναι σημαίνει. [1]Επεὶ οὖν τῶν κα-

w μὲν οὖν ὧν Ab. x εἷς om. Ab. y δὴ E.T. z ἓν om. Ab. a τῷ] τὸ T. b τὸ Hb. c τὸν μ.] τὸ μ. T. d λέγεται E. e ὥσπερ εἰ τὸν Ab. f alterum τόδε om. pr. E. g τόδε τῶδε Ab. h γὰρ add. Ab. i ἢ λευκὸν τὸν E.T. k αὐτῷ ὄντι σ. Ab. l τῷ ὄντι συμβέβηκε E.T. m τὸ δὲ—συμβέβηκεν om. Ab. n μὴ add. Ab.Fb. o ἄμφω ὄντι Ab. p ὅτι om. T. q ἐκεῖνο Ab. r ὃ T.

τηγορουμένων τὰ μὲν τί ἐστι σημαίνει, τὰ δὲ ποιόν, τὰ δὲ ποσόν, τὰ δὲ πρός τι, τὰ δὲ ποιεῖν ἢ πάσχειν, τὰ δὲ ποῦ, τὰ δὲ πότε, ἑκάστῳ τούτων τὸ εἶναι ταὐτὸ σημαίνει. Οὐθὲν γὰρ διαφέρει τὸ ἄνθρωπος ὑγιαίνων ἐστὶν ἢ [s]τὸ ἄνθρωπος ὑγιαίνει, [t]οὐδὲ τὸ ἄνθρωπος βαδίζων ἐστὶν ἢ τέμνων τοῦ [v]ἄνθρωπος βαδίζει ἢ τέμνει. [r]Ομοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. [w]Ετι τὸ εἶναι σημαίνει καὶ τὸ ἔστιν ὅτι ἀληθές, τὸ δὲ μὴ εἶναι ὅτι οὐκ ἀληθὲς ἀλλὰ ψεῦδος. [r]Ομοίως ἐπὶ καταφάσεως καὶ ἀποφάσεως, [x]οἷον ὅτι ἔστι Σωκράτης μουσικός, ὅτι ἀληθὲς τοῦτο, ἢ ὅτι [y]ἔστι Σωκράτης οὐ λευκός, ὅτι ἀληθές· τὸ δ' οὐκ ἔστιν ἡ διάμετρος ἀσύμμετρος, ὅτι ψεῦδος. [w]Ετι τὸ εἶναι σημαίνει καὶ τὸ [z]ὄν, τὸ μὲν [a]δυνάμει ῥητόν, τὸ δ' ἐντελεχείᾳ τῶν εἰρημένων τούτων. [a r]Ορῶν τε γὰρ εἶναί φαμεν καὶ τὸ [b]δυνάμει [c]ῥητῶς ὁρῶν καὶ τὸ ἐντελεχείᾳ· καὶ τὸ ἐπίστασθαι ὡσαύτως καὶ τὸ δυνάμενον χρῆσθαι τῇ ἐπιστήμῃ καὶ τὸ χρώμενον· καὶ [d]τὸ ἠρεμοῦν καὶ ᾧ [e]ἤδη ὑπάρχει ἠρεμία καὶ τὸ δυνάμενον ἠρεμεῖν. [r]Ομοίως δὲ καὶ ἐπὶ τῶν οὐσιῶν· καὶ γὰρ [f r]Ερμῆν ἐν τῷ λίθῳ φαμὲν εἶναι, καὶ τὸ ἥμισυ τῆς γραμμῆς, καὶ σῖτον τὸν μήπω ἀδρόν. Πότε δὲ δυνατὸν καὶ πότε οὔπω, ἐν ἄλλοις διοριστέον.

Οὐσία λέγεται τά τε ἁπλᾶ σώματα, οἷον γῆ καὶ πῦρ καὶ 8
ὕδωρ καὶ ὅσα τοιαῦτα, καὶ ὅλως σώματα καὶ τὰ ἐκ τούτων συνεστῶτα ζῷά τε καὶ δαιμόνια καὶ τὰ μόρια τούτων. [w]Απαντα δὲ ταῦτα λέγεται οὐσία ὅτι οὐ καθ' ὑποκειμένου λέγεται, ἀλλὰ κατὰ τούτων τὰ ἄλλα. [w]Αλλον δὲ τρόπον ὃ 2
ἂν ᾖ αἴτιον τοῦ εἶναι, ἐνυπάρχον ἐν τοῖς τοιούτοις ὅσα μὴ λέγεται καθ' ὑποκειμένου, οἷον ἡ ψυχὴ [g]τῷ ζῴῳ. [w]Ετι ὅσα 3
μόρια [h]ἐνυπάρχοντά ἐστιν ἐν τοῖς τοιούτοις [i]ὁρίζοντά τε καὶ

[s] τὸ alterum om. A^b. [t] οὐδὲ A^b: ceteri ἢ. [v] ἄνθρωπον βαδίζειν ἢ τέμνειν E.T. [w] οἷον et ἔστι om. T. [x] ἔστι add. E.A^b. [y] ὄν] ὂν καὶ A^b. [z] ῥητὸν δυνάμει A^b. γρ. τὸ μὲν ῥητὸν τὸ δ' ἐντελεχείᾳ. καὶ οὕτως, τὸ μὲν δυνάμει τὸ δ' ἐντελεχείᾳ margo E. [a] ὁρῶντες γάρ φαμεν εἶναι A^b. [b] δυνάμει om. T. [c] ῥητῶς om. A^b. [d] τὸ ante ἠρεμοῦν om. idem. [e] ἤδη] δὴ A^b. [f] Ἑρμῆν om. T. [g] τῶν ζώων A^b. [h] ἐνυπάρχοντά ἐστιν ἐν τοῖς τοιούτοις om. A^b. [i] ὁρίζοντά τε om. T, τε om. A^b.

τόδε τι σημαίνοντα, ὧν ἀναιρουμένων ἀναιρεῖται τὸ ὅλον, οἷον ἐπιπέδου σῶμα, ὥς φασί τινες, καὶ ἐπίπεδον γραμμῆς· καὶ ὅλως ὁ ἀριθμὸς δοκεῖ [k] εἶναί τισι τοιοῦτος· ἀναιρουμένου τε
4 γὰρ οὐθὲν εἶναι, καὶ ὁρίζειν πάντα. [l]Ἔτι τὸ τί ἦν εἶναι οὗ ὁ [l]λόγος ὁρισμός, καὶ [m]τοῦτο οὐσία λέγεται ἑκάστου. [n]Συμβαίνει δὴ [o]κατὰ δύο τρόπους τὴν οὐσίαν λέγεσθαι, τό θ' ὑποκείμενον ἔσχατον, ὃ μηκέτι κατ' ἄλλου λέγεται, καὶ ὃ ἂν τόδε τι ὂν καὶ [p]χωριστὸν [q]ᾖ· τοιοῦτον δὲ ἑκάστου ἡ μορφὴ καὶ τὸ εἶδος.

9 Ταὐτὰ λέγεται τὰ μὲν κατὰ συμβεβηκός, οἷον τὸ λευκὸν καὶ τὸ μουσικὸν τὸ αὐτό, ὅτι τῷ αὐτῷ συμβέβηκε, καὶ ἄνθρωπος καὶ μουσικόν, ὅτι θάτερον θατέρῳ συμβέβηκεν· [r]τὸ δὲ μουσικὸν ἄνθρωπος, ὅτι τῷ ἀνθρώπῳ συμβέβηκεν. [t]Ἑκατέρῳ δὲ [s]τοῦτο καὶ [t]τούτῳ ἑκάτερον [v]ἐκείνων· καὶ γὰρ τῷ [w]ἀνθρώπῳ [x]τῷ μουσικῷ [y]καὶ [z]ὁ ἄνθρωπος καὶ τὸ μουσικὸν ταὐ-
2 τὸν λέγεται, καὶ τούτοις ἐκεῖνο. Διὸ [a]καὶ πάντα ταῦτα καθόλου [b]οὐ λέγεται· οὐ γὰρ ἀληθὲς εἰπεῖν ὅτι πᾶς ἄνθρωπος ταὐτὸ καὶ [c]τὸ μουσικόν· τὰ γὰρ καθόλου καθ' αὑτὰ ὑπάρχει, τὰ δὲ συμβεβηκότα οὐ καθ' αὑτὰ ἀλλ' ἐπὶ τῶν καθ' ἕκαστα ἁπλῶς λέγεται. Ταὐτὸ γὰρ δοκεῖ [d]Σωκράτης καὶ Σωκράτης εἶναι μουσικός· τὸ [e]δὲ Σωκράτης οὐκ ἐπὶ πολλῶν,
3 διὸ οὐ πᾶς Σωκράτης λέγεται ὥσπερ πᾶς ἄνθρωπος. [f]Καὶ τὰ μὲν οὕτως λέγεται ταὐτά, [g]τὰ δὲ καθ' [h]αὑτά, ὥσπερ καὶ [i]τὸ ἕν· καὶ γὰρ ὧν ἡ ὕλη μία ἢ εἴδει ἢ ἀριθμῷ ταὐτὰ λέγεται, καὶ ὧν ἡ οὐσία μία. [v]Ὥστε φανερὸν ὅτι ἡ ταυτότης ἑνότης τίς ἐστιν [k]ἢ πλειόνων τοῦ εἶναι, ἢ ὅταν χρῆται [l]ὡς πλείοσιν, οἷον ὅταν λέγῃ αὐτὸ [m]αὑτῷ ταὐτόν· ὡς δυσὶ γὰρ

k τισι τοιοῦτος εἶναι Ab. l λόγος ἐστὶν ὁρισμός E, λόγος ἐστὶν ἀριθμός T. m τοῦτο] τοῦτο ᾧ T. n σημαίνει δὲ T. o κατὰ om. Ab. p ἀχώριστον T. q ᾖ· τοιοῦτον] τοιοῦτον ἦ. τοῦτο Ab. r τὸ—συμβέβηκεν om. T. s τούτῳ Hb. t τούτων Ab.Hb. v ἐκείνῳ Ab. w ἀνθρώπῳ καὶ τῷ Ab. x τὸ μουσικὸν T. y καὶ om. Ab. z ὁ] τὸ Ab.Hb. a καὶ post διὸ om. T. b οὐ ante λέγεται om. T. c τὸ add. Ab. d σωκράτης εἶναι καὶ σωκράτης μ. T. e δὲ] γὰρ E.T. f καὶ om. Ab. g τὰ om. idem. h αὑτὰ ὅσα ὥσπερ E. i τὸ om. Ab.Hb. k ἢ ante πλειόνων om. Ab. l ὡς πλείοσιν om. idem. m αὑτῷ] αὐτὸ E.Hb.

χρῆται αὐτῷ. [v]Ετερα δὲ λέγεται ὧν ἢ τὰ εἴδη πλείω ἢ ἡ 4
ὕλη ἢ ὁ λόγος τῆς οὐσίας· καὶ ὅλως ἀντικειμένως τῷ ταὐτῷ
λέγεται τὸ ἕτερον. Διάφορα [n]δὲ λέγεται ὅσ' ἕτερά ἐστι
τὸ αὐτό τι ὄντα, [o]μὴ μόνον ἀριθμῷ, ἀλλ' ἢ εἴδει ἢ γένει ἢ
ἀναλογίᾳ. [v]Ετι ὧν ἕτερον τὸ γένος καὶ τὰ ἐναντία καὶ ὅσα
ἔχει ἐν τῇ οὐσίᾳ τὴν ἑτερότητα. [v]Ομοια λέγεται τά τε 5
[p]πάντῃ ταὐτὸ πεπονθότα, καὶ τὰ πλείω ταὐτὸ πεπονθότα
ἢ ἕτερα, καὶ ὧν ἡ ποιότης μία· καὶ καθ' ὅσα ἀλλοιοῦσθαι
ἐνδέχεται τῶν ἐναντίων, τούτων τὸ πλείω ἔχον ἢ κυριώτερα
ὅμοιον τούτῳ. [t]Αντικειμένως δὲ τοῖς ὁμοίοις τὰ ἀνόμοια.

[t]Αντικείμενα λέγεται ἀντίφασις καὶ τἀναντία καὶ τὰ πρός 10
τι καὶ στέρησις καὶ ἕξις καὶ ἐξ ὧν καὶ εἰς ἃ ἔσχατα, [q]οἷον αἱ
γενέσεις καὶ φθοραί· καὶ ὅσα μὴ ἐνδέχεται ἅμα παρεῖναι τῷ
ἀμφοῖν δεκτικῷ, ταῦτα ἀντικεῖσθαι λέγεται, ἢ αὐτὰ [r]ἢ ἐξ
ὧν ἐστίν. Φαιὸν γὰρ καὶ λευκὸν ἅμα τῷ αὐτῷ οὐχ ὑπάρ-
χει· διὸ ἐξ ὧν ἐστὶν [s]ἀντίκειται. [t]Εναντία λέγεται τά τε 2
μὴ δυνατὰ ἅμα τῷ αὐτῷ παρεῖναι τῶν διαφερόντων κατὰ
γένος, καὶ τὰ πλεῖστον διαφέροντα [t]τῶν ἐν τῷ αὐτῷ γένει,
καὶ τὰ πλεῖστον διαφέροντα τῶν ἐν ταὐτῷ δεκτικῷ, καὶ τὰ
πλεῖστον διαφέροντα τῶν ὑπὸ τὴν αὐτὴν δύναμιν, καὶ ὧν ἡ
διαφορὰ μεγίστη ἢ ἁπλῶς ἢ κατὰ γένος ἢ κατ' εἶδος. Τὰ 3
δ' ἄλλα ἐναντία λέγεται τὰ μὲν τῷ [v]τὰ τοιαῦτα ἔχειν, τὰ
δὲ τῷ δεκτικὰ εἶναι τῶν τοιούτων, τὰ δὲ τῷ ποιητικὰ ἢ παθη-
τικὰ εἶναι τῶν τοιούτων, ἢ ποιοῦντα ἢ πάσχοντα, ἢ ἀποβο-
λαὶ ἢ λήψεις, ἢ ἕξεις ἢ στερήσεις εἶναι [w]τῶν τοιούτων. [t]Επεὶ 4
δὲ τὸ ἓν καὶ τὸ ὂν [x]πολλαχῶς λέγεται, ἀκολουθεῖν ἀνάγκη
καὶ τἆλλα ὅσα κατὰ ταῦτα λέγεται, ὥστε καὶ τὸ ταὐτὸν καὶ
τὸ ἕτερον καὶ τὸ ἐναντίον, ὥστ' εἶναι ἕτερον καθ' ἑκάστην
κατηγορίαν. [v]Ετερα δὲ τῷ εἴδει λέγεται ὅσα τε ταὐτοῦ
γένους ὄντα μὴ ὑπάλληλά ἐστι, καὶ ὅσα ἐν τῷ αὐτῷ γένει

[n] δὲ om. A^b. [o] μὴ] καὶ μὴ $E.F^b$. [p] πάντῃ add. $A^b.F^b$. [q] οἷον om. A^b. [r] ἢ ante ἐξ om. T. [s] ἀντίκειται τούτοις. ἐναντία E.T. [t] τῷ E, om. T. [v] τὰ τοιαῦτα] ταῦτα A^b. [w] τῶν τοιούτων] τούτων A^b. [x] λέγεται πολλαχῶς T.

ὄντα διαφορὰν ἔχει, καὶ ὅσα ἐν τῇ οὐσίᾳ ἐναντίωσιν ἔχει.
5 Καὶ τὰ ἐναντία ἕτερα τῷ εἴδει ἀλλήλων, ἢ πάντα ἢ τὰ λεγόμενα πρώτως, καὶ [y]ὅσων ἐν τῷ τελευταίῳ τοῦ γένους εἴδει οἱ λόγοι ἕτεροι, οἷον ἄνθρωπος καὶ ἵππος ἄτομα τῷ γένει, οἱ δὲ λόγοι ἕτεροι αὐτῶν. Καὶ ὅσα ἐν τῇ αὐτῇ οὐσίᾳ [z]ὄντα ἔχει διαφοράν. Ταὐτὰ δὲ τῷ εἴδει τὰ ἀντικειμένως λεγόμενα τούτοις.

11 [a]Πρότερα καὶ ὕστερα λέγεται ἕνια μὲν ὡς ὄντος τινὸς πρώτου καὶ ἀρχῆς ἐν ἑκάστῳ [b]γένει, [c]τὸ ἐγγύτερον ἀρχῆς τινὸς ὡρισμένης, ἢ ἁπλῶς καὶ τῇ φύσει, ἢ πρός τι ἢ ποῦ ἢ ὑπό τινων, οἷον τὰ μὲν κατὰ τόπον τῷ εἶναι ἐγγύτερον ἢ φύσει [d]τινὸς τόπου ὡρισμένου, οἷον τοῦ μέσου ἢ τοῦ ἐσχά-
2 του, ἢ πρὸς τὸ τυχόν, τὸ δὲ πορρώτερον ὕστερον. Τὰ δὲ κατὰ χρόνον· τὰ μὲν γὰρ [e]τῷ πορρωτέρω τοῦ νῦν, οἷον ἐπὶ τῶν γενομένων ([f]πρότερα γὰρ τὰ Τρωϊκὰ τῶν Μηδικῶν, ὅτι πορρώτερον ἀπέχει τοῦ νῦν), τὰ δὲ [g]τῷ ἐγγυτέρω τοῦ νῦν, οἷον ἐπὶ τῶν μελλόντων· πρότερον γὰρ Νέμεα Πυθίων, ὅτι
3 ἐγγύτερον τοῦ νῦν ὡς ἀρχῇ καὶ πρώτῳ [h]χρησαμένων. Τὰ δὲ κατὰ κίνησιν· [i]τὸ γὰρ ἐγγύτερον τοῦ πρώτου κινήσαντος πρότερον, οἷον παῖς ἀνδρός· ἀρχὴ δὲ καὶ αὕτη τις ἁπλῶς. Τὰ δὲ κατὰ δύναμιν· τὸ γὰρ ὑπερέχον τῇ δυνάμει πρότερον, καὶ τὸ δυνατώτερον· τοιοῦτον δ' ἐστὶν οὗ κατὰ τὴν προαίρεσιν ἀνάγκη ἀκολουθεῖν θάτερον καὶ τὸ ὕστερον, ὥστε μὴ κινουῦντός τε ἐκείνου μὴ κινεῖσθαι καὶ κινουῦντος κινεῖσθαι· ἡ
4 δὲ προαίρεσις ἀρχή. [k]Τὰ δὲ κατὰ τάξιν· ταῦτα δ' ἐστὶν ὅσα πρός τι ἓν ὡρισμένον διέστηκε κατὰ τὸν λόγον, οἷον παραστάτης τριτοστάτου πρότερον, [l]καὶ παρανήτη νήτης· ἔνθα μὲν γὰρ ὁ κορυφαῖος, ἔνθα δὲ ἡ μέση ἀρχή. Ταῦτα μὲν οὖν πρότερα τοῦτον λέγεται τὸν τρόπον, ἄλλον δὲ τρόπον
5 [m]τὸ τῇ γνώσει πρότερον ὡς καὶ ἁπλῶς πρότερον. Τούτων

y ὅσα Ab.Hb. z ὄντα om. T. a τὰ πρότερα E.T. b γένει om. Ab. c τῷ Fb. d τινὸς τέλος τόπου T. e τὸ πορρώτερον Ab. f πρότερον E.Ab. g τὸ ἐγγύτερον T, τῷ ἐγγύτερον E. h χρησάμενοι Ab. i τὸ] τὰ Ab. k τὸ Ab. l καὶ ἡ παρανήτη E.T. m τὸ] τῷ T.

δὲ ἄλλως τὰ κατὰ τὸν λόγον καὶ [n] τὰ κατὰ τὴν αἴσθησιν. Κατὰ μὲν γὰρ τὸν λόγον τὰ καθόλου πρότερα, κατὰ δὲ τὴν αἴσθησιν τὰ καθ' ἕκαστα. Καὶ κατὰ τὸν λόγον δὲ τὸ συμβεβηκὸς τοῦ ὅλου πρότερον, οἷον τὸ μουσικὸν τοῦ μουσικοῦ ἀνθρώπου· οὐ γὰρ ἔσται ὁ λόγος [o] ὅλος ἄνευ τοῦ μέρους. Καίτοι οὐκ ἐνδέχεται μουσικὸν εἶναι μὴ ὄντος μουσικοῦ τινός. 6

[p] Ἔτι πρότερα λέγεται τὰ τῶν προτέρων πάθη, οἷον εὐθύτης λειότητος· τὸ μὲν γὰρ γραμμῆς [p] καθ' αὑτὴν πάθος, τὸ δ' ἐπιφανείας. Τὰ μὲν δὴ οὕτω [q] λέγεται πρότερα καὶ ὕστερα, 7 τὰ δὲ κατὰ φύσιν καὶ οὐσίαν, ὅσα ἐνδέχεται εἶναι ἄνευ ἄλλων, ἐκεῖνα δὲ ἄνευ ἐκείνων μή· ᾗ διαιρέσει [r] ἐχρήσατο Πλάτων.

[s] Ἐπεὶ δὲ τὸ εἶναι πολλαχῶς, πρῶτον μὲν τὸ ὑποκείμενον πρότερον, διὸ ἡ οὐσία πρότερον, ἔπειτα ἄλλως τὰ κατὰ δύναμιν καὶ κατ' ἐντελέχειαν. [s] Τὰ μὲν γὰρ κατὰ 8 δύναμιν πρότερά ἐστι, τὰ δὲ κατὰ ἐντελέχειαν, οἷον κατὰ δύναμιν μὲν ἡ ἡμίσεια τῆς ὅλης καὶ τὸ μόριον τοῦ ὅλου καὶ ἡ ὕλη τῆς οὐσίας, κατ' ἐντελέχειαν δ' ὕστερον· διαλυθέντος γὰρ κατ' ἐντελέχειαν ἔσται. [t] Τρόπον [v] δή τινα πάντα τὰ [w] πρό- 9 τερον καὶ ὕστερον λεγόμενα κατὰ ταῦτα λέγεται· τὰ μὲν γὰρ κατὰ γένεσιν ἐνδέχεται ἄνευ τῶν ἑτέρων εἶναι, οἷον τὸ ὅλον τῶν μορίων, τὰ δὲ κατὰ φθοράν, οἷον τὸ μόριον τοῦ ὅλου. [t] Ὁμοίως δὲ καὶ τἆλλα.

Δύναμις λέγεται ἡ μὲν ἀρχὴ κινήσεως ἢ μεταβολῆς [x] ἡ 12 ἐν ἑτέρῳ [y] ᾗ ἕτερον, οἷον [z] ἡ οἰκοδομικὴ δύναμίς ἐστιν [a] ἢ οὐχ ὑπάρχει ἐν τῷ οἰκοδομουμένῳ· ἀλλ' ἡ ἰατρικὴ δύναμις οὖσα ὑπάρχοι ἂν ἐν τῷ ἰατρευομένῳ, ἀλλ' οὐχ ᾗ ἰατρευόμενος.

[t] Ἡ μὲν οὖν ὅλως ἀρχὴ μεταβολῆς ἢ κινήσεως λέγεται δύνα- 2 μις ἐν ἑτέρῳ [b] ᾗ ἕτερον, ἡ δ' ὑφ' ἑτέρου [c] ᾗ ἕτερον· καθ' ἣν γὰρ τὸ πάσχον πάσχει τι, ὁτὲ μὲν ἐὰν ὁτιοῦν [d] δυνατὸν αὐτό

[n] τὰ om. E.T. [o] ὅλος add. E.A[b].H[b]. [p] πάθος καθ' αὑτήν T. [q] πρότερα λέγεται E. [r] ἐχρῆτο E.T. [s] τὰ μὲν—ὕστερον om. A[b].F[b]. [t] τρόπον] καὶ τρόπον A[b].H[b]. [v] δέ F[b]. [w] πρότερα καὶ ὕστερα F[b]. [x] ἢ E.T. [y] ἢ T, ἢ ἡ E. [z] ἡ om. A[b]. [a] ἢ E. [b] ᾗ] ἢ ἢ E. [c] ᾗ] ἢ ἢ E.T. [d] δυνατόν] ἢ δυνατὸν E, ἢ δυνατὸν T, τὸ δυνατὸν A[b], δυνατὸν δυνατὸν margo E.

φαμεν εἶναι παθεῖν, ὁτὲ δ' οὐ κατὰ πᾶν πάθος ἀλλ' [e]ἂν ἐπὶ
3 τὸ βέλτιον. [d]Ἔτι [f]ἡ τοῦ καλῶς τοῦτ' ἐπιτελεῖν, ἢ κατὰ
προαίρεσιν· ἐνίοτε γὰρ τοὺς μόνον ἂν πορευθέντας ἢ εἰπόν-
τας, μὴ καλῶς δὲ ἢ μὴ ὡς προείλοντο, οὗ φαμεν δύνασθαι
4 λέγειν ἢ βαδίζειν. [g]Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πάσχειν. [d]Ἔτι
ὅσαι ἕξεις καθ' ἃς ἀπαθῆ ὅλως ἢ ἀμετάβλητα ἢ μὴ ῥᾳδίως
ἐπὶ τὸ χεῖρον εὐμετακίνητα, δυνάμεις λέγονται· κλᾶται μὲν
γὰρ καὶ συντρίβεται καὶ κάμπτεται καὶ ὅλως φθείρεται οὐ
τῷ δύνασθαι, ἀλλὰ τῷ μὴ δύνασθαι [h]καὶ ἐλλείπειν τινός·
ἀπαθῆ δὲ τῶν τοιούτων [i]ἃ μόλις καὶ ἠρέμα [k]πάσχει διὰ
5 δύναμιν καὶ τὸ δύνασθαι καὶ τὸ ἔχειν πῶς. Λεγομένης δὲ
τῆς δυνάμεως τοσαυταχῶς, καὶ τὸ δυνατὸν ἕνα μὲν τρόπον
λεχθήσεται τὸ ἔχον κινήσεως ἀρχὴν ἢ μεταβολῆς (καὶ γὰρ
τὸ στατικὸν δυνατόν [l]τι ἐν ἑτέρῳ [m]ἢ ἕτερον), ἕνα δ' ἐὰν ἔχῃ
τι αὐτοῦ ἄλλο δύναμιν τοιαύτην, ἕνα δ' ἐὰν ἔχῃ μεταβάλλειν
ἐφ' ὁτιοῦν δύναμιν, εἴτ' ἐπὶ τὸ χεῖρον εἴτ' ἐπὶ τὸ βέλτιον·
καὶ γὰρ τὸ φθειρόμενον δοκεῖ δυνατὸν εἶναι φθείρεσθαι, ἢ
οὐκ ἂν φθαρῆναι [n]εἰ ἦν ἀδύνατον· νῦν δὲ ἔχει τινὰ [o]διάθεσιν
6 καὶ αἰτίαν καὶ ἀρχὴν τοῦ τοιούτου πάθους. [p]Ὁτὲ μὲν δὴ τὸ
ἔχειν τι δοκεῖ, ὁτὲ δὲ τὸ ἐστερῆσθαι τοιοῦτον εἶναι. [q]Εἰ
δ' ἡ στέρησίς ἐστιν [r]ἕξις πως, πάντα τῷ ἔχειν ἂν εἴη τι.
[s]Ὁμωνύμως δὲ λεγόμενον τὸ ὄν, ὥστε [t]τῷ ἔχειν [u]ἕξιν τινὰ
καὶ ἀρχήν ἐστι δυνατόν, καὶ [v]τῷ ἔχειν τὴν τούτου στέρησιν,
7 [w]εἰ ἐνδέχεται ἔχειν στέρησιν. [d]Ἕνα δὲ τῷ μὴ ἔχειν αὐτοῦ
δύναμιν ἢ ἀρχὴν [x]ἐν ἄλλῳ [y]ἢ ἄλλο φθαρτικήν. [d]Ἔτι δὲ
ταῦτα πάντα ἢ τῷ μόνον ἂν συμβῆναι γενέσθαι ἢ μὴ γενέ-
σθαι, ἢ τῷ [z]καλῶς. Καὶ γὰρ ἐν τοῖς ἀψύχοις [a]ἔνεστιν ἡ
τοιαύτη δύναμις, οἷον ἐν τοῖς ὀργάνοις· τὴν μὲν γὰρ [b]δύ-

[e] ἐὰν Ab, ὃν T. [f] ἡ] ἢ E. [g] κἂν Ab. [h] ἂν μόγις Ab. [i] πάσχη Ab. [k] τι εἶναι ἐν T. [l] ἢ] ἢ ἢ E.T. [m] εἰ μὴ ἦν δυνατόν Ab, εἰ εἴη ἀδύνατον T. [n] διαίρεσιν T. [o] εἰ δ' ἡ] ἡ δὲ T. [p] ἕξις om. Ab. [q] ὁμωνύμως δὲ λεγόμενον τὸ ὄν E, ὁμωνύμως λέγομεν τὸ ὄν T, εἰ δὲ μὴ τῷ ἔχειν ἕξιν τινὰ καὶ ἀρχήν ἐστι δυνατὸν ὁμωνύμως Ab. [r] τῷ] τὸ T, τῷ τε Ab. [s] ἕξιν—ἔχειν om. Ab. [t] τὸ T. [u] εἰ—στέρησιν om. T. [v] ἐν om. Ab. [w] ἢ T, ἢ ἢ E. [x] ἄλλου T. [y] καλοῖς Ab. [z] ἔν ἐστιν E.T.Ab. [a] φασι δύνασθαι Ab.

νασθαί φασι φθέγγεσθαι λύραν, τὴν δ' οὐθέν, ἂν ᾖ μὴ εὔφωνος. [a]Ἀδυναμία δ' [c]ἐστὶ στέρησις δυνάμεως καὶ τῆς τοιαύτης 8
ἀρχῆς [d]ἄρσις τις οἵα εἴρηται, ἢ ὅλως ἢ τῷ πεφυκότι ἔχειν, ἢ
καὶ ὅτε πέφυκεν ἤδη ἔχειν· οὐ γὰρ ὁμοίως ἂν [e]φαῖμεν ἀδύνα-
τον εἶναι γεννᾶν παῖδα [f]καὶ ἄνδρα καὶ εὐνοῦχον. [g]Ἔτι δὲ
καθ' [g]ἑκατέραν δύναμίν ἐστιν ἀδυναμία ἀντικειμένη, τῇ τε
μόνον κινητικῇ καὶ τῇ καλῶς κινητικῇ. Καὶ ἀδύνατα [h]δὴ τὰ 9
μὲν κατὰ τὴν ἀδυναμίαν ταύτην λέγεται, τὰ δ' ἄλλον τρό-
πον, οἷον δυνατόν τε καὶ ἀδύνατον. [i]Ἀδύνατον μὲν οὖ τὸ
ἐναντίον ἐξ ἀνάγκης ἀληθές, οἷον τὸ τὴν διάμετρον σύμμε-
τρον εἶναι ἀδύνατον, ὅτι ψεῦδος τὸ τοιοῦτον, [k]οὗ τὸ ἐναντίον
οὐ μόνον ἀληθὲς ἀλλὰ καὶ ἀνάγκη ἀσύμμετρον εἶναι· τὸ ἄρα
σύμμετρον οὐ μόνον ψεῦδος ἀλλὰ καὶ ἐξ ἀνάγκης ψεῦδος.
Τὸ δ' ἐναντίον τούτῳ, τὸ δυνατόν, ὅταν μὴ ἀναγκαῖον [l]ᾖ τὸ 10
ἐναντίον ψεῦδος εἶναι, οἷον τὸ καθῆσθαι ἄνθρωπον δυνατόν·
οὐ γὰρ ἐξ ἀνάγκης τὸ μὴ καθῆσθαι ψεῦδος. Τὸ μὲν οὖν δυ-
νατὸν ἕνα μὲν τρόπον, ὥσ[m]περ εἴρηται, τὸ μὴ ἐξ ἀνάγκης
ψεῦδος σημαίνει, ἕνα δὲ τὸ ἀληθὲς εἶναι, ἕνα δὲ τὸ ἐνδεχόμε-
νον ἀληθὲς [n]εἶναι. Κατὰ μεταφορὰν δὲ ἡ ἐν [o]τῇ γεωμετρίᾳ 11
λέγεται δύναμις. Ταῦτα μὲν οὖν [o]τὰ δυνατὰ οὐ κατὰ δύνα-
μιν. Τὰ δὲ λεγόμενα κατὰ δύναμιν πάντα λέγεται πρὸς
τὴν πρώτην [μίαν]· αὕτη δ' ἐστὶν ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ
[p]ᾗ ἄλλο. Τὰ γὰρ ἄλλα λέγεται δυνατὰ [q]τῷ τὰ μὲν ἔχειν 12
αὐτῶν ἄλλο τι τοιαύτην δύναμιν, τὰ δὲ [r]μὴ ἔχειν, τὰ δὲ ὡδὶ
ἔχειν. [t]Ὁμοίως δὲ καὶ τὰ ἀδύνατα. [v]Ὥστε ὁ κύριος ὅρος
τῆς πρώτης δυνάμεως ἂν εἴη ἀρχὴ μεταβλητικὴ ἐν ἄλλῳ [p]ᾗ
ἄλλο.

Ποσὸν λέγεται τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα, ὧν ἑκάτε- 13
ρον ἢ ἕκαστον ἕν [s]τι καὶ τόδε [t]τι πέφυκεν εἶναι. Πλῆθος

[c] ἐστὶ om. T. [d] ἄρνησίς Hᵇ. om. cum τις Aᵇ. [e] φαμεν Aᵇ, φαίημεν Hᵇ : ceteri φαῖεν. [f] γρ. καὶ ἄνδρα εὐνουχίαν margo E. ita T. [g] ἑκατέραν τὴν δύναμίν Aᵇ. [h] δὲ E.T. [i] ἀδύνατον μὲν—ἀδύνατον om. T. [k] οὗ] καὶ οὗ E.T. [l] ᾖ om. Aᵇ. [m] περ om. T. [n] εἶναι] ἤδη Aᵇ.Hᵇ. [o] τῇ et mox τὰ om. Aᵇ. [p] ᾗ] ἢ ἢ utrobique E. [q] τὰ μὲν τῶ T. [r] μὴ] τῷ μὴ E.T. [s] τε E. [t] τι om. Fᵇ.Hᵇ.

μὲν οὖν ποσόν τι ἂν ἀριθμητὸν ᾖ, μέγεθος δὲ ἂν μετρητὸν ᾖ. Λέγεται δὲ πλῆθος μὲν τὸ διαιρετὸν δυνάμει εἰς μὴ συνεχῆ, μέγεθος δὲ τὸ εἰς συνεχῆ. Μεγέθους δὲ τὸ μὲν ἐφ' ἓν συνεχὲς μῆκος, τὸ δ' ἐπὶ δύο πλάτος, τὸ δ' ἐπὶ τρία βάθος.
2 Τούτων δὲ πλῆθος μὲν [v]τὸ πεπερασμένον ἀριθμός, μῆκος δὲ γραμμή, πλάτος δὲ ἐπιφάνεια, βάθος δὲ σῶμα. [w]Ἔτι τὰ μὲν λέγεται καθ' αὑτὰ ποσὰ ἄττα, τὰ δὲ κατὰ συμβεβηκός, οἷον ἡ μὲν γραμμὴ ποσόν τι καθ' [w]ἑαυτό, τὸ δὲ μουσι-
3 κὸν κατὰ συμβεβηκός. Τῶν δὲ καθ' [x]αὑτὰ τὰ μὲν κατ' οὐσίαν ἐστίν, οἷον ἡ γραμμὴ ποσόν τι (ἐν γὰρ τῷ λόγῳ τῷ τί ἐστι λέγοντι τὸ ποσόν [y]τι [z]ὑπάρχει), τὰ δὲ πάθη καὶ ἕξεις τῆς τοιαύτης ἐστὶν οὐσίας, οἷον τὸ πολὺ καὶ [a]τὸ ὀλίγον, [b]καὶ μακρὸν καὶ βραχύ, [c]καὶ πλατὺ καὶ στενόν, [d]καὶ βαθὺ καὶ ταπεινόν, [e]καὶ βαρὺ καὶ κοῦφον, καὶ τἆλλα [f]τὰ
4 τοιαῦτα. [v]Ἔστι δὲ καὶ τὸ μέγα καὶ [g]τὸ μικρόν, καὶ [h]τὸ μεῖζον [i]καὶ ἔλαττον, καὶ καθ' αὑτὰ καὶ πρὸς ἄλληλα λεγόμενα, τοῦ ποσοῦ πάθη καθ' αὑτά· [k]μεταφέρεται [l]μέντοι καὶ
5 ἐπ' ἄλλα ταῦτα τὰ ὀνόματα. Τῶν δὲ κατὰ συμβεβηκὸς λεγομένων ποσῶν τὸ μὲν οὕτως [m]λέγεται ὥσπερ ἐλέχθη ὅτι τὸ μουσικὸν ποσὸν καὶ τὸ λευκὸν τῷ εἶναι ποσόν [n]τι ᾧ ὑπάρχουσι, τὰ δὲ ὡς κίνησις καὶ χρόνος· καὶ γὰρ ταῦτα πόσ' ἄττα [o]λέγεται καὶ συνεχῆ τῷ ἐκεῖνα διαιρετὰ εἶναι ὧν ἐστὶ
[p]ταῦτα [q]πάθη. Λέγω [r]δὲ οὐ τὸ κινούμενον ἀλλ' ὃ ἐκινήθη· τῷ γὰρ ποσὸν εἶναι ἐκεῖνο καὶ ἡ κίνησις ποσή, ὁ δὲ χρόνος τῷ ταύτην.
14 Τὸ ποιὸν λέγεται ἕνα μὲν τρόπον [s]ἡ διαφορὰ τῆς οὐσίας, οἷον ποιόν [t]τι ἄνθρωπος ζῷον ὅτι δίπουν, ἵππος δὲ τετράπουν· καὶ κύκλος [u]ποιόν τι σχῆμα ὅτι ἀγώνιον, ὡς τῆς δια-

[v] τὸ om. H[b]. [w] αὐτό A[b]. [x] αὐτὸ A[b]. [y] τι om. F[b].H[b]. [z] ἐνυπάρχει F[b]. [a] τὸ post καὶ om. A[b]. [b] καὶ τὸ μακρὸν A[b]. [c] καὶ πλατὺ —βαρὺ om. E. [d] καὶ βαθὺ καὶ ταπεινόν om. A[b].H[b]. [e] καὶ βαρὺ καὶ κοῦφον om. F[b]. [f] τὰ om. A[b]. [g] τὸ alterum om. T. [h] τὸ om. E.A[b]. [i] καὶ τὸ ἔλαττον H[b]. [k] μεταφέρονται A[b]. [l] μέντοιγε H[b]. [m] λέγονται T. [n] τι ἐνυπάρχουσι T. [o] λέγονται T. [p] ταῦτα] τὰ A[b]. [q] πάθη om. T. [r] δὴ H[b]. [s] αἱ διαφοραὶ A[b]. [t] τι] ποι T. [u] ποιοῦν T.

φορᾶς τῆς κατὰ τὴν οὐσίαν ποιότητος [v] οὔσης. [1] Ἕνα μὲν δὴ 2
τρόπον τοῦτον λέγεται ἡ ποιότης διαφορὰ οὐσίας, ἕνα δὲ ὡς
τὰ ἀκίνητα καὶ τὰ μαθηματικά, ὥσπερ οἱ ἀριθμοὶ ποιοί
τινες, οἷον οἱ σύνθετοι καὶ μὴ μόνον ἐφ' ἓν ὄντες ἀλλ' ὧν
μίμημα τὸ ἐπίπεδον καὶ τὸ στερεόν (οὗτοι δ' εἰσὶν οἱ ποσά-
κις ποσοὶ ἢ ποσάκις ποσάκις ποσοί), καὶ ὅλως ὃ παρὰ τὸ
ποσὸν ὑπάρχει ἐν τῇ οὐσίᾳ· οὐσία γὰρ ἑκάστου τὸ ἅπαξ,
οἷον τῶν ἐξ οὐχ ὃ δὶς ἢ τρὶς εἰσὶν [w] ἀλλ' ὃ ἅπαξ· ἓξ γὰρ
ἅπαξ [x] ἕξ. [1] Ἔτι ὅσα πάθη τῶν κινουμένων οὐσιῶν, οἷον 3
θερμότης καὶ ψυχρότης, καὶ λευκότης καὶ μελανία, καὶ βαρύ-
της καὶ κουφότης, καὶ ὅσα τοιαῦτα, καθ' [y] ἃ λέγονται [z] καὶ
ἀλλοιοῦσθαι τὰ σώματα μεταβαλλόντων. [1] Ἔτι κατ' ἀρετὴν
καὶ κακίαν καὶ ὅλως τὸ κακὸν καὶ ἀγαθόν. Σχεδὸν [a] δὴ 4
κατὰ δύο τρόπους λέγοιτ' ἂν τὸ ποιόν, καὶ τούτων ἕνα τὸν
κυριώτατον· πρώτη μὲν γὰρ ποιότης ἡ τῆς οὐσίας διαφορά.
Ταύτης δέ [b] τι καὶ ἡ ἐν τοῖς ἀριθμοῖς ποιότης μέρος· δια-
φορὰ γάρ τις οὐσιῶν, ἀλλ' ἢ οὐ κινουμένων ἢ οὐχ ᾗ [c] κινού-
μενα. Τὰ δὲ πάθη τῶν κινουμένων ᾗ κινούμενα, καὶ [d] αἱ τῶν
κινήσεων διαφοραί. [1] Ἀρετὴ δὲ καὶ κακία τῶν παθημάτων 5
μέρος τι· διαφορὰς γὰρ δηλοῦσι τῆς κινήσεως καὶ τῆς ἐνερ-
γείας, καθ' ἃς ποιοῦσιν ἢ πάσχουσι καλῶς ἢ φαύλως τὰ [e] ἐν
κινήσει ὄντα· [f] τὸ μὲν γὰρ ὠδὶ δυνάμενον κινεῖσθαι ἢ ἐνεργεῖν
ἀγαθόν, τὸ δ' ὠδὶ καὶ ἐναντίως μοχθηρόν. Μάλιστα δὲ τὸ
ἀγαθὸν [g] καὶ κακὸν σημαίνει τὸ ποιὸν ἐπὶ τῶν ἐμψύχων, καὶ
τούτων μάλιστα ἐπὶ τοῖς ἔχουσι προαίρεσιν.

Πρός τι λέγεται τὰ μὲν ὡς διπλάσιον [h] πρὸς ἥμισυ καὶ 15
τριπλάσιον πρὸς τριτημόριον, καὶ [i] ὅλως πολλαπλάσιον [k] πρὸς
πολλοστημόριον καὶ ὑπερέχον [l] πρὸς ὑπερεχόμενον· τὰ δ' ὡς
[m] τὸ θερμαντικὸν πρὸς [n] τὸ θερμαντὸν καὶ [n] τὸ τμητικὸν πρὸς

[v] οὔσης om. T. [w] ἀλλ'] ἀλλ' ὁ δὶς ἢ τρὶς T. [x] ἓξ om. A^b.H^b.
[y] ἃ] ὅσα A^b. [z] καὶ om. A^b. [a] δὲ T. [b] τις T.A^b. [c] κινουμένων T.
[d] αἱ om. A^b. [e] ἐν τῇ κινήσει T. [f] τὰ—δυνάμενα T. [g] καὶ τὸ κακὸν
E.T. [h] πρὸς τὸ ἥμισυ A^b. [i] ὅλως τὸ πολλαπλάσιον H^b. [k] πρὸς τὸ
πολλοστημόριον E.H^b. [l] πρὸς τὸ ὑπερεχόμενον H^b. [m] τὸ] πρὸς τὸ A^b,
om. E.T. [n] τὸ utrumque om. T.

[n]τὸ τμητόν, καὶ ὅλως τὸ ποιητικὸν πρὸς τὸ παθητικόν· τὰ δ' ὡς τὸ μετρητὸν πρὸς τὸ μέτρον [o]καὶ ἐπιστητὸν πρὸς ἐπιστή-
2 μην καὶ αἰσθητὸν πρὸς αἴσθησιν. Λέγεται δὲ τὰ μὲν πρῶτα κατ' ἀριθμόν, ἢ ἁπλῶς ἢ [p]ὡρισμένως πρὸς [q]αὐτοὺς ἢ πρὸς ἕν, οἷον τὸ μὲν διπλάσιον [r]πρὸς ἓν ἀριθμὸς [s]ὡρισμένος, τὸ δὲ πολλαπλάσιον κατ' ἀριθμὸν πρὸς ἕν, οὐχ ὡρισμένον δέ, οἷον
3 τόνδε ἢ τόνδε. Τὸ δὲ ἡμιόλιον πρὸς τὸ ὑφημιόλιον κατ' ἀριθμὸν πρὸς ἀριθμὸν [t]ὡρισμένον· τὸ ἐπιμόριον πρὸς τὸ ὑπεπιμόριον κατὰ [v]ἀόριστον, ὥσπερ τὸ πολλαπλάσιον πρὸς τὸ ἕν.
4 Τὸ δ' ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον ὅλως ἀόριστον κατ' ἀριθμόν· ὁ γὰρ ἀριθμὸς [w]σύμμετρος, κατὰ [x]μὴ σύμμετρον δὲ [y]ἀριθμὸν [z]λέγεται· τὸ [a]γὰρ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον τοσοῦτόν τέ ἐστι [b]καὶ [c]ἔτι· τοῦτο δ' ἀόριστον· ὁπότερον
5 γὰρ ἔτυχεν ἔστιν, [d]ἢ ἴσον ἢ οὐκ ἴσον. Ταὐτά [e]τε οὖν τὰ πρός τι [f]πάντα κατ' ἀριθμὸν λέγεται καὶ ἀριθμοῦ πάθη, καὶ ἔτι τὸ ἴσον καὶ ὅμοιον καὶ ταὐτὸ [g]κατ' ἄλλον τρόπον· κατὰ γὰρ τὸ ἓν λέγεται [h]πάντα. Ταὐτὰ μὲν γὰρ ὧν μία [i]ἡ οὐσία, [k]ὅμοια δ' ὧν ἡ ποιότης μία, ἴσα δὲ ὧν τὸ ποσὸν ἕν. Τὸ δ' ἓν τοῦ ἀριθμοῦ ἀρχὴ καὶ μέτρον, ὥστε ταῦτα [l]μὲν πάντα πρός τι λέγεται κατ' ἀριθμὸν μέν, οὐ τὸν αὐτὸν δὲ
6 τρόπον. Τὰ δὲ ποιητικὰ καὶ παθητικὰ κατὰ δύναμιν [m]ποιητικὴν καὶ παθητικὴν καὶ ἐνεργείας τὰς τῶν δυνάμεων, οἷον τὸ θερμαντικὸν πρὸς τὸ θερμαντόν, ὅτι δύναται, [n]καὶ πάλιν τὸ θερμαῖνον πρὸς τὸ θερμαινόμενον καὶ τὸ τέμνον πρὸς τὸ τεμνόμενον, ὡς ἐνεργοῦντα. Τῶν δὲ κατ' ἀριθμὸν οὐκ εἰσὶν
7 ἐνέργειαι ἀλλ' ἢ ὃν τρόπον ἐν ἑτέροις εἴρηται· αἱ δὲ κατὰ [o]κίνησιν ἐνέργειαι οὐχ ὑπάρχουσιν. Τῶν δὲ κατὰ δύναμιν

[n] τὸ om. T. [o] καὶ τὸ ἐπιστητὸν T.H[b]. [p] ὡρισμένον E.A[b]. [q] αὐτὸν ἢ πρὸς ἕνια H[b]. [r] πρὸς—πολλαπλάσιον om. T. [s] ὡρισμένος] ὡρισμένος πρὸς ἕν A[b]. [t] ὡρισμένους T. [v] ἀορίστου A[b], ἀορίστους E. [w] σύμμετρον A[b]. [x] μὴ om. T. [y] ἀριθμὸς οὐ A[b]. [z] λέγονται E.A[b]. [a] γὰρ] δὲ A[b]. [b] καὶ om. A[b]. [c] ἔτι] ἔτι τοῦτο T. [d] ἢ ante ἴσον om. A[b]. [e] τε om. T.H[b]. [f] ἅπαντα E.T. [g] κατ' om. A[b]. [h] πάντα ταυτά. τὸ μὲν γὰρ ταυτὸ ὧν A[b]. [i] ἡ om. A[b]. [k] ὅμοια—μία post ἕν A[b]. [l] μὲν add. A[b], qui ταῦτα μὲν τὰ πρός τι πάντα. [m] ποιητικήν τε καὶ T. [n] καὶ —θερμαινόμενον om. H[b]. [o] δύναμιν E.

καὶ κατὰ χρόνους ἤδη λέγονται [p] πρός τι, οἷον τὸ πεποιηκὸς πρὸς τὸ πεποιημένον καὶ τὸ ποιῆσον πρὸς τὸ ποιησόμενον. Οὕτω γὰρ [q] καὶ πατὴρ υἱοῦ λέγεται πατήρ· τὸ μὲν γὰρ πεποιηκός, τὸ δὲ πεπονθός τί ἐστιν. [r] Ἔτι ἕνια κατὰ στέρησιν δυνάμεως, ὥσπερ τὸ ἀδύνατον καὶ ὅσα οὕτω λέγεται, οἷον τὸ ἀόρατον. Τὰ μὲν οὖν κατ' ἀριθμὸν καὶ δύναμιν λε- 8
γόμενα πρός τι πάντα ἐστὶ [s] πρός τι τῷ [t] ὅπερ ἐστὶν ἄλλου λέγεσθαι αὐτὸ [v] ὅ ἐστιν, ἀλλὰ μὴ [w] τῷ ἄλλο πρὸς ἐκεῖνο· τὸ δὲ μετρητὸν καὶ τὸ ἐπιστητὸν καὶ [x] τὸ διανοητὸν τῷ [y] ἄλλο [z] πρὸς αὐτὸ λέγεσθαι πρός [a] τι λέγονται. Τό τε γὰρ δια- 9
νοητὸν σημαίνει [b] ὅτι ἐστὶν αὐτοῦ διάνοια, οὐκ ἔστι δ' ἡ διάνοια πρὸς [c] τοῦτο οὗ ἐστὶ διάνοια· δὶς γὰρ ταὐτὸν εἰρημένον ἂν εἴη. [d] Ὁμοίως δὲ καὶ τινός ἐστιν ἡ ὄψις ὄψις, οὐχ οὗ [d] ἐστὶν ὄψις· καίτοι [e] γ' ἀληθὲς τοῦτο εἰπεῖν· ἀλλὰ [f] πρὸς χρῶμα ἢ πρὸς ἄλλο τι τοιοῦτον. [d] Ἐκείνως δὲ δὶς ταὐτὸν 10
λεχθήσεται, [g] ὅτι ἔστιν [h] ὄψις οὗ ἐστὶν [i] ἡ ὄψις. Τὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενα πρός τι τὰ μὲν οὕτω λέγεται, τὰ δὲ ἂν τὰ γένη αὐτῶν ᾖ τοιαῦτα, οἷον [k] ἡ ἰατρικὴ τῶν πρός τι ὅτι τὸ γένος αὐτῆς ἡ ἐπιστήμη δοκεῖ εἶναι τῶν πρός τι. [l] Ἔτι καθ' ὅσα τὰ ἔχοντα λέγεται πρός τι, [l] οἷον ἰσότης ὅτι 11
τὸ ἴσον, καὶ ὁμοιότης ὅτι τὸ ὅμοιον. Τὰ δὲ κατὰ συμβεβηκός, [m] οἷον ἄνθρωπος πρός τι ὅτι συμβέβηκεν αὐτῷ διπλασίῳ εἶναι, τοῦτο δ' ἐστὶ τῶν πρός τι· ἢ τὸ λευκόν, [n] εἰ τῷ αὐτῷ συμβέβηκε διπλασίῳ καὶ λευκῷ εἶναι.

[o] Τέλειον λέγεται ἓν μὲν οὗ μὴ ἔστιν ἔξω τι λαβεῖν [p] μηδὲ 16
ἓν μόριον, οἷον [q] ὁ χρόνος τέλειος ἑκάστου οὗτος οὗ μὴ ἔστιν ἔξω λαβεῖν [r] χρόνον τινὰ ὃς τούτου μέρος ἐστὶ τοῦ χρόνου.

[p] πρός] τὰ πρός T. [q] καὶ ὁ πατὴρ T. [r] ἔτι δ' ἕνια H[b]. [s] πρός τι ante τῷ om. T. [t] ἅπερ H[b]. [v] ὅ] ὅπερ H[b]. [w] τὸ T. [x] τὸ extremum om. E.T. [y] ἄλλα H[b]. [z] πρὸς om. A[b]. [a] τι ἃ λέγονται A[b]. [b] ὅτι] ὃ T. [c] τοῦτο] τὸ E. [d] ἐστὶν ἡ ὄψις F[b].H[b]. [e] γ' add. E. [f] πρὸς τὸ χρῶμα F[b]. [g] ὅτι om. A[b]. [h] ἡ ὄψις H[b], om. A[b]. [i] ἡ om. F[b].H[b]. [k] ἡ om. A[b]. [l] οἷον ἡ ἰσότης A[b]. [m] οἷον ὁ ἄνθρωπος A[b].H[b]. [n] εἰ] ἢ A[b]. [o] τὸ τέλειον A[b]. [p] μηδὲν T, μηθὲν E. [q] ὁ add. E.T. [r] χρόνον ὡς τοῦτο T.

Καὶ [s]τὸ κατ' ἀρετὴν καὶ τὸ [t]τοῦ εὖ [v]μὴ ἔχον ὑπερβολὴν πρὸς τὸ γένος, οἷον τέλειος ἰατρὸς καὶ τέλειος αὐλητής, ὅταν
2 κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηθὲν [w]ἐλλείπωσιν. Οὕτω δὲ μεταφέροντες καὶ ἐπὶ τῶν κακῶν λέγομεν συκοφάντην τέλειον καὶ κλέπτην τέλειον, ἐπειδὴ καὶ ἀγαθοὺς λέγομεν αὐτούς,
3 οἷον κλέπτην ἀγαθὸν καὶ συκοφάντην ἀγαθόν. [x]Καὶ ἡ ἀρετὴ τελείωσίς τις· ἕκαστον γὰρ τότε [y]τέλειον καὶ οὐσία πᾶσα [z]τότε τελεία, ὅταν κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηθὲν ἐλλείπῃ μόριον τοῦ κατὰ φύσιν μεγέθους. [v]Ἔτι οἷς ὑπάρχει τὸ τέλος σπουδαῖον, ταῦτα λέγεται τέλεια· [a]κατὰ γὰρ τὸ
4 ἔχειν [b]τὸ τέλος τέλεια. [v]Ὥστ' [c]ἐπεὶ τὸ τέλος τῶν ἐσχάτων τί ἐστι, καὶ ἐπὶ τὰ φαῦλα μεταφέροντες λέγομεν τελείως ἀπολωλέναι καὶ τελείως ἐφθάρθαι, ὅταν μηδὲν [d]ἐλλείπῃ τῆς φθορᾶς καὶ τοῦ κακοῦ ἀλλ' ἐπὶ [e]τοῦ ἐσχάτου [f]ᾖ. Διὸ καὶ ἡ τελευτὴ κατὰ μεταφορὰν λέγεται τέλος, ὅτι ἄμφω ἔσχατα.
5 Τέλος δὲ καὶ τὸ οὗ ἕνεκα ἔσχατον. Τὰ μὲν οὖν καθ' αὑτὰ λεγόμενα τέλεια τοσαυταχῶς λέγεται, τὰ μὲν [g]τῷ κατὰ τὸ εὖ μηθὲν ἐλλείπειν μηδ' ἔχειν ὑπερβολὴν μηδὲ ἔξω τι λαβεῖν, τὰ δ' ὅλως κατὰ τὸ μὴ ἔχειν ὑπερβολὴν [h]ἐν ἑκάστῳ γένει μηδ' εἶναί τι [i]ἔξω, τὰ δὲ ἄλλα ᾗδη [k]κατὰ ταῦτα τῷ ἢ ποιεῖν τι τοιοῦτον ἢ ἔχειν ἢ ἁρμόττειν [l]τούτῳ ἢ [m]ἁμῶς γέ πως λέγεσθαι πρὸς τὰ πρώτως λεγόμενα τέλεια.

17 Πέρας λέγεται [n]τὸ ἔσχατον ἑκάστου καὶ οὗ ἔξω μηθὲν ἔστι λαβεῖν πρώτου, [o]καὶ οὗ ἔσω πάντα πρώτου, καὶ ὃ ἂν ᾖ εἶδος μεγέθους ἢ ἔχοντος μέγεθος, καὶ τὸ τέλος ἑκάστου.
2 [p]Τοιοῦτον δ' ἐφ' ὃ ἡ κίνησις καὶ ἡ πρᾶξις, καὶ οὐκ ἀφ' οὗ.
[q]Ὅτε δὲ ἄμφω καὶ [r]ἀφ' οὗ καὶ ἐφ' ὅ, καὶ τὸ οὗ ἕνεκα, καὶ ἡ οὐσία [s]ἡ ἑκάστου, καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ· τῆς γνώσεως

[s] τὸ] τὰ Ab. [t] τοῦ om. Ab.Fb. [v] μὴ ἔχοντι δ' Ab, om. T. [w] ἐλλίπωσιν Ab. [x] καὶ ἡ—τις om. Ab. [y] τέλειόν τι καὶ Ab. [z] τότε om. Ab. [a] κατὰ—τέλεια om. T. [b] τὸ post ἔχειν om. E. [c] ἐπειδὴ T. [d] ἐλλίπῃ Ab. [e] τῷ ἐσχάτῳ Ab.Fb, τῶν ἐσχάτων T. [f] ᾖ] δ' ἢ E. [g] τῷ om. T. [h] ἐν] ἑνὶ T. [i] ἔξω—ᾗδη] ἐξ ὧν τὰ ἄλλα εἴδη T. [k] καθ' αὑτὰ E.T. [l] τοιούτῳ E.T. [m] ἄλλως codices. [n] τότε Ab. [o] καὶ—πρώτου om. E.T. [p] τοῦτο Fb. [q] ὁτὲ] ὅτι T. [r] ἀφ'] ὑφ' T. [s] ἡ add. E.Ab.

γὰρ τοῦτο πέρας· εἰ δὲ τῆς γνώσεως, καὶ τοῦ πράγματος. ᵘΩστε φανερὸν ὅτι ὁσαχῶς τε ἡ ἀρχὴ λέγεται, τοσαυταχῶς καὶ τὸ πέρας, καὶ ἔτι πλεοναχῶς· ἡ μὲν γὰρ ἀρχὴ πέρας τι, τὸ δὲ πέρας οὐ πᾶν ἀρχή.

Τὸ καθ' ὃ λέγεται πολλαχῶς, ἕνα μὲν τρόπον τὸ εἶδος 18
καὶ ἡ οὐσία ἑκάστου πράγματος, οἷον καθὸ ἀγαθός, αὐτὸ ἀγαθόν, ἕνα δὲ ἐν ᾧ πρώτῳ πέφυκε γίγνεσθαι, οἷον τὸ χρῶμα ἐν τῇ ἐπιφανείᾳ. Τὸ μὲν οὖν πρώτως λεγόμενον καθὸ τὸ εἶδός ἐστι, [t] δευτέρως δὲ [v] ὡς ἡ ὕλη ἑκάστου καὶ τὸ ὑποκείμενον ἑκάστῳ πρῶτον. ᵛΟλως [w] δὲ τὸ καθὸ ἰσαχῶς καὶ τὸ 2
αἴτιον [x] ὑπάρξει· κατὰ τί γὰρ ἐλήλυθεν [y] ἢ οὗ ἕνεκα ἐλήλυθε λέγεται, καὶ κατὰ τί παραλελόγισται ἢ συλλελόγισται, ἢ [z] τί τὸ αἴτιον τοῦ συλλογισμοῦ ἢ παραλογισμοῦ. ᵛ¹Ετι [a] δὲ τὸ καθὸ τὸ κατὰ θέσιν λέγεται, καθὸ ἕστηκεν ἢ καθὸ βαδίζει· πάντα γὰρ ταῦτα [b] θέσιν σημαίνει καὶ τόπον. ᵛ²Ωστε 3
καὶ τὸ καθ' αὑτὸ πολλαχῶς ἀνάγκη λέγεσθαι. ᵛ³Εν μὲν γὰρ καθ' αὑτὸ τὸ τί ἦν εἶναι ἑκάστῳ, οἷον ὁ Καλλίας [c] καθ' αὐτὸν Καλλίας, καὶ τὸ τί ἦν εἶναι [d] Καλλίᾳ· ἓν δὲ ὅσα ἐν τῷ τί ἐστιν ὑπάρχει, οἷον ζῷον ὁ Καλλίας καθ' αὑτόν. ᵛ⁴Εν γὰρ τῷ λόγῳ ἐνυπάρχει τὸ ζῷον· ζῷον γάρ τι ὁ Καλλίας. ᵛ⁵¹Ετι 4
δὲ εἰ ἐν αὐτῷ δέδεκται πρώτῳ ἢ τῶν αὐτοῦ τινί, οἷον ἡ ἐπιφάνεια λευκὴ καθ' αὑτήν, καὶ [f] ζῇ ὁ ἄνθρωπος καθ' αὑτόν· ἡ γὰρ ψυχὴ μέρος τι τοῦ ἀνθρώπου, ἐν ᾗ πρώτῃ τὸ ζῆν. ᵛ⁶Ετι οὗ μή [g] ἐστιν ἄλλο αἴτιον. Τοῦ γὰρ ἀνθρώπου πολλὰ αἴτια, τὸ ζῷον, τὸ δίπουν· ἀλλ' ὅμως καθ' αὐτὸν ἄνθρωπος ὁ ἄνθρωπός ἐστιν. ᵛ⁷Ετι ὅσα μόνῳ ὑπάρχει καὶ ᾗ μόνον· [h] διὸ τὸ κεχωρισμένον καθ' αὑτό.

Διάθεσις λέγεται τοῦ ἔχοντος μέρη τάξις, ἢ [i] κατὰ τόπον 19
ἢ κατὰ δύναμιν ἢ κατ' εἶδος· θέσιν γὰρ δεῖ τινὰ εἶναι, ὥσπερ [k] καὶ τοὔνομα δηλοῖ ἡ διάθεσις.

[t] δεύτερον $A^b.H^b$. [v] ἡ ὕλη ὡς A^b. [w] δὲ καὶ τὸ T. [x] ὑπάρχει F^b. [y] ἢ om. A^b. [z] τί] ὅτι E.T. [a] δὲ add. E.A^b. [b] τόπον σημαίνει καὶ θέσιν $A^b.H^b$. [c] καθ' αὐτὸν καλλίας add. A^b. [d] καλλίαν T. [e] ἔτι] ἐν A^b. [f] ζῶον E.T. [g] ἐστι τι ἄλλο E, ἐστιν ἕν τι ἄλλο T. [h] γρ. διότι ὡρισμένον margo E. [i] κατὰ τὸν τόπον A^b. [k] καὶ om. E.$A^b.H^b$.

20 Ἕξις [1] δὲ λέγεται ἕνα μὲν τρόπον οἷον ἐνέργειά τις τοῦ ἔχοντος καὶ ἐχομένου, ὥσπερ πρᾶξίς τις ἡ κίνησις· ὅταν γὰρ τὸ μὲν ποιῇ τὸ δὲ ποιῆται, ἔστι ποίησις μεταξύ. Οὕτω καὶ τοῦ ἔχοντος ἐσθῆτα καὶ τῆς ἐχομένης ἐσθῆτός ἐστι μεταξὺ ἕξις. Ταύτην μὲν οὖν φανερὸν ὅτι οὐκ ἐνδέχεται [m] ἔχειν ἕξιν· εἰς ἄπειρον γὰρ βαδιεῖται, εἰ τοῦ ἐχομένου ἔσται ἔχειν
2 τὴν ἕξιν. Ἄλλον δὲ τρόπον ἕξις λέγεται διάθεσις καθ' ἣν [n] ἢ εὖ ἢ κακῶς διάκειται τὸ διακείμενον, [o] καὶ ἢ καθ' αὑτὸ ἢ πρὸς ἄλλο, οἷον ἡ ὑγίεια ἕξις τις· διάθεσις γάρ ἐστι τοιαύτη. Ἔτι ἕξις λέγεται [p] ἂν ᾖ μόριον διαθέσεως [q] τοιαύτης· διὸ καὶ ἡ τῶν μερῶν ἀρετὴ ἕξις [r] τίς ἐστιν.

21 [s] Πάθος λέγεται ἕνα μὲν τρόπον ποιότης καθ' ἣν ἀλλοιοῦσθαι ἐνδέχεται, οἷον τὸ λευκὸν καὶ [t] τὸ μέλαν, καὶ γλυκὺ καὶ πικρόν, καὶ βαρύτης καὶ κουφότης, καὶ ὅσα ἄλλα τοιαῦτα· ἕνα δὲ αἱ τούτων ἐνέργειαι καὶ ἀλλοιώσεις ἤδη. Ἔτι τούτων μᾶλλον αἱ βλαβεραὶ ἀλλοιώσεις καὶ κινήσεις, καὶ μάλιστα αἱ λυπηραὶ [v] βλάβαι. Ἔτι τὰ μεγέθη τῶν [w] συμφορῶν καὶ λυπηρῶν πάθη λέγεται.

22 [x] Στέρησις λέγεται ἕνα μὲν τρόπον ἂν μὴ ἔχῃ τι [y] τῶν πεφυκότων ἔχεσθαι, κἂν μὴ αὐτὸ [z] ᾖ πεφυκὸς ἔχειν, οἷον φυτὸν ὀμμάτων ἐστερῆσθαι λέγεται. Ἕνα δὲ ἂν πεφυκὸς ἔχειν, ἢ αὐτὸ ἢ τὸ γένος, μὴ ἔχῃ, οἷον ἄλλως ἄνθρωπος ὁ τυφλὸς ὄψεως ἐστέρηται καὶ ἀσπάλαξ· τὸ μὲν κατὰ [a] τὸ γένος, τὸ
2 δὲ καθ' αὑτό. Ἔτι ἂν πεφυκὸς καὶ [b] ὅτε πέφυκεν ἔχειν μὴ ἔχῃ· ἡ γὰρ τυφλότης στέρησίς τις, τυφλὸς δ' οὐ κατὰ πᾶσαν ἡλικίαν, ἀλλ' ἐν ᾗ πέφυκεν ἔχειν, ἂν μὴ ἔχῃ. Ὁμοίως δὲ [c] καὶ ἐν ᾧ ἂν ᾗ [d] καὶ καθ' ὃ καὶ πρὸς ὅ, καὶ ὡς [e] ἂν μὴ ἔχῃ πεφυκός.
3 Ἔτι ἡ βιαία ἑκάστου ἀφαίρεσις στέρησις λέγεται. Καὶ ὁσαχῶς δὲ αἱ ἀπὸ τοῦ ᾱ ἀποφάσεις λέγονται, τοσαυταχῶς

1 δὲ om. H^b. m ἔχειν τὴν ἕξιν E.T. n ἢ add. A^b. o καὶ om. A^b. p ἐὰν A^b. q τοιαύτη A^b. r τις om. T. s πάθος δὲ λέγεται T. t τὸ post καὶ om. A^b. v βλαβεραί E.T. w συμφορῶν] ἡδέων E.A^b. x στέρησις μὲν λέγεται T. y τῶν μὴ πεφυκότων E.T. z ἦν E. a τὸ post κατὰ add. E.T.H^b. b ὃ T. c καὶ—ᾗ om. A^b. d καὶ ἐὰν καθ' A^b. e ἂν om. A^b.

καὶ αἱ στερήσεις λέγονται· ἄνισον μὲν γὰρ [f]τῷ μὴ ἔχειν [g]ἰσότητα πεφυκὸς λέγεται, ἀόρατον δὲ καὶ [f]τῷ ὅλως μὴ ἔχειν χρῶμα [h]καὶ [f]τῷ φαύλως, καὶ ἄπουν καὶ [f]τῷ μὴ ἔχειν ὅλως [i]πόδας καὶ [f]τῷ φαύλους. [1]Ἔτι καὶ τῷ μικρὸν ἔχειν, 4
οἷον [k]τὸ ἀπύρηνον· τοῦτο δ' ἐστὶ [l]τὸ φαύλως πως ἔχειν.
[1]Ἔτι τῷ μὴ ῥᾳδίως ἢ τῷ μὴ καλῶς, οἷον τὸ ἄτμητον οὐ μόνον τῷ μὴ τέμνεσθαι ἀλλὰ καὶ τῷ μὴ ῥᾳδίως [m]ἢ μὴ καλῶς. [1]Ἔτι [n]τῷ πάντῃ μὴ [o]ἔχειν· τυφλὸς γὰρ οὐ λέγεται ὁ ἑτερόφθαλμος ἀλλ' ὁ ἐν ἀμφοῖν μὴ ἔχων ὄψιν. Διὸ οὐ πᾶς ἀγαθὸς ἢ κακός, ἢ δίκαιος ἢ ἄδικος, ἀλλὰ [p]καὶ τὸ μεταξύ.

Τὸ [q]ἔχειν λέγεται πολλαχῶς, ἕνα μὲν [r]τρόπον τὸ [s]ἄγειν 23
κατὰ τὴν αὐτοῦ φύσιν ἢ κατὰ τὴν αὐτοῦ ὁρμήν, διὸ λέγεται πυρετός τε ἔχειν τὸν ἄνθρωπον καὶ οἱ τύραννοι τὰς πόλεις καὶ τὴν ἐσθῆτα οἱ ἀμπεχόμενοι. [1]Ἕνα δ' ἐν ᾧ ἄν τι ὑπάρχῃ ὡς δεκτικῷ, οἷον ὁ χαλκὸς ἔχει τὸ εἶδος τοῦ ἀνδριάντος καὶ τὴν νόσον τὸ σῶμα. [1]Ἕνα δ' ὡς [t]τὸ περιέχον [v]τὰ περιε- 2
χόμενα· ἐν ᾧ γάρ ἐστι [w]περιεχόμενόν τι, ἔχεσθαι ὑπὸ τούτου λέγεται, οἷον τὸ ἀγγεῖον ἔχειν τὸ ὑγρόν φαμεν καὶ τὴν πόλιν ἀνθρώπους καὶ τὴν ναῦν ναύτας· οὕτω δὲ καὶ τὸ ὅλον [x]ἔχειν τὰ μέρη. [1]Ἔτι τὸ κωλῦον κατὰ τὴν αὐτοῦ ὁρμήν τι 3
κινεῖσθαι ἢ πράττειν ἔχειν λέγεται τοῦτο [y]αὐτό, οἷον καὶ οἱ κίονες τὰ ἐπικείμενα βάρη, καὶ ὡς οἱ ποιηταὶ τὸν [z][1]Ἄτλαντα ποιοῦσι τὸν οὐρανὸν ἔχειν ὡς [a]συμπεσόντ' ἂν ἐπὶ τὴν γῆν, ὥσπερ [b]καὶ τῶν φυσιολόγων τινές [c]φασιν. Τοῦτον δὲ τὸν 4
τρόπον καὶ τὸ [d]συνέχον [e]λέγεται ἃ συνέχει ἔχειν, ὡς δια-

[f] τῷ] τὸ Ab.Hb. [g] ἰσότητα om. Ab. [h] καὶ τὸ φαύλως T, om. Ab.Fb. [i] πόδα T. [k] τὸν T. [l] τῷ T. [m] ἢ] ἢ τῷ E.T. [n] τὸ E.T.Ab.Fb. [o] ἔχον Hb. [p] καὶ τὸ om. Ab. [q] ἔχειν δὲ λέγεται Hb. [r] τρόπον om. E.T.Hb. [s] ἄγον Ab. [t] τὰ περιέχοντα Ab.Fb. [v] τὰ] καὶ Ab. [w] περιεχόμενόν] περιέχον Ab.Fb. [x] ἔχει E.T. [y] αὐτό] ταῦτα Ab. [z] ποιοῦσιν ἄτλαντα Ab.Hb. [a] συμπεσὸν T. [b] καὶ add. Ab.Fb. [c] post φασιν Ab. ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης. [d] συνέχειν T.Hb. [e] λέγεται—ἔχειν] ἔχειν λέγεται Ab.Hb.

χωρισθέντα ἂν κατὰ τὴν αὐτοῦ ὁρμὴν ἕκαστον. Καὶ τὸ ἓν τινι δὲ εἶναι [f] ὁμοιοτρόπως λέγεται καὶ ἑπομένως τῷ ἔχειν.

24 Τὸ ἔκ τινος εἶναι λέγεται ἕνα μὲν τρόπον ἐξ οὗ ἐστὶν ὡς ὕλης, καὶ τοῦτο διχῶς, ἢ κατὰ τὸ πρῶτον γένος ἢ κατὰ τὸ ὕστατον εἶδος, οἷον ἔστι μὲν ὡς ἅπαντα τὰ τηκτὰ ἐξ ὕδα-
2 τος, ἔστι δ' [g] ὡς ἐκ χαλκοῦ ὁ ἀνδριάς. [h] Ἕνα δ' [h] ὡς ἐκ [i] τῆς πρώτης κινησάσης ἀρχῆς, [k] οἷον ἐκ τίνος ἡ μάχη; [l] Ἐκ λοιδορίας, ὅτι [l] αὕτη ἀρχὴ τῆς μάχης. [h] Ἕνα δ' ἐκ τοῦ συνθέτου ἐκ τῆς ὕλης καὶ τῆς μορφῆς, ὥσπερ ἐκ τοῦ ὅλου τὰ μέρη καὶ ἐκ τῆς [l] Ἰλιάδος τὸ ἔπος καὶ ἐκ τῆς οἰκίας οἱ λίθοι· τέλος μὲν
3 γάρ ἐστιν ἡ μορφή, τέλειον δὲ τὸ ἔχον τέλος. Τὰ δὲ ὡς ἐκ τοῦ μέρους τὸ εἶδος, οἷον ὁ ἄνθρωπος ἐκ τοῦ δίποδος καὶ ἡ συλλαβὴ ἐκ τοῦ στοιχείου (ἄλλως γὰρ τοῦτο), καὶ ὁ ἀν-
δριὰς ἐκ [m] τοῦ χαλκοῦ· ἐκ τῆς αἰσθητῆς γὰρ ὕλης ἡ [n] συν-
4 θέτη οὐσία. [l] Ἀλλὰ καὶ τὸ εἶδος ἐκ τῆς τοῦ εἴδους ὕλης. Τὰ μὲν οὖν οὕτω λέγεται, τὰ δ' ἐὰν κατὰ μέρος τι τούτων τις ὑπάρχῃ τῶν τρόπων, οἷον ἐκ πατρὸς καὶ μητρὸς τὸ τέκνον καὶ ἐκ γῆς τὰ φυτά, ὅτι ἔκ τινος μέρους αὐτῶν. [h] Ἕνα δὲ μεθ' ὃ τῷ χρόνῳ, οἷον ἐξ ἡμέρας νὺξ καὶ ἐξ [o] εὐδίας χειμών, ὅτι
5 τοῦτο μετὰ τοῦτο. Τούτων δὲ τὰ μὲν τῷ ἔχειν μεταβολὴν εἰς ἄλληλα οὕτω λέγεται, ὥσπερ καὶ τὰ νῦν εἰρημένα, τὰ δὲ τῷ κατὰ τὸν χρόνον [p] ἐφεξῆς μόνον, οἷον ἐξ ἰσημερίας ἐγένετο ὁ πλοῦς, ὅτι μετ' ἰσημερίαν ἐγένετο, καὶ ἐκ Διονυσίων Θαργήλια, ὅτι μετὰ [q] τὰ Διονύσια.

25 Μέρος λέγεται ἕνα μὲν τρόπον εἰς ὃ [r] διαιρεθείη ἂν τὸ ποσὸν ὁπωσοῦν· ἀεὶ γὰρ τὸ ἀφαιρούμενον τοῦ ποσοῦ ἢ ποσὸν μέρος λέγεται ἐκείνου, οἷον τῶν τριῶν τὰ δύο μέρος λέγεταί πως. [h] Ἄλλον δὲ τρόπον τὰ καταμετροῦντα τῶν τοιούτων μόνον· διὸ τὰ δύο τῶν τριῶν ἔστι μὲν ὡς λέγεται μέρος,

[f] ὁμοτρόπως E.T. [g] ὥστ' A^b. [h] ὡς om. E.T. [i] τοῦ πρώτου κινήσαντος, omisso ἀρχῆς, $A^b.F^b$. [k] οἷον ἐκ τῆς λοιδορίας ἡ μάχη, ὅτι $A^b.F^b$. [l] αὐτὴ T.A^b. [m] τοῦ om. $A^b.F^b$. [n] σύνθετος T. [o] εὐδείας $A^b.H^b$. [p] ἐφεξῆς μόνον om. T. [q] τὰ om. A^b. [r] διαιρεθῇ H^b.

ἔστι δ' ὡς οὔ. Ἔτι εἰς ἃ τὸ εἶδος [s]διαιρεθείη ἂν ἄνευ τοῦ 2
ποσοῦ, καὶ ταῦτα μόρια λέγεται τούτου· διὸ τὰ εἴδη τοῦ
γένους φασὶν εἶναι μόρια. Ἔτι εἰς ἃ διαιρεῖταί [t]τι, ἢ ἐξ ὧν
σύγκειται τὸ ὅλον ἢ τὸ εἶδος ἢ τὸ ἔχον τὸ εἶδος, οἷον τῆς
σφαίρας τῆς χαλκῆς [v]ἢ τοῦ κύβου τοῦ χαλκοῦ καὶ ὁ χαλκὸς
μέρος· τοῦτο δ' ἐστὶν ἡ ὕλη ἐν ᾗ τὸ εἶδος. Καὶ ἡ γωνία 3
μέρος. Ἔτι τὰ ἐν τῷ λόγῳ τῷ δηλοῦντι ἕκαστον, καὶ ταῦτα
μόρια τοῦ ὅλου· διὸ τὸ γένος τοῦ εἴδους καὶ μέρος λέγεται,
ἄλλως δὲ τὸ εἶδος τοῦ γένους μέρος.

Ὅλον λέγεται οὗ τε μηθὲν ἄπεστι μέρος ἐξ ὧν λέγεται 26
ὅλον φύσει, καὶ τὸ περιέχον [w]τὰ περιεχόμενα ὥστε ἕν τι
εἶναι ἐκεῖνα. Τοῦτο δὲ διχῶς· ἢ γὰρ ὡς ἕκαστον ἕν, ἢ ὡς
ἐκ τούτων τὸ ἕν. Τὸ μὲν γὰρ καθόλου καὶ [x]τὸ ὅλως λεγό- 2
μενον ὡς ὅλον τι ὄν, οὕτως ἐστὶ καθόλου ὡς πολλὰ περιέχον
[y]τῷ κατηγορεῖσθαι καθ' ἑκάστου καὶ ἓν ἅπαντα εἶναι ὡς
ἕκαστον, οἷον ἄνθρωπον, ἵππον, θεόν, [z]ὅτι ἅπαντα ζῷα. Τὸ
δὲ συνεχὲς καὶ πεπερασμένον, ὅταν ἕν τι ἐκ πλειόνων ᾖ ἐνυ-
παρχόντων, μάλιστα μὲν δυνάμει, εἰ δὲ [a]μή, [b]ἐνεργείᾳ. Τού- 3
των δ' αὐτῶν μᾶλλον τὰ φύσει ἢ τέχνῃ τοιαῦτα, ὥσπερ καὶ
ἐπὶ τοῦ ἑνὸς [c]λέγομεν ὡς οὔσης τῆς [d]ὁλότητος ἑνότητός
τινος. Ἔτι τοῦ ποσοῦ [e]ἔχοντος ἀρχὴν καὶ μέσον καὶ ἔσχα-
τον, ὅσων μὲν μὴ [f]ποιεῖ ἡ θέσις διαφοράν, πᾶν λέγεται,
ὅσων δὲ ποιεῖ, ὅλον· ὅσα δὲ ἄμφω ἐνδέχεται, καὶ ὅλα καὶ
[g]πάντα. Ἔστι δὲ ταῦτα ὅσων ἡ μὲν φύσις ἡ αὐτὴ μένει τῇ 4
μεταθέσει, ἡ δὲ μορφὴ οὔ, οἷον κηρὸς καὶ ἱμάτιον· καὶ [h]γὰρ
ὅλον καὶ πᾶν λέγεται· ἔχει γὰρ ἄμφω. Ὕδωρ δὲ καὶ ὅσα
ὑγρὰ καὶ ἀριθμὸς πᾶν μὲν λέγεται, [i]ὅλος δ' ἀριθμὸς [k]καὶ
ὅλον ὕδωρ οὐ λέγεται, ἂν [l]μὴ μεταφορᾷ. Πάντα δὲ λέ-
γεται, ἐφ' [m]οἷς τὸ πᾶν ὡς ἐφ' ἑνί, ἐπὶ [n]τούτοις πάντα

[s] διαιρεθῆ Ab. [t] τι om. Ab. [v] ἢ ὁ τοῦ Ab. [w] τὰ] ἓν καὶ τὰ Ab.
[x] τὸ ὅλως] ὅλον Ab. [y] τῷ] τὸ T. [z] διότι Ab.Hb. [a] μή] μὴ καὶ T.
[b] ἐντελεχείᾳ Ab. [c] ἐλέγομεν Ab. [d] ἑνότητος ὁλότητός T. [e] ἔχοντος
δὲ ἀρχὴν Ab. [f] ποιεῖ ἡ] ποιῇ ἡ E. [g] πᾶν E.T. [h] γὰρ om. T. [i] ὅλος
δὲ] ὁ δὲ πᾶς ὅλος Ab. [k] καὶ] ἢ Ab. [l] μὴ κατὰ μεταφοράν Ab. [m] ὅσοις
Ab. [n] τούτοις τὰ πάντα Ab.

ὡς ἐπὶ διηρημένοις· πᾶς οὗτος ὁ ἀριθμός, πᾶσαι αὗται αἱ μονάδες.

27 Κολοβὸν δὲ λέγεται τῶν ποσῶν οὐ τὸ τυχόν, ἀλλὰ μεριστόν [o] τε [p] δεῖ αὐτὸ εἶναι καὶ ὅλον. Τά τε γὰρ δύο οὐ κολοβὰ θατέρου [q] ἀφαιρουμένου ἑνός (οὐ γὰρ ἴσον τὸ κολόβωμα καὶ τὸ [r] λοιπὸν οὐδέποτ' ἐστίν), οὐδ' [s] ὅλως ἀριθμὸς οὐδείς· καὶ γὰρ τὴν οὐσίαν δεῖ μένειν· εἰ κύλιξ κολοβός, [t] ἔτι 2 εἶναι κύλικα· ὁ δ' ἀριθμὸς οὐκέτι ὁ αὐτός. Πρὸς δὲ τούτοις κἂν [v] ἀνομοιομερῆ ᾖ, οὐδὲ ταῦτα πάντα· [w] ὁ γὰρ ἀριθμὸς ἔστιν [x] ὃς καὶ ἀνόμοια ἔχει μέρη, οἷον δυάδα, τριάδα. [y] Ἀλλ' ὅλως [y] ὅσων μὴ ποιεῖ ἡ θέσις διαφορὰν [z] οὐθὲν κολοβόν, οἷον ὕδωρ ἢ πῦρ, ἀλλὰ δεῖ τοιαῦτα εἶναι ἃ κατὰ τὴν οὐσίαν θέσιν 3 ἔχει. [a] Ἔτι συνεχῆ· ἡ γὰρ ἁρμονία ἐξ [a] ἀνομοιομερῶν μὲν καὶ θέσιν ἔχει, κολοβὸς δὲ οὐ γίνεται. Πρὸς δὲ τούτοις οὐδ' ὅσα [b] ὅλα, οὐδὲ ταῦτα ὁτουοῦν μορίου στερήσει κολοβά. Οὐ γὰρ [c] δεῖ οὔτε τὰ κύρια τῆς οὐσίας οὔτε τὰ [d] ὁπουοῦν ὄντα· οἷον [e] ἂν τρυπηθῇ ἡ κύλιξ, οὐ κολοβός, ἀλλ' ἂν τὸ οὖς ἢ 4 ἀκρωτήριόν τι. Καὶ ὁ ἄνθρωπος [f] οὐκ ἐὰν σάρκα ἢ τὸν σπλῆνα, ἀλλ' ἐὰν [g] ἀκρωτήριον, καὶ τοῦτο [h] οὐ πᾶν ἀλλ' ὃ μὴ [i] ἔχει γένεσιν ἀφαιρεθὲν ὅλον. Διὰ τοῦτο οἱ φαλακροὶ οὐ κολοβοί.

28 Γένος λέγεται τὸ [k] μὲν ἐὰν [l] ᾖ ἡ γένεσις συνεχὴς τῶν τὸ εἶδος ἐχόντων τὸ αὐτό, οἷον λέγεται ἕως ἂν ἀνθρώπων γένος ᾖ, [m] ὅτι ἕως ἂν [n] ᾖ, ἡ γένεσις [o] συνεχὴς αὐτῶν. Τὸ δὲ ἀφ' οὗ ἂν ὦσι πρώτου κινήσαντος εἰς τὸ εἶναι· οὕτω γὰρ [p] λέγονται [v] Ἕλληνες τὸ γένος οἱ δ' [v] Ἴωνες, [q] τῷ οἱ μὲν ἀπὸ [v] Ἕλληνος οἱ 2 δὲ ἀπὸ [v] Ἴωνος εἶναι πρώτου γεννήσαντος. Καὶ μᾶλλον οἱ ἀπὸ τοῦ γεννήσαντος ἢ τῆς ὕλης· λέγονται γὰρ καὶ ἀπὸ τοῦ

o τε om. T. p δεῖ αὐτὸ om. Ab. q ἀφηρημένου E. r λεῖπον Fb. s ὅλος Ab. t ἔτι] ἔτι δεῖ E.T. v ὁμοιομερῆ Ab. w ὁ] οὐδὲ T. x ὡς T.Ab. y ὅσων] ὧν E.T. z οὐδὲ T. a ἀνομοίων Ab. b ὅλα] ἄλλα Hb. c δεῖ] δὴ Ab. d ὁπωσοῦν T. e ἐὰν Ab. f οὐκ ἐὰν] οὐκ ἂν Ab. g ἀκρωτήριόν τι καὶ Ab. h οὔτ' ἂν Ab. i ἔχη E.Ab. k μὲν] μὲν ἓν Ab. l ᾖ om. Ab.Hb. m ὅτι ἕως] ὁτιοῦν Ab. n ᾖ om. Ab. o αὐτῶν συνεχής Ab. p λέγονται οἱ μὲν ἕλληνες Ab. q τῷ] τὸ T.

θήλεος τὸ γένος, οἷον [r]οἱ ἀπὸ Πύρρας. [u]Ἔτι [s]δὲ ὡς τὸ ἐπί-
πεδον τῶν σχημάτων [t]γένος τῶν ἐπιπέδων καὶ τὸ στερεὸν
τῶν στερεῶν· ἕκαστον γὰρ τῶν σχημάτων τὸ μὲν ἐπίπεδον
τοιονδί, τὸ δὲ στερεόν ἐστι τοιονδί· τοῦτο δ' ἐστὶ τὸ ὑποκεί-
μενον ταῖς διαφοραῖς. [u]Ἔτι ὡς ἐν τοῖς λόγοις τὸ πρῶτον 3
ἐνυπάρχον, [v]ὃ λέγεται ἐν τῷ τί ἐστι τοῦτο γένος, οὗ διαφοραὶ λέγονται αἱ ποιότητες. Τὸ μὲν οὖν γένος τοσαυταχῶς λέγεται, τὸ μὲν κατὰ γένεσιν συνεχῆ τοῦ αὐτοῦ εἴδους, τὸ δὲ κατὰ [w]τὸ πρῶτον κινῆσαν ὁμοειδές, τὸ δ' ὡς ὕλη· οὗ γὰρ ἡ διαφορὰ καὶ ἡ ποιότης ἐστί, τοῦτ' ἐστὶ τὸ ὑποκείμενον, ὃ λέγομεν ὕλην. [v]Ἕτερα δὲ τῷ γένει λέγεται 4
[x]ὧν ἕτερον τὸ πρῶτον ὑποκείμενον καὶ μὴ ἀναλύεται θάτερον εἰς θάτερον μηδ' ἄμφω εἰς ταὐτόν, οἷον τὸ εἶδος καὶ ἡ ὕλη ἕτερον τῷ γένει, καὶ ὅσα καθ' ἕτερον σχῆμα κατηγορίας τοῦ ὄντος λέγεται· τὰ μὲν γὰρ τί ἐστι σημαίνει τῶν ὄντων, τὰ δὲ ποιόν τι, τὰ δ' ὡς διήρηται πρότερον· οὐδὲ γὰρ ταῦτα ἀναλύεται οὔτ' εἰς ἄλληλα οὔτ' εἰς ἕν τι.

Τὸ ψεῦδος λέγεται [y]ἄλλον μὲν τρόπον ὡς πρᾶγμα [z]ψεῦ- 29
δος, καὶ τούτου τὸ μὲν τῷ μὴ συγκεῖσθαι ἢ ἀδύνατον εἶναι συντεθῆναι, ὥσπερ λέγεται τὸ τὴν διάμετρον εἶναι σύμμετρον ἢ τὸ σὲ καθῆσθαι· τούτων γὰρ ψεῦδος τὸ μὲν ἀεί, τὸ δὲ ποτέ· οὕτω γὰρ οὐκ ὄντα ταῦτα. Τὰ δὲ ὅσα ἐστὶ μὲν 2
ὄντα, πέφυκε μέντοι φαίνεσθαι ἢ μὴ οἷά ἐστιν ἢ ἃ μή ἐστιν, οἷον ἡ σκιαγραφία [a]καὶ τὰ ἐνύπνια· ταῦτα γὰρ ἔστι μέν τι, ἀλλ' οὐχ ὧν ἐμποιεῖ τὴν φαντασίαν. Πράγματα μὲν οὖν ψευδῆ οὕτω λέγεται, ἢ τῷ μὴ εἶναι αὐτά, ἢ τῷ τὴν ἀπ' αὐτῶν φαντασίαν μὴ [b]ὄντος εἶναι. Λόγος δὲ ψευδὴς ὁ τῶν 3
μὴ ὄντων ἢ ψευδής. Διὸ πᾶς λόγος ψευδὴς ἑτέρου ἢ οὗ ἐστὶν ἀληθής, οἷον ὁ τοῦ κύκλου ψευδὴς τριγώνου. [t]Ἑκάστου δὲ λόγος ἔστι μὲν ὡς εἷς ὁ τοῦ τί ἦν εἶναι, ἔστι δ' ὡς [c]πολ-

r οἱ add. A[b]. s δὲ om. A[b]. t γένος] τὸ γένος E. v ὃ om. A[b]. w τὸ post κατὰ om. E. x ὧν τε ἕτερον E. y ἄλλον] ἕνα H[b]. z ψευδές T. a καὶ τα ἐνύπνια] τὴν φαντασίαν T. b ὄντως T. c οἱ πολλοὶ T.

λοί, ἐπεὶ ταὐτό πως αὐτὸ καὶ αὐτὸ πεπονθός, οἷον Σωκράτης
4 [d] καὶ Σωκράτης μουσικός. [t]Ο δὲ ψευδὴς λόγος οὐθενός ἐστιν
ἁπλῶς λόγος. Διὸ [i]Αντισθένης ᾤετο [e] εὐήθως μηθὲν ἀξιῶν
λέγεσθαι πλὴν τῷ οἰκείῳ λόγῳ ἓν ἐφ' ἑνός· ἐξ ὧν συνέ-
βαινε μὴ εἶναι ἀντιλέγειν, σχεδὸν δὲ μηδὲ ψεύδεσθαι. [u]Ἔστι
δ' ἕκαστον λέγειν οὐ μόνον τῷ [f] αὐτοῦ λόγῳ, ἀλλὰ καὶ τῷ
ἑτέρου, ψευδῶς μὲν καὶ παντελῶς, ἔστι [g] δ' ὡς καὶ ἀληθῶς,
5 ὥσπερ τὰ ὀκτὼ διπλάσια τῷ τῆς δυάδος λόγῳ. Τὰ μὲν οὖν
οὕτω λέγεται ψευδῆ, ἄνθρωπος [h] δὲ ψευδὴς ὁ εὐχερὴς καὶ
προαιρετικὸς τῶν τοιούτων λόγων, [i] μὴ δι' ἕτερόν τι ἀλλὰ
δι' [k] αὐτό, καὶ [l] ὁ ἄλλοις ἐμποιητικὸς τῶν τοιούτων λόγων,
ὥσπερ [m] καὶ τὰ πράγματά φαμεν ψευδῆ εἶναι, ὅσα ἐμποιεῖ
[n] φαντασίαν ψευδῆ. Διὸ [o] ὁ ἐν τῷ [t]Ιππίᾳ λόγος παρα-
6 κρούεται ὡς ὁ αὐτὸς ψευδὴς καὶ ἀληθής. Τὸν δυνάμενον γὰρ
ψεύσασθαι λαμβάνει ψευδῆ, οὗτος δ' ὁ εἰδὼς καὶ ὁ φρόνιμος·
ἔτι τὸν [p] ἑκόντα [q] φαῦλον βελτίω. Τοῦτο δὲ ψεῦδος λαμ-
βάνει διὰ τῆς ἐπαγωγῆς (ὁ γὰρ ἑκὼν χωλαίνων τοῦ ἄκοντος
κρείττων), [r] τὸ χωλαίνειν τὸ μιμεῖσθαι λέγων, ἐπεὶ [s] εἴγε χω-
λὸς ἑκών, χείρων ἴσως, ὥσπερ ἐπὶ τοῦ ἤθους, καὶ [t] οὗτος.
30 Συμβεβηκὸς λέγεται ὃ ὑπάρχει μέν τινι καὶ ἀληθὲς εἰπεῖν,
οὐ [v] μέντοι οὔτ' ἐξ ἀνάγκης [w] οὔτ' ἐπὶ τὸ πολύ, οἷον εἴ τις
ὀρύττων φυτῷ βόθρον εὗρε θησαυρόν. Τοῦτο τοίνυν συμ-
βεβηκὸς τῷ ὀρύττοντι τὸν βόθρον, τὸ εὑρεῖν θησαυρόν· οὔτε
γὰρ ἐξ ἀνάγκης τοῦτο ἐκ τούτου ἢ μετὰ τοῦτο, οὔθ' ὡς ἐπὶ
2 τὸ πολὺ ἄν τις φυτεύῃ θησαυρὸν εὑρίσκει. Καὶ μουσικός
[x] γ' ἄν τις εἴη λευκός· ἀλλ' ἐπεὶ [y] οὔτε ἐξ ἀνάγκης οὔθ' ὡς
ἐπὶ τὸ πολὺ τοῦτο γίνεται, συμβεβηκὸς αὐτὸ λέγομεν. [v]Ὥστ'
ἐπεὶ ἔστιν ὑπάρχον [z] τι καὶ τινί, καὶ ἔνια τούτων καὶ ποῦ καὶ
ποτέ, ὅ τι ἂν ὑπάρχῃ μέν, ἀλλὰ μὴ διότι τοδὶ ἦν ἢ νῦν ἢ ἐν-

[d] καὶ Σωκράτης om. A^b. [e] ἀνοήτως H^b. [f] αὐτῷ T. [g] δ' οὖν ὡς T. [h] δὲ om. E. [i] μὴ] οὐ A^b. [k] αὐτό E, αὐτά A^b. [l] ὁ om. T. [m] φαμὲν καὶ πράγματα E.T. [n] ψευδῆ φαντασίαν A^b. [o] ὁ codicibus deest. [p] ἑκόντα] εἰδότα A^b. [q] τὰ φαῦλα E.T.A^b. [r] τὸ prius om. A^b. [s] εἴς γε χ. T. [t] οὕτως A^b, τοῦτο E.T. [v] μέντοιγε T. [w] οὔτε δὲ ἐπὶ A^b. [x] γ'] δὲ A^b. [y] οὐκ—οὐδ' A^b. [z] τι om. A^b.

ταῦθα, συμβεβηκὸς ἔσται. Οὐδὲ δὴ αἴτιον ὡρισμένον οὐθὲν 3
τοῦ συμβεβηκότος [a]ἀλλὰ τὸ τυχόν· τοῦτο δ' ἀόριστον.
Συνέβη [b]τῷ εἰς Αἴγιναν ἐλθεῖν, εἰ μὴ διὰ τοῦτο ἀφίκετο
ὅπως ἐκεῖ ἔλθῃ, ἀλλ' ὑπὸ χειμῶνος ἐξωσθεὶς [c]ἢ ὑπὸ λῃστῶν
ληφθείς. [d]Γέγονε μὲν [e]δὴ [f]καὶ [g]ἔστι τὸ συμβεβηκός, ἀλλ' 4
οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ ἕτερον· ὁ γὰρ χειμὼν [h]αἴτιος τοῦ μὴ
[i]ὅπου ἔπλει ἐλθεῖν, τοῦτο δ' [k]ἦν Αἴγινα. Λέγεται δὲ καὶ
ἄλλως συμβεβηκός, οἷον ὅσα ὑπάρχει [l]ἑκάστῳ καθ' αὐτὸ [m]μὴ
ἐν τῇ οὐσίᾳ ὄντα, [n]οἷον τῷ τριγώνῳ τὸ δύο ὀρθὰς ἔχειν. Καὶ
ταῦτα μὲν ἐνδέχεται ἀΐδια εἶναι, ἐκείνων δὲ οὐθέν. Λόγος δὲ
τούτου ἐν ἑτέροις.

Ε.

Αἱ ἀρχαὶ καὶ τὰ αἴτια ζητεῖται τῶν ὄντων, δῆλον [o]δὲ ὅτι
ᾗ ὄντα. [1]Ἔστι γάρ τι αἴτιον [p]ὑγιείας καὶ εὐεξίας, καὶ τῶν
μαθηματικῶν εἰσὶν ἀρχαὶ καὶ στοιχεῖα καὶ αἴτια, καὶ ὅλως
δὲ πᾶσα ἐπιστήμη διανοητικὴ ἢ μετέχουσά τι διανοίας περὶ
αἰτίας καὶ ἀρχάς ἐστιν ἢ ἀκριβεστέρας ἢ ἁπλουστέρας. [2]Ἀλλὰ 2
πᾶσαι αὗται περὶ [q]ἕν τι καὶ γένος τι περιγραψάμεναι περὶ
τούτου πραγματεύονται, ἀλλ' οὐχὶ περὶ ὄντος ἁπλῶς οὐδὲ ᾗ
ὄν, οὐδὲ τοῦ τί ἐστιν οὐθένα λόγον ποιοῦνται· ἀλλ' ἐκ τού-
του αἱ μὲν αἰσθήσει ποιήσασαι αὐτὸ δῆλον, αἱ δ' ὑπόθεσιν
λαβοῦσαι τὸ τί ἐστιν, οὕτω τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ
γένει περὶ ὃ εἰσιν ἀποδεικνύουσιν ἢ ἀναγκαιότερον ἢ μαλα-
κώτερον. Διόπερ φανερὸν ὅτι οὐκ ἔστιν ἀπόδειξις οὐσίας 3
οὐδὲ τοῦ τί ἐστιν ἐκ τῆς τοιαύτης ἐπαγωγῆς, ἀλλά τις ἄλλος
τρόπος τῆς δηλώσεως. [3]Ὁμοίως δὲ οὐδ' εἰ ἔστιν ἢ μή ἐστι
τὸ γένος περὶ ὃ πραγματεύονται οὐθὲν λέγουσι, διὰ τὸ [r]τῆς
αὐτῆς εἶναι διανοίας τό [s]τε τί ἐστι δῆλον ποιεῖν [t]καὶ εἰ [v]ἔστιν.
[4]Ἐπεὶ δὲ καὶ ἡ φυσικὴ ἐπιστήμη τυγχάνει οὖσα περὶ γένος 4

[a] ἀλλὰ om. E. [b] τῷ] τὸ E.Ab. [c] ἢ ὑπὸ λ. ληφθείς om. Fb.Hb. [d] γεγονὸς T. [e] δὴ om. T. [f] καὶ] ἢ Ab. [g] ἔστι] ἐπὶ T. [h] αἴτιος om. T. [i] ὅπου] οὗ Ab. [k] ἦν] εἶναι Ab. [l] ἑκάστῳ om. T. [m] μὴ] καὶ μὴ T. [n] οἷον] ὥσπερ Ab. [o] δὴ Ab, γὰρ Hb. [p] ὑγείας E. [q] ὄν Ab. [r] τῆς τοιαύτης T. [s] τε om. Ab. [t] καὶ τὸ εἰ Fb. [v] ἔστιν] ἔστι τοῦτο E.T.

τι τοῦ ὄντος (περὶ γὰρ τὴν τοιαύτην ἐστὶν οὐσίαν ἐν ᾗ ἡ ἀρχὴ τῆς κινήσεως καὶ στάσεως ἐν [w]αὐτῇ), δῆλον ὅτι οὔτε πρακτική ἐστιν οὔτε ποιητική. Τῶν μὲν γὰρ ποιητικῶν [x]ἐν τῷ ποιοῦντι ἡ ἀρχὴ ἢ νοῦς ἢ τέχνη ἢ δύναμίς τις, τῶν δὲ [y]πρακτικῶν ἐν τῷ πράττοντι ἡ προαίρεσις· τὸ αὐτὸ [z]γὰρ τὸ πρακτὸν καὶ [a]τὸ προαιρετόν. [v]Ὥστε [b]εἰ πᾶσα διάνοια ἢ πρακτικὴ ἢ ποιητικὴ ἢ θεωρητική, ἡ [c]φυσικὴ θεωρητική τις ἂν εἴη, ἀλλὰ θεωρητικὴ περὶ [d]τοιοῦτον ὂν ὅ ἐστι δυνατὸν κινεῖσθαι, καὶ περὶ οὐσίαν τὴν κατὰ τὸν λόγον ὡς ἐπὶ τὸ πολὺ 6 [e]οὐ χωριστὴν μόνον. Δεῖ δὲ τὸ τί ἦν εἶναι καὶ τὸν λόγον πῶς ἐστὶ μὴ λανθάνειν, ὡς ἄνευ γε τούτου τὸ ζητεῖν [f]μηθέν [g]ἐστι ποιεῖν. [h]Τῶν δ' ὁριζομένων [i]καὶ τῶν τί ἐστι τὰ μὲν [k]οὕτως ὑπάρχει ὡς τὸ σιμόν, τὰ δ' ὡς τὸ κοῖλον. Διαφέρει δὲ ταῦτα ὅτι τὸ μὲν σιμὸν συνειλημμένον ἐστὶ μετὰ τῆς ὕλης· ἔστι γὰρ τὸ [l]μὲν σιμὸν κοίλη ῥίς, ἡ δὲ κοιλότης ἄνευ 7 ὕλης αἰσθητῆς. Εἰ [m]δὴ πάντα τὰ φυσικὰ ὁμοίως τῷ σιμῷ λέγονται, οἷον ῥίς, ὀφθαλμός, πρόσωπον, σάρξ, [n]ὀστοῦν, ὅλως ζῷον, φύλλον, ῥίζα, φλοιός, ὅλως φυτόν ([o]οὐθενὸς γὰρ ἄνευ κινήσεως ὁ λόγος αὐτῶν, ἀλλ' [p]ἀεὶ ἔχει ὕλην), [p]δῆλον πῶς δεῖ ἐν τοῖς φυσικοῖς τὸ τί ἐστι ζητεῖν καὶ ὁρίζεσθαι, καὶ διότι καὶ περὶ ψυχῆς ἐνίας θεωρῆσαι τοῦ φυσικοῦ, ὅση μὴ 8 ἄνευ τῆς ὕλης ἐστίν. [v]Ὅτι μὲν οὖν ἡ φυσικὴ θεωρητική [q]τίς ἐστι, [r]φανερὸν ἐκ τούτων. [t]Ἀλλ' ἔστι καὶ ἡ μαθηματικὴ θεωρητική. [t]Ἀλλ' εἰ ἀκινήτων καὶ χωριστῶν [s]ἐστί, [t]νῦν ἄδηλον· ὅτι [v]μέντοι ἔνια μαθήματα ᾗ ἀκίνητα καὶ ᾗ χωριστὰ θεωρεῖ, δῆλον. Εἰ δέ [w]τί ἐστιν [x]ἀΐδιον καὶ ἀκίνητον καὶ 9 χωριστόν, φανερὸν ὅτι θεωρητικῆς τὸ γνῶναι. Οὐ μέντοι

[w] ἑαυτῇ Ab. [x] ἐν — πρακτικῶν om. T. [y] πρακτῶν E. [z] post γὰρ T. τῶν δὲ πρακτικῶν ἐν τῷ πράττοντι ἡ προαίρεσις. τὸ αὐτὸ γὰρ. [a] τὸ post καὶ om. Ab. [b] εἰ] ἡ T, om. Ab. [c] φύσις Hb. ἡ φυσικὴ θεωρητική om. Ab. [d] τοιοῦτο E.Ab. [e] οὐ] ὡς οὐ E.T, καὶ οὐ Fb. [f] οὐδέν Fb. [g] ποιεῖν ἐστιν E. [h] τῶν] ἔστι δὲ τῶν Ab.Fb, omisso δ'. [i] καὶ τῶν om. Fb. [k] οὕτως ὑπάρχει om. Ab. [l] μὲν om. E. [m] δὲ T. [n] ὀστοῦν om. T. [o] οὐδὲν ὅσον γὰρ T. [p] ἀεὶ et mox δῆλον om. Ab. [q] τίς add. Ab.Fb. [r] φανερὸν] δῆλον Hb. [s] ἐστί] ἔτι T. [t] ἄδηλον νῦν Fb. [v] μέντοι] μὲν οὖν E. [w] τί om. Fb. [x] ἀκίνητον καὶ ἀΐδιον E.T.

φυσικῆς γε (περὶ κινητῶν γάρ τινων ἡ φυσική), οὐδὲ [y]μαθηματικῆς, ἀλλὰ προτέρας ἀμφοῖν. [r]Ἡ μὲν γὰρ φυσικὴ περὶ ἀχώριστα μὲν ἀλλ' οὐκ ἀκίνητα, τῆς δὲ μαθηματικῆς ἔνια περὶ ἀκίνητα μὲν οὐ χωριστὰ δ' ἴσως, ἀλλ' [z]ὡς ἐν ὕλῃ· ἡ δὲ πρώτη καὶ περὶ χωριστὰ καὶ ἀκίνητα. [s]Ἀνάγκη δὲ πάντα 10
[a]μὲν τὰ αἴτια ἀΐδια [b]εἶναι, μάλιστα δὲ ταῦτα· ταῦτα γὰρ αἴτια τοῖς φανεροῖς τῶν [c]θείων. [v]Ὥστε τρεῖς ἂν εἶεν φιλοσοφίαι θεωρητικαί, μαθηματική, φυσική, θεολογική. Οὐ γὰρ ἄδηλον ὅτι εἴ που τὸ θεῖον ὑπάρχει, ἐν τῇ τοιαύτῃ φύσει ὑπάρχει· καὶ τὴν τιμιωτάτην [d]δεῖ περὶ τὸ τιμιώτατον γένος εἶναι. Αἱ μὲν οὖν θεωρητικαὶ τῶν ἄλλων ἐπιστημῶν αἱρετώ- 11
τεραι, αὕτη δὲ τῶν θεωρητικῶν. [t]Ἀπορήσειε γὰρ ἄν τις πότερόν ποθ' ἡ πρώτη φιλοσοφία καθόλου ἐστίν, ἢ περί τι γένος καὶ φύσιν [e]τινὰ μίαν. Οὐ γὰρ ὁ αὐτὸς τρόπος οὐδ' ἐν ταῖς μαθηματικαῖς, ἀλλ' ἡ μὲν γεωμετρία καὶ ἀστρολογία περί τινα φύσιν εἰσίν, [f]ἡ δὲ καθόλου [g]πασῶν κοινή. Εἰ μὲν 12
οὖν μή ἐστί τις ἑτέρα οὐσία παρὰ τὰς φύσει συνεστηκυίας, ἡ φυσικὴ ἂν εἴη πρώτη ἐπιστήμη· εἰ δ' ἔστί τις οὐσία ἀκίνητος, αὕτη προτέρα [h]καὶ φιλοσοφία πρώτη, καὶ καθόλου οὕτως ὅτι πρώτη· καὶ περὶ τοῦ ὄντος ᾗ ὄν, ταύτης ἂν εἴη θεωρῆσαι, καὶ τί ἐστι καὶ τὰ ὑπάρχοντα ᾗ ὄν.

[t]Ἀλλ' ἐπεὶ τὸ ὂν τὸ ἁπλῶς λεγόμενον [i]λέγεται πολλα- 2
χῶς, ὧν ἓν μὲν ἦν τὸ κατὰ συμβεβηκός, ἕτερον δὲ τὸ ὡς ἀληθές, καὶ τὸ μὴ ὂν ὡς [k]τὸ ψεῦδος, παρὰ ταῦτα δ' ἐστὶ τὰ σχήματα τῆς κατηγορίας, οἷον τὸ μὲν τί, τὸ δὲ ποιόν, [l]τὸ δὲ ποσόν, τὸ δὲ ποῦ, τὸ δὲ ποτέ, καὶ εἴ τι ἄλλο σημαίνει τὸν τρόπον τοῦτον· ἔτι παρὰ ταῦτα πάντα τὸ δυνάμει [m]καὶ ἐνεργείᾳ· [n]ἐπεὶ δὲ πολλαχῶς λέγεται τὸ ὄν, πρῶτον περὶ τοῦ κατὰ συμβεβηκὸς λεκτέον, ὅτι οὐδεμία [o]ἐστὶ περὶ αὐτὸ

y μαθηματικῆς γε ἀλλ' ἑτέρας προτέρας A^b. z ὡς om. T. a μὲν om. F^b. b εἶναι om. E.F^b. c θείων] αἰσθητῶν T. d δεῖ] ἀεὶ A^b. e τινὰ add. A^b.F^b. f ἡ] ἐκείνη E.T. g γρ. καὶ πᾶσι rc. E. h καὶ ἡ φιλοσοφία T. i λέγεται καὶ πολλαχῶς H^b. k τὸ post ὡς om. E. l τὸ δὲ ποσὸν om. T. m καὶ τὸ ἐνεργείᾳ A^b. n ἐπειδὴ E.T. o περὶ αὐτό ἐστι E.T.

2 θεωρία. Σημεῖον δέ· οὐδεμιᾷ γὰρ ἐπιστήμῃ ἐπιμελὲς περὶ αὐτοῦ οὔτε πρακτικῇ οὔτε ποιητικῇ οὔτε θεωρητικῇ. Οὔτε γὰρ ὁ ποιῶν οἰκίαν ποιεῖ ὅσα συμβαίνει ἅμα τῇ οἰκίᾳ γινομένῃ· ἄπειρα γάρ ἐστιν· τοῖς μὲν γὰρ ἡδεῖαν, τοῖς δὲ βλαβεράν, τοῖς δ' ὠφέλιμον οὐθὲν εἶναι κωλύει τὴν ποιηθεῖσαν, καὶ ἑτέραν ὡς εἰπεῖν πάντων τῶν ὄντων· ὧν οὐθενός ἐστιν ἡ
3 οἰκοδομικὴ ποιητική. Τὸν αὐτὸν [p]δὲ τρόπον οὐδ' ὁ γεωμέτρης [q]θεωρεῖ τὰ οὕτω συμβεβηκότα τοῖς σχήμασιν, οὐδ' εἰ ἕτερόν ἐστι τρίγωνον [r]καὶ τρίγωνον δύο ὀρθὰς ἔχον. Καὶ τοῦτο εὐλόγως συμπίπτει· ὥσπερ γὰρ [s]ὀνόματι μόνον τὸ συμβεβηκός ἐστιν. Διὸ Πλάτων τρόπον τινὰ οὐ κακῶς τὴν
4 σοφιστικὴν περὶ τὸ μὴ ὂν ἔταξεν. Εἰσὶ γὰρ οἱ τῶν σοφιστῶν λόγοι περὶ τὸ συμβεβηκὸς ὡς εἰπεῖν μάλιστα πάντων, πότερον ἕτερον ἢ ταὐτὸν μουσικὸν [t]καὶ γραμματικόν, καὶ μουσικὸς Κορίσκος [v]καὶ Κορίσκος, καὶ εἰ πᾶν ὃ ἂν ᾖ, μὴ ἀεὶ δέ, γέγονεν, ὥστ' εἰ μουσικὸς ὢν γραμματικὸς γέγονε; καὶ γραμματικὸς ὢν μουσικός, καὶ ὅσοι δὴ ἄλλοι τοιοῦτοι τῶν λόγων εἰσίν· φαίνεται γὰρ τὸ συμβεβηκὸς ἐγγύς τι τοῦ μὴ
5 ὄντος. Δῆλον δὲ καὶ ἐκ τῶν τοιούτων λόγων· τῶν μὲν γὰρ ἄλλον τρόπον ὄντων ἔστι γένεσις καὶ φθορά, τῶν δὲ κατὰ συμβεβηκὸς οὐκ ἔστιν. [1]Αλλ' ὅμως λεκτέον ἔτι περὶ τοῦ συμβεβηκότος ἐφ' [w]ὅσον ἐνδέχεται, τίς ἡ φύσις αὐτοῦ καὶ διὰ τίν' αἰτίαν ἐστίν· ἅμα γὰρ δῆλον [x]ἴσως ἔσται καὶ διὰ
6 τί ἐπιστήμη οὐκ ἔστιν αὐτοῦ. [1]Επεὶ οὖν ἐστὶν ἐν τοῖς οὖσι τὰ μὲν ἀεὶ ὡσαύτως ἔχοντα καὶ ἐξ ἀνάγκης, οὐ τῆς κατὰ τὸ βίαιον λεγομένης ἀλλ' ἣν λέγομεν [y]τῷ μὴ ἐνδέχεσθαι ἄλλως, τὰ δ' ἐξ ἀνάγκης μὲν οὐκ ἔστιν οὐδ' ἀεί, ὡς δ' ἐπὶ τὸ πολύ, αὕτη ἀρχὴ καὶ αὕτη αἰτία ἐστὶ τοῦ εἶναι τὸ συμβεβηκός· ὃ γὰρ ἂν ᾖ μήτ' ἀεὶ μήθ' ὡς ἐπὶ τὸ πολύ, τοῦτό φαμεν [z]συμ-
7 βεβηκὸς εἶναι. Οἷον ἐπὶ κυνὶ ἂν χειμὼν γένηται καὶ [a]ψῦχος,

p δὲ om. T. q θεωρεῖ post σχήμασιν $B^b.C^b.F^b$. r καὶ τρίγωνον om. S. s ὄνομά τι H^b. t καὶ γρ.] ἢ γρ. A^b. v καὶ Κορίσκος om. E. w ὅσων T. x ἴσως] εἴγ' T, om. H^b. y τῷ] τὸ $T.H^b$. z εἶναι συμβεβηκός H^b. a ψῦχος] πάγος H^b.

τοῦτο συμβῆναί φαμεν, ἀλλ' οὐκ ἂν πνῖγος καὶ ἀλέα, ὅτι τὸ μὲν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ, τὸ δ' οὔ. Καὶ τὸν ἄνθρωπον λευκὸν εἶναι συμβέβηκεν (οὔτε γὰρ ἀεὶ οὔθ' ὡς ἐπὶ τὸ πολύ), ζῷον δ' οὐ κατὰ συμβεβηκός. Καὶ τὸ ὑγιάζειν δὲ [b]τὸν οἰκο- 8
δόμον [c]κατὰ συμβεβηκός, ὅτι οὐ πέφυκε τοῦτο ποιεῖν οἰκοδόμος ἀλλ' ἰατρός, ἀλλὰ συνέβη ἰατρὸν εἶναι τὸν οἰκοδόμον. Καὶ ὀψοποιὸς [d]ἡδονῆς στοχαζόμενος ποιήσειεν ἄν [e]τι [f]ὑγιεινόν, ἀλλ' οὐ κατὰ τὴν ὀψοποιητικήν· διὸ συνέβη φαμέν, καὶ ἔστιν ὡς ποιεῖ, ἁπλῶς δ' οὔ. Τῶν μὲν γὰρ [g]ἄλλων [h]ἐνίοτε 9
δυνάμεις εἰσὶν αἱ ποιητικαί, τῶν δ' οὐδεμία τέχνη οὐδὲ δύναμις ὡρισμένη· τῶν γὰρ κατὰ συμβεβηκὸς ὄντων ἢ [i]γινομένων καὶ τὸ αἴτιόν ἐστι κατὰ συμβεβηκός. [v]Ὥστ' [k]ἐπειδὴ οὐ 10
πάντα ἐστὶν ἐξ ἀνάγκης καὶ ἀεὶ ἢ ὄντα ἢ γινόμενα, ἀλλὰ τὰ πλεῖστα ὡς ἐπὶ τὸ πολύ, ἀνάγκη εἶναι τὸ κατὰ συμβεβηκὸς ὄν· οἷον [l]οὔτ' ἀεὶ οὔθ' ὡς ἐπὶ τὸ [m]πολὺ ὁ λευκὸς μουσικός ἐστιν, ἐπεὶ δὲ γίγνεταί ποτε, κατὰ συμβεβηκὸς ἔσται. Εἰ δὲ μή, [n]πάντ' ἔσται ἐξ ἀνάγκης. [v]Ὥστε [o]ἡ ὕλη ἔσται [p]αἰτία ἡ 11
ἐνδεχομένη παρὰ τὸ ὡς ἐπὶ [q]τὸ πολὺ [r]ἄλλως τοῦ συμβεβηκότος. [t]Ἀρχὴν δὲ [s]τηνδὶ ληπτέον, πότερον οὐθέν ἐστιν οὔτ' αἰεὶ οὔθ' ὡς ἐπὶ τὸ πολύ, ἢ τοῦτο ἀδύνατον. [t']Εστιν ἄρα τι παρὰ ταῦτα τὸ ὁπότερ' ἔτυχε καὶ κατὰ συμβεβηκός. [t]Αλλὰ πότερον τὸ ὡς ἐπὶ τὸ πολύ, τὸ δ' ἀεὶ οὐθενὶ ὑπάρχει, ἢ ἐστὶν ἄττα ἀΐδια; Περὶ μὲν οὖν τούτων ὕστερον [v]σκε- 12
πτέον, ὅτι δ' ἐπιστήμη οὐκ ἔστι τοῦ συμβεβηκότος φανερόν· ἐπιστήμη μὲν γὰρ [w]πᾶσα ἢ τοῦ ἀεὶ ἢ τοῦ ὡς ἐπὶ τὸ πολύ. Πῶς [x]γὰρ ἢ μαθήσεται ἢ διδάξει ἄλλον; Δεῖ γὰρ ὡρίσθαι ἢ τῷ ἀεὶ ἢ τῷ ὡς ἐπὶ τὸ πολύ, οἷον [y]ὅτι ὠφέλιμον [z]τὸ μελίκρατον τῷ πυρέττοντι ὡς ἐπὶ τὸ πολύ. Τὸ δὲ παρὰ τοῦτο 13

[b] καὶ τὸ τὸν οἰκοδόμον ὑγείαν ποιῆσαι κ. E.T.H^b. [c] κατὰ συμβεβηκός] συμβεβηκός E, συμβέβηκεν T. [d] ἡδονῆ A^b. [e] τινι A^b.F^b.H^b. [f] ὑγίειαν H^b. [g] ἄλλαι Γ.A^b. [h] ἐνίοτε om. F^b.H^b. [i] γενομένων A^b. [k] ἐπεὶ A^b.H^b. [l] οὔτ'] τοῦτ' T. [m] πολὺ ἀνάγκη ὁ T. [n] πάντες τε ἐξ T. [o] ἔσται ἡ ὕλη A^b, ἡ ὕλη ἐστὶν H^b. [p] αἰτία post συμβεβηκότος A^b. [q] τὸ post ἐπὶ om. S. [r] ἄλλως om. A^b.H^b. [s] τὴν δὲ A^b.H^b. [t] ἔστιν] εἴη A^b. [v] ἐπισκεπτέον T. [w] πᾶσα] ὂν ἢ πᾶσα T. [x] γὰρ ἂν ἢ E. [y] ὅτι] τί T. [z] τῷ πυρέττοντι τὸ μελίκρατον T.

οὐχ ἕξει λέγειν, πότε [a] οὔ, οἷον νουμηνίᾳ· ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ καὶ [b] τὸ τῇ νουμηνίᾳ· τὸ δὲ συμβεβηκός ἐστι παρὰ ταῦτα. Τί μὲν οὖν ἐστὶ τὸ συμβεβηκὸς καὶ διὰ τίν' αἰτίαν, καὶ ὅτι ἐπιστήμη [c] οὐκ ἔστιν αὐτοῦ, εἴρηται.

3 [v]Οτι δ' εἰσὶν ἀρχαὶ καὶ αἴτια [d] γεννητὰ καὶ φθαρτὰ ἄνευ τοῦ γίγνεσθαι [e] καὶ φθείρεσθαι, φανερόν. Εἰ γὰρ μὴ τοῦτ', ἐξ ἀνάγκης πάντ' ἔσται, εἰ τοῦ γιγνομένου καὶ φθειρομένου [f] μὴ κατὰ συμβεβηκὸς αἴτιόν τι ἀνάγκη εἶναι. Πότερον [g] γὰρ ἔσται τοδὶ ἢ οὔ; [t]Εάν γε τοδὶ γένηται· εἰ δὲ μή, οὔ.

2 [h] Τοῦτο δὲ [i] ἄλλο. Καὶ οὕτω δῆλον ὅτι ἀεὶ χρόνου ἀφαιρουμένου ἀπὸ πεπερασμένου [k] χρόνου ἥξει ἐπὶ τὸ νῦν. [v]Ωστε ὅδε ἀποθανεῖται νόσῳ ἢ βίᾳ, ἐάν γε ἐξέλθῃ· [l] τοῦτο δὲ ἐὰν διψήσῃ· τοῦτο δὲ [m] ἐὰν ἄλλο· καὶ οὕτως ἥξει εἰς ὃ νῦν ὑπάρχει, ἢ εἰς τῶν γεγονότων τι· οἷον ἐὰν διψήσῃ· τοῦτο δ' εἰ ἐσθίει δριμέα· τοῦτο δ' ἤτοι ὑπάρχει ἢ οὔ· ὥστ' ἐξ ἀνάγκης

3 ἀποθανεῖται ἢ οὐκ ἀποθανεῖται. [t]Ομοίως δὲ κἂν ὑπερπηδήσῃ τις εἰς τὰ γένομενα, ὁ αὐτὸς λόγος· ἤδη γὰρ ὑπάρχει τοῦτο ἔν τινι, λέγω δὲ τὸ [n] γεγονός. [t]Εξ ἀνάγκης ἄρα πάντα ἔσται τὰ ἐσόμενα, [o] οἷον τὸ ἀποθανεῖν τὸν ζῶντα· ἤδη γάρ τι γέγονεν, οἷον τὰ ἐναντία ἐν τῷ αὐτῷ [p] σώματι· ἀλλ' εἰ

4 νόσῳ ἢ βίᾳ, οὕπω, ἀλλ' ἐὰν τοδὶ γένηται. Δῆλον ἄρα ὅτι μέχρι τινὸς βαδίζει ἀρχῆς, [q] αὕτη δ' [r] οὐκέτι εἰς ἄλλο. [v]Εσται οὖν ἡ τοῦ ὁπότερ' ἔτυχεν αὕτη, καὶ αἴτιον τῆς γενέσεως αὐτῆς [s] ἄλλο οὐθέν. [t]Αλλ' εἰς ἀρχὴν ποίαν καὶ αἴτιον ποῖον ἡ ἀναγωγὴ ἡ τοιαύτη, πότερον ὡς εἰς ὕλην ἢ ὡς [t] εἰς τὸ οὗ ἕνεκα ἢ ὡς εἰς τὸ κινῆσαν, μάλιστα σκεπτέον.

4 Περὶ μὲν οὖν τοῦ κατὰ συμβεβηκὸς ὄντος ἀφείσθω· διώρισται γὰρ [v] ἱκανῶς. Τὸ δὲ ὡς ἀληθὲς ὄν, καὶ μὴ ὂν ὡς ψεῦδος, ἐπειδὴ [w] περὶ σύνθεσίν ἐστι καὶ διαίρεσιν, τὸ δὲ σύν-

[a] οὔ om. A[b].F[b]. [b] τὸ ante τῇ add. E.F[b]. [c] αὐτοῦ οὐκ ἔστιν S. [d] γεννητὰ F[b]. [e] καὶ φθείρεσθαι om. F[b]. [f] μὴ om. S. [g] γὰρ om. H[b]. [h] γρ. τούτου margo E. [i] ἄλλου T. [k] χρόνου om. F[b]. [l] τοῦτο—διψήσῃ om. A[b].F[b]. [m] ἂν A[b]. [n] γένος T. [o] οἷον] ἢ S. [p] σώματι om. A[b]. [q] αὐτὴ E.T. [r] οὐκ ἔστιν εἰς T. [s] ἄλλο add. A[b]. [t] εἰς alteram om. A[b]. [v] ἱκανῶς om. F[b]. [w] περὶ F[b].H[b]: ceteri παρὰ.

ολον περὶ μερισμὸν [x] ἀντιφάσεως. Τὸ μὲν γὰρ ἀληθὲς τὴν [y] κατάφασιν ἐπὶ τῷ συγκειμένῳ ἔχει, τὴν δ' ἀπόφασιν ἐπὶ τῷ διῃρημένῳ, τὸ δὲ ψεῦδος τούτου τοῦ [z] μερισμοῦ τὴν ἀντίφασιν. Πῶς δὲ τὸ ἅμα ἢ τὸ χωρὶς [a] νοεῖν συμβαίνει, ἄλλος 2
λόγος. Λέγω [b] δὲ τὸ ἅμα [c] καὶ [d] τὸ χωρὶς ὥστε μὴ [e] τὸ ἐφεξῆς ἀλλ' ἔν τι γίγνεσθαι· οὐ γάρ ἐστι τὸ [f] ψεῦδος καὶ τὸ ἀληθὲς ἐν τοῖς πράγμασιν, οἷον τὸ μὲν ἀγαθὸν ἀληθές, τὸ δὲ κακὸν [g] εὐθὺς ψεῦδος, ἀλλ' ἐν διανοίᾳ· περὶ δὲ τὰ [h] ἁπλᾶ καὶ τὰ τί ἐστιν οὐδ' ἐν [i] τῇ διανοίᾳ. [v]Οσα [k] μὲν οὖν δεῖ θεωρῆσαι 3
περὶ τὸ [l] οὕτως ὂν καὶ μὴ ὄν, ὕστερον ἐπισκεπτέον. [1]Ἐπεὶ δὲ ἡ συμπλοκή ἐστιν [m] καὶ ἡ διαίρεσις ἐν διανοίᾳ ἀλλ' οὐκ ἐν τοῖς πράγμασι, τὸ δ' οὕτως ὂν ἕτερον ὂν τῶν [n] κυρίως (ἢ γὰρ τὸ τί ἐστιν ἢ ὅτι ποιὸν ἢ ὅτι ποσὸν ἢ [o] εἴ τι ἄλλο συνάπτει ἢ ἀφαιρεῖ ἡ διάνοια), τὸ μὲν [p] ὡς συμβεβηκὸς καὶ τὸ ὡς [q] ἀληθὲς ὂν ἀφετέον. Τὸ γὰρ αἴτιον τοῦ μὲν ἀόριστον, τοῦ 4
δὲ τῆς διανοίας τι πάθος, καὶ ἀμφότερα περὶ τὸ λοιπὸν γένος τοῦ ὄντος, καὶ οὐκ ἔξω δηλοῦσιν οὖσάν τινα φύσιν [r] τοῦ ὄντος. Διὸ ταῦτα μὲν ἀφείσθω, σκεπτέον δὲ τοῦ ὄντος αὐτοῦ τὰ αἴτια καὶ τὰς ἀρχὰς ᾗ ὄν. Φανερὸν δ' ἐν οἷς διωρισάμεθα περὶ τοῦ ποσαχῶς λέγεται ἕκαστον, [s] ὅτι πολλαχῶς λέγεται τὸ ὄν.

Ζ.

Τὸ ὂν λέγεται πολλαχῶς, καθάπερ διειλόμεθα πρότερον ἐν τοῖς περὶ τοῦ ποσαχῶς· σημαίνει γὰρ τὸ μὲν τί ἐστι καὶ τόδε τι, τὸ δὲ [t] ὅτι ποιὸν ἢ ποσὸν ἢ τῶν ἄλλων ἕκαστον τῶν οὕτω κατηγορουμένων. Τοσαυταχῶς δὲ λεγομένου τοῦ ὄντος φανερὸν ὅτι τούτων πρῶτον ὂν [v] τὸ τί ἐστιν, ὅπερ σημαίνει

x ἀντιφάσεων S. y κατὰ ἐπὶ τῶν συγκειμένων T. z ὁρισμοῦ T. a νοεῖν post δὲ Hᵇ. b δὴ Hᵇ. c καὶ] ἢ E. d τὸ om. Aᵇ.Fᵇ. e τῷ E.S.Aᵇ. f ψεῦδός τε καὶ E. g εὐθὺ Aᵇ, om. E.T. h ἁπλῶς S. i τῇ om. T.Aᵇ. k μὲν om. Hᵇ. l οὕτως] ὄντως Hᵇ. m καὶ] ἢ E.S, om. T. n κυρίων E.T. o εἴ om. Aᵇ.Fᵇ. p ὡς σ.] οὖν σ. T. q ἀληθῶς Aᵇ.Fᵇ. r τοῦ om. Aᵇ. s ὅτι—ὄν om. Aᵇ. post ὄν E.S. σημαίνει γὰρ τὸ μὲν τί ἐστιν, E. etiam τοῦτο δοκεῖ ἀτελὲς εἶναι. t ὅτι om. Aᵇ. v τὸ om. T.

2 τὴν οὐσίαν. Ὅταν μὲν γὰρ εἴπωμεν ποιόν τι τόδε, ἢ ἀγαθὸν λέγομεν ἢ [w]κακόν, ἀλλ' οὐ τρίπηχυ ἢ ἄνθρωπον· ὅταν δὲ τί ἐστιν, οὐ λευκὸν οὐδὲ θερμὸν οὐδὲ τρίπηχυ, ἀλλ' ἄνθρωπον ἢ θεόν. Τὰ δ' ἄλλα λέγεται [x]ὄντα [y]τῷ τοῦ [z]οὕτως ὄντος τὰ μὲν [a]ποσότητας εἶναι, τὰ δὲ ποιότητας, τὰ δὲ πάθη, τὰ
3 δὲ ἄλλο τι [b]τοιοῦτον. Διὸ [c]κἂν ἀπορήσειέ τις πότερον τὸ βαδίζειν καὶ τὸ ὑγιαίνειν καὶ τὸ καθῆσθαι ἕκαστον αὐτῶν ὂν [d]ἢ μὴ ὄν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁτουοῦν τῶν τοιούτων· οὐθὲν γὰρ αὐτῶν ἐστὶν οὔτε καθ' αὑτὸ πεφυκὸς οὔτε χωρίζεσθαι δυνατὸν τῆς οὐσίας, ἀλλὰ μᾶλλον, εἴπερ, τὸ βαδίζον τῶν ὄντων [e]τι καὶ τὸ καθήμενον καὶ τὸ ὑγιαῖνον.
4 Ταῦτα δὲ μᾶλλον φαίνεται ὄντα, διότι ἐστί τι τὸ ὑποκείμενον αὐτοῖς ὡρισμένον· τοῦτο δ' ἐστὶν ἡ οὐσία καὶ τὸ καθ' ἕκαστον, ὅπερ ἐμφαίνεται ἐν τῇ κατηγορίᾳ τῇ τοιαύτῃ· τὸ ἀγαθὸν γὰρ ἢ τὸ καθήμενον οὐκ ἄνευ τούτου λέγεται. Δῆ-
5 λον οὖν ὅτι διὰ ταύτην κἀκείνων ἕκαστόν ἐστιν. [v]Ὥστε τὸ πρώτως ὂν καὶ οὐ τὶ ὂν ἀλλ' ὂν ἁπλῶς ἡ οὐσία ἂν εἴη. Πολλαχῶς μὲν οὖν λέγεται τὸ πρῶτον· ὅμως δὲ [f]πάντων ἡ οὐσία [g]πρῶτον καὶ λόγῳ καὶ γνώσει καὶ χρόνῳ. Τῶν μὲν γὰρ
6 ἄλλων κατηγορημάτων οὐθὲν χωριστόν, αὕτη δὲ μόνη. Καὶ τῷ λόγῳ δὲ τοῦτο πρῶτον· ἀνάγκη γὰρ ἐν τῷ [h]ἑκάστου λόγῳ τὸν τῆς [i]οὐσίας ἐνυπάρχειν. Καὶ εἰδέναι [k]τότ' οἰόμεθα ἕκαστον μάλιστα, ὅταν τί ἐστιν ὁ ἄνθρωπος γνῶμεν ἢ [l]τὸ πῦρ, μᾶλλον ἢ τὸ ποιὸν ἢ τὸ ποσὸν ἢ τὸ ποῦ, ἐπεὶ καὶ αὐτῶν τούτων τότε ἕκαστον ἴσμεν, ὅταν τί [m]ἐστι τὸ
7 ποσὸν ἢ τὸ ποιὸν [n]γνῶμεν. Καὶ δὴ καὶ τὸ πάλαι τε [o]καὶ νῦν καὶ ἀεὶ ζητούμενον καὶ ἀεὶ ἀπορούμενον, τί τὸ ὄν, τοῦτό ἐστι τίς [p]ἡ οὐσία. Τοῦτο γὰρ οἱ μὲν ἓν εἶναί φασιν, οἱ δὲ πλείω ἢ ἕν, καὶ οἱ μὲν πεπερασμένα, οἱ δὲ ἄπειρα. Διὸ καὶ

[w] καλόν Ab.Fb. [x] ὄντα om. Fb. [y] τῷ] τὸ T. [z] οὕτως] ὄντως T. [a] εἶναι ποσότητες Fb. [b] τοιοῦτον om. Ab.Fb. [c] καὶ T.Ab. [d] ἢ μὴ ὄν] σημαίνει Ab. [e] τι om. Ab.Fb. [f] πάντως Ab. [g] πρῶτον καὶ φύσει καὶ Hb. [h] ἑκάστω T. [i] οὐσίας λόγον ἐνυπάρχειν E.T. [k] τοῦτο T. [l] τὸ ante πῦρ om. Ab. [m] ἐστι] ἐστιν ἢ E.T. [n] εἰδῶμεν E.T. [o] καὶ νῦν om. E. [p] ἡ om. T.

ἡμῖν καὶ μάλιστα καὶ πρῶτον καὶ μόνον ὡς εἰπεῖν περὶ τοῦ οὕτως ὄντος θεωρητέον τί ἐστιν.

Δοκεῖ [q] δ' ἡ οὐσία ὑπάρχειν φανερώτατα μὲν τοῖς σώ- 2
μασιν· διὸ τά τε ζῷα καὶ τὰ φυτὰ καὶ τὰ μόρια αὐτῶν οὐσίας εἶναί φαμεν, καὶ τὰ φυσικὰ σώματα, οἷον πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ τῶν τοιούτων ἕκαστον, καὶ ὅσα [r] ἢ μόρια τούτων ἢ ἐκ τούτων ἐστίν, ἢ μορίων ἢ πάντων, οἷον ὅ τε οὐρανὸς καὶ τὰ μόρια αὐτοῦ, ἄστρα καὶ σελήνη καὶ ἥλιος. Πό- 2
τερον δὲ [s] αὗται μόναι [t] οὐσίαι εἰσὶν ἢ καὶ [v] ἄλλαι, ἢ τούτων μὲν οὐθὲν ἕτεραι δέ τινες, σκεπτέον. Δοκεῖ δέ τισι τὰ τοῦ σώματος πέρατα, οἷον ἐπιφάνεια καὶ γραμμὴ καὶ στιγμὴ καὶ μονάς, εἶναι οὐσίαι, καὶ μᾶλλον ἢ [w] τὸ σῶμα καὶ τὸ στερεόν. [u] Ἔτι παρὰ τὰ αἰσθητὰ οἱ μὲν οὐκ οἴονται εἶναι οὐθὲν 3
τοιοῦτον, οἱ δὲ πλείω καὶ μᾶλλον ὄντα ἀΐδια, ὥσπερ Πλάτων τά τε εἴδη καὶ τὰ μαθηματικὰ δύο οὐσίας, [x] τρίτην δὲ τὴν τῶν αἰσθητῶν σωμάτων οὐσίαν. Σπεύσιππος δὲ [y] καὶ 4
πλείους οὐσίας ἀπὸ τοῦ ἑνὸς ἀρξάμενος, καὶ ἀρχὰς ἑκάστης οὐσίας ἄλλην μὲν ἀριθμῶν, ἄλλην δὲ [z] μεγεθῶν, ἔπειτα ψυχῆς· καὶ τοῦτον δὴ τὸν τρόπον ἐπεκτείνει τὰς οὐσίας. [u] Ἔνιοι δὲ τὰ μὲν εἴδη καὶ τοὺς ἀριθμοὺς τὴν αὐτὴν ἔχειν φασὶ φύσιν, τὰ δὲ ἄλλα ἐχόμενα, γραμμὰς καὶ ἐπίπεδα, μέχρι πρὸς τὴν τοῦ οὐρανοῦ οὐσίαν καὶ τὰ αἰσθητά. Περὶ [a] δὴ 5
τούτων τί λέγεται καλῶς ἢ μὴ καλῶς, καὶ τίνες εἰσὶν οὐσίαι, καὶ πότερον εἰσί τινες παρὰ τὰς αἰσθητὰς ἢ οὐκ εἰσί, καὶ αὗται πῶς εἰσί, καὶ πότερον ἔστι τις χωριστὴ οὐσία, καὶ διὰ τί καὶ πῶς, ἢ οὐδεμία παρὰ τὰς αἰσθητάς, σκεπτέον, ὑποτυπωσαμένοις τὴν οὐσίαν [b] πρῶτον τί ἐστιν.

Λέγεται [c] δ' ἡ οὐσία, εἰ μὴ πλεοναχῶς, ἀλλ' ἐν τέτταρσί 3
γε μάλιστα· καὶ γὰρ τὸ τί [d] ἦν εἶναι καὶ τὸ καθόλου καὶ τὸ γένος οὐσία δοκεῖ εἶναι ἑκάστου, καὶ τέταρτον τούτων τὸ

[q] δ' ἡ] δὴ T. [r] ἢ] δὴ Ab. [s] αὐταὶ E. [t] εἰσὶν οὐσίαι Hb. [v] post ἄλλαι E.T. ἢ τούτων τινὲς ἢ καὶ ἄλλαι (vel ἄλλων), Ab. τινὲς καὶ ἄλλων ἢ τούτων. [w] τῶ σῶμα ἢ τὸ T. [x] τρίτην—ἑνὸς om. pr. T. [y] καὶ om. Ab. [z] μεγεθῶν καὶ ἔπειτα T. [a] δὲ E.T. [b] πρῶτον om. Fb. [c] δὴ T, δὲ Ab. [d] ἦν om. T.

ὑποκείμενον. Τὸ δ' ὑποκείμενόν ἐστι καθ' οὗ τὰ ἄλλα λέγεται, ἐκεῖνο δὲ αὐτὸ μηκέτι κατ' ἄλλου. Διὸ πρῶτον περὶ τούτου διοριστέον· μάλιστα [e]γὰρ δοκεῖ εἶναι οὐσία τὸ ὑποκεί-
2 μενον πρῶτον. Τοιοῦτον [f]δὲ τρόπον μέν τινα ἡ ὕλη [g]λέγεται, ἄλλον δὲ τρόπον ἡ μορφή, τρίτον δὲ τὸ ἐκ τούτων. [h]Λέγω δὲ τὴν μὲν ὕλην οἷον τὸν χαλκόν, τὴν δὲ μορφὴν τὸ σχῆμα τῆς ἰδέας, τὸ δ' ἐκ τούτων [i]τὸν ἀνδριάντα τὸ σύνολον. [v]Ὥστε εἰ τὸ εἶδος τῆς ὕλης πρότερον καὶ μᾶλλον ὄν, καὶ [k]τοῦ
3 ἐξ ἀμφοῖν πρότερον ἔσται διὰ τὸν αὐτὸν λόγον. Νῦν μὲν οὖν τύπῳ εἴρηται τί ποτ' ἐστὶν ἡ οὐσία, ὅτι τὸ μὴ καθ' ὑποκειμένου ἀλλὰ καθ' οὗ τὰ ἄλλα. Δεῖ δὲ [l]μὴ μόνον οὕτως· οὐ γὰρ ἱκανόν. Αὐτό [m]τε γὰρ τοῦτο ἄδηλον, καὶ ἔτι ἡ ὕλη οὐσία γίνεται. Εἰ γὰρ μὴ [n]αὕτη οὐσία, τίς ἐστιν ἄλλη δια-
4 φεύγει. Περιαιρουμένων γὰρ τῶν ἄλλων οὐ φαίνεται οὐθὲν ὑπομένον. Τὰ μὲν γὰρ ἄλλα τῶν σωμάτων πάθη καὶ [o]ποιήματα καὶ δυνάμεις, τὸ δὲ μῆκος καὶ πλάτος καὶ βάθος ποσότητές τινες ἀλλ' οὐκ οὐσίαι· τὸ γὰρ ποσὸν οὐκ οὐσία, ἀλλὰ μᾶλλον ᾧ ὑπάρχει [p]ταῦτα πρώτῳ, ἐκεῖνό ἐστιν [q]ἡ οὐσία.
5 [r]Αλλὰ [r]μὴν ἀφαιρουμένου μήκους καὶ πλάτους καὶ βάθους οὐθὲν ὁρῶμεν ὑπολειπόμενον, πλὴν εἴ τι ἔστι τὸ ὁριζόμενον ὑπὸ τούτων, ὥστε τὴν ὕλην ἀνάγκη φαίνεσθαι [s]μόνην οὐσίαν οὕτω σκοπουμένοις. Λέγω [t]δ' ὕλην [v]ἣ καθ' αὐτὴν [w]μήτε τὶ μήτε ποσὸν μήτε ἄλλο μηθὲν λέγεται οἷς ὥρισται τὸ ὄν.
6 [v]Εστι γάρ τι καθ' οὗ κατηγορεῖται τούτων ἕκαστον, [x]ᾧ τὸ εἶναι ἕτερον καὶ τῶν κατηγοριῶν ἑκάστῃ· τὰ μὲν γὰρ ἄλλα τῆς οὐσίας κατηγορεῖται, αὕτη δὲ τῆς ὕλης. [v]Ὥστε τὸ ἔσχατον [y]καθ' αὑτὸ οὔτε τὶ οὔτε ποσὸν οὔτε ἄλλο οὐθέν ἐστιν. Οὐδὲ δὴ αἱ ἀποφάσεις· καὶ γὰρ αὗται [z]ὑπάρξουσι κατὰ συμ-
7 βεβηκός. [t]Εκ μὲν οὖν τούτων θεωροῦσι συμβαίνει οὐσίαν

e γὰρ] δὲ T. f δὴ S. g φαίνεται Ab.Hb. h λέγω δὲ om. Ab. i τὸν om. idem. k τὸ Ab.Fb. l μὴ E.S.Ab: vulgo οὐ. m τε om. Ab. n αὐτὴ Ab. o ποιήματα καὶ] ποιητικαὶ T. p ταῦτα αὐτὰ πρώτως E.T. q ἡ om. Ab. r μὴν καὶ ἀφαιρουμένου Ab. s μόνον T. t δὴ Hb. v ἣ S.Fb. w μήτε τι] μηκέτι S, om. Hb. x ᾧ] ὥστε Ab. y καθαυτὸν S. z ὑπάρχουσι T.

εἶναι τὴν ὕλην. [1]Ἀδύνατον δέ· καὶ γὰρ τὸ χωριστὸν καὶ [a]τὸ τόδε τι ὑπάρχειν δοκεῖ μάλιστα τῇ οὐσίᾳ, διὸ τὸ [b]εἶδος καὶ τὸ ἐξ ἀμφοῖν οὐσία δόξειεν ἂν [c]εἶναι μᾶλλον τῆς ὕλης. Τὴν 8
μὲν [d]τοίνυν ἐξ ἀμφοῖν οὐσίαν, λέγω [e]δὲ τὴν ἔκ [f]τε τῆς ὕλης καὶ τῆς μορφῆς, ἀφετέον· ὑστέρα [g]γὰρ καὶ δῆλη. Φανερὰ δέ πως [h]καὶ ἡ ὕλη. Περὶ δὲ τῆς τρίτης σκεπτέον· αὕτη γὰρ ἀπορωτάτη. [i]Ὁμολογοῦνται δ' οὐσίαι εἶναι τῶν αἰσθητῶν τινές, ὥστε ἐν ταύταις ζητητέον πρῶτον.

[1]Ἐπεὶ δ' ἐν ἀρχῇ διειλόμεθα πόσοις [k]ὁρίζομεν τὴν οὐ- 4
σίαν, καὶ τούτων ἕν τι [l]ἐδόκει εἶναι τὸ τί ἦν εἶναι, θεωρητέον περὶ αὐτοῦ· πρὸ ἔργου γὰρ τὸ μεταβαίνειν εἰς τὸ γνωριμώτερον. [1]Ἡ γὰρ μάθησις οὕτω γίνεται [m]πᾶσι διὰ τῶν ἧττον 2
γνωρίμων [n]φύσει εἰς τὰ γνώριμα μᾶλλον· καὶ [o]τοῦτο ἔργον ἐστίν, ὥσπερ [p]ἐν ταῖς πράξεσι τὸ ποιῆσαι ἐκ τῶν [q]ἑκάστῳ ἀγαθῶν τὰ ὅλως ἀγαθὰ ἑκάστῳ ἀγαθά, οὕτως ἐκ τῶν αὐτῷ γνωριμωτέρων τὰ τῇ φύσει [r]γνώριμα αὐτῷ γνώριμα. Τὰ 3
δ' ἑκάστοις γνώριμα καὶ πρῶτα πολλάκις ἠρέμα [s]ἐστὶ γνώριμα, καὶ μικρὸν ἢ οὐθὲν ἔχει τοῦ ὄντος· ἀλλ' ὅμως ἐκ τῶν φαύλως μὲν [t]γνωστῶν, [v]αὐτῷ δὲ γνωστῶν, τὰ ὅλως γνωστὰ γνῶναι πειρατέον, [w]μεταβαίνοντας, ὥσπερ εἴρηται, διὰ τούτων αὐτῶν. Καὶ πρῶτον εἴπωμεν ἕνια περὶ αὐτοῦ λογικῶς, 4
ὅτι ἔστι τὸ τί ἦν εἶναι ἕκαστον ὃ λέγεται καθ' αὑτό. Οὐ γάρ ἐστι τὸ σοὶ εἶναι τὸ μουσικῷ εἶναι· οὐ γὰρ κατὰ σαυτὸν εἶ μουσικός. [x]Ὁ ἄρα κατὰ σαυτόν. Οὐδὲ δὴ τοῦτο πᾶν· οὐ γὰρ τὸ οὕτως καθ' αὐτὸ ὡς ἐπιφάνεια λευκόν, ὅτι οὐκ ἔστι τὸ ἐπιφανείᾳ εἶναι τὸ [y]λευκῷ εἶναι. [1]Ἀλλὰ μὴν οὐδὲ 5
τὸ ἐξ ἀμφοῖν τὸ [z]ἐπιφανείᾳ λευκῇ εἶναι. Διὰ τί; [v]Ὅτι

[a] τὸ om. A[b].H[b]. [b] εἶδος] εἶδος τὸ χωριστὸν H[b]. [c] μᾶλλον εἶναι T. [d] τοίγε νῦν T. [e] δὴ H[b]. [f] τε add. A[b]. [g] γὰρ] δὲ S. [h] καὶ ante ἡ om. T. [i] ἐπειδὴ ἐν H[b]. [k] ὁριζόμεθα H[b]. [l] δοκεῖ E.T. [m] πᾶσι om. H[b]. [n] τῇ φύσει H[b]. [o] τοῦτο] τὸ αὐτὸ E.T. [p] ἐν ταῖς] ἐνίαις A[b]. [q] ἑκάστου H[b]. [r] αὐτῷ γνώριμα om. A[b]. [s] ἐστὶ add. A[b].F[b]. [t] γνωριστῶν T.A[b]. [v] αὐτῷ δὲ γνωστῶν om. E. [w] μεταβαίνοντα A[b]. [x] ὃ ἄρα κατὰ σαυτόν om. A[b]. [y] λευκὸν A[b]. [z] ἐπιφάνεια λευκή, ὅτι πρόσεστιν A[b].

πρόσεστιν [a]αὐτό. [1]Ἐν ᾧ ἄρα μὴ [b]ἐνέσται λόγῳ [c]αὐτό, λέγοντι [d]αὐτό, οὗτος ὁ λόγος τοῦ τί ἦν εἶναι ἑκάστῳ. [v]Ὥστ' εἰ τὸ [e]ἐπιφανείᾳ λευκῇ εἶναί ἐστι τὸ [e]ἐπιφανείᾳ εἶναι λείᾳ, 6 [f]τὸ λευκῷ καὶ λείῳ εἶναι τὸ αὐτὸ καὶ ἕν. [g][1]Ἐπεὶ δ' ἐστὶ [h]καὶ κατὰ τὰς ἄλλας κατηγορίας σύνθετα (ἔστι γάρ τι ὑποκείμενον ἑκάστῳ, οἷον τῷ ποιῷ καὶ [i]τῷ ποσῷ καὶ τῷ ποτὲ καὶ τῷ ποῦ καὶ τῇ κινήσει), σκεπτέον ἆρ' ἔστι λόγος τοῦ τί ἦν [k]εἶναι ἑκάστῳ αὐτῶν, καὶ ὑπάρχει καὶ τούτοις τὸ τί ἦν εἶναι, 7 οἷον λευκῷ ἀνθρώπῳ [l]τί ἦν λευκῷ ἀνθρώπῳ. [1]Ἔστω δὴ ὄνομα [m]αὐτῷ ἱμάτιον. Τί ἐστι τὸ ἱματίῳ εἶναι; [1]Ἀλλὰ μὴν [n]οὐδὲ τῶν καθ' αὐτὸ [o]λεγομένων οὐδὲ τοῦτο. [n]Ἢ τὸ οὐ καθ' αὐτὸ λέγεται διχῶς, καὶ τούτου [p]ἐστὶ τὸ μὲν ἐκ προσθέσεως, τὸ 8 δὲ οὔ. Τὸ μὲν γὰρ [q]τῷ αὐτὸ ἄλλῳ προσκεῖσθαι λέγεται ὃ ὁρίζεται, οἷον εἰ [r]τὸ λευκῷ εἶναι ὁριζόμενος λέγοι λευκοῦ ἀνθρώπου λόγον· τὸ δὲ [s]τῷ ἄλλο αὐτῷ, οἷον εἰ [t]σημαίνοι τὸ ἱμάτιον λευκὸν ἄνθρωπον, ὁ δὲ ὁρίζοι τὸ ἱμάτιον ὡς λευκόν. Τὸ [v]δὴ λευκὸς ἄνθρωπος ἔστι μὲν λευκόν, οὐ μέντοι τί ἦν 9 εἶναι λευκῷ [w]εἶναι, ἀλλὰ τὸ [x]ἱματίῳ εἶναι. [1]Ἆρα ἔστι τί ἦν εἶναί τι ἢ ὅλως ἢ οὔ; [v]Ὅπερ γάρ τι [y]ἦν εἶναι ἔστι τὸ τί ἦν εἶναι· ὅταν δ' ἄλλο κατ' ἄλλου λέγηται, οὐκ ἔστιν ὅπερ τόδε τι, [z]οἷον ὁ λευκὸς ἄνθρωπος οὐκ ἔστιν ὅπερ τόδε τι, εἴπερ τὸ τόδε [a]τι ταῖς οὐσίαις ὑπάρχει μόνον. [v]Ὥστε τὸ τί 10 ἦν εἶναί ἐστιν [b]ὅσων ὁ λόγος ἐστὶν ὁρισμός. [1]Ὁρισμὸς δ' ἐστὶν οὐκ ἂν ὄνομα λόγῳ ταὐτὸ σημαίνῃ (πάντες γὰρ ἂν εἶεν οἱ λόγοι ὅροι· ἔσται γὰρ ὄνομα ὁτῳοῦν λόγῳ [c]ταὐτόν, ὥστε καὶ ἡ [1]Ἰλιὰς ὁρισμὸς ἔσται), ἀλλ' ἐὰν πρώτου τινὸς [d]ᾖ· τοι-

[a] αὐτό Ab.Fb: ceteri αὖτη. [b] ἔνεστι Fb. [c] αὐτό post λόγῳ om. Ab. [d] αὐτά Fb. [e] ἐπιφάνεια λευκὴ et ἐπιφάνεια εἶναι λεία Ab. [f] τὸ λευκῷ] εἶναι ἀεὶ τὸ λευκῷ T. [g] ἐπειδὴ ἐστι Fb. [h] καὶ om. T. [i] τῷ ante ποσῷ om. Fb. [k] ἑκάστω εἶναι αὐτῶν E, ἑκάστου αὐτῶν εἶναι T. [l] τί ἦν λευκῷ ἀνθρώπῳ om. Ab. [m] αὐτὸ Ab. [n] οὐδὲ om. Ab. [o] λεγομένων οὐδὲ τοῦτο om. T. [p] ἐστί τι τὸ E.T. [q] τῷ] τὸ S. [r] τῶ S.T. [s] τῷ] τὸ Fb. [t] σημαίνει T. [v] δὲ T. [w] εἶναι] ἀνθρώπω T. [x] ἱμάτιον Fb. [y] ἦν εἶναι ante ἔστι om. Ab. [z] οἷον—ὅπερ τόδε τι om. T.Ab. [a] τι om. E.Ab. [b] ὁ λόγος ὅσων T. [c] ταὐτόν om. Ab.Hb. [d] ᾖ om. Ab.

αὗτα δ' ἐστὶν ὅσα λέγεται μὴ τῷ ἄλλο [e]κατ' ἄλλου λέγεσθαι. Οὐκ ἔσται ἄρα οὐθενὶ τῶν μὴ γένους εἰδῶν ὑπάρχον 11
τὸ τί ἦν εἶναι, ἀλλὰ τούτοις μόνον· ταῦτα γὰρ δοκεῖ οὐ κατὰ
μετοχὴν λέγεσθαι καὶ πάθος, οὐδ' ὡς συμβεβηκός· ἀλλὰ λό-
γος μὲν ἔσται ἑκάστου καὶ τῶν ἄλλων τί σημαίνει, ἐὰν ᾖ
ὄνομα ὅτι τόδε τῷδε ὑπάρχει, ἢ ἀντὶ λόγου ἁπλοῦ ἀκριβέ-
στερος· ὁρισμὸς δ' οὐκ ἔσται οὐδὲ τὸ τί ἦν εἶναι. [n]Ἢ καὶ 12
[f]ὁ ὁρισμὸς ὥσπερ καὶ τὸ τί ἐστι πλεοναχῶς λέγεται· καὶ
γὰρ τὸ τί ἐστιν ἕνα μὲν τρόπον σημαίνει τὴν οὐσίαν καὶ τὸ
τόδε τι, ἄλλον δὲ ἕκαστον τῶν κατηγορουμένων, ποσόν, ποιὸν
καὶ ὅσα ἄλλα τοιαῦτα. [v]Ὥσπερ γὰρ καὶ [g]τὸ ἔστιν ὑπάρχει 13
πᾶσιν ἀλλ' οὐχ ὁμοίως, ἀλλὰ τῷ μὲν πρώτως τοῖς δ' ἑπο-
μένως, οὕτω καὶ τὸ τί ἐστιν ἁπλῶς μὲν τῇ οὐσίᾳ πῶς δὲ [h]τοῖς
ἄλλοις· καὶ [h]γὰρ τὸ ποιὸν ἐροίμεθ' ἂν τί ἐστιν, ὥστε καὶ
τὸ ποιὸν [i]τῶν τί ἐστὶ μὲν ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ ἐπὶ
τοῦ μὴ ὄντος λογικῶς φασί τινες εἶναι τὸ μὴ ὂν οὐχ ἁπλῶς
ἀλλὰ μὴ ὄν, οὕτω καὶ τὸ ποιόν. Δεῖ μὲν οὖν σκοπεῖν καὶ 14
[k]τὸ πῶς δεῖ λέγειν περὶ [l]ἕκαστον, οὐ μὴν μᾶλλόν γε ἢ τὸ
πῶς ἔχει. Διὸ καὶ νῦν ἐπεὶ τὸ λεγόμενον φανερόν, καὶ τὸ
τί ἦν εἶναι ὁμοίως ὑπάρξει πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ
εἶτα καὶ τοῖς ἄλλοις, ὥσπερ καὶ τὸ τί ἐστιν οὐχ ἁπλῶς τί
ἦν εἶναι, ἀλλὰ ποιῷ ἢ ποσῷ τί ἦν εἶναι. Δεῖ γὰρ ἢ ὁμωνύ- 15
μως ταῦτα φάναι [m]εἶναι ὄντα, ἢ προστιθέντας καὶ ἀφαιροῦν-
τας, ὥσπερ καὶ τὸ μὴ ἐπιστητὸν ἐπιστητόν, ἐπεὶ τό γε ὀρθόν
ἐστι μήτε ὁμωνύμως φάναι μήτε ὡσαύτως, ἀλλ' ὥσπερ τὸ
ἰατρικὸν τῷ πρὸς [n]τὸ αὐτὸ μὲν καὶ ἕν, οὐ τὸ αὐτὸ δὲ καὶ ἕν,
οὐ μέντοι οὐδὲ ὁμωνύμως· [o]οὐδὲ [p]γὰρ ἰατρικὸν σῶμα [q]καὶ
ἔργον καὶ σκεῦος λέγεται οὔτε ὁμωνύμως οὔτε καθ' ἕν, ἀλλὰ
πρὸς ἕν. [r]Ἀλλὰ ταῦτα μὲν ὁποτέρως τις [s]ἐθέλει λέγειν 16

[e] κατ' ἄλλου om. $A^b.F^b$. [f] ὁ om. F^b. [g] τὸ τί ἐστιν T.A^b. [h] τοῖς ἄλλοις et γὰρ τὸ om. A^b. [i] τῶν] τὸ S. [k] τὸ om. F^b. [l] ἑκάστου T, ἕκαστα F^b. [m] εἶναι post φάναι om. F^b. [n] τὸ post πρὸς om. T. [o] οὐδὲν E.T. [p] γὰρ] γὰρ τὸ F^b. [q] καὶ ἔργον om. F^b. [r] ἀλλὰ ταῦτα μὲν $A^b.F^b$: ceteri ταῦτα μὲν οὖν. [s] θέλει E.T.

[t]διαφέρει οὐθέν· ἐκεῖνο δὲ φανερὸν ὅτι ὁ [v]πρώτως καὶ ἁπλῶς ὁρισμὸς καὶ τὸ τί ἦν εἶναι τῶν οὐσιῶν ἐστίν. Οὐ μὴν ἀλλὰ καὶ τῶν ἄλλων [w]ὁμοίως [h]ἐστί, πλὴν οὐ πρώτως. Οὐ γὰρ ἀνάγκη, ἂν τοῦτο τιθῶμεν, τούτου ὁρισμὸν εἶναι [x]ὃ ἂν λόγῳ
17 τὸ αὐτὸ σημαίνῃ, ἀλλὰ τινὶ λόγῳ. Τοῦτο δ' ἐὰν ἑνὸς [y]ᾖ, μὴ τῷ συνεχεῖ ὥσπερ ἡ [z]Ἰλιὰς ἢ [z]ὅσα συνδέσμῳ, ἀλλ' ἐὰν ὁσαχῶς [a]λέγεται τὸ ἕν. Τὸ δ' ἓν λέγεται ὥσπερ τὸ ὄν· τὸ δὲ ὂν τὸ μὲν τόδε τι, τὸ δὲ ποσόν, τὸ δὲ ποιόν τι σημαίνει. Διὸ καὶ λευκοῦ ἀνθρώπου ἔσται λόγος καὶ ὁρισμός· ἄλλον [b]δὲ τρόπον καὶ [b]τοῦ λευκοῦ καὶ οὐσίας.

5 [d]Ἔχει δ' ἀπορίαν, ἐάν τις μὴ φῇ ὁρισμὸν εἶναι τὸν ἐκ [c]προσθέσεως λόγον, τίνος [d]ἔσται ὁρισμὸς τῶν οὐχ ἁπλῶν ἀλλὰ συνδεδυασμένων; [d]Ἐκ προσθέσεως γὰρ ἀνάγκη δηλοῦν.
2 Λέγω δ' οἷον, ἔστι ῥὶς καὶ κοιλότης, καὶ σιμότης τὸ ἐκ [e]τῶν δυοῖν λεγόμενον, [f]τῷ τόδε ἐν τῷδε, καὶ οὐ [g]κατὰ συμβεβηκός γε οὔθ' ἡ κοιλότης οὔθ' ἡ σιμότης πάθος τῆς ῥινός, ἀλλὰ καθ' αὑτήν· οὐδ' ὡς τὸ λευκὸν Καλλίᾳ ἢ ἀνθρώπῳ, ὅτι Καλλίας λευκὸς ᾧ συμβέβηκεν ἀνθρώπῳ εἶναι, ἀλλ' ὡς τὸ ἄρρεν τῷ ζῴῳ καὶ τὸ ἴσον τῷ ποσῷ καὶ πάνθ' ὅσα λέγεται καθ'
3 αὑτὰ ὑπάρχειν. Ταῦτα δ' ἐστὶν ἐν ὅσοις ὑπάρχει ἢ ὁ λόγος ἢ τοὔνομα, οὗ ἐστὶ τοῦτο τὸ πάθος, καὶ μὴ ἐνδέχεται δηλῶσαι χωρίς, ὥσπερ τὸ λευκὸν ἄνευ τοῦ ἀνθρώπου ἐνδέχεται, ἀλλ' οὐ τὸ θῆλυ ἄνευ τοῦ ζῴου. [v]Ὥστε τούτων τὸ τί ἦν εἶναι καὶ [h]ὁ ὁρισμὸς ἢ οὐκ ἔστιν οὐθενὸς [i]ἢ ἔστιν [k]ἄλλως, καθάπερ εἰ-
4 ρήκαμεν. [d]Ἔστι [l]δ' ἀπορία καὶ ἑτέρα περὶ [m]αὐτῶν. Εἰ μὲν γὰρ [n]τὸ αὐτό ἐστι σιμὴ ῥὶς καὶ κοίλη ῥίς, τὸ αὐτὸ ἔσται τὸ σιμὸν καὶ τὸ κοῖλον· εἰ δὲ μὴ διὰ τὸ ἀδύνατον εἶναι εἰπεῖν τὸ σιμὸν ἄνευ τοῦ πράγματος οὗ ἐστὶ πάθος καθ' αὑτό ([o]ἔστι

[t] διαφέροι Ab. [v] πρῶτος Ab. [w] ὅμως Ab, omissis ἐστί, πλὴν οὐ πρώτως. [x] ὃ ἐὰν λόγῳ τῷ αὐτῷ T. [y] ᾖ om. Ab. [z] ὅσαι E. [a] λέγηται E.S. [b] δὲ et τοῦ om. Ab. [c] προθέσεως T.Fb. [d] ἔσται ὁ ὁρισμὸς Ab. [e] τοῖν T. [f] τῷ om. E.T. [g] κατὰ om. T. [h] ὁ om. Ab.Fb. [i] ἢ ἔστιν] ἢ εἰ ἔστιν T. [k] ἀλλ' ὡς καθάπερ T, ἀλλὰ καθάπερ Fb. [l] δὲ καὶ ἑτέρα ἀπορία Hb. [m] αὐτά Fb. [n] ταυτόν Hb. [o] ἔστι γὰρ] καὶ ἔστι E.T.

γὰρ τὸ σιμὸν κοιλότης ἐν ῥινί), τὸ ῥῖνα σιμὴν εἰπεῖν ἢ οὐκ ἔστιν ἢ δὶς τὸ αὐτὸ ἔσται [p] εἰρημένον, ῥὶς ῥὶς κοίλη· ἡ γὰρ ῥὶς ἡ σιμὴ ῥὶς [q] ῥὶς κοίλη ἔσται. Διὸ ἄτοπον τὸ ὑπάρχειν 5
τοῖς τοιούτοις τὸ τί ἦν εἶναι· εἰ δὲ [r] μή, εἰς ἄπειρον εἶσιν· [s] ῥινὶ γὰρ [t] ῥινὶ [v] σιμῇ [w] ἔτι [x] ἄλλο ἐνέσται. Δῆλον τοίνυν ὅτι [y] μόνης τῆς οὐσίας ἐστὶν [z] ὁ ὁρισμός. Εἰ γὰρ καὶ τῶν ἄλλων κατηγοριῶν, ἀνάγκη ἐκ προσθέσεως εἶναι, οἷον τοῦ ποιοῦ καὶ περιττοῦ· οὐ γὰρ ἄνευ ἀριθμοῦ, οὐδὲ [a] τὸ θῆλυ ἄνευ ζῴου. Τὸ δ' ἐκ προσθέσεως [b] λέγω ἐν οἷς συμβαίνει 6
δὶς τὸ αὐτὸ λέγειν, ὥσπερ [c] ἐν τούτοις. Εἰ δὲ τοῦτο ἀληθές, οὐδὲ [d] συνδυαζομένων ἔσται, οἷον ἀριθμοῦ περιττοῦ· ἀλλὰ [e] λανθάνει ὅτι οὐκ ἀκριβῶς λέγονται οἱ λόγοι. Εἰ δ' εἰσὶ καὶ τούτων ὅροι, [f] ἤτοι ἄλλον τρόπον εἰσὶν ἢ καθάπερ ἐλέχθη πολλαχῶς λεκτέον [g] εἶναι τὸν ὁρισμὸν καὶ τὸ τί ἦν εἶναι. [v] Ὥστε [h] ὠδὶ μὲν οὐθενὸς ἔσται ὁρισμός, οὐδὲ τὸ τί ἦν εἶναι 7
οὐθενὶ ὑπάρξει πλὴν ταῖς οὐσίαις, ὠδὶ δ' ἔσται. [v] Ὅτι μὲν οὖν ἐστὶν [i] ὁ ὁρισμὸς ὁ τοῦ τί ἦν [k] εἶναι [l] λόγος, καὶ τὸ τί ἦν εἶναι ἢ [m] μόνων τῶν οὐσιῶν ἐστὶν ἢ μάλιστα καὶ πρώτως καὶ ἁπλῶς, δῆλον.

Πότερον δὲ ταὐτόν ἐστιν ἢ ἕτερον τὸ τί ἦν εἶναι καὶ 6
ἕκαστον, σκεπτέον. [1] Ἔστι γάρ τι πρὸ ἔργου πρὸς τὴν περὶ τῆς οὐσίας σκέψιν· ἕκαστόν [n] τε γὰρ οὐκ ἄλλο δοκεῖ εἶναι τῆς ἑαυτοῦ οὐσίας, καὶ τὸ τί ἦν εἶναι λέγεται εἶναι ἡ ἑκάστου οὐσία. [1] Ἐπὶ μὲν δὴ τῶν λεγομένων κατὰ συμβεβηκὸς δόξειεν 2
ἂν ἕτερον εἶναι, οἷον λευκὸς ἄνθρωπος ἕτερον καὶ [o] τὸ λευκῷ ἀνθρώπῳ εἶναι. [p] Εἰ γὰρ τὸ αὐτό, [q] καὶ τὸ ἀνθρώπῳ εἶναι

[p] εἰρημένον] εἰρημένον σιμὴ ῥὶς εἰ $A^b.H^b$, omissis ῥὶς ῥὶς—κοίλη. [q] ῥὶς om. T. [r] μή] καὶ T. [s] ῥῖν A^b, ῥινῆ $S.B^b.C^b$. [t] ῥινῆ $S.B^b.C^b$. [v] σιμὴ A^b. [w] ἔτι om. $S.A^b.B^b.C^b$. [x] ἄλλο ἐνέστη T, ἄλλο ἔσται A^b, om. $S.B^b.C^b$. [y] μόνον A^b. [z] ὁ om. T. [a] τὸ θῆλυ] ὁ τοῦ θήλεος E.T. [b] λέγομεν A^b. [c] ἐν om. A^b. [d] συνδοιαζομένων T. [e] λαμβάνει E. [f] ἤτοι] ἢ τῶ T. [g] εἶναι om. T. [h] ὠδὶ] ὧδ' εἰ T. [i] ὁ post ἐστὶν add. $A^b.F^b$. [k] post εἶναι $S.B^b.C^b$. lacunam litterarum ferme quadraginta. [l] λόγος—εἶναι om. T. [m] μόνων S: ceteri μόνον. [n] τε om. E.S. [o] τῶ S. [p] εἰ—εἶναι om. T. [q] καὶ τὸ A^b, καὶ τῶ F^b: ceteri om.

καὶ [r]τὸ λευκῷ ἀνθρώπῳ τὸ αὐτό· τὸ αὐτὸ γὰρ ἄνθρωπος καὶ λευκὸς ἄνθρωπος, ὡς φασίν, [s]ὥστε καὶ [t]τὸ λευκῷ ἀνθρώπῳ
3 καὶ [t]τὸ ἀνθρώπῳ. [u]Ἢ οὐκ ἀνάγκη, ὅσα κατὰ συμβεβηκός, εἶναι ταὐτά· οὐ γὰρ ὡσαύτως τὰ ἄκρα γίγνεται ταὐτά, ἀλλ' ἴσως [v]γ' ἐκεῖνο δόξειεν [w]ἂν συμβαίνειν, τὰ ἄκρα [x]γίγνεσθαι ταὐτὰ κατὰ συμβεβηκός, οἷον τὸ λευκῷ εἶναι καὶ τὸ μου-
4 σικῷ [y]εἶναι· δοκεῖ δ' οὔ. [z]Ἐπὶ δὲ τῶν καθ' αὑτὰ λεγομένων [z]ἆρ' ἀνάγκη ταὐτὸν εἶναι; Οἷον εἴ τινές εἰσιν οὐσίαι ὧν ἕτεραι μή εἰσιν οὐσίαι μηδὲ φύσεις ἕτεραι [a]πρότεραι, οἵας φασὶ
5 [b]τὰς ἰδέας εἶναί τινες. Εἰ γὰρ ἔσται ἕτερον αὐτὸ τὸ ἀγαθὸν καὶ τὸ ἀγαθῷ εἶναι, καὶ ζῷον καὶ τὸ ζῴῳ, καὶ [c]τὸ ὄντι καὶ τὸ ὄν, ἔσονται ἄλλαι τ' οὐσίαι καὶ φύσεις καὶ ἰδέαι παρὰ τὰς λεγομένας, καὶ πρότεραι [d]οὐσίαι ἐκεῖναι, εἰ τὸ τί ἦν εἶναι
[e]οὐσίας ἐστίν. Καὶ εἰ μὲν ἀπολελυμέναι ἀλλήλων, τῶν μὲν
6 οὐκ [f]ἔσται ἐπιστήμη, τὰ δ' οὐκ ἔσται ὄντα. Λέγω [g]δὲ τὸ ἀπολελύσθαι, εἰ μήτε τῷ ἀγαθῷ αὐτῷ ὑπάρχει τὸ εἶναι ἀγαθῷ, μήτε τούτῳ τὸ εἶναι ἀγαθόν. [h]Ἐπιστήμη γὰρ ἑκάστου [h]ἐστὶν ὅταν τὸ τί ἦν [i]εἶναι ἐκείνῳ γνῶμεν. Καὶ ἐπὶ ἀγαθοῦ καὶ τῶν ἄλλων ὁμοίως [k]ἔχει· ὥστ' εἰ μηδὲ [l]τῷ ἀγαθῷ εἶναι ἀγαθόν, οὐδὲ [m]τῷ ὄντι ὄν, οὐδὲ τῷ ἑνὶ ἕν.
7 [n]Ὁμοίως δὲ πάντα ἐστὶν ἢ οὐθὲν τὰ τί ἦν εἶναι· ὥστ' εἰ μηδὲ [n]τὸ ὄντι ὄν, οὐδὲ τῶν ἄλλων οὐθέν. [o]Ἔτι ᾧ μὴ ὑπάρχει ἀγαθῷ εἶναι, οὐκ ἀγαθόν. [o]Ἀνάγκη ἄρα ἓν εἶναι τὸ ἀγαθὸν [o]καὶ ἀγαθῷ εἶναι καὶ καλὸν καὶ καλῷ εἶναι, [p]ὅσα μὴ κατ'
8 [q]ἄλλο λέγεται, ἀλλὰ [r]καθ' αὑτὰ καὶ πρῶτα. Καὶ γὰρ τοῦτο ἱκανὸν [s]ἐὰν [t]ὑπάρχῃ, [v]κἂν μὴ ᾖ εἶδη· μᾶλλον δ' ἴσως

[r] τῷ T, om. E. [s] ὥστε] εἶναι Ab. [t] τῷ utrobique S.T.Hb. [v] τ' Ab. [w] ἂν om. Ab. [x] γενέσθαι ταὐτὰ τὰ κατὰ Ab. [y] εἶναι] εἶναι ὡς E, om. S.Ab. [z] ἆρ' ἀνάγκη Ab.Fb, ἀνάγκη ἀεὶ S.Hb: ceteri ἀεὶ ἀνάγκη. [a] πρότερον οἷον Ab. [b] εἶναί τινες τὰς ἰδέας Hb. [c] τὸ ante ὄντι om. Hb. [d] οὐσίαι] καὶ οὐσίαι Ab. [e] οὐσία Ab.Hb. [f] ἔσται ἐπιστήμη] ἔστιν ἐπιστήμη T. [g] δὲ] δὴ Hb. [h] ἐστὶν ὅταν] αὕτη E.T, omisso mox γνῶμεν. [i] εἶναι ἐκεῖνο Ab: ceteri ἐκείνῳ εἶναι. [k] ἔχει] ἐπάγει T, om. Hb. [l] τὸ E.S. [m] τῷ—τῷ] τὸ—τὸ E. [n] τῷ ὄντι, omisso ὄν, T. [o] καὶ τὸ ἀγαθῷ T. [p] ὅσα] καὶ ὅσα Fb. [q] ἄλλο] ἄλλου T. [r] πρῶτα καὶ καθ' αὑτά E.S.T. [s] ἂν Ab. [t] ὑπάρχει T. [v] καὶ Hb.

κἂν [w]ᾖ εἴδη. [v]Αμα δὲ δῆλον καὶ ὅτι εἴπερ εἰσὶν αἱ ἰδέαι [x]οἵας τινές [y]φασιν, οὐκ ἔσται τὸ ὑποκείμενον [z]οὐσία· ταύτας γὰρ οὐσίας μὲν [a]ἀναγκαῖον εἶναι, μὴ καθ' ὑποκειμένου δέ· [b]ἔσονται γὰρ κατὰ μέθεξιν. [u]Εκ τε δὴ τούτων τῶν λόγων 9
ἓν καὶ ταὐτὸ οὐ κατὰ συμβεβηκὸς αὐτὸ ἕκαστον καὶ τὸ τί ἦν εἶναι, καὶ ὅτι [c]γε τὸ ἐπίστασθαι ἕκαστον [d]τοῦτό ἐστι τὸ τί ἦν εἶναι ἐπίστασθαι, ὥστε [e]καὶ κατὰ τὴν ἔκθεσιν ἀνάγκη ἕν [f]τι εἶναι ἄμφω. Τὸ δὲ κατὰ συμβεβηκὸς λεγόμενον, οἷον 10
τὸ μουσικὸν [g]ἢ λευκόν, διὰ τὸ διττὸν σημαίνειν, οὐκ ἀληθὲς εἰπεῖν ὡς ταὐτὸ τὸ τί ἦν εἶναι καὶ αὐτό· καὶ γὰρ ᾧ [h]συμβέβηκε [i]λευκὸν καὶ τὸ συμβεβηκός, ὥστ' ἔστι μὲν ὡς ταὐτόν, ἔστι δὲ ὡς οὐ ταὐτὸ τὸ τί ἦν εἶναι καὶ αὐτό· τῷ μὲν γὰρ ἀνθρώπῳ [k]καὶ τῷ λευκῷ ἀνθρώπῳ οὐ ταὐτό, τῷ πάθει δὲ ταὐτό. [u]Ατοπον δ' ἂν φανείη κἂν εἴ τις ἑκάστῳ ὄνομα 11
[l]θείτο τῶν· τί ἦν εἶναι· [m]ἔσται γὰρ καὶ παρ' ἐκεῖνο ἄλλο, [n]οἷον [o]τῷ τί ἦν εἶναι [p]ἵππῳ τί ἦν εἶναι ἵππῳ ἕτερον. Καίτοι τί κωλύει καὶ νῦν εἶναι ἕνια εὐθὺς τί ἦν εἶναι, εἴπερ [q]οὐσία τὸ τί ἦν εἶναι; [u]Αλλὰ μὴν [r]οὐ μόνον ἕν, ἀλλὰ καὶ ὁ λόγος ὁ αὐτὸς αὐτῶν, ὡς δῆλον [s]καὶ ἐκ τῶν εἰρημένων· [t]οὐ γὰρ κατὰ συμβεβηκὸς ἓν τὸ ἑνὶ εἶναι [v]καὶ ἕν. [w]Ετι εἰ ἄλλο 12
[x]ἔσται, εἰς ἄπειρον εἶσιν· τὸ μὲν γὰρ [y]ἔσται τί ἦν εἶναι [z]τοῦ ἑνός, τὸ δὲ τὸ ἕν, ὥστε καὶ ἐπ' ἐκείνων [a]ὁ αὐτὸς ἔσται λόγος. [u]Οτι μὲν οὖν ἐπὶ [b]τῶν πρώτων καὶ καθ' αὑτὰ λεγομένων τὸ ἑκάστῳ εἶναι καὶ ἕκαστον τὸ αὐτὸ [c]καὶ ἕν ἐστι, δῆλον. Οἱ δὲ σοφιστικοὶ ἔλεγχοι πρὸς τὴν θέσιν ταύτην 13

[w] ᾖ om. A^b. [x] οἵας—γὰρ] lacunam S.B^b.C^b. [y] φαμεν F^b. [z] οὐσία om. H^b. [a] ἀναγκη εἶναι A^b, εἶναι ἀναγκαῖον S. [b] ἔσονται] δέονται B^b. [c] γε] δὲ S. [d] τούτων S.B^b.C^b. [e] καὶ add. A^b.F^b. [f] τι om. A^b. [g] ἢ] καὶ A^b. [h] συμβαίνει A^b. [i] λευκῶ E.T, om. A^b. [k] καὶ τῷ] καὶ τὸ A^b. [l] τιθείτο A^b. [m] ἔσται—τῷ τί ἦν εἶναι om. T. [n] οἷον add. A^b. [o] τῷ] τὸ E. [p] ἵππῳ τί] τὸ γὰρ τί E.S.B^b.C^b. [q] οὐσίαι T. [r] οὐ] καὶ οὐ S.B^b.C^b. [s] καὶ om. T. [t] οὔτε H^b. [v] καὶ om. A^b. [w] ἔτι εἰ] εἴτι εἰ T. [x] ἔσται om. T. [y] ἔσται τὸ τί T. [z] τοῦ ἑνός A^b, τοῦ ἑνὸς εἶναι F^b, τὸ ἓν εἶναι T: ceteri τὸ ἑνὶ εἶναι. [a] ἔσται ὁ αὐτὸς A^b. [b] post τῶν lacunam litterarum trium B^b.C^b. [c] καὶ ante ἕν om. A^b, καὶ ἕν om. H^b.

φανερὸν ὅτι τῇ αὐτῇ λύονται λύσει, καὶ [d]εἰ ταὐτὸ Σωκράτης καὶ [e]Σωκράτει εἶναι· οὐθὲν γὰρ διαφέρει οὔτε ἐξ ὧν [f]ἐρωτήσειεν ἄν τις, οὔτε ἐξ ὧν λύων ἐπιτύχοι. Πῶς μὲν οὖν τὸ τί ἦν εἶναι ταὐτὸν καὶ πῶς οὐ ταὐτὸν ἑκάστῳ, εἴρηται.

7 Τῶν [g]δὲ γιγνομένων τὰ μὲν φύσει [h]γίγνεται, τὰ δὲ τέχνῃ, τὰ δὲ ἀπὸ ταὐτομάτου. Πάντα δὲ τὰ γιγνόμενα ὑπό τέ τινος γίγνεται καὶ ἔκ τινος καὶ τί. Τὸ δὲ τί λέγω καθ' ἑκάστην κατηγορίαν· ἢ γὰρ τόδε ἢ ποσὸν ἢ ποιὸν [i]ἢ ποῦ. Αἱ δὲ γενέσεις αἱ μὲν φυσικαὶ αὗταί εἰσιν ὧν ἡ γένεσις ἐκ
2 φύσεώς ἐστιν. Τὸ δ' ἐξ οὗ γίγνεται, ἣν λέγομεν ὕλην· τὸ δ' ὑφ' οὗ, τῶν φύσει [k]τι [l]ὄντων· τὸ δὲ [m]τί, ἄνθρωπος ἢ φυτὸν ἢ ἄλλο τι τῶν τοιούτων, ἃ δὴ μάλιστα λέγομεν οὐσίας εἶναι. [v]Απαντα δὲ τὰ γιγνόμενα ἢ φύσει ἢ τέχνῃ ἔχει ὕλην· δυνατὸν γὰρ καὶ εἶναι καὶ μὴ εἶναι ἕκαστον αὐτῶν, [n]τοῦτο δ'
3 ἐστὶν [o]ἐν ἑκάστῳ ὕλη. Καθόλου δὲ καὶ ἐξ οὗ φύσις καὶ καθὸ φύσις· τὸ γὰρ [p]γιγνόμενον ἔχει φύσιν, οἷον φυτὸν [q]ἢ ζῷον. Καὶ [r]ὑφ' οὗ, ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις [s]ἡ ὁμοειδής· αὕτη δ' ἐν ἄλλῳ· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. Οὕτω μὲν [t]οὖν γίγνεται τὰ γιγνόμενα διὰ τὴν φύσιν, αἱ δ' ἄλλαι γενέσεις λέγονται ποιήσεις. [v]Πᾶσαι δ' εἰσὶν αἱ ποιήσεις [w]ἢ
4 ἀπὸ τέχνης ἢ ἀπὸ δυνάμεως ἢ [x]ἀπὸ διανοίας. Τούτων δέ τινες γίγνονται καὶ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης παραπλησίως ὥσπερ ἐν τοῖς [y]ἀπὸ φύσεως γιγνομένοις· ἔνια γὰρ κἀκεῖ [z]ταὐτὰ καὶ ἐκ σπέρματος γίγνεται καὶ ἄνευ σπέρματος. Περὶ μὲν οὖν τούτων ὕστερον ἐπισκεπτέον, ἀπὸ τέχνης
[a]δὲ γίγνεται ὅσων τὸ εἶδος ἐν τῇ ψυχῇ. Εἶδος [b]δὲ λέγω τὸ
5 τί ἦν εἶναι ἑκάστου καὶ τὴν πρώτην οὐσίαν. Καὶ γὰρ τῶν

d εἰ] εἰς Ab. e Σωκράτει] σωκράτην Ab. f ἐρωτηθεὶς Ab, ἐρωτηθείη Hb. g δὲ om. Ab. h γίνονται Hb. i ἢ ποῦ om. Hb. k τι om. idem. l ὄντος T. m τί] τι ὁ E.T. n τούτω Bb.Cb. o ἐν Ab, ἡ ἐν T: ceteri ἡ. p ἡνωμένον T. q ἢ om. S. r ἐφ' Fb. s ἡ post φύσις om. Fb. t οὖν om. T. v πᾶσαι δ' εἰσὶν αἱ ποιήσεις om. Çb. w ἢ om. Ab. x ἀπὸ ante διανοίας add. Ab.Fb. y ὑπὸ E.S.T. z ταῦτα S. a δὴ Fb. b δὲ post εἶδος om. Cb.

ἐναντίων τρόπον τινὰ τὸ αὐτὸ εἶδος· τῆς γὰρ στερήσεως οὐσία ἡ οὐσία [c] ἡ ἀντικειμένη, οἷον ὑγίεια νόσου· ἐκείνης γὰρ ἀπουσίᾳ [d] δηλοῦται ἡ νόσος, ἡ δ' ὑγίεια ὁ ἐν τῇ ψυχῇ λόγος [e] καὶ ἐν τῇ ἐπιστήμῃ. Γίγνεται [f] δὴ τὸ ὑγιὲς νοήσαντος [g] οὕτως· ἐπειδὴ [h] τοδὶ ὑγίεια, ἀνάγκη, εἰ ὑγιὲς [i] ἔσται, τοδὶ ὑπάρξαι, οἷον [k] ὁμαλότητα, [l] εἰ δὲ τοῦτο, θερμότητα. Καὶ 6
οὕτως ἀεὶ νοεῖ, ἕως ἂν ἀγάγῃ [m] εἰς τοῦτο ὃ αὐτὸς δύναται ἔσχατον ποιεῖν. Εἶτα ἤδη ἡ ἀπὸ [n] τούτου κίνησις ποίησις καλεῖται, ἡ ἐπὶ τὸ ὑγιαίνειν. [v] Ὥστε συμβαίνει τρόπον τινὰ [o] ἐξ ὑγιείας τὴν ὑγίειαν γίνεσθαι [p] καὶ τὴν οἰκίαν ἐξ οἰκίας, τῆς ἄνευ ὕλης τὴν ἔχουσαν ὕλην· [q] ἡ γὰρ ἰατρικὴ [r] ἐστι καὶ [s] ἡ οἰκοδομικὴ τὸ εἶδος [t] τῆς ὑγιείας καὶ τῆς οἰκίας. Λέγω δ' οὐσίαν ἄνευ ὕλης τὸ τί ἦν εἶναι. Τῶν δὲ γενέσεων καὶ κινή- 7
σεων ἡ μὲν νόησις καλεῖται ἡ δὲ ποίησις, ἡ μὲν ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ εἴδους νόησις, ἡ δ' ἀπὸ τοῦ [v] τελευταίου τῆς νοήσεως ποίησις. [t] Ὁμοίως δὲ [w] καὶ τῶν ἄλλων [x] τῶν μεταξὺ ἕκαστον γίγνεται. Λέγω δ' οἷον εἰ [y] ὑγιανεῖ, [z] δέοι ἂν ὁμαλυνθῆναι. Τί ον ἐστὶ τὸ ὁμαλυνθῆναι; Τοδί. Τοῦτο δ' ἔσται εἰ θερμανθήσεται. Τοῦτο δὲ [a] τί ἐστι; Τοδί. [t] Ὑπάρχει [b] δὲ [c] τῳδὶ δυνάμει· τοῦτο δ' ἤδη ἐπ' αὐτῷ. Τὸ δὴ 8
ποιοῦν καὶ ὅθεν ἄρχεται ἡ κίνησις [d] τοῦ ὑγιαίνειν, ἐὰν μὲν ἀπὸ τέχνης, τὸ εἶδός ἐστι τὸ ἐν τῇ ψυχῇ, ἐὰν δ' ἀπὸ ταὐτομάτου, ἀπὸ τούτου ὅ ποτε τοῦ ποιεῖν [e] ἄρχει τῷ ποιοῦντι ἀπὸ τέχνης, [f] ὥσπερ καὶ ἐν τῷ ἰατρεύειν ἴσως ἀπὸ τοῦ [g] θερμαίνειν ἡ ἀρχή, τοῦτο δὲ ποιεῖ τῇ τρίψει· ἡ θερ-

[c] ἡ] ἡ πῃ οὐσία E.T, om. S.A[b].B[b].C[b]. [d] δηλοῦται om. A[b]. [e] καὶ ἐν τῇ] καὶ ὁ ἐν τῇ T, καὶ ἡ A[b]. [f] δὲ S.T.A[b]. [g] οὕτως om. S. [h] τὸ δι' ὑγίειαν S.T. [i] ἔσται om. A[b]. [k] ὁμαλότητι T. [l] εἰ δὲ τοῦτο, θερμότητα om. T. [m] εἰς τὸ αὐτὸ δύνασθαι τὸ ἔσχατον A[b]. [n] τούτου E.H[b]: ceteri τούτων. [o] τὴν ὑγίειαν ἐκ τῆς ὑγιείας F[b]. [p] post καὶ lacunam B[b].C[b]. [q] ἡ] εἰ T. [r] ἐστι post οἰκοδομικὴ T, om. F[b]. [s] ἡ add. F[b].H[b]. [t] τῆς ὑγιείας καὶ τῆς οἰκοδομίας E, τῆς οἰκίας καὶ τῆς ὑγείας εἰσι F[b]. [v] τέλους F[b]. [w] καὶ ἐπὶ τῶν E.T. [x] τῶν μεταξὺ ἕκαστον om. H[b]. [y] ὑγιαίνει T. [z] δέοι ἂν A[b]: ceteri δεῖ. [a] τί om. A[b]. [b] δὲ—τοῦτο om. T. [c] τωδὶ] γρ. τοδὶ E. [d] τὸ A[b]. [e] ἄρχεται H[b], ἀρχὴ S.T. [f] ὡς ὅπερ H[b]. [g] θερμοῦ H[b].

μότης [h] τοίνυν [i] ἡ ἐν τῷ σώματι ἢ μέρος τῆς ὑγιείας [k] ἢ ἕπεταί τι αὐτῇ τοιοῦτον ὅ ἐστι μέρος τῆς ὑγιείας, [l] ἢ διὰ πλειόνων· τοῦτο δ' [m] ἔσχατον τὸ ποιοῦν, [n] καὶ τὸ οὕτως μέρος ἐστὶ τῆς ὑγιείας καὶ τῆς οἰκίας, οἷον οἱ λίθοι, καὶ τῶν
9 ἄλλων. [v] Ὥστε καθάπερ λέγεται, ἀδύνατον γενέσθαι εἰ μηθὲν προϋπάρχοι. [v] Ὅτι μὲν οὖν [o] τι μέρος [p] ἐξ ἀνάγκης ὑπάρξει, [q] φανερόν· ἡ γὰρ ὕλη μέρος· ἐνυπάρχει γὰρ καὶ γίγνεται [r] αὕτη. [t] Ἀλλ' ἆρα καὶ τῶν ἐν τῷ λόγῳ. [t] Ἀμφοτέρως δὲ λέγομεν τοὺς [s] χαλκοῦς κύκλους τί εἰσι, [t] καὶ τὴν ὕλην λέ-
10 γοντες ὅτι χαλκός, καὶ τὸ εἶδος ὅτι σχῆμα τοιόνδε· καὶ τοῦτό ἐστι τὸ γένος εἰς ὃ πρῶτον τίθεται. [t] Ὁ δὴ [v] χαλκοῦς κύκλος ἔχει ἐν τῷ λόγῳ [w] τὴν ὕλην. [t] Ἐξ οὗ [x] δὲ [y] ὡς ὕλης γίνεται ἕνια, λέγεται, ὅταν [z] γένηται, οὐκ ἐκεῖνο ἀλλ'
[a] ἐκείνινον, οἷον [b] ὁ ἀνδριὰς οὐ λίθος ἀλλὰ λίθινος. [t] Ὁ δ' ἄν-
θρωπος ὁ ὑγιαίνων οὐ λέγεται ἐκεῖνο ἐξ οὗ· αἴτιον δ' ὅτι γίγνεται [c] ἐκ τῆς στερήσεως καὶ τοῦ ὑποκειμένου ὃ λέγομεν τὴν ὕλην, οἷον καὶ ὁ ἄνθρωπος καὶ ὁ κάμνων γίγνεται ὑγιής.
11 Μᾶλλον μέντοι λέγεται [d] γίγνεσθαι ἐκ τῆς στερήσεως, οἷον ἐκ κάμνοντος ὑγιὴς ἢ ἐξ ἀνθρώπου. Διὸ κάμνων [e] μὲν ὑγιὴς οὐ λέγεται, ἄνθρωπος δὲ [f] καὶ ἄνθρωπος ὑγιής. [t] Ὧν δ' ἡ στέρησις ἄδηλος καὶ [g] ἀνώνυμος, οἷον [h] ἐν χαλκῷ [i] σχήματος
[k] ὁποιουοῦν ἢ ἐν πλίνθοις καὶ ξύλοις οἰκίας, ἐκ τούτων δοκεῖ
12 γίγνεσθαι ὡς ἐκεῖ ἐκ κάμνοντος. Διὸ ὥσπερ οὐδ' ἐκεῖ ἐξ οὗ τοῦτο ἐκεῖνο οὐ λέγεται, οὐδ' [l] ἐνταῦθα ὁ ἀνδριὰς ξύλον, ἀλλὰ παράγεται ξύλινος, οὐ ξύλον, καὶ χαλκοῦς ἀλλ' οὐ χαλκός, καὶ λίθινος ἀλλ' οὐ λίθος, καὶ ἡ οἰκία πλινθίνη ἀλλ'

h τοίνυν] οὖν Ab. i ἡ om. Ab. k ἢ ἕπεται—ὑγιείας om. T.Ab. l ἢ διὰ—ὑγιείας om. Bb.Cb. m ἔσχατόν ἐστι τὸ Ab.Fb. n καὶ τὸ οὕτως μέρος ἐστὶ] τὸ μέρος Ab.Hb. o τι] τὸ E.S.T. p ὑπάρξει ἐξ ἀνάγκης T. q φανερόν om. T. r αὐτή T. s χαλκοῦς Ab.Fb.Hb: ceteri πολλούς. t καὶ εἰ τὴν Ab. v χαλκὸς Ab. w τὴν] καὶ τὴν Hb. x δὴ Fb.Hb. y γίνεται ὡς ὕλης Hb. z γένηται] λέγηται Fb. a ἐκεῖνον S.Cb.Hb. b ὁ post οἷον om. E.S.T. c ἐκ om. Fb. d ἐκ τῆς στερήσεως γίγνεσθαι T. e μὲν ὁ ὑγιὴς T. f καὶ] καὶ ὁ Ab. g συνώνυμος T. h γρ. ἐκ χαλκοῦ E. i σχῆμα τὸ T.Hb. k ὁποιονοῦν T.Hb, ὁποι οὖν E. l ἐντεῦθεν S.

οὐ πλίνθοι, [m]ἐπεὶ οὐδ' ὡς ἐκ ξύλου γίγνεται ἀνδριὰς ἢ ἐκ πλίνθων οἰκία, ἐάν τις [n]σφόδρα ἐπιβλέπῃ, οὐκ ἂν ἁπλῶς [o]εἴποι, διὰ τὸ δεῖν μεταβάλλοντος γίγνεσθαι ἐξ οὗ, ἀλλ' οὐχ ὑπομένοντος. Διὰ μὲν οὖν τοῦτο οὕτως λέγεται.

[4]Ἐπεὶ δὲ ὑπό τινός τε γίγνεται τὸ γιγνόμενον (τοῦτο δὲ 8
λέγω ὅθεν ἡ ἀρχὴ τῆς γενέσεώς ἐστι) καὶ ἔκ τινος (ἔστω [p]δὲ μὴ ἡ στέρησις τοῦτο ἀλλ' ἡ ὕλη· ἤδη γὰρ διώρισται ὃν τρόπον τοῦτο λέγομεν) καὶ [q]ὃ γίγνεται (τοῦτο δ' ἐστὶν [r]ἢ σφαῖρα ἢ κύκλος ἢ ὅ τι ἔτυχε τῶν ἄλλων), ὥσπερ οὐδὲ τὸ ὑποκείμενον ποιεῖ τὸν χαλκόν, οὕτως οὐδὲ τὴν σφαῖραν, εἰ μὴ κατὰ συμβεβηκός, ὅτι ἡ χαλκῆ σφαῖρα σφαῖρά ἐστιν, ἐκείνην δὲ ποιεῖ. Τὸ γὰρ τόδε [s]τι [t]ποιεῖν ἐκ τοῦ [v]ὅλως 2
ὑποκειμένου τόδε [w]τι ποιεῖν ἐστίν. Λέγω δ' ὅτι τὸν χαλκὸν στρογγύλον [x]ποιεῖν ἐστὶν οὐ τὸ στρογγύλον ἢ τὴν σφαῖραν ποιεῖν, ἀλλ' ἕτερόν τι, οἷον τὸ εἶδος τοῦτο ἐν ἄλλῳ. Εἰ γὰρ ποιεῖ, ἔκ τινος ἂν [y]ποιοίη ἄλλου· τοῦτο γὰρ ὑπέκειτο. Οἷον [z]ποιεῖν χαλκῆν σφαῖραν· τοῦτο δὲ οὕτως ὅτι ἐκ τουδί, [a]ὅ ἐστι χαλκός, [b]τοδὶ ποιεῖ, [c]ὅ ἐστι σφαῖρα. Εἰ οὖν καὶ 3
τοῦτο ποιεῖ αὐτό, δῆλον ὅτι ὡσαύτως ποιήσει, καὶ βαδιοῦνται αἱ γενέσεις εἰς ἄπειρον. Φανερὸν ἄρα ὅτι [d]οὐδὲ τὸ εἶδος, ἢ ὁτιδήποτε χρὴ καλεῖν τὴν ἐν τῷ αἰσθητῷ μορφήν, [e]οὐ γίγνεται, οὐδ' ἔστιν αὐτοῦ γένεσις, οὐδὲ τὸ τί [f]ἦν εἶναι· τοῦτο γάρ ἐστιν ὃ ἐν ἄλλῳ γίγνεται [g]ἢ ὑπὸ τέχνης ἢ ὑπὸ φύσεως ἢ δυνάμεως. Τὸ δὲ χαλκῆν σφαῖραν εἶναι ποιεῖ. 4
Ποιεῖ γὰρ ἐκ χαλκοῦ [h]καὶ σφαίρας· εἰς τοδὶ γὰρ [i]τὸ εἶδος ποιεῖ, καὶ ἔστι τοῦτο σφαῖρα χαλκῆ. Τοῦ δὲ σφαίρᾳ εἶναι ὅλως εἰ [k]ἔστι γένεσις, ἔκ τινός τι ἔσται. Δεήσει γὰρ διαιρετὸν [l]εἶναι [m]ἀεὶ τὸ γιγνόμενον, καὶ εἶναι τὸ μὲν τόδε [n]τὸ

[m] ἐπεὶ] ὡς εἰ T. [n] ἐπιβλέπῃ σφόδρα E.T. [o] εἶπε Ab: ceteri εἴποιε. [p] δὴ T. [q] ὃ] τί Fb. [r] ἡ T. [s] τι om. T. [t] ποιεῖν om. Ab. [v] ὅλου T. [w] τι add. Ab.Fb. [x] ποιεῖν ἐστὶν] ποιῆσαι Ab.Hb. [y] ποιῇ ἀλλ' οὔ T, ποιοίη ἢ ἄλλου E. [z] ποιεῖ Ab. [a] ἐστιν ὁ χαλκὸς T. [b] τόδε Ab. [c] ὅ] ὅτι Ab. [d] οὔτε E.T. [e] οὐ om. Ab.Fb. [f] εἶναι] εἶναι τοῦτο T, εἶναι τούτῳ E. [g] ἢ prius om. Ab. [h] καὶ σφαίρας] σφαῖραν Ab. [i] τὸ] τοδὶ τὸ E.T. [k] ἔσται Ab.Fb. [l] εἶναι om. T. [m] ἀεὶ om. Ab. [n] τὸ δὲ om. Ab.

δὲ τόδε, λέγω δ' ὅτι [o]τὸ μὲν ὕλην τὸ δ' εἶδος. Εἰ [p]δή ἐστι σφαῖρα τὸ ἐκ τοῦ μέσου σχῆμα ἴσον, τούτου τὸ μὲν ἐν ᾧ ἔσται [q]ὃ ποιεῖ, τὸ δ' ἐν ἐκείνῳ, τὸ δ' ἅπαν τὸ γεγονός, οἷον ἡ χαλκῆ σφαῖρα. Φανερὸν δὴ ἐκ τῶν εἰρημένων ὅτι τὸ μὲν ὡς εἶδος [r]ἡ οὐσία λεγόμενον οὐ γίγνεται, ἡ δὲ σύνοδος ἡ κατὰ ταύτην λεγομένη γίγνεται, καὶ ὅτι ἐν [s]παντὶ τῷ γενομένῳ ὕλη [t]ἔνεστι, καὶ ἔστι τὸ μὲν τόδε τὸ δὲ τόδε. Πότερον οὖν ἔστι [v]τις σφαῖρα παρὰ [w]τάσδε ἢ οἰκία παρὰ τὰς πλίνθους, ἢ οὐδ' ἄν ποτε ἐγίγνετο, εἰ οὕτως ἦν, τόδε τι; [x]Ἀλλὰ τὸ τοιόνδε σημαίνει, τόδε δὲ καὶ ὡρισμένον οὐκ ἔστιν, ἀλλὰ ποιεῖ καὶ γεννᾷ ἐκ τοῦδε τοιόνδε· καὶ ὅταν γενηνεθῇ, ἔστι [y]τόδε τοιόνδε. Τὸ δ' ἅπαν τόδε Καλλίας ἢ Σωκράτης ἐστὶν ὥσπερ ἡ σφαῖρα ἡ χαλκῆ [z]ἥδί, ὁ δ' ἄνθρωπος καὶ τὸ ζῷον ὥσπερ σφαῖρα χαλκῆ ὅλως. Φανερὸν ἄρα ὅτι ἡ τῶν εἰδῶν αἰτία, ὡς εἰώθασί τινες λέγειν τὰ εἴδη, εἰ ἔστιν ἄττα παρὰ τὰ καθ' ἕκαστα, πρός τε τὰς γενέσεις καὶ [a]τὰς οὐσίας οὐθὲν [b]χρήσιμα· οὐδ' ἂν εἶεν διά γε ταῦτα οὐσίαι καθ' [c]αὑτάς. [d]Ἐπὶ μὲν δή τινων [d]καὶ φανερὸν ὅτι τὸ γεννῶν τοιοῦτον μὲν οἷον τὸ γεννώμενον, οὐ μέντοι τὸ αὐτό γε, οὐδ' ἓν τῷ ἀριθμῷ [e]ἀλλὰ τῷ εἴδει, οἷον ἐν τοῖς φυσικοῖς· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, [f]ἂν μή τι παρὰ φύσιν γένηται, οἷον ἵππος ἡμίονον. Καὶ ταῦτα δὲ ὁμοίως· ὃ γὰρ ἂν κοινὸν εἴη ἐφ' ἵππου καὶ ὄνου, οὐκ ὠνόμασται τὸ [g]ἐγγύτατα γένος, εἴη δ' ἂν ἄμφω ἴσως οἷον ἡμίονος. [v]Ὥστε φανερὸν ὅτι οὐθὲν δεῖ ὡς παράδειγμα εἶδος κατασκευάζειν (μάλιστα γὰρ ἂν ἐν τούτοις ἐπεζητοῦντο· οὐσίαι γὰρ [h]αἱ μάλιστα αὗται) ἀλλὰ ἱκανὸν τὸ γεννῶν ποιῆσαι καὶ τοῦ εἴδους αἴτιον εἶναι ἐν τῇ ὕλῃ. Τὸ δ' ἅπαν ἤδη τὸ τοιόνδε εἶδος ἐν ταῖσδε ταῖς σαρξὶ καὶ ὀστοῖς Καλλίας καὶ Σωκράτης· καὶ ἕτερον

o τὸ μὲν] τὴν μὲν T. p δέ T. q ὃ] οὐ Ab. r ἡ] ἡ Ab, ἢ ὡς E. s ἅπαντι E.T. t ἔνεστι] ἐστὶ Ab.Hb. v τι T. w τάδε E. x ἀλλ' ὅτι τοιόνδε E.T. y τόδε] δῆλον Hb. z ἥδί om. T. a τὰς post καὶ add. Ab.Hb. b χρησίμη Ab. c ἑαυτάς Ab. d καὶ om. Ab.Hb. e ἀλλ' ἓν τῷ E.T. f ἐὰν T. g ἐγγυτάτω T. h αἱ om. Ab.

μὲν διὰ τὴν ὕλην, ἑτέρα γάρ, [i]ταὐτὸ δὲ [k]τῷ εἴδει· ἄτομον γὰρ τὸ εἶδος.

9 [l]Ἀπορήσειε δ' ἄν τις διὰ τί τὰ μὲν γίγνεται [l]καὶ τέχνῃ καὶ ἀπὸ ταὐτομάτου, οἷον ὑγίεια, τὰ δ' οὔ, οἷον οἰκία. Αἴτιον δ' ὅτι τῶν μὲν ἡ ὕλη ἡ ἄρχουσα τῆς γενέσεως ἐν τῷ ποιεῖν καὶ γίγνεσθαί τι τῶν [m]ἀπὸ τέχνης, ἐν ᾗ ὑπάρχει τι μέρος τοῦ πράγματος, ἡ μὲν τοιαύτη ἐστὶν οἵα κινεῖσθαι ὑφ' αὑτῆς, ἡ δ' οὔ, καὶ ταύτης ἡ μὲν [n]ὧδὶ οἵα τε, ἡ δὲ ἀδύνατος· πολλὰ γὰρ [o]δύναται μὲν ὑφ' αὑτῶν κινεῖσθαι ἀλλ' οὐχ [n]ὧδί, οἷον ὀρχήσασθαι. [p]Ὅσων οὖν τοιαύτη ἡ ὕλη, οἷον οἱ λίθοι, ἀδύνα- 2 τον [n]ὧδὶ κινηθῆναι εἰ μὴ ὑπ' ἄλλου, [n]ὧδὶ [p]μέντοι ναί· καὶ τὸ πῦρ. Διὰ τοῦτο τὰ μὲν οὐκ ἔσται ἄνευ τοῦ ἔχοντος τὴν τέχνην, τὰ δ' ἔσται· ὑπὸ γὰρ τούτων κινηθήσεται τῶν οὐκ ἐχόντων [q]μὲν τὴν τέχνην, κινεῖσθαι δὲ δυναμένων αὐτῶν, [r]ἢ ὑπ' ἄλλων οὐκ ἐχόντων τὴν τέχνην, ἢ ἐκ μέρους. Δῆλον [s]δ' 3 ἐκ τῶν εἰρημένων [t]καὶ ὅτι [v]τρόπον τινὰ πάντα γίγνεται ἐξ [w]ὁμωνύμου, [x]ὥσπερ τὰ φύσει, ἢ ἐκ μέρους ὁμωνύμου, οἷον ἡ οἰκία ἐξ οἰκίας, ἢ ὑπὸ νοῦ (ἡ γὰρ τέχνη τὸ εἶδος), ἢ ἐκ [y]μέρους ἢ ἔχοντός [z]τι μέρος, ἐὰν μὴ κατὰ συμβεβηκὸς [a]γίγνηται· τὸ γὰρ [b]αἴτιον τοῦ ποιεῖν πρῶτον καθ' αὑτὸ μέρος. Θερμότης γὰρ ἡ ἐν τῇ κινήσει θερμότητα ἐν τῷ σώματι 4 ἐποίησεν· αὕτη δ' ἐστὶν [c]ἡ ὑγίεια ἢ μέρος, ἢ ἀκολουθεῖ αὐτῇ μέρος τι τῆς ὑγιείας ἢ αὐτὴ [d]ἡ ὑγίεια· διὸ καὶ λέγεται ποιεῖν, ὅτι ἐκεῖνο ποιεῖ τὴν ὑγίειαν ᾧ ἀκολουθεῖ [e]καὶ συμβέβηκε [f]θερμότης. [y]Ὥστε ὥσπερ ἐν τοῖς συλλογισμοῖς πάντων ἀρχὴ ἡ οὐσία (ἐκ γὰρ τοῦ τί ἐστιν οἱ συλλογισμοί εἰσιν), ἐνταῦθα δὲ αἱ γενέσεις. [r]Ὁμοίως [g]δὲ καὶ τὰ φύσει 5

i ταυτὰ A^b. k τῷ εἴδει] τωδὶ T. l καὶ τέχνῃ om. A^b. m ἀπὸ τῆς τέχνης T. n ὧδε A^b. o δυνατὰ E. p μέντ' εἶναι A^b. q μὲν om. $A^b.H^b$. r ἢ om. A^b. s δ' om. H^b. t καὶ om. F^b. v πάντα τρόπον τινὰ F^b, τρόπον τινὰ ἅπαντα E.T. w ὁμωνύμων T. x ὥσπερ—ὁμωνύμου om. T. y μέρους ἢ] μέρους συνωνύμου ἢ F^b, om. A^b. z τι] τὸ A^b. a γένηται H^b. b αἴτιον om. A^b. c ἢ ὑγίεια] ἤτοι ὑγίεια E.T. d ἡ add. E.A^b.F^b. e καὶ ὧ συμβέβηκε T, om. H^b. f ἡ θερμότης E. g δὴ E.

συνιστάμενα τούτοις ἔχει. Τὸ μὲν γὰρ σπέρμα ποιεῖ ὥσπερ [h]τὰ ἀπὸ τέχνης· ἔχει γὰρ [i]δυνάμει τὸ εἶδος, καὶ ἀφ' οὗ τὸ σπέρμα, ἐστί [k]πως ὁμώνυμον. Οὐ γὰρ πάντα οὕτω [l]δεῖ ζητεῖν ὡς ἐξ ἀνθρώπου ἄνθρωπος (καὶ γὰρ γυνὴ ἐξ ἀνδρός· 6 διὸ ἡμίονος οὐκ ἐξ ἡμιόνου), [m]ἀλλ' ἐὰν μὴ πήρωμα ᾖ. [n]Ὅσα δὲ ἀπὸ ταὐτομάτου ὥσπερ ἐκεῖ γίγνεται, ὅσων ἡ ὕλη [o]δύναται καὶ ὑφ' αὑτῆς κινεῖσθαι ταύτην τὴν κίνησιν ἣν τὸ σπέρμα κινεῖ· ὅσων δὲ μή, ταῦτα [p]ἀδύνατα γίγνεσθαι ἄλλως πως ἢ ἐξ [q]αὐτῶν. Οὐ μόνον δὲ περὶ τῆς οὐσίας ὁ λόγος δηλοῖ τὸ μὴ γίγνεσθαι τὸ εἶδος, ἀλλὰ περὶ πάντων ὁμοίως τῶν πρώ-των κοινὸς ὁ λόγος, οἷον ποσοῦ ποιοῦ καὶ τῶν ἄλλων κατη- 7 γοριῶν. Γίγνεται γὰρ ὥσπερ ἡ χαλκῆ σφαῖρα, ἀλλ' οὐ σφαῖρα οὐδὲ χαλκός, [r]καὶ ἐπὶ χαλκοῦ, [s]εἰ γίγνεται ([t]ἀεὶ γὰρ δεῖ προϋπάρχειν τὴν ὕλην καὶ τὸ εἶδος), οὕτως καὶ ἐπὶ τοῦ τί ἐστι καὶ ἐπὶ τοῦ ποιοῦ καὶ ποσοῦ καὶ τῶν ἄλλων ὁμοίως κατηγοριῶν· οὐ γὰρ γίγνεται τὸ ποιὸν ἀλλὰ τὸ ποιὸν ξύλον, οὐδὲ τὸ ποσὸν ἀλλὰ τὸ ποσὸν ξύλον ἢ ζῷον. 8 Ἀλλ' ἴδιον τῆς οὐσίας ἐκ τούτων λαβεῖν ἔστιν ὅτι [v]ἀνάγκη προϋπάρχειν [w]ἑτέραν οὐσίαν [x]ἐντελεχείᾳ οὖσαν ἢ ποιεῖ, οἷον ζῷον, [y]εἰ γίγνεται ζῷον· ποιὸν δ' ἢ ποσὸν οὐκ ἀνάγκη ἀλλ' [z]ἢ δυνάμει μόνον.

10 Ἐπεὶ [a]δὲ ὁρισμὸς λόγος ἐστί, πᾶς δὲ λόγος [b]μέρη ἔχει, ὡς δ' ὁ λόγος πρὸς τὸ πρᾶγμα, καὶ τὸ μέρος [c]τοῦ λόγου πρὸς τὸ μέρος τοῦ πράγματος ὁμοίως ἔχει, ἀπορεῖται ἤδη πότερον [d]δεῖ τὸν τῶν μερῶν λόγον ἐνυπάρχειν ἐν τῷ [e]τοῦ ὅλου λόγῳ [f]ἢ οὔ. [g]Ἐνίων μὲν γὰρ φαίνονται [h]ἐνόντα, 2 [i]ἐνίων δ' οὔ. Τοῦ μὲν γὰρ κύκλου ὁ λόγος οὐκ ἔχει τὸν

h τὸ E. i δύναμιν Ab. k πως] πρῶτον Ab. l δὴ ζητῆ T. m ἀλλ' om. Ab. n ὅσα δὲ om. Hb, δὲ om. Fb. o δύναται om. Ab. p ἀδύνατον T. q αὐτοῦ Hb. r καὶ—γίγνεται om. Hb. s εἰ add. E.Ab. t ἀεὶ] εἰ Ab. v ἀναγκαῖον Ab.Fb. w ἑτέραν] ἀεὶ ἑτέραν E.T. x οὖσαν ἐντελεχείᾳ T. y εἰ γίγνεται ζῷον om. Ab. z ἢ om. Ab.Fb. a δὲ ὁρισμὸς] δὲ ὁ ὁρισμὸς Fb, δὴ ὁ ὁρισμὸς T.Hb. b ἔχει μέρη Fb. c τοῦ —μέρος om. Ab. d δεῖ om. T. e τοῦ ὅλου] ὅλῳ Hb. f ἢ οὔ om. Ab. g ἐπ' ἐνίων T.Ab. h ἐνόντες E.T.Ab. i ἐπ' ἐνίων T.

τῶν τμημάτων, ὁ δὲ τῆς συλλαβῆς ἔχει τὸν τῶν στοιχείων· [k] Καίτοι διαιρεῖται [l] καὶ ὁ κύκλος εἰς τὰ τμήματα ὥσπερ καὶ ἡ συλλαβὴ εἰς τὰ στοιχεῖα. [d] Ἔτι δ' εἰ [m] πρότερα [n] τὰ μέρη τοῦ ὅλου, τῆς δ' ὀρθῆς ἡ ὀξεῖα μέρος καὶ ὁ δάκτυλος [o] τοῦ ζῴου, πρότερον ἂν εἴη ἡ ὀξεῖα τῆς ὀρθῆς καὶ ὁ δάκτυλος τοῦ ἀνθρώπου. Δοκεῖ δ' ἐκεῖνα [p] εἶναι πρότερα· τῷ 3 λόγῳ γὰρ λέγονται ἐξ ἐκείνων, [q] καὶ τῷ εἶναι δὲ ἄνευ ἀλλήλων πρότερα. [r] Ἡ πολλαχῶς λέγεται τὸ μέρος, ὧν εἰς μὲν τρόπος τὸ μετροῦν κατὰ τὸ ποσόν. [s] Ἀλλὰ τοῦτο μὲν ἀφείσθω· ἐξ ὧν δ' ἡ οὐσία ὡς μερῶν, τοῦτο σκεπτέον. Εἰ οὖν ἐστὶ 4 τὸ μὲν ὕλη τὸ δ' εἶδος τὸ δ' ἐκ τούτων, καὶ οὐσία ἥ τε ὕλη καὶ τὸ εἶδος καὶ τὸ ἐκ τούτων, ἔστι μὲν ὡς καὶ ἡ ὕλη μέρος τινὸς λέγεται, ἔστι δ' ὡς οὔ, ἀλλ' ἐξ ὧν [s] ὁ τοῦ εἴδους λόγος. Οἷον τῆς μὲν κοιλότητος οὐκ ἔστι [t] μέρος [v] ἡ σάρξ (αὕτη γὰρ ἡ ὕλη [w] ἐφ' ἧς γίγνεται), τῆς δὲ σιμότητος [x] μέρος· καὶ τοῦ μὲν συνόλου ἀνδριάντος μέρος ὁ χαλκός, τοῦ δ' ὡς [y] εἴδους λεγομένου ἀνδριάντος οὔ. Λεκτέον γὰρ τὸ εἶδος καὶ ἧ εἶδος ἔχει 5 ἕκαστον, τὸ δ' ὑλικὸν οὐδέποτε καθ' αὑτὸ λεκτέον. Διὸ ὁ μὲν τοῦ κύκλου λόγος οὐκ ἔχει τὸν τῶν τμημάτων, ὁ δὲ τῆς [z] συλλαβῆς τὸν τῶν στοιχείων· τὰ μὲν γὰρ στοιχεῖα τοῦ λόγου μέρη τοῦ εἴδους καὶ οὐχ ὕλη, τὰ δὲ [a] τμήματα οὕτως μέρη ὡς ὕλη ἐφ' οἷς ἐπιγίγνεται· ἐγγυτέρω μέντοι τοῦ εἴδους ἢ ὁ χαλκός, ὅταν ἐν χαλκῷ ἡ στρογγυλότης ἐγγένηται. [d] Ἔστι δ' ὡς οὐδὲ τὰ στοιχεῖα [b] πάντα τῆς συλλαβῆς ἐν τῷ 6 λόγῳ ἐνέσται, οἷον ταδὶ τὰ κήρινα ἢ τὰ ἐν τῷ ἀέρι· ἤδη γὰρ καὶ ταῦτα μέρος τῆς συλλαβῆς ὡς ὕλη αἰσθητή. Καὶ γὰρ 7 ἡ γραμμὴ [c] οὐκ [d] εἰ διαιρουμένη εἰς τὰ ἡμίσεα φθείρεται, ἢ ὁ ἄνθρωπος εἰς τὰ [e] ὀστᾶ καὶ νεῦρα καὶ σάρκας, διὰ τοῦτο καὶ [f] ἔστιν ἐκ τούτων οὕτως ὡς ὄντων τῆς οὐσίας μερῶν, ἀλλ' ὡς

[k] καίτοι] καίτοι καὶ A^b, καὶ F^b. [l] καὶ om. F^b. [m] πρότερον T.A^b. [n] τὸ μέρος A^b. [o] τοῦ—δάκτυλος om. A^b. [p] εἶναι om. T. [q] καὶ τῷ] καὶ τὸ T. [r] ἢ om. F^b. [s] ὁ om. T. [t] ἡ σὰρξ μέρος A^b. [v] ἡ om. E. [w] ἀφ' T. [x] μέρος τι. καὶ E.T. [y] εἶδος T. [z] συλλαβῆς ἔχει τὸν A^b. [a] τμήματα τούτων οὕτως A^b. [b] ἅπαντα A^b. [c] οὐκ om. H^b. [d] ἀεὶ T. [e] ὀστᾶ] στοιχεῖα T. [f] ἐστιν S, ἐκεῖν' A^b.

ἐξ ὕλης, καὶ τοῦ μὲν συνόλου μέρη, τοῦ εἴδους δὲ καὶ οὗ ὁ
8 λόγος οὐκέτι· διόπερ [g] οὐδ' ἐν τοῖς λόγοις. Τῶν μὲν [h] οὖν
ἐνέσται ὁ τῶν τοιούτων μερῶν λόγος, τῶν δ' οὐ δεῖ ἐνεῖναι,
[i] ἂν μὴ ᾖ τοῦ συνειλημμένου· διὰ [k] γὰρ τοῦτο ἔνια μὲν ἐκ τούτων
[l] ὡς ἀρχῶν ἐστὶν εἰς ἃ φθείρονται, ἔνια δ' οὐκ ἔστιν.
9 [m] [v] Ὅσα μὲν οὖν συνειλημμένα τὸ εἶδος καὶ ἡ ὕλη ἐστίν, οἷον
τὸ σιμὸν ἢ ὁ χαλκοῦς κύκλος, ταῦτα μὲν φθείρεται εἰς ταῦτα
[n] καὶ μέρος αὐτῶν ἡ ὕλη· ὅσα δὲ μὴ συνείληπται [o] τῇ ὕλῃ ἀλλ'
[p] ἄνευ ὕλης, ὧν οἱ λόγοι τοῦ εἴδους μόνον, ταῦτα δ' οὐ φθεί-
10 ρεται, ἢ ὅλως [q] ἢ οὕτοι οὕτω γε. [v] Ὥστ' ἐκείνων μὲν ἀρχαὶ
καὶ μέρη [r] τὰ ὑφ' αὑτά, τοῦ δ' εἴδους οὔτε μέρη οὔτ' ἀρχαὶ
[s] ταῦτα. Καὶ διὰ τοῦτο φθείρεται ὁ πήλινος ἀνδριὰς εἰς
πηλὸν [t] καὶ ἡ σφαῖρα εἰς χαλκὸν καὶ ὁ Καλλίας εἰς σάρκα
καὶ ὀστᾶ, ἔτι [v] δὲ ὁ κύκλος εἰς τὰ τμήματα· ἔστι γάρ [w] τι ὃ
συνείληπται τῇ ὕλῃ· ὁμωνύμως γὰρ [x] λέγεται κύκλος ὅ τε
ἁπλῶς λεγόμενος καὶ [y] ὁ καθ' ἕκαστα, διὰ τὸ μὴ εἶναι ἴδιον
11 ὄνομα τοῖς καθ' ἕκαστον. Εἴρηται μὲν οὖν [z] καὶ νῦν τἀληθές,
ὅμως [a] δ' ἔτι σαφέστερον εἴπωμεν ἐπαναλαβόντες. [v] Ὅσα μὲν
γὰρ τοῦ λόγου μέρη καὶ εἰς ἃ διαιρεῖται ὁ λόγος, ταῦτα
πρότερα, ἢ πάντα ἢ ἔνια. [t] Ὁ δὲ τῆς ὀρθῆς λόγος οὐ διαι-
ρεῖται εἰς ὀξείας λόγον, ἀλλὰ τῆς ὀξείας εἰς ὀρθήν· χρῆται
γὰρ ὁ ὁριζόμενος τὴν ὀξεῖαν τῇ ὀρθῇ· ἐλάττων γὰρ ὀρθῆς ἡ
12 ὀξεῖα. [t] Ὁμοίως δὲ καὶ [b] ὁ κύκλος καὶ [b] τὸ ἡμικύκλιον ἔχουσιν·
τὸ γὰρ ἡμικύκλιον τῷ κύκλῳ ὁρίζεται καὶ ὁ δάκτυλος τῷ
ὅλῳ· τὸ γὰρ τοιόνδε μέρος ἀνθρώπου δάκτυλος. [v] Ὥσθ' ὅσα
μὲν μέρη ὡς [c] ὕλη καὶ εἰς ἃ διαιρεῖται [d] ὡς ὕλην, ὕστερα· ὅσα
δὲ ὡς τοῦ λόγου καὶ τῆς οὐσίας τῆς κατὰ τὸν λόγον, πρό-
13 τερα, ἢ πάντα ἢ ἔνια. [t] Ἐπεὶ δὲ ἡ τῶν ζῴων ψυχὴ (τοῦτο

g οὐδ'] καὶ Ab. h οὖν] οὖν οὐκ E.S, om. Ab. i ἐὰν μὴ τοῦ Ab. k γὰρ τούτου T. l ὡς om. Ab. m ὅσα] ὅσα ἔνια Ab. n καὶ τὸ μέρος T. o τῇ] ἡ S. p ἄνευ τῆς ὕλης οἷον λόγοι E.T. q ἢ οὐ τοιούτω γε Ab, ἢ οὕτι οὕτω γε E, ἢ ὅτι οὕτως τε T. r τὰ ὑφ' αὑτά] ταῦτα Ab. s ταῦτα om. Ab. t καὶ—χαλκὸν om. Hb. v δὲ ὁμοίως ὁ Ab. w τις ὃς E.T. x λέγεται ὁ κύκλος T. y οἱ E. z καὶ νῦν om. T. a δέ τι S.T. b ὁ et τὸ prius om. E.T.Hb. c ὕλη] εἰς ὕλην T. d ὡς] ὡς εἰς E.

γὰρ οὐσία τοῦ ἐμψύχου) ἡ κατὰ τὸν λόγον [e] οὐσία καὶ τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι τῷ [f] τοιῷδε σώματι· [g] ἕκαστον γοῦν τὸ μέρος ἐὰν ὁρίζηται [h] καλῶς, οὐκ ἄνευ τοῦ ἔργου ὁριεῖται, ὃ οὐχ [i] ὑπάρξει ἄνευ αἰσθήσεως· ὥστε τὰ [k] ταύτης μέρη πρότερα, ἢ πάντα ἢ ἔνια, τοῦ συνόλου ζῴου, καὶ καθ' ἕκαστον δὴ ὁμοίως. Τὸ δὲ σῶμα καὶ τὰ τούτου μόρια ὕστερα ταύτης 14
τῆς οὐσίας, καὶ διαιρεῖται εἰς [l] ταῦτα ὡς εἰς ὕλην [m] οὐχ ἡ οὐσία ἀλλὰ τὸ σύνολον. Τοῦ μὲν [n] οὖν συνόλου πρότερα ταῦτ' ἔστιν ὥς, ἔστι δ' ὡς οὔ. Οὐδὲ γὰρ εἶναι δύναται χωριζόμενα· [o] οὐδὲ γὰρ ὁ [p] πάντως ἔχων δάκτυλος ζῴου, ἀλλ' ὁμώνυμος ὁ τεθνεώς. [q] Ἕνια δ' ἅμα, ὅσα κύρια καὶ ἐν ᾧ πρώτῳ 15
ὁ λόγος καὶ ἡ οὐσία, οἷον εἰ τοῦτο καρδία ἢ ἐγκέφαλος· διαφέρει γὰρ οὐθὲν [q] πότερον τοιοῦτον. [r] Ὁ δ' ἄνθρωπος καὶ [r] ὁ ἵππος καὶ [s] τὰ οὕτως ἐπὶ τῶν καθ' ἕκαστα· καθόλου δ' οὐκ ἔστιν οὐσία, ἀλλὰ σύνολόν τι ἐκ τουδὶ τοῦ λόγου καὶ τησδὶ τῆς ὕλης ὡς καθόλου· καθ' ἕκαστον δ' ἐκ τῆς ἐσχάτης ὕλης ὁ Σωκράτης ἤδη ἐστίν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Μέρος 16
μὲν οὖν ἐστὶ καὶ τοῦ εἴδους (εἶδος δὲ λέγω τὸ τί ἦν εἶναι) [t] καὶ τοῦ συνόλου [v] τοῦ ἐκ τοῦ εἴδους καὶ [w] τῆς ὕλης αὐτῆς. [x] Ἀλλὰ τοῦ λόγου μέρη τὰ τοῦ εἴδους μόνον ἐστίν, ὁ δὲ λόγος [x] ἐστὶ τοῦ καθόλου· τὸ γὰρ κύκλῳ εἶναι καὶ κύκλος καὶ ψυχῇ εἶναι καὶ ψυχὴ ταὐτό. Τοῦ δὲ συνόλου [y] ἤδη, οἷον 17
κύκλου [z] τουδί, τῶν καθ' ἕκαστά τινος [a] ἢ αἰσθητοῦ ἢ νοητοῦ (λέγω δὲ νοητοὺς μὲν οἷον τοὺς μαθηματικούς, αἰσθητοὺς δὲ οἷον τοὺς χαλκοῦς καὶ [b] τοὺς ξυλίνους), τούτων δὲ οὐκ ἔστιν ὁρισμός, ἀλλὰ μετὰ νοήσεως ἢ αἰσθήσεως γνωρίζονται. [x] Ἀ- 18
πελθόντας δ' ἐκ τῆς ἐντελεχείας οὐ δῆλον πότερόν [c] ποτέ εἰσιν ἢ οὐκ εἰσίν, ἀλλ' ἀεὶ λέγονται καὶ γνωρίζονται τῷ κα-

[e] καὶ τὸ εἶδος οὐσία S. [f] τοιούτῳ E.T. [g] ἑκάστου E.T. [h] καλῶς] τὸ μέρος καλῶς A^b. [i] ὑπάρχει S.T.H^b. [k] ταύτης] τοιαῦτα T. [l] αὐτὰ T. [m] οὐχ ἡ οὐσία] οὐκ οὐσίαν A^b. [n] οὖν et mox ἔστιν ὡς om. T. [o] οὐ E.S. [p] παντοίως H^b. ἄλλως πῶς A^b. [q] πότερον τὸ τοιοῦτον A^b. [r] ὁ om. A^b. [s] τὰ] ταῦτα A^b. [t] καὶ] ὥσπερ καὶ F^b. [v] τοῦ ἐκ] τῷ ἐκ S. [w] τῆς] ὡς A^b. [x] ἐστὶ τοῦ] ἐστὶ τὸ F^b. [y] ἤδη] ἢ E.S.T. [z] τουδὶ καὶ τῶν E.S.T. [a] ἢ post τινος om. E.S. [b] τοὺς add. A^b. [c] ποτέ om. A^b.

θόλου λόγῳ· ἡ δ' ὕλη ἄγνωστος καθ' αὑτήν. [v]Ὑλη δ' ἡ μὲν αἰσθητή [d]ἐστιν ἡ δὲ [e]νοητή, αἰσθητὴ μὲν οἷον χαλκὸς καὶ ξύλον καὶ [f]ὅση κινητὴ ὕλη, [g]νοητὴ δὲ ἡ ἐν τοῖς αἰσθητοῖς
19 ὑπάρχουσα [h]μὴ ᾗ [i]αἰσθητά, [k]οἷον τὰ μαθηματικά. Πῶς μὲν οὖν ἔχει περὶ [l]ὅλου καὶ μέρους, καὶ [m]περὶ τοῦ προτέρου καὶ ὑστέρου, εἴρηται. Πρὸς δὲ τὴν ἐρώτησιν ἀνάγκη [n]ἁπαντᾶν, ὅταν τις [o]ἔρηται πότερον ἡ ὀρθὴ καὶ ὁ κύκλος καὶ τὸ ζῷον [p]πρότερον, ἢ εἰς ἃ [q]διαιροῦνται καὶ ἐξ ὧν εἰσί, [r]τὰ μέρη,
20 ὅτι οὐχ ἁπλῶς. Εἰ μὲν γάρ ἐστι καὶ ἡ ψυχὴ ζῷον [s]ἔμψυχον [t]ἢ ἕκαστον ἢ ἑκάστου, [v]καὶ κύκλος τὸ κύκλῳ εἶναι, [w]καὶ ἡ ὀρθὴ τὸ ὀρθῇ εἶναι καὶ ἡ οὐσία ἡ τῆς ὀρθῆς, τὶ μὲν καὶ τινὸς φατέον ὕστερον, οἷον τῶν ἐν τῷ λόγῳ καί τινος
21 ὀρθῆς. Καὶ γὰρ ἡ μετὰ τῆς ὕλης ἡ χαλκῆ ὀρθή, καὶ ἡ ἐν ταῖς γραμμαῖς ταῖς καθ' ἕκαστα· ἡ δ' ἄνευ ὕλης τῶν μὲν ἐν τῷ λόγῳ ὑστέρα, τῶν δ' ἐν τῷ καθ' ἕκαστα μορίων προτέρα. [x]Ἁπλῶς δ' οὐ φατέον. Εἰ δ' ἑτέρα καὶ μή ἐστιν ἡ ψυχὴ ζῷον, καὶ οὕτω τὰ μὲν φατέον τὰ δ' [x]οὐ φατέον, ὥσπερ εἴρηται.

11 [a]Ἀπορεῖται δ' εἰκότως καὶ ποῖα [y]τοῦ εἴδους μέρη καὶ ποῖα οὔ, ἀλλὰ τοῦ συνειλημμένου. Καίτοι τούτου μὴ [z]δήλου ὄντος οὐκ ἔστιν ὁρίσασθαι ἕκαστον· τοῦ γὰρ καθόλου καὶ τοῦ εἴδους ὁ ὁρισμός· [a]ποῖα οὖν ἐστὶ τῶν μερῶν ὡς ὕλη καὶ ποῖα οὔ, ἐὰν μὴ ᾖ φανερά, οὐδὲ ὁ λόγος ἔσται φανερὸς ὁ τοῦ
2 πράγματος. [v]Ὅσα μὲν οὖν φαίνεται ἐπιγιγνόμενα ἐφ' ἑτέρων τῷ εἴδει, οἷον κύκλος ἐν χαλκῷ καὶ λίθῳ καὶ ξύλῳ, ταῦτα μὲν δῆλα εἶναι δοκεῖ ὅτι οὐθὲν τῆς τοῦ κύκλου οὐσίας ὁ χαλ-
3 κὸς οὐδ' ὁ λίθος διὰ τὸ χωρίζεσθαι αὐτῶν. [v]Ὅσα δὲ μὴ ὁρᾶται χωριζόμενα, οὐθὲν μὲν κωλύει ὁμοίως ἔχειν τούτοις, ὥσπερ

d ἐστιν om. T. e διανοητή T. f ὅσα κινεῖται, omisso ὕλη, Ab.Fb. g νοητὴ] ἡ Ab. h μὴ om. Hb. i αἰσθητοῖς Fb. k οἷον] ὄντα Ab. l ὅλου καὶ περὶ μερους Ab, μέρους καὶ ὅλου Fb. m περὶ τοῦ om. Fb. n ἅπαντα T. o ἐρωτᾷ T. p πρότερα E. q διαιρεῖται Ab. r τὰ μέρη om. Fb. s ἢ ἔμψυχον (ἔμψυχος E.) ἢ ἕκαστον E.Ab.Fb, ἢ ἕκαστον ἢ ἔμψυχον S. t ἢ] ἢ E. v καὶ ὁ κύκλος Fb. w καὶ ἡ ante ὀρθὴ om. Ab. x οὐ om. S. y τοῦ] ἔσται τοῦ Ab, ἐστι τοῦ Fb. z δηλοῦντος οὐκ T. a ποῖα οὖν] ἢ ποῖα οὖν Ab.

κἂν [b]εἰ οἱ κύκλοι πάντες ἐωρῶντο χαλκοῖ (οὐθὲν γὰρ ἂν ἧττον ἦν ὁ χαλκὸς [c]οὐθὲν τοῦ εἴδους), χαλεπὸν δὲ ἀφελεῖν [d]τοῦτο τῇ διανοίᾳ. Οἷον [e]τὸ τοῦ ἀνθρώπου εἶδος ἀεὶ ἐν σαρξὶ φαί- 4
νεται καὶ ὀστοῖς καὶ τοῖς τοιούτοις μέρεσιν· ἆρ' οὖν καὶ ἐστὶ [f]ταῦτα μέρη τοῦ εἴδους καὶ τοῦ λόγου, ἢ οὔ, ἀλλ' ὕλη; [g]Ἀλλὰ διὰ τὸ μὴ καὶ ἐπ' [g]ἄλλων ἐπιγίγνεσθαι ἀδυνατοῦμεν χωρίσαι.
[h]Ἐπεὶ δὲ τοῦτο δοκεῖ [h]μὲν ἐνδέχεσθαι, ἄδηλον δὲ [h]πότε, ἀπο- 5
ροῦσί τινες ἤδη καὶ ἐπὶ τοῦ κύκλου [i]καὶ τοῦ τριγώνου, ὡς οὐ προσῆκον γραμμαῖς ὁρίζεσθαι καὶ τῷ συνεχεῖ, ἀλλὰ [k]πάντα ταῦτα ὁμοίως λέγεσθαι ὡσανεὶ σάρκες ἢ ὀστᾶ τοῦ ἀνθρώπου [l]καὶ χαλκὸς καὶ λίθος [m]τοῦ ἀνδριάντος· καὶ ἀνάγουσι [n]πάντα εἰς τοὺς ἀριθμούς, καὶ γραμμῆς τὸν λόγον τὸν τῶν δύο εἶναί φασιν. Καὶ τῶν τὰς ἰδέας λεγόντων οἱ μὲν αὐτογραμμὴν 6
τὴν δυάδα, οἱ δὲ τὸ εἶδος τῆς γραμμῆς· ἔνια μὲν γὰρ εἶναι [o]ταὐτὰ τὸ εἶδος καὶ οὗ τὸ εἶδος, οἷον δυάδα καὶ [p]τὸ εἶδος δυάδος. [q]Ἐπὶ γραμμῆς [q]δὲ [r]οὐκ ἔστι. Συμβαίνει δὴ ἔν τε πολ- 7
λῶν εἶδος εἶναι, ὧν τὸ εἶδος φαίνεται ἕτερον, ὅπερ καὶ τοῖς Πυθαγορείοις συνέβαινεν· καὶ ἐνδέχεται ἓν πάντων [s]ποιεῖν αὐτὸ εἶδος, τὰ δ' ἄλλα μὴ εἴδη· καίτοι οὕτως ἓν πάντα ἔσται.
[v]Ὅτι μὲν οὖν ἔχει [t]τινὰ ἀπορίαν [v]τὰ περὶ τοὺς [w]ὁρισμούς, 8
καὶ διὰ τίν' αἰτίαν, εἴρηται. [x]Διὸ καὶ [y]τὸ πάντ' ἀνάγειν οὕτω καὶ ἀφαιρεῖν τὴν ὕλην [z]περίεργον· ἔνια γὰρ ἴσως τόδ' ἐν τῷδ' ἐστίν, ἢ ὧδι ταδὶ ἔχοντα. Καὶ ἡ παραβολὴ ἡ ἐπὶ 9
τοῦ ζῴου ἣν εἰώθει λέγειν Σωκράτης ὁ νεώτερος, οὐ καλῶς ἔχει· ἀπάγει γὰρ ἀπὸ τοῦ ἀληθοῦς, καὶ ποιεῖ ὑπολαμβάνειν ὡς ἐνδεχόμενον εἶναι τὸν ἄνθρωπον ἄνευ τῶν μερῶν, ὥσπερ ἄνευ τοῦ χαλκοῦ τὸν κύκλον. Τὸ δ' οὐχ ὅμοιον· αἰσθητὸν γάρ [a]τι τὸ ζῷον, καὶ ἄνευ κινήσεως οὐκ ἔστιν ὁρίσασθαι, διὸ

[b] εἰ om. A^b. [c] οὐθὲν ante τοῦ om. E.T. [d] τοῦτον A^b. [e] τὸ om. S. [f] μέρη ταῦτα E.T. [g] ἄλλω T.A^b. [h] μὲν et mox πότε om. T. [i] καὶ τοῦ] καὶ ἐπὶ τοῦ E.T. [k] πάντα καὶ ταῦτα A^b, ταῦτα πάντα T. [l] καὶ χαλκὸς—ἀνδριάντος om. H^b. [m] τοῦ ἀνδριάντος $A^b.F^b$: ceteri κύκλου. [n] πάντας S. [o] τὸ αὐτὸ A^b. [p] τὸ post καὶ om. A^b. [q] δὴ S. [r] οὐκέτι H^b. [s] αὐτὸ ποιεῖν T. [t] ἀπορίαν τινὰ E.T. [v] τὰ om. T. [w] ἀριθμούς H^b. [x] διὸ καὶ om. T. [y] τὸ om. A^b. [z] περὶ ἔργον T. [a] τι] τι ἴσως E.T.

10 [b]οὐδ' ἄνευ τῶν μερῶν ἐχόντων πῶς. Οὐ γὰρ πάντως τοῦ ἀνθρώπου μέρος [c]ἡ χείρ, ἀλλ' ἡ δυναμένη τὸ ἔργον ἀποτελεῖν, ὥστε ἔμψυχος οὖσα· μὴ ἔμψυχος δὲ οὐ μέρος. Περὶ δὲ τὰ μαθηματικά, διὰ τί οὐκ εἰσὶ μέρη οἱ λόγοι τῶν λόγων; Οἷον
11 [d]τοῦ κύκλου τὰ ἡμικύκλια· οὐ γάρ ἐστιν αἰσθητὰ ταῦτα. [e]Ἢ οὐθὲν διαφέρει; [f]Ἔσται γὰρ ὕλη ἐνίων καὶ μὴ αἰσθητῶν· καὶ παντὸς [e]γὰρ ὕλη τίς ἐστιν ὃ μή ἐστι τί ἦν εἶναι [e]καὶ εἶδος αὐτὸ καθ' αὑτὸ ἀλλὰ τόδε τι. [f]Κύκλου μὲν οὖν οὐκ ἔσται τοῦ καθόλου, τῶν δὲ καθ' ἕκαστα ἔσται μέρη ταῦτα, ὥσπερ εἴρηται πρότερον· ἔστι γὰρ ἡ ὕλη ἡ μὲν αἰσθητὴ ἡ δὲ
12 [g]νοητή. Δῆλον δὲ [h]καὶ ὅτι ἡ μὲν ψυχὴ οὐσία ἡ πρώτη, τὸ δὲ σῶμα ὕλη, ὁ δ' ἄνθρωπος ἢ τὸ ζῷον τὸ ἐξ ἀμφοῖν ὡς καθόλου· Σωκράτης δὲ καὶ Κορίσκος, [i]εἰ μὲν [k]καὶ ἡ ψυχὴ [l]διττόν· οἱ μὲν γὰρ ὡς ψυχήν, [m]οἱ δ' ὡς τὸ σύνολον· εἰ δ' ἁπλῶς ἡ ψυχὴ ἥδε [n]καὶ σῶμα [o]τόδε, ὥσπερ [p]τὸ καθόλου τε καὶ τὸ
13 καθ' ἕκαστον. Πότερον δ' [q]ἔστι παρὰ τὴν ὕλην τῶν τοιούτων οὐσιῶν [r]τις ἄλλη, καὶ δεῖ [s]ζητεῖν οὐσίαν [t]αὐτῶν ἑτέραν τινὰ οἷον [v]ἀριθμοὺς ἤ τι τοιοῦτον, σκεπτέον ὕστερον. Τούτου γὰρ χάριν καὶ περὶ τῶν αἰσθητῶν οὐσιῶν πειρώμεθα διορίζειν, [w]ἐπεὶ τρόπον τινὰ τῆς φυσικῆς καὶ δευτέρας φιλοσοφίας ἔργον ἡ περὶ τὰς αἰσθητὰς οὐσίας θεωρία· οὐ γὰρ μόνον περὶ τῆς ὕλης δεῖ γνωρίζειν τὸν φυσικόν, ἀλλὰ καὶ τῆς κατὰ
14 τὸν λόγον, καὶ μᾶλλον. [x]Ἐπὶ δὲ τῶν [y]ὁρισμῶν πῶς μέρη τὰ ἐν τῷ λόγῳ, καὶ διὰ τί εἷς λόγος ὁ ὁρισμός (δῆλον γὰρ ὅτι τὸ πρᾶγμα ἕν, τὸ δὲ πρᾶγμα τινὶ ἕν, μέρη γε ἔχον) σκεπτέον ὕστερον.

15 Τί μὲν οὖν ἐστὶ τὸ τί ἦν εἶναι καὶ πῶς αὐτὸ καθ' αὑτό, [z]καθόλου περὶ παντὸς εἴρηται, καὶ διὰ τί τῶν μὲν [a]ὁ λόγος

[b] οὐδ' om. A^b. [c] ἡ ante χείρ om. A^b. [d] τοῦ add. $A^b.F^b$. [e] γὰρ ὕλη τίς ἐστιν et καὶ—τι add. A^b. [f] κύκλου—καθόλου] τοῦ μὲν καθόλου κύκλου οὐκ ἔσται μέρη καθόλου A^b. [g] νοητή] οὐκ αἰσθητή T. [h] καὶ om. $A^b.F^b$. [i] εἰ om. T. [k] καὶ add. $A^b.F^b$. [l] διττόν] σωκράτης διττόν A^b. [m] οἱ δ'] ἡ δ' S.T. [n] καὶ om. A^b. [o] τόδε] τὰ δὲ A^b. [p] τὰ A^b. [q] ἔστι τι παρὰ E.T. [r] τις ante οὐσιῶν E.T, om. F^b. [s] ζητεῖν τὴν οὐσίαν A^b. [t] αὐτῶν om. A^b. [v] ἀριθμὸς S. [w] ἐπεὶ] ἢ ἐπεὶ A^b. [x] ἐπὶ] εἰ A^b. [y] μερισμῶν S. [z] καθόλου om. S. [a] ὁ om. A^b.

[b]ὁ τοῦ τί ἦν εἶναι ἔχει τὰ μόρια τοῦ ὁριζομένου, τῶν δ' οὔ, καὶ ὅτι [c]ἐν μὲν τῷ τῆς οὐσίας λόγῳ τὰ οὕτω μόρια ὡς ὕλη οὐκ [d]ἐνέσται. Οὐδὲ γὰρ ἔστιν [e]ἐκείνης μόρια τῆς οὐσίας ἀλλὰ τῆς [f]συνόλης· ταύτης [g]δέ γ' ἔστι πως λόγος καὶ οὐκ ἔστιν. Μετὰ μὲν γὰρ τῆς ὕλης οὐκ ἔστιν (ἀόριστον γάρ), 16
κατὰ τὴν πρώτην δ' οὐσίαν ἔστιν, οἷον ἀνθρώπου ὁ τῆς ψυχῆς λόγος. [h]Ἡ [i]οὐσία γάρ ἐστι τὸ εἶδος τὸ ἐνόν, ἐξ οὗ καὶ τῆς ὕλης ἡ [j]σύνοδος λέγεται οὐσία, οἷον ἡ κοιλότης· ἐκ γὰρ ταύτης καὶ τῆς ῥινὸς σιμὴ ῥὶς καὶ ἡ σιμότης ἐστί· [k]δὶς γὰρ ἐν τούτοις [l]ὑπάρξει ἡ ῥίς. [a]Ἐν δὲ τῇ συνόλῳ οὐσίᾳ, οἷον ῥινὶ 17
σιμῇ [m]ἢ Καλλίᾳ, [n]ἐνέσται καὶ ἡ ὕλη. Καὶ ὅτι [o]τὸ τί ἦν [p]εἶναι ἕκαστον ἐπὶ τινῶν μὲν ταὐτόν, ὥσπερ ἐπὶ τῶν πρώτων οὐσιῶν; Οἷον [q]καμπυλότης καὶ καμπυλότητι εἶναι, [r]εἰ πρώτη ἐστίν. Λέγω δὲ [s]πρώτην ἢ μὴ λέγεται [t]τῷ ἄλλο ἐν ἄλλῳ 18
εἶναι καὶ ὑποκειμένῳ ὡς ὕλη. [u]Ὅσα δ' ὡς ὕλη ἢ [v]ὡς συνειλημμένα τῇ ὕλῃ, οὐ ταὐτό, οὐδὲ κατὰ συμβεβηκὸς ἕν, [w]οἷον ὁ Σωκράτης καὶ τὸ μουσικόν· ταῦτα γὰρ [x]ταὐτὰ [y]κατὰ συμβεβηκός.

Νῦν δὲ [z]λέγωμεν πρῶτον, ἐφ' ὅσον ἐν τοῖς ἀναλυτικοῖς 12
περὶ ὁρισμοῦ [a]μὴ εἴρηται· ἡ γὰρ ἐν ἐκείνοις ἀπορία λεχθεῖσα πρὸ ἔργου τοῖς περὶ τῆς οὐσίας [b]ἐστὶ λόγοις. Λέγω δὲ ταύτην τὴν ἀπορίαν, διὰ τί ποτε [c]ἕν [d]ἐστιν οὗ τὸν λόγον ὁρισμὸν εἶναι φαμέν, οἷον [e]τοῦ ἀνθρώπου τὸ ζῷον δίπουν· [f]ἔστω γὰρ οὗτος αὐτοῦ λόγος. Διὰ τί δὴ τοῦτο ἕν ἐστιν 2
ἀλλ' οὐ πολλά, ζῷον καὶ δίπουν; [a]Ἐπὶ μὲν γὰρ τοῦ ἄνθρωπος καὶ λευκὸν πολλὰ μέν ἐστιν, ὅταν μὴ ὑπάρχῃ θατέρῳ θάτερον, [g]ἓν δέ, ὅταν ὑπάρχῃ καὶ πάθη τι τὸ ὑποκείμενον

[b] ὁ om. F[b]. [c] ἓν T. [d] ἔνεστιν S, omissis οὐδὲ—οὐκ ἔστιν. [e] ἐκεῖνα H[b]. [f] συνόλου T, συνόδου F[b]. [g] δέ γ'] δ' T. [h] γὰρ οὐσία E.T. [i] σύνολος E.T. [k] δὶς] δι' ἃ A[b]. [l] ὑπάρχει S. [m] ἢ om. T.A[b]. [n] ἔνεστι F[b]. [o] τὸ τί om. A[b]. [p] εἶναι καὶ ἕκαστον E. [q] καμπυλότης καὶ om. A[b]. [r] εἰ] ἡ S.T.A[b]. [s] πρῶτον ἢ A[b]. [t] τὸ A[b]. [v] ὡς τὰ συνειλημμένα A[b]. [w] οἷον σωκράτης καὶ μουσικός A[b]. [x] ταῦτα S, πάντα T. [y] κατὰ] καὶ κατὰ E.S. [z] λέγομεν T.H[b], λέγω F[b]. [a] μὴ] μοι T, om. F[b]. [b] λόγοις ἐστί A[b]. [c] ἕν om. A[b]. [d] ἐστιν] ἐστι τὸ ὁριστὸν S.F[b]. [e] τοῦ] ὁ τοῦ E.T. [f] ἔστω—δίπουν om. T.A[b]. [g] ἓν] εἰ A[b].

ὁ ἄνθρωπος· [h]τότε γὰρ ἓν γίγνεται καὶ ἔστιν ὁ λευκὸς ἄν-
3 θρωπος. [t]Ἐνταῦθα δ' οὐ μετέχει θατέρου θάτερον· τὸ γὰρ
γένος οὐ δοκεῖ μετέχειν τῶν διαφορῶν· ἅμα γὰρ [i]ἂν τῶν
ἐναντίων τὸ αὐτὸ μετεῖχεν· αἱ γὰρ διαφοραὶ ἐναντίαι, αἷς
διαφέρει τὸ γένος. Εἰ δὲ καὶ μετέχει, ὁ αὐτὸς λόγος, εἴπερ
εἰσὶν [k]αἱ διαφοραὶ πλείους, οἷον πεζόν, δίπουν, ἄπτερον.
4 Διὰ τί γὰρ ταῦθ' ἓν ἀλλ' οὐ πολλά; [l]Οὐ γὰρ ὅτι ἐνυπάρ-
χει· οὕτω μὲν γὰρ ἐξ ἁπάντων ἔσται ἕν. Δεῖ δέ γε ἓν εἶναι
ὅσα [m]ἐν τῷ ὁρισμῷ· ὁ γὰρ ὁρισμὸς λόγος τίς ἐστιν εἷς καὶ
[n]οὐσίας, [o]ὥσθ' ἑνός τινος δεῖ αὐτὸν [p]εἶναι λόγον· [q]καὶ γὰρ
ἡ οὐσία ἕν τι καὶ τόδε τι σημαίνει, ὡς φαμέν. Δεῖ δ' [r]ἐπι-
5 σκοπεῖν πρῶτον περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν. Οὐ-
θὲν γὰρ ἕτερόν ἐστιν ἐν τῷ ὁρισμῷ πλὴν τό [s]τε πρῶτον λε-
γόμενον γένος [t]καὶ αἱ διαφοραί· τὰ δ' ἄλλα γένη ἐστὶ τό
τε πρῶτον καὶ μετὰ [v]τούτου αἱ συλλαμβανόμεναι διαφοραί,
οἷον τὸ πρῶτον ζῷον, τὸ δ' ἐχόμενον ζῷον δίπουν, καὶ πάλιν
ζῷον δίπουν ἄπτερον· ὁμοίως δὲ [w]κἂν διὰ πλειόνων λέγηται.
6 [v]Ὅλως δ' οὐθὲν διαφέρει διὰ πολλῶν ἢ [x]δι' ὀλίγων λέγεσθαι,
ὥστ' οὐδὲ δι' ὀλίγων ἢ διὰ δυοῖν· τοῖν δυοῖν δὲ τὸ μὲν δια-
φορὰ τὸ δὲ γένος, οἷον [y]τοῦ ζῷον δίπουν τὸ μὲν ζῷον γένος,
7 διαφορὰ δὲ θάτερον. Εἰ οὖν τὸ γένος ἁπλῶς μή ἐστι παρὰ
τὰ ὡς γένους εἴδη, ἢ εἰ ἔστι μὲν ὡς ὕλη δ' ἐστίν (ἡ μὲν γὰρ
φωνὴ γένος καὶ ὕλη, αἱ δὲ διαφοραὶ τὰ εἴδη καὶ τὰ στοιχεῖα
[z]ἐκ ταύτης ποιοῦσιν), φανερὸν ὅτι [a]ὁ ὁρισμός ἐστιν ὁ ἐκ
8 τῶν διαφορῶν λόγος. [t]Ἀλλὰ μὴν καὶ δεῖ γε διαιρεῖσθαι τὴν
τῆς διαφορᾶς διαφοράν, οἷον [b]ζῴου διαφορὰ τὸ ὑπόπουν·
πάλιν τοῦ ζῴου τοῦ ὑπόποδος τὴν διαφορὰν δεῖ [c]εἰδέναι ἢ
ὑπόπουν. [v]Ὥστ' οὐ λεκτέον τοῦ ὑπόποδος τὸ μὲν πτερωτὸν

[h] τοῦτο S. [i] ἂν om. A[b]. [k] αἱ om. E. [l] οὐ γὰρ ὅτι ἐνυπάρχει om. S. [m] ἓν E.T. [n] οὐσία E.T. [o] ὥσπερ S. [p] λόγον εἶναι S.T. [q] καὶ] εἰ A[b]. [r] σκοπεῖν F[b]. [s] τε om. A[b]. [t] καὶ διαφοραὶ A[b], καὶ ἡ διαφορά F[b]. et γρ. E. [v] τοῦτο S. [w] καὶ ἐὰν A[b]. [x] δι' priorem om. A[b]. [y] τοῦ] τὸ E.T. [z] ἐκ] δ' ἐκ E. [a] ὁ post ὅτι om. T. [b] ζῷω T. [c] εἶναι A[b].

τὸ δὲ ἄπτερον, ἐάν[d]περ [e]λέγῃ καλῶς, ἀλλὰ διὰ τὸ [f]ἀδυνατεῖν ποιήσει τοῦτο· ἀλλ' [g]ἢ τὸ μὲν σχιζόπουν τὸ δ' ἄσχιστον· αὗται γὰρ διαφοραὶ ποδός· ἡ γὰρ σχιζοποδία ποδότης τις. Καὶ οὕτως ἀεὶ βούλεται βαδίζειν ἕως ἂν ἔλθῃ εἰς τὰ ἀδιά- 9
φορα. Τότε δ' ἔσονται τοσαῦτα εἴδη ποδὸς ὅσαιπερ αἱ διαφοραί, καὶ τὰ ὑπόποδα ζῷα ἴσα ταῖς διαφοραῖς. Εἰ δὴ ταῦτα οὕτως ἔχει, φανερὸν ὅτι ἡ τελευταία διαφορὰ ἡ οὐσία τοῦ πράγματος ἔσται καὶ [h]ὁ ὁρισμός, εἴπερ μὴ δεῖ πολλάκις [i]ταὐτὰ λέγειν ἐν τοῖς ὅροις· περίεργον γάρ. Συμβαίνει δέ 10
γε τοῦτο· ὅταν γὰρ εἴπῃ ζῷον ὑπόπουν δίπουν, οὐθὲν ἄλλο εἴρηκεν [k]ἢ ζῷον [l]πόδας [m]ἔχον, δύο πόδας ἔχον· κἂν τοῦτο διαιρῇ τῇ οἰκείᾳ διαιρέσει, πλεονάκις ἐρεῖ καὶ ἰσάκις ταῖς διαφοραῖς. [q]Ἐὰν μὲν δὴ διαφορᾶς διαφορὰ [n]γίγνηται, μία 11
ἔσται ἡ τελευταία τὸ εἶδος καὶ ἡ οὐσία· ἐὰν δὲ κατὰ συμβεβηκός, οἷον εἰ [o]διαιροῖ τοῦ ὑπόποδος τὸ μὲν λευκὸν τὸ δὲ μέλαν, [p]τοσαῦται ὅσαι ἂν αἱ τομαὶ ὦσιν. [v]Ὥστε φανερὸν ὅτι ὁ ὁρισμὸς λόγος ἐστὶν ὁ ἐκ τῶν διαφορῶν, καὶ τούτων τῆς τελευταίας κατά γε τὸ ὀρθόν. Δῆλον [q]δ' ἂν εἴη, εἴ τις 12
μετατάξειε τοὺς τοιούτους ὁρισμούς, οἷον τὸν τοῦ ἀνθρώπου, [r]λέγων ζῷον δίπουν ὑπόπουν· περίεργον γὰρ τὸ ὑπόπουν εἰρημένου τοῦ δίποδος. Τάξις δ' οὐκ ἔστιν ἐν τῇ οὐσίᾳ· πῶς γὰρ δεῖ νοῆσαι τὸ μὲν ὕστερον τὸ δὲ πρότερον; Περὶ μὲν οὖν τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν τοσαῦτα εἰρήσθω [s]τὴν πρώτην, ποῖοί τινές εἰσιν.

[q]Ἐπεὶ [t]δὲ περὶ τῆς οὐσίας [v]ἡ σκέψις ἐστί, πάλιν ἐπανέλ- 13
θωμεν. Λέγεται δ' ὥσπερ τὸ ὑποκείμενον οὐσία εἶναι καὶ τὸ τί ἦν εἶναι, καὶ τὸ ἐκ τούτων καὶ τὸ καθόλου. Περὶ μὲν οὖν τοῖν δυοῖν εἴρηται· καὶ γὰρ περὶ τοῦ τί ἦν εἶναι καὶ τοῦ ὑποκειμένου, ὅτι διχῶς ὑπόκειται, [w]ἢ τόδε τι ὄν, ὥσπερ τὸ ζῷον

[d] περ om. S. [e] λέγηται S.T. [f] δυνατεῖν A^b, ἀδύνατον S. [g] ἢ A^b, εἰ ceteri. [h] ὁ om. T. [i] τὸ αὐτὸ F^b, om. T. [k] ἢ] εἰ μὴ A^b. [l] πόδας post ζῷον om. E.T. [m] ἔχον alterum ante δύο S, om. T. [n] γίγνεται S, γένηται T.F^b. [o] διαιρεῖ S.A^b. [p] τοσαῦτα A^b. [q] δ' om. T. [r] λόγον S. [s] τὴν πρώτην om. F^b. [t] δὴ F^b. [v] ἐστὶν ἡ σκέψις T. [w] ἢ om. A^b.

2 τοῖς πάθεσιν, ἢ ὡς [x] ἡ ὕλη τῇ ἐντελεχείᾳ. Δοκεῖ δὲ καὶ τὸ καθόλου αἴτιόν τισιν εἶναι μάλιστα, καὶ εἶναι [y] ἀρχὴ τὸ καθόλου· διὸ ἐπέλθωμεν καὶ περὶ τούτου. [1] Ἔοικε γὰρ ἀδύνατον [z] εἶναι οὐσίαν εἶναι ὁτιοῦν τῶν καθόλου λεγομένων. Πρώτη μὲν [a] γὰρ [b] οὐσία ἴδιος ἑκάστῳ [c] ἣ οὐχ ὑπάρχει ἄλλῳ, τὸ δὲ καθόλου κοινόν· τοῦτο γὰρ λέγεται καθόλου ὃ πλεί-
3 οσιν ὑπάρχειν πέφυκεν. Τίνος οὖν οὐσία τοῦτ' ἔσται; [2] Ἢ γὰρ [d] ἁπάντων ἢ οὐθενός. [d] [3] Ἀπάντων δ' οὐχ οἷόν τε· ἑνὸς
[e] δ' εἰ ἔσται, καὶ τἆλλα τοῦτ' [f] ἔσται· ὧν γὰρ μία ἡ οὐσία, καὶ τὸ τί ἦν εἶναι ἓν καὶ αὐτὰ ἕν. [4] Ἔτι οὐσία λέγεται τὸ μὴ καθ' ὑποκειμένου, τὸ δὲ καθόλου καθ' ὑποκειμένου τινὸς λέγεται ἀεί. [4] Ἀλλ' ἆρα οὕτω μὲν οὐκ ἐνδέχεται ὡς τὸ τί ἦν
4 εἶναι, ἐν [g] τούτῳ δὲ [h] ἐνυπάρχειν, οἷον [i] τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ. Οὐκοῦν δῆλον ὅτι [k] ἔστι τις αὐτοῦ λόγος. Διαφέρει δ' οὐθὲν οὐδ' εἰ μὴ πάντων λόγος ἐστὶ τῶν ἐν τῇ οὐσίᾳ· οὐθὲν γὰρ ἧττον οὐσία τοῦτ' ἔσται τινός, ὡς ὁ ἄνθρωπος τοῦ ἀνθρώπου ἐν ᾧ ὑπάρχει. [5] Ὥστε τὸ αὐτὸ συμβήσεται πάλιν· ἔσται γὰρ οὐσία ἐκείνου οὐσία, οἷον τὸ ζῷον
5 ἐν [l] ᾧ ὡς ἴδιον ὑπάρχει. [6] Ἔτι δὲ καὶ ἀδύνατον καὶ ἄτοπον [m] τὸ τόδε [n] καὶ οὐσίαν, εἰ ἔστιν ἔκ τινων, μὴ ἐξ οὐσιῶν εἶναι μηδ' ἐκ τοῦ τόδε τι, ἀλλ' [o] ἐκ ποιοῦ· πρότερον γὰρ ἔσται μὴ [p] οὐσία τε καὶ τὸ ποιὸν οὐσίας τε καὶ [q] τοῦ τόδε. [7] Ὅπερ ἀδύνατον· οὔτε λόγῳ γὰρ οὔτε χρόνῳ οὔτε γενέσει οἷόν τε τὰ
6 πάθη τῆς οὐσίας εἶναι πρότερα· ἔσται [r] γὰρ χωριστά. [8] Ἔτι τῷ [s] Σωκράτει [t] οὐσίᾳ ἐνυπάρξει οὐσία, ὥστε δυοῖν ἔσται [v] οὐσία. [w] [9] Ὅλως δὲ συμβαίνει, εἰ ἔστιν οὐσία ὁ ἄνθρωπος καὶ

x ἡ om. S.T. y ἀρχὴ S. z εἶναι prius om. A[b], alterum T. a γὰρ] γὰρ ἡ S.A[b]. b οὐσία ἡ ἑκάστου ἴδιος ἑκάστου E. et omisso ἡ S, οὐσία ἡ ἑκάστου T. c ἣ οὐχ ὑπάρχει ἄλλο T. d utrobique πάντων E.S.T. e γρ. δή ἐστι E. f post ἔσται S. ἢ γὰρ παντὸς ἢ οὐδενός. g τούτῳ] αὐτῷ E.S.T, γρ. καὶ ἐν αὐτοῖς ἤτοι τοῖς ὑποκειμένοις E. inter versus. h ἐνυπάρχει S. i τὸ ζῷον om. T. k ἔσται S. l ᾧ] ὃ εἶδει T.A[b]. m τὸ τόδε] τότε δὲ T. n καὶ τὴν οὐσίαν F[b]. o ἐκ τοῦ ποιοῦ T. p οὐσία τε] οὐσία δὲ T. τε om. A[b]. q τοῦτο δὲ A[b]. r γὰρ καὶ χωριστά A[b]. s σωκράτη T. t οὐσίᾳ om. E.A[b], post οὐσία ponit T. v οὐσίαι T. w ἄλλως H.A[b].

ὅσα οὕτω λέγεται, μηθὲν τῶν ἐν τῷ λόγῳ εἶναι μηθενὸς οὐσίαν, μηδὲ χωρὶς ὑπάρχειν αὐτῶν μηδ' [x]ἐν ἄλλῳ, λέγω δ' οἷον οὐκ εἶναί τι ζῷον παρὰ τὰ τινά, οὐδ' ἄλλο τῶν ἐν τοῖς [y]λόγοις [z]οὐθέν. [1]Ἐκ [a]τε δὴ τούτων θεωροῦσι φανερὸν ὅτι οὐθὲν 7
τῶν καθόλου ὑπαρχόντων οὐσία ἐστί, καὶ ὅτι οὐθὲν σημαίνει τῶν κοινῇ κατηγορουμένων [b]τόδε τι, ἀλλὰ τοιόνδε. Εἰ δὲ μή, ἄλλα τε πολλὰ συμβαίνει καὶ ὁ τρίτος ἄνθρωπος. [1]Ετι 8
δὲ καὶ ὧδε δῆλον. [1]Ἀδύνατον [c]γὰρ οὐσίαν ἐξ οὐσιῶν εἶναι ἐνυπαρχουσῶν [d]ὡς ἐντελεχείᾳ· [e]τὰ γὰρ δύο οὕτως ἐντελεχείᾳ οὐδέποτε ἓν ἐντελεχείᾳ, ἀλλ' ἐὰν δυνάμει δύο ᾖ, ἔσται ἕν, οἷον [f]ἡ διπλασία ἐκ δύο ἡμίσεων δυνάμει [g]γε· ἡ γὰρ ἐντελέχεια χωρίζει. [1]Ωστε [h]εἰ ἡ οὐσία ἕν, οὐκ ἔσται ἐξ οὐσιῶν ἐνυπαρ- 9
χουσῶν, καὶ κατὰ τοῦτον τὸν τρόπον [i]ὃν λέγει Δημόκριτος ὀρθῶς· ἀδύνατον γὰρ εἶναί φησιν ἐκ δύο ἓν ἢ ἐξ ἑνὸς δύο γενέσθαι· τὰ γὰρ μεγέθη τὰ ἄτομα τὰς οὐσίας ποιεῖ. [1]Ομοίως 10
τοίνυν [k]δῆλον ὅτι καὶ [l]ἐπ' ἀριθμοῦ ἕξει, εἴπερ ἐστὶν [m]ὁ ἀριθμὸς [n]σύνθεσις μονάδων, ὥσπερ λέγεται ὑπό τινων· ἢ γὰρ οὐχ ἓν [o]ἡ δυάς, ἢ οὐκ [p]ἔστι μονὰς ἐν αὐτῇ ἐντελεχείᾳ. [1]Εχει 11
δὲ τὸ συμβαῖνον ἀπορίαν. Εἰ γὰρ μήτε ἐκ τῶν καθόλου οἷόν τ' εἶναι μηδεμίαν οὐσίαν [q]διὰ τὸ τοιόνδε ἀλλὰ μὴ τόδε τι σημαίνειν, μήτ' ἐξ οὐσιῶν ἐνδέχεται ἐντελεχείᾳ εἶναι μηδεμίαν οὐσίαν [r]σύνθετον, ἀσύνθετον ἂν εἴη οὐσία πᾶσα, ὥστ' οὐδὲ λόγος ἂν εἴη οὐδεμιᾶς οὐσίας. [1]Αλλὰ μὴν δοκεῖ γε 12
[s]πᾶσι καὶ ἐλέχθη πάλαι ἢ μόνον [t]εἶναι οὐσίας ὅρον ἢ μάλιστα· νῦν δ' οὐδὲ ταύτης. Οὐδενὸς ἄρ' ἔσται ὁρισμός· ἢ τρόπον μέν τινα ἔσται, τρόπον δέ τινα οὔ. Δῆλον δ' ἔσται τὸ λεγόμενον ἐκ τῶν ὕστερον μᾶλλον.

Φανερὸν δ' ἐξ αὐτῶν [v]τούτων τὸ συμβαῖνον καὶ τοῖς τὰς 14

x ἐν] ἓν ἐν T.Ab. y λογικοῖς Hb. z οὐδὲν γάρ. ἕκ Ab. a τε] δὲ T. b τόδε] τὸ τόδε Fb. c γὰρ om. Ab.Fb.Hb. d ὡς] οὕτως ὡς E.S.T. e τὰ—οὕτως ἐντελεχείᾳ om. S. f ἡ] εἰ Ab. g γε] ἕν T. h εἰ om. E. i ὃ T. k δῆλον ὅτι om. Hb. l ἐπὶ τοῦ ἀριθμοῦ Hb. m ὁ om. Ab. n σύνθεσις om. Ab. o ἡ] ἢ T. p ἔνεστι E.T. q διὰ τοσόνδε T. r σύνθετον om. E.S.T.Hb. s πᾶσα Ab. t οὐσίας εἶναι Ab. v τοῦτο Fb.

ἰδέας λέγουσιν [w]οὐσίας τε καὶ χωριστὰς εἶναι, καὶ [x]ἅμα [y]τὸ εἶδος ἐκ τοῦ γένους ποιοῦσι καὶ τῶν διαφορῶν. Εἰ γάρ ἐστι τὰ εἴδη καὶ τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ, ἤτοι ἓν καὶ
2 ταὐτὸν τῷ ἀριθμῷ ἐστὶν ἢ ἕτερον. Τῷ [z]μὲν [a]γὰρ λόγῳ δῆλον ὅτι ἕν· τὸν γὰρ αὐτὸν [b]διέξεισι λόγον ὁ λέγων ἐν ἑκατέρῳ. Εἰ οὖν ἐστί τις ἄνθρωπος [c]αὐτὸς καθ' αὑτὸν [d]τόδε τι [e]καὶ κεχωρισμένον, ἀνάγκη καὶ ἐξ ὧν, οἷον τὸ ζῷον καὶ τὸ δίπουν, τόδε τι σημαίνειν καὶ εἶναι χωριστὰ καὶ οὐσίας· ὥστε
3 καὶ τὸ ζῷον. Εἰ μὲν οὖν τὸ αὐτὸ καὶ [f]ἓν τὸ ἐν τῷ ἵππῳ [g]καὶ τῷ ἀνθρώπῳ, ὥσπερ [h]σὺ σαυτῷ, [i]πῶς [k]τὸ ἓν [l]ἐν τοῖς οὖσι χωρὶς ἓν ἔσται, καὶ διὰ τί οὐ καὶ [m]χωρὶς αὐτοῦ ἔσται τὸ ζῷον [n]τοῦτο; [j]Ἐπειτα εἰ [o]μὲν μεθέξει τοῦ δίποδος καὶ τοῦ πολύποδος, ἀδύνατόν τι συμβαίνει· τἀναντία γὰρ ἅμα
4 ὑπάρξει αὐτῷ ἐνὶ καὶ [p]τῷδέ τινι ὄντι. Εἰ δὲ μή, τίς [q]ὁ τρόπος ὅταν εἴπῃ [r]τις τὸ ζῷον εἶναι δίπουν ἢ [s]πεζόν; [t]Ἀλλ' ἴσως σύγκειται καὶ ἅπτεται ἢ μέμικται. [t]Ἀλλὰ πάντα ἄτοπα. [t]Ἀλλ' ἕτερον ἐν ἑκάστῳ. Οὐκοῦν ἄπειρα ὡς ἔπος εἰπεῖν ἔσται ὧν ἡ οὐσία ζῷον· οὐ [t]γὰρ κατὰ συμβεβηκὸς ἐκ ζῴου [v]ὁ ἄν-
5 θρωπος. [j]Ἔτι πολλὰ ἔσται αὐτὸ [w]τὸ ζῷον· οὐσία τε γὰρ τὸ ἐν ἑκάστῳ ζῷον· οὐ γὰρ κατ' ἄλλο λέγεται. Εἰ δὲ μή, ἐξ ἐκείνου ἔσται ὁ ἄνθρωπος καὶ γένος αὐτοῦ ἐκεῖνο. Καὶ ἔτι [x]ἰδέαι ἅπαντα ἐξ ὧν ὁ ἄνθρωπος. Οὐκοῦν οὐκ ἄλλου μὲν
6 ἰδέα ἔσται ἄλλου δ' οὐσία· ἀδύνατον γάρ. Αὐτὸ ἄρα ζῷον [y]ἓν [z]ἕκαστον ἔσται τῶν ἐν τοῖς ζῴοις. [j]Ἔτι ἐκ τίνος [a]τοῦτο καὶ πῶς ἐξ αὐτοῦ [b]ζῷον; [k]Ἢ πῶς οἷόν τε εἶναι [c]τὸ ζῷον [d]ὃ

[w] οὐσίας τε χωριστὰς A^b, χωριστάς τε οὐσίας F^b. [x] ἅμα om. S. [y] τὸ] καὶ τὸ E.T. [z] μὲν om. S. [a] γὰρ om. A^b. [b] ὁ λέγων διέξεισι λόγον A^b. [c] αὐτὸ καθ' αὑτὸ E.T. [d] τόδε] καὶ τόδε F^b, τὸ τόδε S. [e] καὶ post τι om. T.F^b, καὶ—τι om. S. [f] ἓν τὸ add. A^b. [g] καὶ τῷ ἀνθρώπῳ add. A^b.F^b. [h] σὺ σαυτῷ] αὐτὸς αὐτῷ A^b. [i] πῶς om. A^b. [k] τὸ ἓν add. A^b.F^b. [l] ἐν χωρὶς οὖσιν E.T, ἐγχωρὶς οὖσιν S. [m] χωρὶς αὐτοῦ] αὐτὸ A^b. [n] τοῦτο] ἑαυτοῦ A^b. [o] μὲν μὴ μεθέξει T. [p] τῷ δέοντι T. τινὶ add. A^b.F^b. [q] ὁ om. A^b. [r] τις] τί A^b. [s] post πεζόν F^b. ἢ ζῶον ἅπουν. [t] γὰρ] καὶ S. [v] ὁ om. A^b. [w] τὸ post αὐτὸ om. T. [x] γρ. ἰδέα E. [y] ἓν add. A^b. [z] ἔσται ἕκαστον E.S. [a] τούτου E.S.T. [b] ζῶον E.S.T. in E. γρ. αὐτοζῶον. [c] τὸ ζῷον] γρ. οὐσία E. [d] ὃ om. A^b.

οὐσία, τοῦτο αὐτὸ παρ' αὐτὸ τὸ ζῷον; [d]Ἔτι [e]δ' ἐπὶ τῶν αἰσθητῶν ταῦτά τε συμβαίνει καὶ τούτων ἀτοπώτερα. Εἰ δὴ ἀδύνατον οὕτως ἔχειν, δῆλον ὅτι οὐκ ἔστιν [f]εἴδη αὐτῶν οὕτως ὥς τινές φασιν.

[1]Ἐπεὶ δ' ἡ οὐσία ἑτέρα τό τε σύνολον καὶ ὁ λόγος (λέγω 15
δ' ὅτι [g]ἡ μὲν οὕτως ἐστὶν οὐσία σὺν τῇ ὕλῃ συνειλημμένος ὁ λόγος, ἡ δ' ὁ λόγος [h]ὅλως), ὅσαι μὲν οὖν οὕτω λέγονται, τούτων μὲν [i]ἔστι φθορά· καὶ γὰρ γένεσις· τοῦ δὲ λόγου οὐκ ἔστιν οὕτως [k]ὥστε φθείρεσθαι· [l]οὐδὲ γὰρ γένεσις (οὐ γὰρ γίγνεται τὸ οἰκίᾳ εἶναι ἀλλὰ τὸ τῇδε τῇ οἰκίᾳ), ἀλλ' ἄνευ γενέσεως καὶ φθορᾶς εἰσὶ καὶ οὐκ εἰσίν· δέδεικται γὰρ ὅτι οὐθεὶς ταῦτα γεννᾷ οὐδὲ ποιεῖ. Διὰ τοῦτο δὲ καὶ τῶν οὐσιῶν 2
τῶν αἰσθητῶν τῶν καθ' ἕκαστα [m]οὔθ' ὁρισμὸς οὔτ' ἀπόδειξίς ἐστιν, ὅτι ἔχουσιν ὕλην ἧς ἡ φύσις τοιαύτη ὥστ' ἐνδέχεσθαι καὶ εἶναι καὶ μή· διὸ φθαρτὰ πάντα τὰ καθ' ἕκαστα [n]αὐτῶν. Εἰ οὖν ἥ τ' ἀπόδειξις τῶν ἀναγκαίων καὶ ὁ ὁρισμὸς ἐπιστη- 3
μονικός, καὶ οὐκ ἐνδέχεται, ὥσπερ οὐδ' ἐπιστήμην [o]ὁτὲ μὲν ἐπιστήμην ὁτὲ δ' ἄγνοιαν εἶναι, ἀλλὰ δόξα τὸ τοιοῦτόν ἐστιν, οὕτως οὐδ' [p]ἀπόδειξιν οὐδ' ὁρισμόν, ἀλλὰ δόξα ἐστὶ τοῦ ἐνδεχομένου ἄλλως ἔχειν, δῆλον ὅτι οὐκ ἂν εἴη αὐτῶν οὔτε ὁρισμὸς οὔτε ἀπόδειξις. [q]Ἀδηλά τε γὰρ τὰ φθειρόμενα τοῖς 4
ἔχουσι τὴν ἐπιστήμην, ὅταν ἐκ τῆς αἰσθήσεως [q]ἀπέλθῃ· καὶ σωζομένων [r]τῶν λόγων ἐν τῇ ψυχῇ τῶν αὐτῶν οὐκ ἔσται οὔτε ὁρισμὸς ἔτι οὔτε ἀπόδειξις. Διὸ δεῖ τῶν πρὸς ὅρον, ὅταν τις ὁρίζηταί τι τῶν καθ' [s]ἕκαστα, μὴ ἀγνοεῖν ὅτι [t]ἀεὶ ἀναιρεῖν ἔστιν· οὐ γὰρ ἐνδέχεται ὁρίσασθαι. Οὐδὲ [v]δὴ ἰδέαν 5
οὐδεμίαν ἔστιν [w]ὁρίσασθαι· τῶν γὰρ καθ' ἕκαστον ἡ ἰδέα, ὡς φασί, καὶ χωριστή. [1]Ἀναγκαῖον δ' [x]ἐξ ὀνομάτων εἶναι τὸν λόγον. [d]Ὄνομα δ' οὐ ποιήσει ὁ ὁριζόμενος· ἄγνωστον

[e] δ'] δὲ καὶ T. [f] ἰδέα E.T. [g] ἡ] εἰ F[b]. [h] ὅλως om. A[b]. [i] ἔστι καὶ φθορά A[b]. [k] ὥστε om. S. [l] οὐδὲν E, οὐ A[b]. [m] οὔτ' ἀριθμὸς T. [n] αὐτῶν om. H[b]. [o] ὁτὲ μὲν ἐπιστήμην om. A[b]. [p] ἀπόδειξις οὐδ' ὁρισμὸς A[b].F[b]. [q] ἐπέλθη T. [r] τῶν ἐν τῇ ψυχῇ λόγων αὐτῶν T. [s] ἕκαστον E.A[b]. [t] ἀεὶ om. E. [v] δεῖ T. [w] ὁρίσασθαι] ἀναιρεῖν F[b]. [x] ἐξ ὧν ὀνομάτων T.

γὰρ ἔσται. Τὰ δὲ κείμενα κοινὰ πᾶσιν. [1]Ἀνάγκη ἄρα ὑπάρχειν [y]καὶ ἄλλῳ ταῦτα· [z]οἷον εἴ τις [a]σὲ [b]ὁρίσαιτο, ζῷον ἐρεῖ ἰσχνὸν ἢ λευκὸν ἢ ἕτερόν τι ὃ καὶ ἄλλῳ [c]ὑπάρξει. Εἰ δέ τις φαίη μηθὲν κωλύειν χωρὶς μὲν πάντα πολλοῖς, ἅμα δὲ μόνῳ τούτῳ ὑπάρχειν, [d]λεκτέον πρῶτον μὲν [e]ὅτι καὶ ἀμφοῖν, οἷον τὸ ζῷον δίπουν τῷ ζῴῳ καὶ τῷ δίποδι. Καὶ τοῦτο ἐπὶ μὲν τῶν ἀϊδίων [f]καὶ [g]ἀνάγκη εἶναι, πρότερά γ' ὄντα καὶ μέρη τοῦ [h]συνθέτου. [i]Ἀλλὰ μὴν καὶ χωριστά, εἴπερ τὸ ἄνθρωπος χωριστόν· ἢ γὰρ οὐθὲν ἢ ἄμφω. Εἰ μὲν οὖν μηθέν, οὐκ ἔσται τὸ [i]γένος παρὰ τὰ εἴδη· εἰ δ' ἔσται, καὶ ἡ διαφορά. Εἶθ' ὅτι πρότερα τῷ εἶναι· ταῦτα δὲ οὐκ ἀνταναιρεῖται. [k]Ἔπειτα [l]δὲ εἰ ἐξ ἰδεῶν αἱ ἰδέαι (ἀσυνθετώτερα γὰρ τὰ ἐξ ὧν), ἔτι ἐπὶ πολλῶν δεήσει κἀκεῖνα κατηγορεῖσθαι ἐξ ὧν ἡ ἰδέα, οἷον τὸ ζῷον καὶ τὸ δίπουν. Εἰ δὲ μή, πῶς γνωρισθήσεται; [m]Ἔσται γὰρ ἰδέα τις ἣν ἀδύνατον ἐπὶ πλειόνων [m]κατηγορῆσαι ἢ ἑνός. Οὐ δοκεῖ δέ, ἀλλὰ [n]πᾶσα ἰδέα εἶναι μεθεκτή. [o]Ὥσπερ οὖν εἴρηται, λανθάνει ὅτι [o]ἀδύνατον ὁρίσασθαι ἐν τοῖς ἀϊδίοις, μάλιστα δὲ ὅσα μοναχά, οἷον ἥλιος [p]ἢ [q]σελήνη. Οὐ μόνον [r]γὰρ [s]διαμαρτάνουσι τῷ προστιθέναι [t]τοιαῦτα ὧν ἀφαιρουμένων ἔτι ἔσται ἥλιος, ὥσπερ τὸ [v]περὶ [w]γῆν ἰὸν ἢ νυκτικρυφές. [x]Ἂν γὰρ στῇ [y]ἢ φανῇ, οὐκέτι [z]ἔσται ἥλιος· ἀλλ' ἄτοπον εἰ μή· ὁ γὰρ ἥλιος οὐσίαν τινὰ σημαίνει. [aa]Ἔτι ὅσα ἐπ' ἄλλου ἐνδέχεται, οἷον ἐὰν ἕτερος γένηται τοιοῦτος, δῆλον ὅτι ἥλιος ἔσται. Κοινὸς ἄρα ὁ λόγος. [1]Ἀλλ' ἦν τῶν καθ' ἕκαστα ὁ ἥλιος, ὥσπερ Κλέων ἢ Σωκράτης, ἐπεὶ διὰ τί οὐδεὶς [a]ὅρον ἐκφέρει αὐτῶν ἰδέας; Γένοιτο γὰρ ἂν δῆλον πειρωμένων ὅτι ἀληθὲς τὸ νῦν εἰρημένον.

y καὶ ἄλλως τοιαῦτα S, om. T. z οἷον Ab. et γρ. E: ceteri καὶ. a σὲ om. Fb.Hb. b ὁρίσαι τὸ T. c ὑπάρχει T.Ab. d λεκτέον add. Ab.Fb. et γρ. E. e ὅτι καὶ] ὅτι τὸ Ab. f καὶ post ἀϊδίων om. Fb. g ἀνάγκη γε εἶναι E.T. h συντεθέντος S. i γένος] ζῶον Fb. k ἔπειτα] ἔτι γρ. E. l δὲ om. Ab. m κατηγορεῖσθαι T. n πᾶσιν S. o ἀδύνατόν ἐστιν ὁρίσασθαι Fb. p ἢ] καὶ T. q post σελήνη Fb. ἢ γῆ. r γὰρ] δὲ δὴ E. s ἁμαρτάνουσι E.Fb. t τὰ τοιαῦτα T. v περὶ] ὑπὸ Hb. w γήνιον νυκτικρυφές T. x ἂν γὰρ στῇ] ἂν γὰρ δὲ στῇ T, ἄνδρες τῇ E. y ἢ] ἢ ἀεὶ Hb. z ἔσται om. T. a ὅρκον S.

Φανερὸν δ' ὅτι [b]καὶ τῶν δοκουσῶν [c]εἶναι οὐσιῶν αἱ πλεῖ- 16
σται δυνάμεις εἰσί, τά τε μόρια τῶν ζῴων· οὐθὲν γὰρ κεχω-
ρισμένον αὐτῶν ἐστίν· ὅταν δὲ χωρισθῇ, καὶ τότε ὄντα ὡς
ὕλη πάντα, καὶ γῇ καὶ πῦρ καὶ ἀήρ· οὐθὲν γὰρ αὐτῶν ἕν
ἐστιν, ἀλλ' οἷον [d]ὁ [e]ὀρρὸς πρὶν ἢ πεφθῇ καὶ γένηταί τι ἐξ
αὐτῶν ἕν. Μάλιστα δ' ἄν τις τὰ τῶν ἐμψύχων ὑπολάβοι 2
μόρια καὶ τὰ τῆς ψυχῆς πάρεγγυς ἄμφω γίγνεσθαι, ὄντα
καὶ ἐντελεχείᾳ καὶ δυνάμει, τῷ ἀρχὰς ἔχειν κινήσεως ἀπό
τινος ἐν ταῖς καμπαῖς· διὸ ἕνια ζῷα διαιρούμενα ζῇ. [f]Ἀλλ'
ὅμως δυνάμει πάντ' ἔσται, ὅταν ᾖ ἓν καὶ συνεχὲς φύσει, ἀλλὰ
μὴ βίᾳ ἢ [f]καὶ συμφύσει· τὸ γὰρ τοιοῦτον πήρωσις. [g]Ἐπεὶ 3
δὲ τὸ ἓν λέγεται ὥσπερ καὶ τὸ ὄν, καὶ [h]ἡ οὐσία ἡ τοῦ ἑνὸς
μία καὶ ὧν μία ἀριθμῷ ἓν ἀριθμῷ, φανερὸν ὅτι οὔτε τὸ ἓν
οὔτε τὸ ὂν ἐνδέχεται οὐσίαν εἶναι τῶν πραγμάτων, ὥσπερ
οὐδὲ τὸ στοιχείῳ εἶναι [i]ἢ ἀρχῇ· ἀλλὰ ζητοῦμεν τίς οὖν ἡ
ἀρχή, ἵνα εἰς [k]γνωριμώτερον [l]ἀναγάγωμεν. Μᾶλλον μὲν 4
οὖν τούτων οὐσία τὸ ὂν καὶ ἓν ἢ ἥ τε ἀρχὴ καὶ τὸ στοιχεῖον
καὶ τὸ αἴτιον, οὔπω δὲ οὐδὲ ταῦτα, εἴπερ μηδ' ἄλλο κοινὸν
μηθὲν οὐσία· οὐδενὶ γὰρ ὑπάρχει ἡ οὐσία ἀλλ' [m]ἢ [n]αὐτῇ τε
καὶ τῷ ἔχοντι αὐτήν, οὗ ἐστὶν οὐσία. [o]Ἔτι τὸ [p]ἓν πολ- 5
λαχῇ οὐκ ἂν εἴη ἅμα, τὸ δὲ κοινὸν ἅμα πολλαχῇ ὑπάρχει·
[q]ὥστε δῆλον ὅτι οὐθὲν τῶν καθόλου ὑπάρχει παρὰ τὰ καθ'
ἕκαστα [r]χωρίς, ἀλλ' οἱ τὰ εἴδη λέγοντες [s]εἶναι τῇ μὲν ὀρθῶς
λέγουσι χωρίζοντες αὐτά, εἴπερ οὐσίαι εἰσί, τῇ δ' οὐκ ὀρθῶς,
ὅτι τὸ ἓν ἐπὶ πολλῶν εἶδος λέγουσιν. Αἴτιον δ' ὅτι οὐκ 6
ἔχουσιν ἀποδοῦναι τίνες αἱ τοιαῦται οὐσίαι αἱ ἄφθαρτοι
[t]παρὰ τὰς καθ' ἕκαστα καὶ αἰσθητάς. [v]Ποιοῦσιν οὖν τὰς
αὐτὰς τῷ εἴδει τοῖς φθαρτοῖς ([w]ταύτας γὰρ [x]ἴσμεν), αὐτο-

[b] καὶ ἐκ τῶν S. [c] οὐσιῶν εἶναι E.T. [d] ὁ add. A^b. [e] ὀρρὸς F^b. et γρ. E: ceteri σωρὸς. [f] καὶ add. A^b. [g] ἐπειδὴ F^b. [h] ἡ post καὶ om. F^b. [i] ἡ ἀρχὴ E.T. [k] γνωριμώτερα S, γνωριμωτέραν T.A^b. [l] ἀνάγωμεν T. [m] ἢ add. A^b.F^b.H^b. [n] αὐτῇ] αὐτὴ T. [o] ἔτι] ἔτι εἰ T. [p] ἓν] ὂν A^b. [q] ὥστε—ὑπάρχει om. T. [r] χωρὶς om. A^b. [s] εἶναι add. A^b.F^b. [t] παρὰ] πρὸς T. [v] ποιοῦντες τὰς A^b. [w] ταῦτα S, τὰς αὐτὰς τὸ μὲν A^b. [x] ἴσμεν om. A^b.

ἄνθρωπον [y]καὶ αὐτόϊππον, προστιθέντες τοῖς αἰσθητοῖς τὸ
[7]ῥῆμα τὸ αὐτό. Καίτοι κἂν [z]εἰ μὴ ἑωράκειμεν τὰ ἄστρα,
[a]οὐθὲν ἂν [b]ἧττον οἶμαι ἦσαν οὐσίαι ἀΐδιοι παρ' [c]ἃς ἡμεῖς
[d]ἤδειμεν· ὥστε καὶ νῦν εἰ μὴ [e]ἔχοιμεν τίνες εἰσίν, ἀλλ' εἶναί
[f]γέ τινας ἴσως ἀναγκαῖον. [v]Ὅτι μὲν οὖν οὔτε τῶν καθόλου
λεγομένων οὐθὲν οὐσία, οὔτ' ἐστὶν οὐσία οὐδεμία ἐξ οὐσιῶν,
δῆλον.

17 Τί δὲ χρὴ λέγειν καὶ ὁποιόν τι τὴν οὐσίαν, πάλιν ἄλλην
[g]οἷον ἀρχὴν ποιησάμενοι [h]λέγωμεν· ἴσως γὰρ ἐκ τούτων
ἔσται δῆλον καὶ περὶ ἐκείνης τῆς οὐσίας ἥτις ἐστὶ κεχω-
ρισμένη τῶν αἰσθητῶν οὐσιῶν. [1]Ἐπεὶ οὖν ἡ [i]οὐσία ἀρχὴ
καὶ αἰτία τις ἐστίν, ἐντεῦθεν μετιτέον. Ζητεῖται δὲ τὸ διὰ τί
2 [k]ἀεὶ οὕτως, διὰ τί [l]ἄλλο ἄλλῳ τινὶ ὑπάρχει. Τὸ γὰρ ζη-
τεῖν [m]διὰ τί ὁ [n]μουσικὸς ἄνθρωπος ἄνθρωπος μουσικός ἐστιν,
ἤτοι ἐστὶ τὸ εἰρημένον ζητεῖν διὰ τί ὁ ἄνθρωπος μουσικός
ἐστιν, ἢ ἄλλο. Τὸ μὲν οὖν διὰ τί αὐτό ἐστιν αὐτό, οὐθέν
ἐστι ζητεῖν. Δεῖ γὰρ τὸ ὅτι καὶ τὸ εἶναι ὑπάρχειν δῆλα
3 ὄντα, λέγω δ' οἷον ὅτι ἡ σελήνη ἐκλείπει. [o]Αὐτὸ δὲ ὅτι
[p]αὐτό, εἷς λόγος καὶ μία [q]αἰτία ἐπὶ πάντων, διὰ τί ὁ ἄν-
θρωπος ἄνθρωπος ἢ [r]ὁ μουσικὸς μουσικός· πλὴν εἴ τις λέγοι
ὅτι ἀδιαίρετον πρὸς αὐτὸ ἕκαστον· τοῦτο δ' ἦν τὸ [s]ἑνὶ εἶναι.
[1]Ἀλλὰ τοῦτο κοινόν τε κατὰ πάντων [t]καὶ σύντομον. Ζητή-
4 σειε δ' ἄν τις διὰ τί [v]ὁ ἄνθρωπός ἐστι ζῷον τοιονδί. Τοῦτο
μὲν τοίνυν δῆλον ὅτι οὐ ζητεῖ [w]διὰ τί [x]ὅς ἐστιν ἄνθρωπος
ἄνθρωπός ἐστιν. [y]Τὶ ἄρα κατά τινος ζητεῖ διὰ τί ὑπάρχει.
[v]Ὅτι δ' ὑπάρχει, δεῖ δῆλον εἶναι· εἰ γὰρ μὴ οὕτως, οὐθὲν
ζητεῖ. Οἷον διὰ τί βροντᾷ; [z]Διότι ψόφος γίγνεται ἐν
τοῖς νέφεσιν· ἄλλο γὰρ οὕτως κατ' ἄλλου ἐστὶ τὸ ζητού-

y καὶ] τὸ δὲ Ab. z εἰ om. T. a οὐδ' T. b οἶμαι ἧττον S. c ἃ Ab. d εἴδημεν T. e ἔχομεν E.T. f γέ] τε Ab, om. T. g οἷον om. Fb. h λέγομεν S. i οὐσία καὶ ἀρχὴ καὶ Hb. k ἀεὶ om. Ab.Fb. l ἄλλο] ἄλλό τι E.T. m διὰ] καὶ διὰ T. n μουσικὸς ἄνθρωπός E.S. o αὐτοῦ E.S.T. p αὐτοῦ S. q αἰτία om. Fb. r ὁ μουσικὸς om. Ab. s ἑνὶ] ἓν E.S.T. t καὶ τὸ σύντομον T. v ὁ om. Ab. w διὰ τί om. Ab. x ὅς ἐστιν] ὅστις T. y τὶ] τὸ S. z διατί Ab.Fb.

μενον. Καὶ διὰ τί [a]ταδί, οἷον [b]πλίνθοι καὶ λίθοι, οἰκία 5
ἐστίν; Φανερὸν τοίνυν ὅτι ζητεῖ τὸ αἴτιον· τοῦτο δ' ἐστὶ
τὸ τί ἦν εἶναι, ὡς εἰπεῖν λογικῶς. [c]Ὁ ἐπ' ἐνίων μέν [d]ἐστι
τίνος ἕνεκα, οἷον ἴσως ἐπ' οἰκίας ἢ κλίνης, ἐπ' ἐνίων δὲ τί
ἐκίνησε πρῶτον· αἴτιον γὰρ καὶ τοῦτο. [e]Ἀλλὰ τὸ μὲν τοιοῦ-
τον αἴτιον ἐπὶ τοῦ γίνεσθαι ζητεῖται καὶ φθείρεσθαι, θάτε-
ρον δὲ καὶ ἐπὶ [f]τοῦ εἶναι. Λανθάνει δὲ μάλιστα [f]τὸ ζη- 6
τούμενον ἐν τοῖς μὴ [g]καταλλήλως λεγομένοις. Οἷον ἄνθρω-
πος [h]τί ἐστι [i]ζητεῖται διὰ τὸ ἁπλῶς λέγεσθαι, ἀλλὰ μὴ
διορίζειν ὅτι τάδε [k]ἢ τόδε. [l]Ἀλλὰ δεῖ [l]διαρθρώσαντας
ζητεῖν· εἰ δὲ μή, κοινὸν τοῦ μηθὲν ζητεῖν [m]καὶ τοῦ ζητεῖν τι
γίγνεται. [n]Ἐπεὶ δὲ δεῖ ἔχειν τε καὶ ὑπάρχειν τὸ εἶναι, δῆλον 7
[n]δὴ ὅτι τὴν ὕλην [o]ζητεῖ διὰ τί ἐστιν· οἷον οἰκία [p]ταδὶ [q]διὰ
τί; [r]Ὅτι ὑπάρχει ταδί, [r]ὃ ἦν οἰκίᾳ εἶναι. Καὶ ἄνθρωπος
[s]ὁδί, ἢ τὸ σῶμα [t]τοῦτο τοδὶ ἔχον. [u]Ὥστε τὸ αἴτιον ζητεῖ-
ται τῆς ὕλης· τοῦτο δ' ἐστὶ τὸ εἶδος ᾧ τί ἐστιν· τοῦτο δ' ἡ
οὐσία. [v]Φανερὸν τοίνυν ὅτι ἐπὶ τῶν ἁπλῶν οὐκ ἔστι ζήτησις
οὐδὲ δίδαξις, ἀλλ' ἕτερος τρόπος τῆς ζητήσεως τῶν τοιούτων.
[w]Ἐπεὶ δὲ [w]τὸ ἔκ τινος σύνθετον οὕτως [x]ὥστε ἓν εἶναι τὸ πᾶν, 8
[y]ἀλλὰ μὴ ὡς σωρὸς ἀλλ' ὡς ἡ συλλαβή, ἡ [z]δὲ συλλαβὴ οὐκ
[a]ἔστι τὰ στοιχεῖα, [b]οὐδὲ τὸ βα ταὐτὸ τῷ β καὶ α, οὐδ' [c]ἡ
σὰρξ πῦρ [d]καὶ γῆ· διαλυθέντων γὰρ [e]τὰ μὲν οὐκέτι [f]ἐστίν,
οἷον ἡ σὰρξ καὶ [g]ἡ συλλαβή, [h]τὰ δὲ στοιχεῖα ἔστι, καὶ τὸ
πῦρ καὶ ἡ γῆ. [i]Ἔστιν [i]ἄρα τι ἡ συλλαβή, οὐ μόνον τὰ στοι- 9
χεῖα τὸ φωνῆεν καὶ ἄφωνον, ἀλλὰ καὶ ἕτερόν τι· [k]καὶ ἡ

a τοδὶ Ab. b λίθοι καὶ πλίνθοι Ab. c ὃ] ἢ S. d ἐστι τὸ τίνος Fb. e τοῦ τί εἶναι T. f τὸ] τί ἐστι τὸ Hb. g κατ' ἄλλων E.S.T. h τί] γρ. καὶ διὰ τί E. i post ζητεῖται S. καὶ φθείρεσθαι, θάτερον δὲ καὶ ἐπὶ τοῦ εἶναι. k ἢ om. Ab. l διορθώσαντας E.T. m καὶ τοῦ ζητεῖν τι om. Ab. n δὴ om. S. o ζητῶ T. p ταδὶ om. Ab. q διὰ τί; ὅτι] διότι Ab. r ὃ ἦν om. Ab. s τοδὶ Ab. t τοῦτο om. Ab. v φανερὸν—δίδαξις om. S. w τὸ] τῶν Hb. x ὡς τὸ Fb. y ἀλλὰ] ἂν Ab. z δὲ] τε Ab. a ἔσται Ab. b οὐδὲ ταυτὸ τὸ β καὶ α T, οὐδὲ τῷ βα αὐτὸ τῷ β καὶ α Ab.Fb.Hb. c ἡ om. S. d καὶ om. T. e τὸ Ab. f ἔσται T. g ἡ post καὶ om. T. h τὰ—συλλαβή om. S. i ἄρα τι ἡ συλλαβή] δὲ τῆς συλλαβῆς Ab.Hb. k καὶ ἡ—τι om. T.

σὰρξ οὐ μόνον πῦρ καὶ γῆ ἢ τὸ θερμὸν καὶ ψυχρόν, ἀλλὰ
10 καὶ ἕτερόν τι. [l]Εἰ τοίνυν ἀνάγκη κἀκεῖνο ἢ στοιχεῖον ἢ
ἐκ στοιχείων εἶναι, εἰ μὲν στοιχεῖον, πάλιν ὁ αὐτὸς [m]ἔσται
λόγος· ἐκ τούτου γὰρ καὶ πυρὸς καὶ γῆς ἔσται ἡ σὰρξ καὶ
[n]ἔτι ἄλλου, ὥστ' εἰς ἄπειρον βαδιεῖται· εἰ δ' ἐκ [o]στοιχείου,
δῆλον ὅτι οὐχ ἑνὸς ἀλλὰ πλειόνων, ἢ ἐκεῖνο αὐτὸ ἔσται,
ὥστε πάλιν ἐπὶ [p]τούτου τὸν αὐτὸν [q]ἐροῦμεν λόγον καὶ ἐπὶ
11 τῆς σαρκὸς ἢ συλλαβῆς. Δόξειε [r]δ' ἂν εἶναί τι [s]τοῦτο καὶ
οὐ στοιχεῖον, καὶ αἴτιόν γε τοῦ εἶναι [t]τοδὶ μὲν σάρκα τοδὶ
12 δὲ συλλαβήν. [t]Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. [t]Οὐσία δ'
[v]ἑκάστου μὲν τοῦτο· τοῦτο γὰρ αἴτιον [w]πρῶτον τοῦ εἶναι·
ἐπεὶ δ' ἔνια οὐκ οὐσίαι τῶν πραγμάτων, ἀλλ' [x]ὅσαι οὐσίαι
[y]κατὰ φύσιν [z]καὶ φύσει συνεστήκασι, φανείη [a]ἂν [b]καὶ αὕτη
ἡ φύσις οὐσία, ἥ ἐστιν οὐ στοιχεῖον ἀλλ' ἀρχή. Στοιχεῖον
δ' ἐστὶν εἰς ὃ διαιρεῖται ἐνυπάρχον ὡς ὕλην, οἷον τῆς συλλα-
βης τὸ α καὶ [c]τὸ β.

Η.

[t]Ἐκ δὴ τῶν εἰρημένων [d]συλλογίσασθαι δεῖ, καὶ [e]συνα-
γαγόντας τὸ κεφάλαιον τέλος ἐπιθεῖναι. Εἴρηται [f]δὴ ὅτι
τῶν οὐσιῶν ζητεῖται τὰ αἴτια καὶ αἱ ἀρχαὶ καὶ τὰ στοι-
χεῖα. Οὐσίαι δὲ αἱ μὲν ὁμολογούμεναί εἰσιν ὑπὸ πάντων,
2 περὶ δὲ [g]ἐνίων ἰδίᾳ τινὲς ἀπεφήναντο. [t]Ὁμολογούμεναι μὲν
αἱ φυσικαί, οἷον πῦρ γῆ ὕδωρ [h]ἀὴρ καὶ τἆλλα τὰ ἁπλᾶ
σώματα, ἔπειτα τὰ φυτὰ [h]καὶ τὰ μόρια αὐτῶν, καὶ τὰ ζῷα
καὶ τὰ μόρια τῶν ζῴων, καὶ τέλος [i]ὁ οὐρανὸς καὶ τὰ μόρια
τοῦ οὐρανοῦ· ἰδίᾳ [k]δέ τινες οὐσίας λέγουσιν εἶναι τά τ' εἴδη

[l] εἰ] ἔτι S. [m] λόγος ἔσται E.S.T. [n] ἔτι ἀλλὰ T, εἴ τι ἄλλο Ab. [o] στοιχείων Fb.Hb. [p] τούτου] γε T. [q] λόγον ἐροῦμεν T. [r] δ' om. Ab. [s] τοιοῦτο S.T. [t] τουδὶ—τουδὶ S. [v] ἕκαστον S. [w] τοῦ εἶναι πρῶτον Ab. [x] ὅσαι] αἱ Ab. [y] κατὰ φύσιν καὶ om. Ab. [z] καὶ φύσει om. S. [a] ἂν] γὰρ ἄν τισι S, ἄν τισι E.T. [b] καὶ] ὅτι Ab, om. E. [c] τὸ om. Ab. [d] συλλογίζεσθαι E.S.T. [e] συναγαγόντα Ab, συνάγοντας E.S. [f] γρ. δὲ E. [g] ἰδίων ἴδιά T. [h] ἀὴρ et mox καὶ post φυτὰ om. T. [i] ὁ om. Ab. [k] δέ] τε Ab.

καὶ τὰ μαθηματικά. [4]Αλλας δὲ [l]δὴ συμβαίνει ἐκ τῶν λόγων 3
οὐσίας εἶναι, τὸ τί ἦν εἶναι καὶ τὸ ὑποκείμενον. [4]Ετι ἄλλως
τὸ γένος μᾶλλον τῶν εἰδῶν καὶ τὸ καθόλου τῶν καθ' ἕκαστα.
Τῷ δὲ καθόλου καὶ τῷ γένει καὶ αἱ ἰδέαι συνάπτουσιν· κατὰ
τὸν αὐτὸν γὰρ λόγον οὐσίαι δοκοῦσιν εἶναι. [4]Επεὶ δὲ τὸ 4
τί ἦν εἶναι οὐσία, τούτου δὲ λόγος ὁ ὁρισμός, διὰ τοῦτο περὶ
ὁρισμοῦ καὶ περὶ τοῦ καθ' αὐτὸ διώρισται. [4]Επεὶ δὲ ὁ
ὁρισμὸς λόγος, ὁ δὲ λόγος μέρη ἔχει, ἀναγκαῖον καὶ περὶ
[m]μέρους ἦν ἰδεῖν, ποῖα τῆς οὐσίας μέρη καὶ ποῖα οὔ· καὶ εἰ
ταῦτα, καὶ [n]τοῦ [o]ὁρισμοῦ. [4]Ετι τοίνυν οὔτε τὸ καθόλου
οὐσία οὔτε τὸ γένος. Περὶ δὲ [p]τῶν ἰδεῶν καὶ τῶν μαθημα- 5
τικῶν ὕστερον σκεπτέον· παρὰ γὰρ τὰς αἰσθητὰς οὐσίας
[q]ταύτας λέγουσί τινες εἶναι. [r]Νῦν δὲ περὶ τῶν ὁμολογου-
μένων οὐσιῶν ἐπέλθωμεν. Αὗται δ' εἰσὶν αἱ αἰσθηταί· [s]αἱ δ'
αἰσθηταὶ [t]οὐσίαι πᾶσαι ὕλην ἔχουσιν. [v]Εστι δ' οὐσία [w]τὸ 6
ὑποκείμενον, ἄλλως μὲν ἡ ὕλη (ὕλην δὲ λέγω [x]ἣ μὴ τόδε τι
οὖσα ἐνεργείᾳ δυνάμει ἐστὶ τόδε [y]τι), ἄλλως δ' ὁ λόγος καὶ
ἡ μορφή, [z]ὃ τόδε τι ὂν τῷ λόγῳ χωριστόν ἐστιν. Τρίτον
δὲ τὸ ἐκ τούτων, οἷ γένεσις μόνου καὶ φθορά ἐστι, καὶ χω-
ριστὸν ἁπλῶς· τῶν γὰρ κατὰ τὸν λόγον οὐσιῶν αἱ μὲν αἱ δ'
οὔ. [v]Οτι δ' ἐστὶν οὐσία καὶ [a]ἡ ὕλη, δῆλον· ἐν πάσαις γὰρ 7
ταῖς ἀντικειμέναις μεταβολαῖς ἐστί τι τὸ ὑποκείμενον ταῖς
μεταβολαῖς, οἷον κατὰ τόπον τὸ νῦν μὲν ἐνταῦθα, πάλιν δ'
ἄλλοθι, καὶ κατ' αὔξησιν ὃ νῦν μὲν [b]τηλικόνδε, πάλιν δ'
ἔλαττον ἢ μεῖζον, καὶ κατ' ἀλλοίωσιν ὃ νῦν μὲν ὑγιές, πάλιν
δὲ κάμνον. [t]Ομοίως δὲ καὶ κατ' οὐσίαν ὃ νῦν μὲν ἐν γενέσει, 8
πάλιν δ' ἐν φθορᾷ, καὶ νῦν [c]μὲν ὑποκείμενον ὡς τόδε τι,
πάλιν δ' ὑποκείμενον ὡς κατὰ στέρησιν. Καὶ ἀκολουθοῦσι

l δεῖ συμβαίνειν T. m μέρους] μερῶν F[b]. n τοῦ] εἰ τοῦ S. o ὡρι-
σμένου S. et γρ. E. p τῶν post δὲ om. A[b]. q ταῦτα S. r νῦν—
αἰσθηταί om. E.T. s αἱ αἰσθηταὶ δὲ S. t οὖσαι A[b]. v ἔστιν οὐσίαν S.
post lacunam litterarum quattuor. idem addit αἱ δὲ αἰσθηταὶ οὐσίαι
πᾶσαι ὕλην ἔχουσιν. w γρ. τὰ ὑποκείμενα E. x ἡ] εἰ T. y τι om. F[b].
z ὃ om. A[b]. a ἡ om. E. b πηλικόνδε T.A[b], πηλίκον S. c μὲν
add. E.F[b].

δὴ [d]ταύτῃ αἱ ἄλλαι μεταβολαί. Τῶν δ' ἄλλων ἡ μιᾷ ἢ [e]δυοῖν αὕτη οὐκ ἀκολουθεῖ· οὐ γὰρ ἀνάγκη, εἴ τι [f]ὕλην ἔχει τοπικήν, τοῦτο καὶ γεννητὴν καὶ φθαρτὴν [g]ἔχειν. Τίς μὲν οὖν διαφορὰ τοῦ ἁπλῶς γίγνεσθαι καὶ μὴ ἁπλῶς, ἐν τοῖς φυσικοῖς εἴρηται.

2 [1]Ἐπεὶ [h]δ' ἡ μὲν ὡς ὑποκειμένη καὶ ὡς ὕλη [i]οὐσία ὁμολογεῖται, αὕτη δ' ἐστὶν ἡ δυνάμει, λοιπὸν τὴν ὡς [k]ἐνέργειαν οὐσίαν τῶν αἰσθητῶν εἰπεῖν τίς ἐστιν. Δημόκριτος μὲν οὖν τρεῖς διαφορὰς ἔοικεν οἰομένῳ εἶναι· τὸ μὲν γὰρ ὑποκείμενον σῶμα τὴν ὕλην ἓν καὶ ταὐτόν, διαφέρειν δὲ [l]ἢ ῥυσμῷ, ὅ ἐστι σχῆμα, ἢ τροπῇ, ὅ ἐστι θέσις, ἢ διαθιγῇ, ὅ ἐστι 2 τάξις. Φαίνονται δὲ πολλαὶ διαφοραὶ οὖσαι, οἷον τὰ μὲν συνθέσει λέγεται τῆς ὕλης, [m]ὥσπερ ὅσα κράσει καθάπερ μελίκρατον, τὰ δὲ δεσμῷ οἷον φάκελος, τὰ δὲ κόλλῃ οἷον βιβλίον, τὰ δὲ γόμφῳ οἷον κιβώτιον, τὰ [n]δὲ πλείοσι τούτων, τὰ δὲ θέσει οἷον οὐδὸς καὶ ὑπέρθυρον (ταῦτα γὰρ τῷ κεῖσθαί πως διαφέρει), τὰ δὲ χρόνῳ οἷον δεῖπνον καὶ ἄριστον, τὰ δὲ τόπῳ οἷον τὰ πνεύματα, τὰ δὲ τοῖς τῶν αἰσθητῶν πάθεσιν οἷον σκληρότητι καὶ μαλακότητι καὶ πυκνότητι καὶ [o]μανότητι καὶ ξηρότητι καὶ ὑγρότητι· καὶ τὰ μὲν ἐνίοις τούτων τὰ δὲ πᾶσι τούτοις, καὶ ὅλως τὰ μὲν ὑπεροχῇ τὰ δὲ 3 ἐλλείψει. [p]Ὥστε δῆλον ὅτι καὶ τὸ [q]ἔστι τοσαυταχῶς λέγεται· οὐδὸς γάρ ἐστιν ὅτι οὕτως κεῖται, καὶ τὸ εἶναι τὸ οὕτως αὐτὸ κεῖσθαι σημαίνει, καὶ τὸ κρύσταλλον εἶναι τὸ οὕτω πεπυκνῶσθαι. [1]Ενίων δὲ [q]τὸ εἶναι καὶ πᾶσι τούτοις ὁρισθήσεται, τῷ τὰ μὲν μεμῖχθαι, τὰ δὲ κεκρᾶσθαι, τὰ δὲ δεδέσθαι, τὰ δὲ πεπυκνῶσθαι, τὰ δὲ ταῖς ἄλλαις διαφοραῖς 4 κεχρῆσθαι, ὥσπερ [r]ἡ χεὶρ ἢ πούς. [s]Ληπτέα οὖν τὰ γένη τῶν διαφορῶν· αὗται γὰρ [t]ἀρχαὶ ἔσονται τοῦ εἶναι, οἷον τὰ τῷ μᾶλλον καὶ ἧττον ἢ πυκνῷ καὶ μανῷ καὶ τοῖς ἄλλοις τοῖς

d ταῦτα T. e δυσὶν S.T. f ἔχει ὕλην E.S.T. g ἔχει T. h δ' ἡ] δὴ F^b. i ὁμολογεῖται εἶναι οὐσία F^b. k ἐνεργεία A^b.F^b. l ἢ om. F^b. m ὥσπερ om. A^b. n δὲ ἐν πλείοσι A^b. o μανότητι] ἀραιότητι A^b. p ἔστι] ἔχειν T. q τὸ εἶναι] τὸ εἶδος A^b. r ἡ ante χεὶρ om. A^b. s ληπτέον E. t ἀρχαὶ om. T.

τοιούτοις· πάντα γὰρ ταῦτα [v] ὑπεροχὴ καὶ ἔλλειψίς ἐστιν. Εἰ δέ τι σχήματι ἢ λειότητι καὶ τραχύτητι, πάντα εὐθεῖ καὶ καμπύλῳ. Τοῖς δὲ τὸ εἶναι τὸ μεμῖχθαι ἔσται, ἀντικειμένως δὲ [w] τὸ μὴ εἶναι. Φανερὸν [x] δὴ ἐκ τούτων ὅτι εἴπερ ἡ οὐσία αἰτία τοῦ εἶναι ἕκαστον, ὅτι ἐν τούτοις ζητητέον τί τὸ αἴτιον τοῦ εἶναι τούτων ἕκαστον. Οὐσία μὲν οὖν οὐθὲν τούτων οὐδὲ συνδυαζόμενον, ὅμως δὲ τὸ ἀνάλογον ἐν ἑκάστῳ. Καὶ ὡς ἐν ταῖς οὐσίαις τὸ τῆς ὕλης κατηγορούμενον αὐτὴ ἡ ἐνέργεια, καὶ ἐν τοῖς ἄλλοις ὁρισμοῖς μάλιστα. Οἷον εἰ οὐδὸν δέοι ὁρίσασθαι, ξύλον ἢ λίθον ὠδὶ κείμενον ἐροῦμεν, καὶ οἰκίαν πλίνθους καὶ ξύλα ὠδὶ κείμενα. [y] Ἢ ἔτι καὶ τὸ οὗ ἕνεκα ἐπ' ἐνίων ἐστίν. Εἰ δὲ κρύσταλλον, ὕδωρ πεπηγὸς ἢ πεπυκνωμένον ὠδί. Συμφωνία δὲ ὀξέος καὶ βαρέος μῖξις τοιαδί· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. Φανερὸν δὴ ἐκ τούτων ὅτι ἡ ἐνέργεια ἄλλη ἄλλης ὕλης καὶ ὁ λόγος· τῶν μὲν γὰρ ἡ σύνθεσις, τῶν δ' ἡ μῖξις, τῶν δ' ἄλλο τι τῶν εἰρημένων. Διὸ τῶν ὁριζομένων οἱ μὲν λέγοντες τί ἐστιν οἰκία, ὅτι λίθοι πλίνθοι ξύλα, [z] τὴν δυνάμει οἰκίαν λέγουσιν, ὕλη γὰρ ταῦτα· οἱ δὲ ἀγγεῖον σκεπαστικὸν [a] σωμάτων καὶ χρημάτων, ἤ τι [b] καὶ ἄλλο τοιοῦτον [c] προσθέντες, τὴν [d] ἐνεργείᾳ λέγουσιν· οἱ δ' ἄμφω ταῦτα [e] συντιθέντες τὴν [f] τρίτην καὶ τὴν ἐκ τούτων οὐσίαν. [g] Ἔοικε γὰρ ὁ μὲν διὰ τῶν διαφορῶν λόγος τοῦ εἴδους καὶ τῆς ἐνεργείας εἶναι, ὁ δ' ἐκ τῶν [h] ἐνυπαρχόντων τῆς ὕλης μᾶλλον. Ὁμοίως δὲ καὶ [i] οἵους Ἀρχύτας ἀπεδέχετο ὅρους· τοῦ συνάμφω γάρ εἰσιν. Οἷον τί ἐστι νηνεμία; Ἠρεμία ἐν πλήθει ἀέρος· ὕλη μὲν [k] γὰρ ὁ ἀήρ, ἐνέργεια δὲ καὶ οὐσία ἡ ἠρεμία. Τί ἐστι γαλήνη; Ὁμαλότης [l] θαλάττης· τὸ μὲν ὑποκείμενον ὡς ὕλη ἡ θάλαττα, ἡ δ' ἐνέργεια καὶ [m] ἡ μορφὴ ἡ ὁμαλότης. Φανερὸν δὴ ἐκ τῶν εἰρημένων τίς ἡ αἰσθητὴ οὐσία ἐστὶ καὶ πῶς· ἡ μὲν

v ὑπεροχῇ καὶ ἐλλείψει Ab. w τὸ μὴ] τῷ εἶναι τὸ μὴ T. x δὲ S. y ἔτι] ὅτι T. z τῇ E.T.Ab. a χρημάτων καὶ σωμάτων E.T. b καὶ om. E.Ab. c προστιθέντες T. d ἐνέργειαν codices. e τιθέντες E.S. f πρώτην T. g διὰ] δὴ T. h ὑπαρχόντων T. i οὓς E.S. k γὰρ add. Ab. l θαλάσσης Ab. m ἡ utrumque om. Ab.

γὰρ ὡς ὕλη, ἡ δ' ὡς μορφὴ ὅτι ἐνέργεια· ἡ δὲ τρίτη ἡ ἐκ τούτων.

3 Δεῖ δὲ μὴ ἀγνοεῖν ὅτι ἐνίοτε λανθάνει πότερον σημαίνει τὸ ὄνομα τὴν σύνθετον οὐσίαν ἢ τὴν ἐνέργειαν καὶ τὴν μορφήν, οἷον ἡ οἰκία πότερον σημεῖον τοῦ κοινοῦ ὅτι σκέπασμα ἐκ [n] πλίνθων καὶ λίθων ὠδὶ κειμένων, ἢ τῆς ἐνεργείας καὶ τοῦ εἴδους ὅτι σκέπασμα, καὶ γραμμὴ πότερον δυὰς ἐν μήκει ἢ ὅτι δυάς, καὶ ζῷον πότερον ψυχὴ ἐν σώματι ἢ ψυχή· αὕτη 2 γὰρ οὐσία καὶ ἐνέργεια σώματός τινος. Εἴη δ' ἂν καὶ ἐπ' ἀμφοτέροις [o] τὸ ζῷον, οὐχ ὡς ἑνὶ λόγῳ λεγόμενον ἀλλ' ὡς πρὸς ἕν. [t]Αλλὰ ταῦτα πρὸς μέν τι ἄλλο διαφέρει, πρὸς δὲ τὴν ζήτησιν τῆς οὐσίας τῆς αἰσθητῆς οὐθέν· τὸ γὰρ τί ἦν 3 εἶναι τῷ εἴδει καὶ τῇ ἐνεργείᾳ ὑπάρχει. [p] Ψυχὴ μὲν γὰρ καὶ ψυχῇ εἶναι ταὐτόν, ἀνθρώπῳ δὲ καὶ ἄνθρωπος οὐ ταὐτόν, εἰ μὴ καὶ ἡ ψυχὴ ἄνθρωπος λεχθήσεται· οὕτω [q] δὲ τινὶ μὲν τινὶ δ' οὔ. Οὐ φαίνεται δὴ ζητοῦσιν ἡ συλλαβὴ ἐκ τῶν στοιχείων οὖσα καὶ συνθέσεως, [r] οὐδ' ἡ οἰκία πλίνθοι τε καὶ σύνθεσις. Καὶ τοῦτο ὀρθῶς· οὐ γάρ ἐστιν ἡ σύνθεσις [s] οὐδ' ἡ 4 μῖξις ἐκ τούτων ὧν ἐστὶν [t] ἡ σύνθεσις ἢ μῖξις. [t]Ομοίως δὲ οὐδὲ τῶν ἄλλων οὐθέν, οἷον [v] εἰ ὁ οὐδὸς θέσει, οὐκ ἐκ τοῦ οὐδοῦ ἡ θέσις, ἀλλὰ μᾶλλον οὗτος ἐξ ἐκείνης. Οὐδὲ δὴ ὁ ἄνθρωπός ἐστι τὸ ζῷον καὶ δίπουν, ἀλλά τι δεῖ εἶναι ὃ παρὰ [w] ταῦτά ἐστιν, εἰ ταῦθ' ὕλη, [x] οὔτε δὲ στοιχεῖον οὔτ' ἐκ στοιχείου, ἀλλ' ἡ οὐσία· ὃ ἐξαιροῦντες τὴν ὕλην λέγουσιν. 5 Εἰ οὖν τοῦτ' αἴτιον τοῦ εἶναι καὶ οὐσία τοῦτο, αὐτὴν ἂν τὴν οὐσίαν λέγοιεν. [t]Ανάγκη δὴ ταύτην ἢ ἀΐδιον εἶναι ἢ [y] φθαρτὴν ἄνευ τοῦ φθείρεσθαι καὶ γεγονέναι ἄνευ τοῦ γίγνεσθαι. Δέδεικται δὲ καὶ δεδήλωται ἐν [z] ἄλλοις ὅτι τὸ εἶδος οὐθεὶς ποιεῖ οὐδὲ [a] γεννᾷ, ἀλλὰ ποιεῖται τόδε, γίγνεται δὲ τὸ ἐκ 6 τούτων. Εἰ δ' εἰσὶ τῶν φθαρτῶν αἱ οὐσίαι χωρισταί, οὐθέν

[n] πλίνθων καὶ ξύλων καὶ S. [o] τὸ om. E. [p] ψυχῇ et ψυχὴ A^b, omisso εἶναι. [q] δὲ] δ' ἐπὶ A^b, μὲν T. [r] οὐδ' ἡ—sect. 11. εἴπερ ἐστί om. T. [s] οὐδ'] καὶ E. [t] ἡ add. A^b. [v] εἰ ὁ om. E, ὁ om. F^b. [w] ταῦτά] τὰ ἄλλα A^b. [x] οὔτε δὲ] ὃ οὔτε A^b. [y] φθαρτὸν F^b. [z] ἄλλαις F^b. [a] γεννᾶται E.

πω δῆλον· πλὴν ὅτι [b]γ' ἐνίων οὐκ ἐνδέχεται δῆλον, ὅσα μὴ οἷόν τε παρὰ τὰ τινὰ εἶναι, οἷον οἰκίαν ἢ σκεῦος. [v]Ἴσως μὲν οὖν οὐδ' οὐσίαι εἰσὶν [c]οὔτ' αὐτὰ ταῦτα οὔτε τι τῶν ἄλλων ὅσα μὴ φύσει συνέστηκεν· τὴν γὰρ φύσιν [d]μόνην ἄν τις θείη τῶν ἐν τοῖς φθαρτοῖς οὐσίαν. [v]Ὥστε ἡ ἀπορία ἣν οἱ [1]Αν- 7
τισθένειοι καὶ οἱ οὕτως ἀπαίδευτοι ἠπόρουν, ἔχει τινὰ καιρόν, ὅτι οὐκ ἔστι τὸ τί ἔστιν ὁρίσασθαι (τὸν γὰρ ὅρον λόγον εἶναι μακρόν), ἀλλὰ ποῖον μέν τί ἐστιν [e]ἐνδέχεται καὶ διδάξαι, ὥσπερ ἄργυρον, τί μέν ἐστιν, οὔ, ὅτι δ' οἷον καττίτερος. [v]Ὥστ' οὐσίας ἔστι μὲν ἧς ἐνδέχεται εἶναι ὅρον καὶ 8
λόγον, οἷον τῆς συνθέτου, ἐάν τε αἰσθητὴ ἐάν τε νοητὴ [f]ᾖ· ἐξ ὧν δ' αὕτη πρώτων, οὐκ ἔστιν, εἴπερ τι κατά τινος σημαίνει ὁ λόγος ὁ ὁριστικός, καὶ δεῖ τὸ μὲν ὥσπερ ὕλην εἶναι, τὸ δὲ [g]ὡς μορφήν. Φανερὸν δὲ καὶ διότι, εἴπερ [h]εἰσί πως 9
ἀριθμοὶ αἱ οὐσίαι, οὕτως εἰσὶ καὶ οὐχ ὥς τινες λέγουσι μονάδων· ὅ τε γὰρ ὁρισμὸς ἀριθμός τις (διαιρετός τε γὰρ καὶ εἰς ἀδιαίρετα· οὐ γὰρ ἄπειροι οἱ λόγοι) καὶ ὁ ἀριθμὸς δὲ [i]τοιοῦτος. Καὶ ὥσπερ οὐδ' ἀπ' ἀριθμοῦ ἀφαιρεθέντος τινὸς ἢ 10
προστεθέντος, ἐξ ὧν ὁ ἀριθμός ἐστιν, οὐκέτι ὁ αὐτὸς ἀριθμός [k]ἐστιν ἀλλ' ἕτερος, κἂν τοὐλάχιστον ἀφαιρεθῇ ἢ προστεθῇ, οὕτως οὐδὲ ὁ ὁρισμὸς οὐδὲ τὸ τί ἦν εἶναι οὐκέτι ἔσται ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος. Καὶ τὸν ἀριθμὸν δεῖ εἶναί [l]τι ᾧ εἶς, [m]ὃ νῦν οὐκ ἔχουσι λέγειν τίνι εἷς, [n]εἴπερ ἐστὶν εἷς. [o]Ἢ γὰρ οὐκ ἔστιν ἀλλ' οἷον σωρός, ἢ εἴπερ ἐστί, λεκτέον 11
τί τὸ ποιοῦν ἓν ἐκ πολλῶν. Καὶ ὁ ὁρισμὸς εἷς ἐστίν· ὁμοίως δὲ οὐδὲ τοῦτον ἔχουσι λέγειν. Καὶ τοῦτ' εἰκότως συμβαίνει· τοῦ αὐτοῦ γὰρ λόγου, καὶ [p]ἡ οὐσία ἓν οὕτως, ἀλλ' οὐχ ὡς λέγουσί τινες οἷον μονάς [p]τις οὖσα ἢ στιγμή, ἀλλ' ἐντελέχεια καὶ φύσις τις ἑκάστη. Καὶ ὥσπερ οὐδὲ ὁ ἀριθμὸς ἔχει 12
τὸ μᾶλλον [q]καὶ ἧττον, οὐδ' ἡ κατὰ τὸ εἶδος οὐσία, ἀλλ'

[b] γ'] γ' ἐπ' F^b. [c] οὔτ'] οὐδέ τι margo E: ceteri οὐδὲ. [d] μόνον γρ. E. [e] ἐνδέχεσθαι A^b. [f] ᾖ om. $A^b.F^b$. [g] ὡς om. A^b. [h] εἰσὶν ἀριθμοὶ οὐσίαι F^b. [i] τοιοῦτον E. [k] ἐστιν ante ἀλλ' om. A^b. [l] τι ᾧ] αἰτίῳ A^b. [m] ὃ—εἷς om. E. [n] εἴπερ ἐστὶν om. A^b. [o] ἢ prius om. A^b. [p] ἡ et mox τις om. T. [q] καὶ τὸ ἧττον T.

εἴπερ, ἡ μετὰ τῆς ὕλης. Περὶ μὲν οὖν γενέσεως καὶ φθορᾶς
τῶν λεγομένων οὐσιῶν, πῶς [r]τ' ἐνδέχεται καὶ πῶς ἀδύνατον,
[s]καὶ περὶ τῆς εἰς τὸν ἀριθμὸν ἀναγωγῆς, ἔστω μέχρι τούτων
διωρισμένον.

4 Περὶ δὲ τῆς ὑλικῆς οὐσίας δεῖ μὴ λανθάνειν ὅτι εἰ καὶ ἐκ
τοῦ αὐτοῦ πάντα [t]πρώτου ἢ τῶν αὐτῶν ὡς πρώτων καὶ [v]ἡ
αὐτὴ ὕλη ὡς ἀρχὴ τοῖς γιγνομένοις, ὅμως ἔστι τις οἰκεία
ἑκάστου, οἷον φλέγματός [w]ἐστι πρώτη ὕλη τὰ γλυκέα ἢ
λιπαρά, χολῆς δὲ τὰ πικρὰ ἢ ἄλλ' ἄττα. [x]Ἴσως δὲ ταῦτα
2 ἐκ τοῦ αὐτοῦ. Γίγνονται δὲ πλείους ὗλαι τοῦ αὐτοῦ, ὅταν
θατέρου ἡ ἑτέρα ᾖ, οἷον φλέγμα ἐκ λιπαροῦ καὶ γλυκέος,
[y]εἰ τὸ λιπαρὸν ἐκ τοῦ γλυκέος, ἐκ δὲ χολῆς [z]τῷ ἀνα-
λύεσθαι εἰς [a]τὴν πρώτην ὕλην τὴν χολήν. Διχῶς γὰρ τόδ'
ἐκ τοῦδε, ἢ ὅτι πρὸ ὁδοῦ ἔσται ἢ ὅτι ἀναλυθέντος εἰς τὴν ἀρ-
3 χήν. [1]Ἐνδέχεται δὲ μιᾶς τῆς ὕλης οὔσης ἕτερα γίγνεσθαι διὰ
τὴν κινοῦσαν αἰτίαν, οἷον ἐκ ξύλου [b]καὶ κιβωτὸς καὶ κλίνη.
[1]Ἐνίων δ' ἑτέρα ἡ ὕλη ἐξ ἀνάγκης ἑτέρων ὄντων, οἷον πρίων
οὐκ ἂν γένοιτο ἐκ ξύλου, [c]οὐδ' ἐπὶ τῇ κινούσῃ αἰτίᾳ τοῦτο·
4 οὐ γὰρ ποιήσει πρίονα ἐξ ἐρίου [d]ἢ ξύλου. [e]Εἰ δ' ἄρα τὸ
αὐτὸ ἐνδέχεται ἐξ ἄλλης [f]ὕλης ποιῆσαι, δῆλον ὅτι ἡ τέχνη
καὶ ἡ ἀρχὴ [g]ἡ ὡς κινοῦσα ἡ αὐτή· εἰ γὰρ καὶ ἡ ὕλη ἑτέρα
καὶ τὸ κινοῦν, καὶ τὸ γεγονός. [1]Ὅταν δή τις ζητῇ [h]τί τὸ
αἴτιον, ἐπεὶ πλεοναχῶς τὰ αἴτια λέγεται, πάσας δεῖ λέγειν
5 τὰς ἐνδεχομένας αἰτίας. Οἷον ἀνθρώπου τίς αἰτία ὡς ὕλη;
[1]Ἆρα τὰ καταμήνια; Τί δ' ὡς κινοῦν; [1]Ἆρα τὸ σπέρμα;
Τί δ' ὡς τὸ εἶδος; Τὸ τί ἦν εἶναι. Τί δ' ὡς οὗ ἕνεκα; Τὸ
τέλος. [1]Ἴσως δὲ ταῦτα ἄμφω τὸ αὐτό. Δεῖ δὲ τὰ ἐγγύ-
τατα αἴτια λέγειν. Τίς [i]ἡ ὕλη; Μὴ πῦρ ἢ γῆν, ἀλλὰ
6 τὴν ἴδιον. Περὶ μὲν οὖν [k]τὰς φυσικὰς οὐσίας καὶ γεννητὰς

[r] τ' add. Ab. [s] καὶ om. T. [t] πρώτου] πρῶτα Fb. [v] ἡ om. Ab. [w] ἐστι πρώτη ὕλη om. Ab. [x] ἴσως δὲ] ἴσως δὲ καὶ T. [y] εἰ—γλυκέος om. T. [z] τὸ T. [a] τὴν post εἰς om. T. [b] καὶ post ξύλου om. Ab. [c] οὐδ'] ὡς δ' T. [d] ἢ ἐκ ξύλου Ab. [e] εἰ] τι Ab. [f] ὕλης om. Ab.Fb. [g] ἡ ante ὡς add. E. [h] τί om. Ab. [i] ἡ] ὡς Ab. [k] τὰς ἄλλας αἰτίας καὶ γενικὰς T. αἰτίας etiam γρ. Ab.

ἀνάγκη οὕτω μετιέναι, εἴ τις μέτεισιν ὀρθῶς, εἴπερ [l] ἄρα αἰτιά τε ταῦτα καὶ τοσαῦτα, καὶ δεῖ τὰ αἴτια γνωρίζειν. [m] Ἐπὶ δὲ τῶν φυσικῶν μὲν ἀϊδίων δὲ οὐσιῶν ἄλλος λόγος. [n] Ἴσως γὰρ ἔνια οὐκ ἔχει ὕλην, ἢ οὐ τοιαύτην ἀλλὰ μόνον κατὰ τόπον κινητήν. Οὐδ' ὅσα [n] δὴ φύσει μὲν μή, οὐσίᾳ δέ, 7 οὐκ ἔστι τούτοις [o] ὕλη, [p] ἀλλὰ τὸ ὑποκείμενον ἡ οὐσία. Οἷον τί αἴτιον ἐκλείψεως, τίς ὕλη; Οὐ γὰρ ἔστιν, ἀλλ' ἡ σελήνη τὸ πάσχον. Τί [q] δ' αἴτιον ὡς κινῆσαν καὶ [r] φθεῖραν τὸ φῶς; [t] Ἡ γῆ. Τὸ δ' οὗ [s] ἕνεκα ἴσως οὐκ ἔστιν. Τὸ δ' ὡς εἶδος ὁ λόγος, ἀλλ' ἄδηλος, ἐὰν μὴ μετὰ τῆς αἰτίας ᾖ ὁ λόγος. Οἷον τί ἔκλειψις; Στέρησις φωτός. [u] Ἐὰν δὲ προσ- 8 τεθῇ [t] τὸ ὑπὸ γῆς ἐν μέσῳ γιγνομένης, ὁ σὺν τῷ αἰτίῳ λόγος οὗτος. [v] Ὕπνου δ' ἄδηλον τί τὸ πρῶτον πάσχον. [u] Ἀλλ' ὅτι τὸ ζῷον; Ναί, ἀλλὰ τοῦτο κατὰ τί, καὶ τί πρῶτον; Καρδία ἢ ἄλλο τι. [v] Εἶτα ὑπὸ τίνος; Εἶτα τί τὸ πάθος τὸ ἐκείνου καὶ μὴ τοῦ ὅλου; [v] Ὅτι ἀκινησία [w] τοιαδί; Ναί, ἀλλ' αὕτη τῷ τί πάσχειν τὸ πρῶτον;

[x] Ἐπεὶ δ' ἔνια ἄνευ γενέσεως καὶ φθορᾶς [y] ἔστι καὶ οὐκ 5 ἔστιν, οἷον αἱ στιγμαί, [z] εἴπερ εἰσί, καὶ ὅλως τὰ εἴδη [a] καὶ αἱ μορφαί (οὐ γὰρ τὸ λευκὸν γίγνεται ἀλλὰ τὸ ξύλον [b] λευκόν, [c] εἰ ἔκ τινος καὶ τὶ πᾶν τὸ γιγνόμενον γίγνεται), οὐ πάντα ἂν τἀναντία [d] γίγνοιτο ἐξ ἀλλήλων, ἀλλ' ἑτέρως λευκὸς ἄνθρωπος ἐκ μέλανος ἀνθρώπου καὶ λευκὸν ἐκ μέλανος· οὐδὲ παντὸς ὕλη ἐστὶν ἀλλ' [e] ὅσων γένεσίς ἐστι καὶ μεταβολὴ εἰς ἄλληλα. [v] Ὅσα δ' ἄνευ τοῦ μεταβάλλειν ἔστιν ἢ μή, 2 οὐκ ἔστι τούτων ὕλη. [v] Ἔχει δ' ἀπορίαν πῶς πρὸς τἀναντία ἡ ὕλη [f] ἡ ἑκάστου ἔχει. Οἷον εἰ τὸ σῶμα δυνάμει [g] ὑγιεινόν, ἐναντίον δὲ νόσος ὑγιείᾳ, ἆρα ἄμφω δυνάμει; Καὶ τὸ

[l] ἄρα om. A[b]. [m] περὶ F[b]. [n] δὴ om. T. [o] ἡ ὕλη A[b]. [p] ἀλλὰ—ὕλη om. T. [q] δ' om. E.T. [r] φθεῖρον T. [s] ἕνεκα καὶ ἴσως T. [t] τὸ add. A[b]. [v] εἶτα] ἢ τὰ T. [w] τοιάδ' εἶναι ἀλλ' A[b]. [x] ἐπειδὴ δ' F[b]. [y] εἰσὶ καὶ οὐκ εἰσίν F[b]. [z] εἴπερ εἰσί] αἱ ἀφαὶ F[b]. [a] καὶ αἱ μορφαὶ om. E.T. [b] λευκὸν ante ξύλον F[b], om. T. [c] εἰ] ἢ E.T. [d] γίγνοιντο A[b]. [e] ὅσον T. [f] ἡ om. F[b]. [g] ὑγιαίνει T, ὑγιαῖνον E.

ὕδωρ δυνάμει οἶνος καὶ ὄξος; Ἢ τοῦ μὲν καθ' [h]ἕξιν καὶ κατὰ τὸ εἶδος ὕλη, τοῦ δὲ κατὰ στέρησιν [i]καὶ φθορὰν τὴν 3 παρὰ φύσιν; Ἀπορία [k]δέ τις ἔστι καὶ διὰ τί ὁ οἶνος οὐχ ὕλη τοῦ ὄξους οὐδὲ δυνάμει ὄξος (καίτοι γίγνεται ἐξ αὐτοῦ ὄξος) καὶ ὁ ζῶν δυνάμει νεκρός. Ἢ οὔ, ἀλλὰ κατὰ συμβεβηκὸς αἱ φθοραί, ἡ δὲ τοῦ ζῴου ὕλη [l]αὐτὴ κατὰ φθορὰν νεκροῦ δύναμις [m]καὶ ὕλη, καὶ τὸ ὕδωρ ὄξους; Γίγνεται γὰρ 4 ἐκ τούτων ὥσπερ ἐξ ἡμέρας νύξ. Καὶ ὅσα δὴ οὕτω μεταβάλλει εἰς ἄλληλα, εἰς τὴν ὕλην δεῖ ἐπανελθεῖν, [n]οἷον [o]εἰ ἐκ νεκροῦ ζῷον, εἰς τὴν ὕλην πρῶτον, εἶθ' οὕτω ζῷον· καὶ τὸ ὄξος [p]εἰς ὕδωρ, εἶθ' οὕτως οἶνος.

6 Περὶ δὲ τῆς ἀπορίας τῆς εἰρημένης περί τε τοὺς ὁρισμοὺς [q]καὶ περὶ τοὺς ἀριθμούς, τί αἴτιον τοῦ ἓν εἶναι; [r]Πάντων γὰρ ὅσα πλείω μέρη ἔχει καὶ μή ἐστιν οἷον σωρὸς τὸ [s]πᾶν ἀλλ' ἔστι τι [t]τὸ ὅλον παρὰ τὰ μόρια, ἔστι τι αἴτιον, [v]ἐπεὶ καὶ ἐν τοῖς σώμασι τοῖς μὲν ἁφὴ αἰτία τοῦ ἓν εἶναι, τοῖς δὲ 2 γλισχρότης ἤ τι πάθος ἕτερον τοιοῦτον. [r]Ὁ δ' ὁρισμὸς λόγος ἐστὶν εἷς οὐ συνδέσμῳ καθάπερ ἡ Ἰλιάς, ἀλλὰ τῷ [w]ἑνὸς εἶναι. Τί [x]οὖν ἐστὶν ὃ ποιεῖ ἓν τὸν ἄνθρωπον, καὶ διὰ τί ἓν ἀλλ' οὐ πολλά, οἷον τό τε ζῷον καὶ τὸ δίπουν, ἄλλως τε [y]δὴ καὶ εἰ ἔστιν, ὥσπερ φασί τινες, αὐτό τι ζῷον καὶ αὐτὸ δί- 3 πουν. Διὰ τί γὰρ οὐκ ἐκεῖνα [z]αὐτὰ ὁ ἄνθρωπός ἐστι, καὶ ἔσονται κατὰ μέθεξιν [a]οἱ ἄνθρωποι οὐκ ἀνθρώπου οὐδενὸς ἀλλὰ δυοῖν, ζῴου καὶ δίποδος; Καὶ ὅλως δὴ οὐκ ἂν εἴη [b]ὁ ἄνθρωπος ἓν ἀλλὰ πλείω, ζῷον καὶ δίπουν. Φανερὸν δὴ ὅτι οὕτω μὲν μετιοῦσιν ὡς εἰώθασιν ὁρίζεσθαι καὶ [c]λέγειν, οὐκ 4 ἐνδέχεται ἀποδοῦναι καὶ λῦσαι τὴν ἀπορίαν. Εἰ δ' ἐστίν, ὥσπερ λέγομεν, τὸ μὲν ὕλη τὸ δὲ μορφή, καὶ τὸ μὲν δυνάμει τὸ δ' ἐνεργείᾳ, οὐκέτι ἀπορία δόξειεν ἂν εἶναι τὸ ζητούμενον.

h ἕξιν καὶ] ἕξιν ἡ Ab. i καὶ κατὰ φθορὰν E. k δέ τις] δ' ἔτι Ab. l αὕτη T. m καὶ ἡ ὕλη T. n οἷον om. T. o εἰ om. E, εἰ ἐκ om. Ab. p εἰς om. T. q καὶ περὶ τοὺς ἀριθμοὺς om. Fb, περὶ om. T. r πάντα E.Ab. s ἅπαν Ab. t τὸ om. γρ. E. v ἐπεὶ] εἰ T. w ἕν, omisso εἶναι, T. x οὖν om. T. y δὴ] δὲ T.Fb, om. Ab. z αὐτοάνθρωπός Ab.Fb. a οἱ] οἷον Ab. b ὁ om. T. c λέγουσιν T.

[a]Ἔστι γὰρ αὕτη ἡ ἀπορία ἡ αὐτὴ κἂν [d]εἰ [e]ὁ ὅρος εἴη ἱματίου ὁ στρογγύλος χαλκός· εἴη γὰρ ἂν σημεῖον τοὔνομα τοῦτο τοῦ λόγου, ὥστε τὸ ζητούμενόν ἐστι τί αἴτιον τοῦ ἓν εἶναι [f]τὸ στρογγύλον καὶ [g]τὸν χαλκόν. Οὐκέτι [h]δ' ἡ ἀπορία φαίνεται, ὅτι τὸ μὲν ὕλη τὸ δὲ μορφή. Τί οὖν [i]τούτου αἴτιον τοῦ τὸ δυνάμει ὂν ἐνεργείᾳ εἶναι, παρὰ τὸ ποιῆσαν, ἐν ὅσοις ἐστὶ γένεσις; Οὐθὲν γάρ ἐστιν αἴτιον ἕτερον τοῦ τὴν δυνάμει σφαῖραν ἐνεργείᾳ εἶναι σφαῖραν, ἀλλὰ τοὔτ' ἦν τὸ τί ἦν εἶναι ἑκατέρῳ. [a]Ἔστι δὲ τῆς ὕλης ἡ μὲν νοητὴ ἡ δ' 6
αἰσθητή, καὶ ἀεὶ τοῦ λόγου τὸ μὲν ὕλη τὸ δ' [k]ἐνέργειά ἐστιν, οἷον [l]ὁ κύκλος σχῆμα ἐπίπεδον. [v]Ὅσα δὲ μὴ ἔχει ὕλην, μήτε νοητὴν μήτε αἰσθητήν, εὐθὺς ὅπερ ἕν τι εἶναί [m]ἐστιν ἕκαστον, ὥσπερ καὶ ὅπερ ὄν τι, τὸ [n]τόδε, τὸ ποιόν, τὸ ποσόν. Διὸ [o]καὶ οὐκ [p]ἔνεστιν ἐν τοῖς ὁρισμοῖς οὔτε τὸ ὂν οὔτε τὸ ἕν, καὶ τὸ τί ἦν εἶναι εὐθὺς ἕν τί ἐστιν ὥσπερ καὶ ὄν τι. Διὸ 7
[q]καὶ οὐκ ἔστιν ἕτερόν τι αἴτιον τοῦ ἓν εἶναι [r]οὐθενὶ τούτων, οὐδὲ τοῦ ὄν τι εἶναι· εὐθὺς γὰρ ἕκαστόν ἐστιν ὄν τι καὶ ἕν τι, οὐχ ὡς ἐν γένει τῷ ὄντι καὶ τῷ ἑνί, οὐδ' ὡς χωριστῶν ὄντων παρὰ τὰ καθ' ἕκαστα. Διὰ ταύτην δὲ τὴν ἀπορίαν 8
οἱ μὲν μέθεξιν λέγουσι, καὶ αἴτιον τί τῆς μεθέξεως καὶ τί τὸ μετέχειν ἀποροῦσιν· οἱ δὲ συνουσίαν ψυχῆς, ὥσπερ Λυκόφρων φησὶν εἶναι τὴν ἐπιστήμην τοῦ ἐπίστασθαι καὶ ψυχῆς· οἱ δὲ σύνθεσιν ἢ σύνδεσμον ψυχῆς σώματι τὸ ζῆν. Καίτοι 9
ὁ αὐτὸς λόγος ἐπὶ πάντων· καὶ γὰρ τὸ ὑγιαίνειν ἔσται ἢ συνουσία ἢ σύνδεσμος ἢ σύνθεσις [s]ψυχῆς καὶ ὑγιείας, καὶ τὸ τὸν χαλκὸν εἶναι τρίγωνον σύνθεσις χαλκοῦ καὶ τριγώνου, καὶ τὸ λευκὸν [t]εἶναι σύνθεσις ἐπιφανείας καὶ λευκότητος. Αἴτιον δ' ὅτι δυνάμεως καὶ ἐντελεχείας ζητοῦσι [v]λόγον [w]ἐνοποιὸν καὶ διαφοράν. [x]Ἔστι δ', ὥσπερ εἴρηται, [y]καὶ ἡ 10

[d] εἰ] εἴη T. [e] ὁ prius om. $A^b.F^b$, alterum om. E. [f] τὸ] τὸν T. [g] τὸν] τὸ γρ. E. [h] δ' ἡ] δὴ E.T. [i] τούτου τὸ αἴτιον A^b. [k] ἐνεργεία E. [l] ὁ om. A^b. [m] ἕκαστόν ἐστιν F^b. [n] τόδε] τοῦτο γρ. E. [o] καὶ om. F^b. [p] ἔνεστιν] ἐστὶν T. [q] καὶ post διὸ add. E. [r] οὐθενὶ] οὐδὲ ἑνὶ A^b. [s] ψυχῆς—σύνθεσις om. T. [t] εἶναι] ἓν εἶναι καὶ T. [v] λόγον om. E.T. [w] ἓν ὁποῖον T, τὸ ἑνοποιόν E. [x] ἔν ἐστι A^b. [y] καὶ post εἴρηται om. A^b.

ἐσχάτη ὕλη καὶ ἡ μορφὴ [z] ταὐτὸ καὶ δυνάμει, [a] τὸ δὲ ἐνεργείᾳ. [v] Ὥστε ὅμοιον τὸ ζητεῖν τοῦ ἑνὸς τί αἴτιον καὶ τοῦ ἓν εἶναι· ἓν γάρ τι ἕκαστον, καὶ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ [b] ἕν πώς ἐστιν. [v] Ὥστε αἴτιον οὐθὲν ἄλλο πλὴν [c] εἴ τι ὡς κινῆσαν ἐκ δυνάμεως εἰς ἐνέργειαν. [v] Ὅσα δὲ μὴ ἔχει ὕλην, πάντα ἁπλῶς ὅπερ [d] ὄντα τι.

Θ.

Περὶ μὲν οὖν τοῦ πρώτως ὄντος καὶ πρὸς ὃ [e] πᾶσαι αἱ ἄλλαι κατηγορίαι τοῦ ὄντος ἀναφέρονται εἴρηται, περὶ τῆς οὐσίας. Κατὰ γὰρ τὸν τῆς οὐσίας λόγον λέγεται τἆλλα ὄντα, τό τε ποσὸν καὶ τὸ ποιὸν καὶ τἆλλα τὰ οὕτως λεγόμενα· πάντα γὰρ ἕξει τὸν τῆς οὐσίας λόγον, ὥσπερ εἴπομεν
2 ἐν [f] τοῖς πρώτοις [g] λόγοις. [t] Ἐπεὶ δὲ λέγεται τὸ ὂν τὸ μὲν [h] τὸ τί ἢ [i] ποιὸν ἢ ποσόν, τὸ δὲ κατὰ δύναμιν καὶ ἐντελέχειαν καὶ κατὰ τὸ ἔργον, διορίσωμεν καὶ περὶ δυνάμεως καὶ ἐντελεχείας, καὶ πρῶτον περὶ δυνάμεως η λέγεται μὲν μάλιστα κυρίως, οὐ μὴν [k] χρησίμη γ' ἐστὶ πρὸς ὃ βουλόμεθα νῦν· ἐπὶ
[l] πλέον γάρ ἐστιν ἡ δύναμις καὶ ἡ ἐνέργεια τῶν [m] μόνον λε-
3 γομένων κατὰ κίνησιν. [t] Ἀλλ' εἰπόντες περὶ ταύτης ἐν τοῖς περὶ [n] τῆς ἐνεργείας διορισμοῖς [o] δηλώσομεν καὶ περὶ τῶν ἄλλων. [v] Ὅτι μὲν οὖν [p] πολλαχῶς λέγεται ἡ δύναμις καὶ τὸ
4 δύνασθαι, διώρισται ἡμῖν ἐν ἄλλοις. Τούτων δ' ὅσαι μὲν ὁμωνύμως λέγονται δυνάμεις ἀφείσθωσαν· ἔνιαι γὰρ ὁμοιότητί τινι λέγονται καθάπερ ἐν γεωμετρίᾳ, καὶ δυνατὰ καὶ ἀδύνατα λέγομεν τῷ εἶναί πως ἢ μὴ εἶναι. [v] Ὅσαι δὲ πρὸς τὸ αὐτὸ εἶδος, πᾶσαι ἀρχαί τινές εἰσι, καὶ πρὸς πρώτην μίαν
5 λέγονται, ἥ ἐστιν ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ [q] ᾗ ἄλλο. [t] Ἡ μὲν γὰρ τοῦ παθεῖν ἐστὶ δύναμις, ἡ ἐν αὐτῷ τῷ πάσχοντι ἀρχὴ μεταβολῆς παθητικῆς ὑπ' ἄλλου [r] ᾗ ἄλλο· ἡ δ' ἕξις

z ταυτὸ καὶ ἓν καὶ δυνάμει γρ. E. a τὸ—ἐστιν] ἓν Ab. b πως ἕν T. c εἴ τι] εἰ τὸ E.T. d ὄντα] ἕν Ab. e πᾶσαι om. Ab. f τοῖς om. T. g λόγοις om. Fb. h τὸ] τῷ T. i ποσὸν ἢ ποιὸν Ab. k χρησιμωτάτη Ab. l πλεῖον Ab. m μόνων Ab. n τῆς om. T. o δηλώσωμεν T. p λέγεται πολλαχῶς E.T. q ᾗ] ἢ T, ἢ ἢ E. r ᾗ] ἢ ἢ E.T.

ἀπαθείας τῆς ἐπὶ τὸ χεῖρον καὶ φθορᾶς τῆς ὑπ' ἄλλου [s]ἢ ἄλλο, [t]ὑπ' ἀρχῆς μεταβλητικῆς. [1]Ἐν γὰρ τούτοις ἔνεστι πᾶσι τοῖς ὅροις ὁ τῆς πρώτης δυνάμεως λόγος. Πάλιν [v]δ' 6
αὗται αἱ δυνάμεις λέγονται ἢ τοῦ μόνον ποιῆσαι ἢ τοῦ παθεῖν ἢ τοῦ καλῶς, ὥστε καὶ ἐν τοῖς τούτων λόγοις ἐνυπάρχουσί πως οἱ τῶν προτέρων [w]δυνάμεων λόγοι. Φανερὸν οὖν ὅτι ἔστι μὲν ὡς μία δύναμις τοῦ ποιεῖν καὶ πάσχειν (δυνατὸν γάρ ἐστι καὶ [x]τῷ ἔχειν αὐτὸ δύναμιν τοῦ παθεῖν καὶ [x]τῷ ἄλλο ὑπ' αὐτοῦ), ἔστι δ' ὡς ἄλλη. [1]Ἡ [y]μὲν γὰρ ἐν τῷ πά- 7
σχοντι· διὰ γὰρ τὸ ἔχειν [z]τινὰ ἀρχήν, [a]καὶ εἶναι [b]καὶ τὴν ὕλην ἀρχήν τινα, πάσχει τὸ πάσχον καὶ ἄλλο ὑπ' ἄλλου. Τὸ λιπαρὸν [c]μὲν γὰρ καυστόν, τὸ δ' ὑπεῖκον ὠδὶ θλαστόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. [1]Ἡ δ' ἐν τῷ ποιοῦντι, οἷον 8
τὸ θερμὸν καὶ ἡ οἰκοδομική, ἡ μὲν ἐν τῷ θερμαντικῷ, ἡ δ' ἐν τῷ οἰκοδομικῷ. Διὸ ἧ συμπέφυκεν, οὐθὲν πάσχει αὐτὸ ὑφ' ἑαυτοῦ· ἓν γὰρ καὶ οὐκ ἄλλο. Καὶ ἡ ἀδυναμία καὶ τὸ ἀδύ-
νατον [d]ἡ [e]τῇ τοιαύτῃ δυνάμει ἐναντία στέρησίς ἐστιν, ὥστε τοῦ αὐτοῦ [e]καὶ κατὰ τὸ αὐτὸ πᾶσα δύναμις ἀδυναμία. [1]Ἡ 9
δὲ στέρησις λέγεται πολλαχῶς· καὶ γὰρ τὸ μὴ ἔχον καὶ τὸ πεφυκὸς ἂν μὴ ἔχῃ, ἢ ὅλως ἢ ὅτε πέφυκεν, [f]καὶ [g]ἧ ὠδί, οἷον παντελῶς, ἢ κἂν ὁπωσοῦν. [1]Ἐπ' ἐνίων δέ, ἂν πεφυκότα [h]ἔχειν μὴ [i]ἔχῃ βίᾳ, ἐστερῆσθαι ταῦτα λέγομεν.

[1]Ἐπεὶ δ' αἱ μὲν ἐν τοῖς ἀψύχοις ἐνυπάρχουσιν ἀρχαὶ τοι- 2
αῦται, [k]αἱ δ' ἐν τοῖς ἐμψύχοις καὶ ἐν ψυχῇ καὶ τῆς ψυχῆς ἐν τῷ λόγον ἔχοντι, δῆλον ὅτι καὶ τῶν δυνάμεων αἱ μὲν ἔσονται [l]ἄλογοι αἱ δὲ μετὰ λόγου. Διὸ πᾶσαι αἱ τέχναι καὶ [m]αἱ ποιητικαὶ [n]καὶ ἐπιστῆμαι δυνάμεις εἰσίν· ἀρχαὶ γὰρ με-
ταβλητικαί [o]εἰσιν ἐν ἄλλῳ [p]ἢ ἄλλο. Καὶ αἱ μὲν μετὰ λόγου 2

[s] ἧ] ἢ ἧ E. [t] ὑπ' om. Ab. [v] δ' αὖ δυνάμεις λέγονται T, δ' αὗται δυνάμεις λέγονται E, δ' αὗται λέγονται αἱ δυνάμεις Ab. [w] λόγοι δυνάμεων T. [x] τῷ] τὸ utrobique T. [y] μὲν om. T. [z] ἀρχήν τινα Ab. [a] καὶ εἶναι om. T. [b] καὶ—τινὰ om. Ab. [c] μὲν om. T. [d] ἡ] καὶ ἡ E.T. [e] τῇ et mox καὶ om. T. [f] καὶ om. Ab. [g] ἧ T.Ab. [h] ἔχειν] μὴ ἔχειν T. [i] ἔχει Ab. [k] αἱ om. Ab. [l] λόγοι γρ. E. [m] αἱ om. T. [n] καὶ αἱ ἐπιστῆμαι Fb. [o] εἰσιν om. E.T. [p] ἢ ἄλλω T.

πᾶσαι τῶν ἐναντίων αἱ αὐταί, αἱ δ' ἄλογοι μία ἑνός, οἷον τὸ θερμὸν τοῦ θερμαίνειν μόνον, ἡ δὲ ἰατρικὴ νόσου καὶ ὑγιείας. Αἴτιον δὲ ὅτι λόγος ἐστὶν ἡ ἐπιστήμη, ὁ δὲ λόγος ὁ αὐτὸς δηλοῖ τὸ πρᾶγμα καὶ τὴν στέρησιν, πλὴν οὐχ ὡσαύτως, καὶ
3 ἔστιν ὡς ἀμφοῖν, ἔστι δ' ὡς τοῦ ὑπάρχοντος μᾶλλον. [v]Ωστ' ἀνάγκη καὶ τὰς τοιαύτας ἐπιστήμας εἶναι μὲν τῶν ἐναντίων, εἶναι [q]δὲ τοῦ μὲν καθ' αὑτὰς τοῦ δὲ μὴ καθ' αὑτάς· καὶ γὰρ ὁ λόγος τοῦ μὲν καθ' αὑτό, τοῦ δὲ τρόπον τινὰ κατὰ συμβεβηκός· ἀποφάσει γὰρ καὶ ἀποφορᾷ δηλοῖ τὸ ἐναντίον. [r]Ἡ γὰρ στέρησις ἡ πρώτη τὸ ἐναντίον, αὕτη δ' ἀποφορὰ
4 θατέρου. [s]Ἐπεὶ δὲ τὰ ἐναντία οὐκ ἐγγίγνεται ἐν τῷ αὐτῷ, ἡ δ' ἐπιστήμη δύναμις τῷ λόγον ἔχειν, καὶ ἡ ψυχὴ κινήσεως ἔχει ἀρχήν, τὸ μὲν ὑγιεινὸν ὑγίειαν μόνον ποιεῖ καὶ τὸ θερμαντικὸν θερμότητα καὶ τὸ ψυκτικὸν ψυχρότητα, ὁ δ' ἐπι-
5 στήμων ἄμφω. Λόγος γάρ ἐστιν ἀμφοῖν μέν, οὐχ ὁμοίως δέ, καὶ ἐν ψυχῇ [s]ἢ ἔχει κινήσεως ἀρχήν· ὥστε ἄμφω ἀπὸ τῆς αὐτῆς ἀρχῆς κινήσει πρὸς [t]τὸ αὐτὸ συνάψασα. Διὸ τὰ κατὰ λόγον δυνατὰ τοῖς ἄνευ λόγου δυνατοῖς ποιεῖ τἀναντία·
6 [v]μία γὰρ ἀρχὴ περιέχεται τῷ λόγῳ. Φανερὸν δὲ καὶ ὅτι τῇ μὲν τοῦ εὖ δυνάμει ἀκολουθεῖ ἡ τοῦ μόνον ποιῆσαι [w]ἢ παθεῖν δύναμις, ταύτῃ δ' ἐκείνη οὐκ ἀεί· ἀνάγκη γὰρ τὸν εὖ ποιοῦντα καὶ ποιεῖν, τὸν δὲ μόνον ποιοῦντα οὐκ ἀνάγκη καὶ εὖ ποιεῖν.

3 Εἰσὶ δέ τινες οἳ [x]φασιν, οἷον [y]οἱ Μεγαρικοί, ὅταν ἐνεργῇ μόνον δύνασθαι, ὅταν δὲ μὴ ἐνεργῇ [z]οὐ δύνασθαι, οἷον τὸν μὴ οἰκοδομοῦντα οὐ δύνασθαι οἰκοδομεῖν, ἀλλὰ τὸν οἰκοδο-
2 μοῦντα ὅταν οἰκοδομῇ· ὁμοίως [a]δὲ καὶ ἐπὶ τῶν ἄλλων. Οἷς τὰ συμβαίνοντα ἄτοπα οὐ χαλεπὸν ἰδεῖν. Δῆλον γὰρ ὅτι οὔτ' οἰκοδόμος [b]ἔσται ἐὰν μὴ οἰκοδομῇ· τὸ γὰρ οἰκοδόμῳ εἶναι τὸ δυνατῷ εἶναί ἐστιν οἰκοδομεῖν· ὁμοίως δὲ καὶ ἐπὶ
3 τῶν ἄλλων τεχνῶν. Εἰ οὖν ἀδύνατον τὰς τοιαύτας ἔχειν

[q] δὲ] μὲν T. [r] ἡ] ἐστιν ἡ F[b]. [s] ἢ] ἦ ἢ A[b]. [t] τὸ om. E.T.A[b]. [v] μιᾶ γὰρ ἀρχῇ E. [w] ἢ παθεῖν om. A[b]. [x] φασιν εἶναι οἷον T.A[b]. [y] οἱ om. A[b]. [z] οὐ] μὴ E.T. [a] δὴ F[b]. [b] ἐστὶν E.

τέχνας μὴ [c]μανθάνοντά ποτε καὶ λαβόντα, καὶ μὴ ἔχειν μὴ [d]ἀποβαλόντα ποτέ (ἡ γὰρ λήθη ἢ πάθει τινὶ ἢ χρόνῳ· οὐ γὰρ δὴ τοῦ γε πράγματος φθαρέντος, [e]ἀεὶ [f]γάρ ἐστιν), ὅταν παύσηται, οὐχ ἕξει τὴν τέχνην. Πάλιν [g]δ' εὐθὺς οἰκο- 4
δομήσει πῶς λαβών; Καὶ τὰ ἄψυχα δὴ ὁμοίως· οὔτε γὰρ ψυχρὸν οὔτε θερμὸν οὔτε γλυκὺ οὔτε ὅλως αἰσθητὸν οὐθὲν ἔσται μὴ αἰσθανόμενον· ὥστε τὸν Πρωταγόρου λόγον συμβήσεται λέγειν αὐτοῖς. [i]Ἀλλὰ μὴν οὐδ' αἴσθησιν ἕξει οὐθὲν ἂν μὴ αἰσθάνηται μηδ' ἐνεργῇ. Εἰ οὖν τυφλὸν τὸ μὴ ἔχον 5
ὄψιν, πεφυκὸς δὲ καὶ ὅτε πέφυκε καὶ ἔτι [h]ὄν, οἱ αὐτοὶ τυφλοὶ ἔσονται πολλάκις τῆς ἡμέρας [i]καὶ κωφοί. [j]Ἔτι εἰ ἀδύνατον τὸ ἐστερημένον δυνάμεως, τὸ μὴ [k]γενόμενον ἀδύνατον ἔσται γενέσθαι· τὸ δ' ἀδύνατον γενέσθαι ὁ λέγων ἢ εἶναι ἢ ἔσεσθαι ψεύσεται· τὸ γὰρ ἀδύνατον τοῦτο ἐσήμαινεν. [l]Ὥστε οὗτοι οἱ λόγοι ἐξαιροῦσι καὶ [m]κίνησιν καὶ γένεσιν. 6
[j]Αεὶ γὰρ τό τε ἑστηκὸς ἑστήξεται καὶ τὸ καθήμενον καθεδεῖται· οὐ γὰρ ἀναστήσεται ἂν καθέζηται· ἀδύνατον γὰρ ἔσται ἀναστῆναι ὅ γε μὴ δύναται ἀναστῆναι. Εἰ οὖν μὴ ἐν- 7
δέχεται ταῦτα λέγειν, φανερὸν ὅτι δύναμις καὶ ἐνέργεια ἕτερόν ἐστιν· ἐκεῖνοι δ' οἱ λόγοι δύναμιν καὶ ἐνέργειαν ταὐτὸ ποιοῦσιν, διὸ καὶ οὐ μικρόν τι ζητοῦσιν ἀναιρεῖν. [l]Ὥστ' ἐνδέχεται δυνατὸν μέν τι εἶναι μὴ εἶναι δέ, [n]καὶ δυνατὸν μὴ εἶναι εἶναι δέ, ὁμοίως δὲ καὶ [o]ἐπὶ τῶν ἄλλων κατηγοριῶν δυνατὸν βαδίζειν ὃν μὴ [p]βαδίζειν, [q]καὶ [r]μὴ βαδίζον δύνατὸν εἶναι βαδίζειν. [j]Ἔστι δὲ δυνατὸν τοῦτο ᾧ, ἐὰν ὑπάρξῃ 8
ἡ ἐνέργεια, [s]οὗ λέγεται ἔχειν τὴν δύναμιν, οὐθὲν ἔσται ἀδύνατον. [t]Λέγω δ' οἷον, εἰ δυνατὸν καθῆσθαι καὶ ἐνδέχεται καθῆσθαι τούτῳ, ἐὰν ὑπάρξῃ τὸ καθῆσθαι, οὐθὲν ἔσται ἀδύνατον· καὶ [v]εἰ κινηθῆναί [w]τι ἢ κινῆσαι ἢ στῆναι ἢ στῆσαι ἢ

[c] λανθάνοντά ποτε καὶ λαμβάνοντα T. [d] ἀποβάλλοντά ποτε· ἡ γὰρ λήθη T. [e] ἀεὶ] εἰ Fb. [f] γέ Ab. [g] δ'] δ' ὁ T. [h] ὅν] ὡς T. [i] καὶ κωφοί om. Fb. [k] γινόμενον Ab. [l] οὗτοι] οὔτε Ab. [m] γένεσιν καὶ κίνησιν T. [n] καὶ—δέ om. T.Fb. [o] ἐπὶ add. E.T. [p] βαδίζειν post μὴ om. T. [q] καὶ] δὲ καὶ Ab. [r] μὴ om. T. [s] οὗ] ἧς Fb. [t] λέγω—ἀδύνατον om. T. [v] εἰ] εἴη T. [w] τι om. E.T.

εἶναι ἢ [x]γίγνεσθαι, ἢ μὴ εἶναι ἢ μὴ γίγνεσθαι, ὁμοίως.
9 [1]Ελήλυθε δ' ἡ ἐνέργεια τοὔνομα, ἡ πρὸς τὴν ἐντελέχειαν
[y]συντιθεμένη καὶ ἐπὶ τὰ ἄλλα, ἐκ τῶν κινήσεων μάλιστα·
10 δοκεῖ γὰρ ἡ ἐνέργεια μάλιστα ἡ κίνησις εἶναι. Διὸ καὶ
τοῖς μὴ οὖσιν οὐκ ἀποδιδόασι τὸ κινεῖσθαι, ἄλλας δέ τινας
κατηγορίας, οἷον διανοητὰ καὶ ἐπιθυμητὰ εἶναι τὰ μὴ ὄντα,
κινούμενα δ' οὔ. [z]Τοῦτο δὲ ὅτι οὐκ ὄντα ἐνεργείᾳ ἔσονται
ἐνεργείᾳ. Τῶν γὰρ μὴ ὄντων ἔνια δυνάμει ἐστίν· [a]οὐκ ἔστι
δέ, [b]ὅτι οὐκ ἐντελεχείᾳ ἐστίν.

4 Εἰ δ' ἐστὶ [c]τὸ εἰρημένον δυνατὸν [d]ἢ ἀκολουθεῖ, φανερὸν
ὅτι οὐκ ἐνδέχεται ἀληθὲς εἶναι [e]τὸ εἰπεῖν ὅτι δυνατὸν μὲν
τοδί, οὐκ ἔσται δέ· ὥστε τὰ ἀδύνατα εἶναι ταύτῃ [f]διαφεύ-
γειν. Λέγω δὲ οἷον εἴ τις φαίη δυνατὸν τὴν διάμετρον
μετρηθῆναι οὐ μέντοι [g]μετρηθήσεσθαι, [h]ὁ μὴ λογιζόμενος τὸ
ἀδύνατον εἶναι, ὅτι οὐθὲν κωλύει [i]δυνατόν τι [k]ὂν εἶναι ἢ γε-
2 νέσθαι, μὴ εἶναι [l]δὲ μηδ' ἔσεσθαι. [1]Αλλ' ἐκεῖνο ἀνάγκη ἐκ
τῶν κειμένων, [m]εἰ καὶ ὑποθοίμεθα εἶναι ἢ γεγονέναι ὃ οὐκ
ἔστι μὲν δυνατὸν δέ, ὅτι οὐθὲν ἔσται ἀδύνατον· [n]συμβήσεται
δέ γε, τὸ γὰρ μετρεῖσθαι ἀδύνατον. Οὐ γὰρ [o]δή ἐστι ταὐτὸ
τό [p]τε ψεῦδος καὶ τὸ ἀδύνατον· τὸ γάρ σε ἑστάναι νῦν
3 ψεῦδος μέν, οὐκ ἀδύνατον δέ. [v]Αμα δὲ δῆλον [q]καὶ ὅτι, [r]εἰ
τοῦ Α ὄντος ἀνάγκη τὸ Β εἶναι, καὶ δυνατοῦ ὄντος τοῦ εἶναι
[s]Α καὶ τὸ Β ἀνάγκη εἶναι δυνατόν· εἰ γὰρ μὴ ἀνάγκη
δυνατὸν εἶναι, οὐθὲν κωλύει μὴ εἶναι δυνατὸν εἶναι. [t]Εστω
δὴ τὸ Α δυνατόν. Οὐκοῦν ὅτε τὸ Α δυνατὸν εἴη εἶναι, εἰ
τεθείη τὸ Α Β, οὐθὲν ἀδύνατον εἶναι συνέβαινεν· τὸ δέ γε Β
ἀνάγκη εἶναι. [1]Αλλ' ἦν ἀδύνατον. [t]Εστω δὴ ἀδύνατον.
4 Εἰ δὴ ἀδύνατον ἀνάγκη εἶναι τὸ Α, ἀνάγκη καὶ τὸ Β εἶναι.

[x] *γενέσθαι* priore loco E, utroque T. [y] *συντεθειμένη* F[b]. [z] *τοῦτο δὲ* om. A[b].F[b]. [a] *οὐκ ἔστι δέ* om. A[b]. [b] *διότι* A[b]. [c] *τὸ εἰρημένον τὸ δυνατὸν* A[b]. [d] *ἢ* T. [e] *τὸ*] *τι* E.T. [f] *διαφεύγει* A[b]. [g] *μετρηθήσεσθαι*] *μετρηθήσεται* A[b]. [h] *ὁ* om. T. [i] *δυνατόν*] *ἀδύνατόν* A[b]. [k] *ὂν* om. T. [l] *δὲ* om. A[b]. [m] *εἰ καὶ*] *εἶναι εἰ καὶ* E, *εἰ εἴη καὶ* A[b], *εἴη* T. [n] *συμβήσεται—ἀδύνατον* om. E.T. [o] *δή* add. E.T. [p] *τε* om. E.T. [q] *ὅτι καὶ* T. [r] *εἰ*] *ἢ* F[b], om. T. [s] *Α*] *τὸ α* T. [t] *ἔστω—Β ἄρα* om. A[b].

[a]Αλλ' ἦν ἄρα τὸ [v]A δυνατόν· καὶ τὸ [v]B [w]ἄρα. [n]Αν ἄρα ᾖ τὸ A δυνατόν, καὶ τὸ B ἔσται δυνατόν, εἴ περ οὕτως [x]εἶχον ὥστε τοῦ A ὄντος ἀνάγκη εἶναι τὸ B. [a]Ἐὰν [y]δὴ οὕτως ἐχόν- 5
των τοῦ AB [z]μὴ ᾖ δυνατὸν τὸ B οὕτως, οὐδὲ τὸ AB ἕξει ὡς ἐτέθη· καὶ εἰ τοῦ A δυνατοῦ ὄντος ἀνάγκη [a]τὸ B δυνατὸν εἶναι, εἰ ἔστι τὸ A, ἀνάγκη εἶναι [b]καὶ τὸ B. Τὸ γὰρ δυνατὸν εἶναι ἐξ ἀνάγκης τὸ B εἶναι, εἰ τὸ A δυνατόν, τοῦτο σημαίνει, ἐὰν ᾖ [c]τὸ A καὶ ὅτε καὶ ὡς ἦν δυνατὸν [d]εἶναι, κἀκεῖνο τότε καὶ οὕτως εἶναι ἀναγκαῖον.

[b]Ἁπασῶν δὲ τῶν δυνάμεων οὐσῶν τῶν μὲν συγγενῶν οἷον 5
τῶν αἰσθήσεων, τῶν δὲ ἔθει οἷον τῆς τοῦ αὐλεῖν, τῶν δὲ μαθήσει οἷον τῆς τῶν τεχνῶν, τὰς μὲν ἀνάγκη προενεργήσαντας ἔχειν ὅσαι ἔθει καὶ λόγῳ, τὰς δὲ μὴ τοιαύτας καὶ τὰς ἐπὶ τοῦ πάσχειν οὐκ ἀνάγκη. [a]Ἐπεὶ δὲ τὸ [c]δυνατὸν τὶ 2
δυνατὸν καὶ ποτὲ καὶ πῶς καὶ ὅσα ἄλλα ἀνάγκη προσεῖναι ἐν τῷ διορισμῷ, καὶ τὰ μὲν κατὰ λόγον δύναται κινεῖν καὶ αἱ δυνάμεις αὐτῶν μετὰ λόγου, τὰ δ' ἄλογα καὶ αἱ δυνάμεις ἄλογοι, κἀκείνας μὲν ἀνάγκη ἐν ἐμψύχῳ εἶναι ταύτας δ' ἐν ἀμφοῖν, τὰς [f]μὲν τοιαύτας δυνάμεις ἀνάγκη, ὅταν ὡς [g]δύνανται τὸ ποιητικὸν καὶ τὸ παθητικὸν πλησιάζωσι, τὸ μὲν ποιεῖν τὸ δὲ πάσχειν, ἐκείνας δ' οὐκ ἀνάγκη· αὗται μὲν γὰρ πᾶσαι μία ἑνὸς ποιητική, ἐκεῖναι δὲ τῶν ἐναντίων, ὥστε ἅμα ποιήσει τἀναντία. Τοῦτο δὲ ἀδύνατον. [a]Ἀνάγκη ἄρα ἕτερόν 3
τι εἶναι τὸ κύριον· λέγω [h]δὲ τοῦτο ὄρεξιν ἢ προαίρεσιν. [b]Ὁποτέρου γὰρ ἂν ὀρέγηται κυρίως, τοῦτο ποιήσει, ὅταν ὡς δύναται ὑπάρχῃ καὶ πλησιάζῃ τῷ παθητικῷ. [v]Ὥστε τὸ δυνατὸν κατὰ λόγον ἅπαν ἀνάγκη, ὅταν ὀρέγηται, [i]οὗ τ' ἔχει τὴν δύναμιν καὶ ὡς ἔχει, τοῦτο ποιεῖν. [d]Ἔχει δὲ παρόντος 4
τοῦ παθητικοῦ καὶ ὡδὶ ἔχοντος ποιεῖν. Εἰ δὲ μή, ποιεῖν οὐ δυνήσεται. Τὸ γὰρ μηθενὸς τῶν ἔξω κωλύοντος προσδιο-

[v] A et B] πρῶτον et δεύτερον E.T. [w] ἄρα post B om. E.T.
[x] εἶχεν T. [y] δὲ T. [z] μὴ—τὸ B om. Ab. [a] τὸ] καὶ τὸ T.
[b] καὶ om. E.T. [c] τὸ a τὸ a Ab. [d] εἶναι] εἶναι ἦν Ab. [e] ἀδύνατον Ab.
[f] μὲν] μὲν οὖν T. [g] δύνωνται τὸ παθητικὸν καὶ τὸ ποιητικὸν E.T. [h] δὲ τοῦτο] δ' εἴτε Ab. [i] οὗ τ'] ὅτ' Ab, οὗ E.T.

ρίζεσθαι οὐθὲν ἔτι δεῖ· τὴν γὰρ δύναμιν ἔχει ὡς ἔστι δυνάμει τοῦ ποιεῖν, ἔστι δ' οὐ πάντως ἀλλ' ἐχόντων πῶς, ἐν οἷς ἀφορισθήσεται καὶ τὰ ἔξω κωλύοντα· ἀφαιρεῖται γὰρ ταῦτα τῶν ἐν τῷ διορισμῷ προσόντων ἔνια. Διὸ οὐδὲ ἂν ἅμα βούληται [k]ἢ [l]ἐπιθυμῇ ποιεῖν δύο ἢ τἀναντία, οὐ ποιήσει· οὐ γὰρ οὕτως ἔχει αὐτῶν τὴν δύναμιν οὐδ' [m]ἔστι τοῦ ἅμα ποιεῖν ἡ δύναμις, ἐπεὶ ὧν ἐστὶν οὕτως ποιήσει.

6 [n]Ἐπεὶ δὲ περὶ τῆς κατὰ [n]κίνησιν λεγομένης δυνάμεως εἴρηται, περὶ ἐνεργείας διορίσωμεν τί τέ ἐστιν ἡ ἐνέργεια καὶ ποιόν τι. Καὶ γὰρ τὸ δυνατὸν ἅμα δῆλον ἔσται διαιροῦσιν, ὅτι οὐ μόνον τοῦτο λέγομεν [o]δυνατὸν ὃ πέφυκε κινεῖν ἄλλο ἢ κινεῖσθαι ὑπ' ἄλλου, ἢ ἁπλῶς ἢ τρόπον τινά, ἀλλὰ 2 καὶ ἑτέρως. Διὸ ζητοῦντες καὶ περὶ τούτων διήλθομεν. [q]Ἔστι δ' ἡ ἐνέργεια τὸ ὑπάρχειν τὸ πρᾶγμα, μὴ οὕτως ὥσπερ λέγομεν δυνάμει. Λέγομεν δὲ δυνάμει οἷον ἐν τῷ ξύλῳ [r]Ἑρμῆν καὶ ἐν τῇ [p]ὅλῃ τὴν ἡμίσειαν, ὅτι ἀφαιρεθείη ἄν, καὶ ἐπιστήμονα [q]καὶ τὸν μὴ θεωροῦντα, ἂν δυνατὸς [r]ᾖ θεω- 3 ρῆσαι· τὸ δ' ἐνεργείᾳ. Δῆλον δ' ἐπὶ τῶν καθ' ἕκαστα τῇ ἐπαγωγῇ ὃ βουλόμεθα λέγειν, καὶ οὐ δεῖ παντὸς ὅρον ζητεῖν ἀλλὰ καὶ τὸ [s]ἀνάλογον συνορᾶν, [t]ὅτι ὡς τὸ οἰκοδομοῦν πρὸς τὸ οἰκοδομικόν, καὶ τὸ ἐγρηγορὸς πρὸς τὸ καθεῦδον, καὶ τὸ ὁρῶν πρὸς τὸ μύον μὲν ὄψιν δὲ ἔχον, καὶ τὸ ἀποκεκριμένον ἐκ τῆς ὕλης πρὸς τὴν ὕλην, καὶ τὸ ἀπειρ- 4 γασμένον πρὸς τὸ ἀνέργαστον. [v]Ταύτης δὲ τῆς διαφορᾶς θάτερον μόριον [w]ἔστω ἡ ἐνέργεια ἀφωρισμένη, [x]θατέρῳ δὲ τὸ δυνατόν. Λέγεται δὲ [y]ἐνεργείᾳ οὐ πάντα ὁμοίως, ἀλλ' [z]ἢ τὸ ἀνάλογον, ὡς τοῦτο ἐν τούτῳ ἢ πρὸς τοῦτο, τὸ δ' ἐν τῷδε ἢ πρὸς τόδε· τὰ μὲν γὰρ ὡς κίνησις πρὸς δύναμιν, τὰ 5 δ' [a]ὡς οὐσία πρός τινα ὕλην. [u]Ἄλλως δὲ [b]καὶ τὸ ἄπειρον

k ἢ] καὶ T. l ἐπιθυμεῖν Ab. m ἔστιν ἅμα τοῦ ἅμα Ab. n κίνησιν] δύναμιν T. o δυνατὸν om. Ab. p ὅλῃ] διαμέτρῳ Fb. q καὶ τὸν] τὸν θεωροῦντα καὶ τὸν E. r ᾖ om. E.T. s ἀναλογοῦν T. t ὅτι om. Ab. v ταύτης—μόριον] ἔστι τέ τι καὶ ταύτης τῆς διαφορᾶς θατέρω μορίῳ E.T. w ἔσται Ab. x θάτερον Fb. y ἐνέργεια Ab. z ἢ τὸ] ἢ τῷ Fb. a ὡς om. T. b καὶ add. E.T.

καὶ [c]τὸ κενὸν καὶ ὅσα τοιαῦτα, λέγεται δυνάμει καὶ ἐνεργείᾳ πολλοῖς τῶν ὄντων, οἷον τῷ ὁρῶντι καὶ βαδίζοντι καὶ ὁρωμένῳ. [d]Ταῦτα μὲν γὰρ ἐνδέχεται καὶ ἁπλῶς [e]ἀληθεύεσθαί ποτε· τὸ μὲν [f]γὰρ ὁρώμενον ὅτι ὁρᾶται, τὸ δ' ὅτι ὁρᾶσθαι δυνατόν· τὸ δ' ἄπειρον οὐχ οὕτω δυνάμει ἐστὶν ὡς ἐνεργείᾳ ἐσόμενον χωριστόν, ἀλλὰ γνώσει. [g]Τῷ γὰρ μὴ [h]ὑπολείπειν τὴν διαίρεσιν ἀποδίδωσι τὸ εἶναι δυνάμει ταύτην τὴν ἐνέργειαν, τῷ δὲ χωρίζεσθαι οὔ. 6

[i]Ἐπεὶ δὲ τῶν πράξεων ὧν ἐστὶ πέρας οὐδεμία τέλος 7
ἀλλὰ τῶν περὶ τὸ τέλος, οἷον τοῦ ἰσχναίνειν ἡ ἰσχνασία αὐτό, αὐτὰ δὲ ὅταν ἰσχναίνῃ οὕτως ἐστὶν ἐν κινήσει, μὴ ὑπάρχοντα ὧν ἕνεκα ἡ κίνησις, οὐκ ἔστι ταῦτα πρᾶξις ἢ οὐ τελεία γε· οὐ γὰρ τέλος, ἀλλ' ἐκείνῃ ἐνυπάρχει τὸ τέλος καὶ ἡ πρᾶξις. Οἷον ὁρᾷ, ἀλλὰ καὶ φρονεῖ καὶ νοεῖ καὶ νε- 8
νόηκεν· ἀλλ' οὐ μανθάνει καὶ μεμάθηκεν, οὐδ' ὑγιάζεται καὶ ὑγίασται. Εὖ ζῇ καὶ εὖ ἔζηκεν· ἀλλὰ καὶ εὐδαιμονεῖ καὶ εὐδαιμόνηκεν. Εἰ δὲ μή, ἔδει ἂν ποτε παύεσθαι, ὥσπερ ὅταν ἰσχναίνῃ. Νῦν δ' οὔ, ἀλλὰ ζῇ καὶ ἔζηκεν. [k]Τούτων δὴ τὰς μὲν κινήσεις λέγειν, τὰς δ' ἐνεργείας. Πᾶσα γὰρ κίνη- 9
σις ἀτελής, ἰσχνασία, μάθησις, βάδισις, οἰκοδόμησις· αὗται δὲ κινήσεις, καὶ ἀτελεῖς γε. Οὐ γὰρ ἅμα βαδίζει καὶ βε-
βάδικεν, οὐδ' οἰκοδομεῖ καὶ [l]ᾠκοδόμηκεν, οὐδὲ γίγνεται καὶ γέγονεν, ἢ κινεῖται καὶ [m]κεκίνηκεν· ἀλλ' ἕτερον καὶ κινεῖ καὶ [n]κινεῖται. [r]Ε�ώρακε δὲ καὶ ὁρᾷ ἅμα τὸ αὐτό, καὶ νοεῖ καὶ 10
νενόηκεν. Τὴν μὲν οὖν τοιαύτην ἐνέργειαν λέγω, ἐκείνην δὲ κίνησιν. Τὸ μὲν οὖν [o]ἐνεργείᾳ τί τέ ἐστι καὶ ποῖον, ἐκ τούτων καὶ τῶν τοιούτων δῆλον ἡμῖν [p]ἔστω.

Πότε [q]δὲ δυνάμει ἐστὶν ἕκαστον καὶ πότε οὔ, διοριστέον· 7
οὐ γὰρ ὁποτεοῦν. Οἷον ἡ γῆ ἆρ' ἐστὶν [r]ἄνθρωπος δυνάμει ἢ

[c] τὸ add. $A^b.F^b$. [d] ταῦτα] εἰ ταῦτα A^b. [e] ἀληθεύεσθαι] καὶ ἀληθεύεσθαί T. [f] γὰρ om. T. [g] τὸ T.A^b. [h] ὑπολιπεῖν A^b. [i] ἐπεὶ—sect. 10. κίνησιν om. E.T. [k] τούτων—sect. 10. κίνησιν] hæc expungit A^b. [l] ᾠκοδόμησεν A^b. [m] κεκίνηκεν] κεκίνηται A^b. [n] κινεῖται] κεκίνηκεν A^b. [o] ἐνέργεια T, ἐνεργεῖν A^b. [p] ἔσται E.T. [q] δὲ om. T. [r] δυνάμει ἄνθρωπος E.T.

οὔ; [1]Ἀλλὰ μᾶλλον ὅταν ἤδη γένηται σπέρμα, καὶ οὐδὲ [s]τότε ἴσως. [v]Ὥσπερ οὖν οὐδὲ ὑπὸ ἰατρικῆς ἅπαν [t]ἂν ὑγιασθείη οὐδ' ἀπὸ τύχης, ἀλλ' ἔστι τι ὃ δυνατόν ἐστι, καὶ τοῦτ' 2 ἐστὶν ὑγιαῖνον δυνάμει. [v]Ορος δὲ τοῦ μὲν ἀπὸ διανοίας ἐντελεχείᾳ γιγνομένου ἐκ τοῦ δυνάμει ὄντος, ὅταν βουληθέντος γίγνηται μηθενὸς κωλύοντος τῶν ἐκτός, ἐκεῖ δ' ἐν τῷ ὑγιαζομένῳ, ὅταν μηθὲν κωλύῃ [v]τῶν ἐν αὐτῷ. [t]Ομοίως δὲ δυνάμει καὶ οἰκία, [w]εἰ μηθὲν κωλύει [x]τῶν ἐν τούτῳ καὶ τῇ ὕλῃ τοῦ γίγνεσθαι οἰκίαν, οὐδ' ἔστιν ὃ δεῖ προσγενέσθαι ἢ 3 ἀπογενέσθαι ἢ μεταβαλεῖν, τοῦτο δυνάμει οἰκία. Καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ὅσων ἔξωθεν ἡ ἀρχὴ τῆς γενέσεως, καὶ ὅσων δὴ ἐν αὐτῷ τῷ ἔχοντι, ὅσα μηθενὸς τῶν ἔξωθεν ἐμποδίζοντος ἔσται δι' αὐτοῦ. Οἷον τὸ σπέρμα οὔπω· δεῖ γὰρ ἐν ἄλλῳ καὶ [y]μεταβάλλειν. [v]Οταν [z]δ' ἤδη διὰ τῆς αὐτοῦ ἀρχῆς ᾖ τοιοῦτον, ἤδη τοῦτο δυνάμει· [a]ἐκεῖνο δὲ ἑτέρας ἀρ- 4 χῆς δεῖται. [v]Ωσπερ ἡ γῆ οὔπω ἀνδριὰς δυνάμει· μεταβάλλουσα γὰρ ἔσται χαλκός. [1]Εοικε δὲ ὃ λέγομεν εἶναι οὐ τόδε ἀλλ' ἐκείνινον, οἷον τὸ κιβώτιον οὐ ξύλον ἀλλὰ ξύλινον, οὐδὲ τὸ [b]ξύλον γῆ ἀλλὰ γήϊνον. Πάλιν ἡ γῆ εἰ οὕτως μὴ ἄλλο [c]ἀλλ' ἐκείνινον, [d]ἀεὶ ἐκεῖνο δυνάμει ἁπλῶς [e]τὸ ὕστε- 5 ρόν ἐστιν. Οἷον τὸ κιβώτιον οὐ γήϊνον οὐδὲ γῆ, ἀλλὰ ξύλινον· τοῦτο γὰρ δυνάμει κιβώτιον καὶ ὕλη κιβωτίου αὕτη, ἁπλῶς μὲν τοῦ [f]ἁπλῶς, τουδὶ δὲ [g]τοδὶ [h]τὸ ξύλον. Εἰ δέ τί [i]ἐστι πρῶτον, ὃ μηκέτι κατ' [k]ἄλλου λέγεται [l]ἐκείνινον, τοῦτο πρώτη ὕλη· οἷον εἰ ἡ γῆ ἀερίνη, ὁ δ' ἀὴρ μὴ πῦρ ἀλλὰ πύρινος, τὸ πῦρ ὕλη πρώτη [m]ὡς τόδε τι [n]καὶ [o]οὐσία. 6 Τούτῳ γὰρ διαφέρει τὸ καθόλου καὶ τὸ ὑποκείμενον [p]τῷ

[s] τότε] τότε πῶς T, τοῦτό πως E, τοῦτο γρ. E. [t] ἂν] δὴ Ab. [v] τῶν] τῶ E. [w] εἰ—οἰκίαν om. Ab. [x] τῶν om. T. [y] μεταβαλεῖν E. [z] δ' om. T. [a] ἐκεῖνα E. [b] ξύλον ἡ γῆ T. [c] ἀλλ' ἐκείνινον ἀεὶ om. Ab. [d] ἀεὶ ἐκεῖνο δὲ δυνάμει E, om. γρ. E. δυνάμει om. Ab. [e] τὸ ὕστερον] ὃ τὸ προσεχὲς καὶ τελευταῖον γρ. E. [f] ἁπλοῦ T. [g] τοδὶ] τουδὶ T. [h] τὸ add. E.Ab. [i] ἐστι τὸ πρῶτον T. [k] ἄλλο Ab. et margo E, qui γρ. κατ' ἄλλο ἀλλ' ἐκεῖνο αὐτὸ δηλονότι. [l] ἐκεῖνο ὂν τοῦτο Ab. [m] ὡς] οὐ T, εἰ δὲ Ab. [n] καὶ om. E.T.Ab. [o] οὖσα E.T. [p] τῷ] τὸ T.

q εἶναι τόδε τι ἢ μὴ εἶναι. Οἷον τοῖς πάθεσι τὸ ὑποκείμενον
ἄνθρωπος καὶ σῶμα καὶ ψυχή, πάθος δὲ τὸ μουσικὸν καὶ
λευκόν. Λέγεται δὲ τῆς μουσικῆς r ἐγγενομένης s ἐκεῖνο οὐ
μουσικὴ ἀλλὰ μουσικόν, καὶ οὐ λευκότης ὁ ἄνθρωπος ἀλλὰ
λευκόν, οὐδὲ βάδισις t ἢ κίνησις ἀλλὰ βαδίζον ἢ κινούμενον,
ὡς v τὸ ἐκείνινον. vΟσα μὲν οὖν οὕτω, τὸ ἔσχατον οὐσία· 7
ὅσα δὲ μὴ οὕτως ἀλλ' εἶδός τι καὶ τόδε τι τὸ κατηγορού-
μενον, τὸ ἔσχατον ὕλη καὶ οὐσία ὑλική. Καὶ ὀρθῶς δὴ συμ-
βαίνει τὸ ἐκείνινον λέγεσθαι κατὰ τὴν ὕλην καὶ τὰ πάθη·
ἄμφω γὰρ ἀόριστα. Πότε μὲν οὖν λεκτέον δυνάμει καὶ
πότε οὔ, εἴρηται.

wΕπεὶ δὲ τὸ w πρότερον διώρισται x ποσαχῶς λέγεται, 8
φανερὸν y ὅτι πρότερον ἐνέργεια δυνάμεώς ἐστιν. Λέγω δὲ
δυνάμεως οὐ μόνον τῆς ὡρισμένης ἢ λέγεται z ἀρχὴ μετα-
βλητικὴ ἐν ἄλλῳ ἢ ἄλλο, ἀλλ' ὅλως πάσης ἀρχῆς κινητικῆς
ἢ στατικῆς. Καὶ γὰρ ἡ φύσις ἐν ταὐτῷ a γίγνεται· ἐν
ταὐτῷ γὰρ γένει τῇ δυνάμει· ἀρχὴ γὰρ κινητική, ἀλλ' οὐκ
ἐν ἄλλῳ ἀλλ' ἐν αὐτῷ ᾗ αὐτό. Πάσης b δὴ τῆς τοιαύτης 2
προτέρα ἐστὶν ἡ ἐνέργεια καὶ λόγῳ καὶ τῇ οὐσίᾳ· χρόνῳ δ'
ἔστι μὲν ὡς, ἔστι δ' ὡς οὔ. Τῷ λόγῳ μὲν οὖν ὅτι προτέρα,
δῆλον· c τῷ γὰρ ἐνδέχεσθαι ἐνεργῆσαι δυνατόν ἐστι τὸ πρώ-
τως δυνατόν, οἷον λέγω οἰκοδομικὸν τὸ δυνάμενον οἰκοδομεῖν,
καὶ ὁρατικὸν τὸ ὁρᾶν, καὶ ὁρατὸν τὸ δυνατὸν ὁρᾶσθαι. tΟ 3
δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων, ὥστ' ἀνάγκη τὸν λόγον
προϋπάρχειν καὶ τὴν γνῶσιν τῆς γνώσεως. Τῷ δὲ χρόνῳ
πρότερον d τὸ τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν πρότερον, ἀριθμῷ
δ' οὔ. Λέγω δὲ τοῦτο ὅτι τοῦδε μὲν τοῦ ἀνθρώπου τοῦ 4
ἤδη ὄντος κατ' ἐνέργειαν καὶ τοῦ σίτου καὶ τοῦ ὁρῶντος πρό-
τερον τῷ χρόνῳ ἡ ὕλη καὶ τὸ σπέρμα καὶ τὸ ὁρατικόν, e ἃ
δυνάμει μέν f ἐστιν ἄνθρωπος καὶ σῖτος καὶ ὁρῶν, ἐνεργείᾳ

q εἶναι] καὶ T, om. E. r ἐγγινομένης E. s ἐκείνω Ab. t ἢ κίνησις] ἡ κίνησις T, οὐδὲ κίνησις Ab. v τὸ] τε Ab. w πρῶτον T. x ὁσαχῶς E.T. y ὅτι τὸ πρότερον T. z ἀρχὴ om. T. a γίγνεται δυνάμει· ἐν E. γίγνεται—ταὐτῷ γὰρ om. Ab. b δὲ T. c τῷ] τὸ E. d τὸ τῷ] ὧδε τὸ τῷ Ab. e ἃ om. Ab. f ἔσται Ab.

5 δ' οὔπω. [f]Ἀλλὰ τούτων [g]πρότερα τῷ χρόνῳ ἕτερα ὄντα ἐνεργείᾳ, ἐξ ὧν ταῦτα ἐγένετο· ἀεὶ γὰρ ἐκ τοῦ δυνάμει ὄντος γίγνεται [h]τὸ ἐνεργείᾳ ὂν [i]ὑπὸ ἐνεργείᾳ ὄντος, οἷον ἄνθρωπος ἐξ ἀνθρώπου, μουσικὸς ὑπὸ μουσικοῦ, ἀεὶ κινοῦντός τινος πρώτου· τὸ δὲ κινοῦν [k]ἐνεργείᾳ ἤδη ἐστίν. Εἴρηται δ' ἐν τοῖς περὶ τῆς οὐσίας λόγοις ὅτι [l]ἅπαν τὸ γιγνόμενον γίγνεται ἔκ τινός τι καὶ ὑπό τινος, καὶ τοῦτο τῷ εἴδει τὸ αὐτό.
6 Διὸ καὶ δοκεῖ ἀδύνατον εἶναι οἰκοδόμον εἶναι μὴ οἰκοδομήσαντα μηθὲν ἢ κιθαριστὴν μηθὲν κιθαρίσαντα· ὁ γὰρ μανθάνων κιθαρίζειν κιθαρίζων μανθάνει κιθαρίζειν, ὁμοίως δὲ καὶ
7 οἱ ἄλλοι. [n]Ὅθεν ὁ σοφιστικὸς ἔλεγχος ἐγίγνετο ὅτι οὐκ ἔχων τις τὴν ἐπιστήμην ποιήσει οὗ ἡ ἐπιστήμη· ὁ γὰρ μανθάνων οὐκ ἔχει, ἀλλὰ διὰ τὸ τοῦ γιγνομένου γεγενῆσθαί τι [m]καὶ τοῦ ὅλως κινουμένου κεκινῆσθαί τι (δῆλον δ' ἐν τοῖς περὶ κινήσεως τοῦτο) καὶ τὸν μανθάνοντα ἀνάγκη ἔχειν τι
8 τῆς ἐπιστήμης ἴσως. [o]Ἀλλ' οὖν καὶ ταύτῃ γε δῆλον ὅτι ἡ ἐνέργεια καὶ οὕτω προτέρα τῆς δυνάμεως κατὰ γένεσιν καὶ χρόνον. [p]Ἀλλὰ μὴν καὶ οὐσίᾳ γε, πρῶτον μὲν ὅτι [n]τὰ τῇ γενέσει ὕστερα τῷ εἴδει καὶ τῇ οὐσίᾳ πρότερα, οἷον ἀνὴρ παιδὸς καὶ ἄνθρωπος σπέρματος· τὸ μὲν γὰρ ἤδη ἔχει τὸ
9 εἶδος, τὸ δ' οὔ. Καὶ ὅτι ἅπαν ἐπ' ἀρχὴν βαδίζει τὸ γιγνόμενον καὶ τέλος· ἀρχὴ γὰρ [o]τὸ οὗ ἕνεκα, τοῦ τέλους δ' ἕνεκα ἡ γένεσις. Τέλος δ' ἡ ἐνέργεια, καὶ τούτου χάριν ἡ δύναμις λαμβάνεται· οὐ γὰρ ἵνα ὄψιν ἔχωσιν [p]ὁρῶσι τὰ ζῷα, ἀλλ'
10 ὅπως ὁρῶσιν ὄψιν ἔχουσιν. [r]Ὁμοίως δὲ καὶ οἰκοδομικὴν ἵνα οἰκοδομῶσι, καὶ τὴν θεωρητικὴν ἵνα θεωρῶσιν· ἀλλ' οὐ θεωροῦσιν ἵνα [q]θεωρητικὴν ἔχωσιν, εἰ μὴ οἱ μελετῶντες· οὗτοι δ' [r]οὐχὶ θεωροῦσιν ἀλλ' ἢ ὠδὶ [s]ἢ ὅτι οὐθὲν δέονται θεωρεῖν.
11 Ἔτι ἡ ὕλη ἐστὶ δυνάμει, ὅτι ἐλθοι ἂν εἰς τὸ εἶδος· ὅταν δέ [t]γ' ἐνεργείᾳ ᾖ, τότε ἐν τῷ εἴδει ἐστίν. [f]Ὁμοίως δὲ καὶ ἐπὶ

[g] τῷ χρόνῳ πρότερα E.T. [h] τὸ om. A[b]. [i] ὑπὸ ἐνεργείας ὄντος E, om. A[b]. [k] ἐνέργεια T. [l] πᾶν A[b]. [m] καὶ—τι om. T. [n] τὰ τῇ] ταύτη T. [o] τὸ οὗ] ὅτου A[b]. [p] τὰ ζῶα ὁρῶσιν T. [q] θεωρητικὴν om. A[b]. [r] οὐχ ἢ θεωροῦσιν ἀλλ' ἢ E.T. [s] ἢ post ὠδὶ om. A[b]. [t] γ' om. E.T.

τῶν ἄλλων καὶ ὧν κίνησις τὸ τέλος. [v]Διὸ ὥσπερ οἱ διδά- 11
σκοντες ἐνεργοῦντα ἐπιδείξαντες οἴονται τὸ τέλος ἀποδεδω-
κέναι, καὶ ἡ φύσις ὁμοίως. Εἰ γὰρ μὴ οὕτω γίγνεται, ὁ
[w]Παύσωνος [x]ἔσται [t]Ἑρμῆς· ἄδηλος γὰρ [y]καὶ ἡ ἐπιστήμη
εἰ ἔσω ἢ ἔξω, ὥσπερ κἀκεῖνος· τὸ γὰρ ἔργον τέλος, ἡ δὲ
ἐνέργεια τὸ ἔργον. Διὸ καὶ τοὔνομα [z]ἐνέργεια λέγεται κατὰ
τὸ ἔργον, καὶ συντείνει πρὸς τὴν ἐντελέχειαν. [t]Ἐπεὶ δ' ἐστὶ 12
τῶν μὲν [a]ἔσχατον ἡ χρῆσις, οἷον ὄψεως [b]ἡ [c]ὅρασις, καὶ
οὐθὲν γίγνεται παρὰ ταύτην ἕτερον ἀπὸ τῆς ὄψεως [d]ἔργον,
[e]ἀπ' ἐνίων δὲ γίγνεταί τι, οἷον ἀπὸ τῆς οἰκοδομικῆς οἰκία
παρὰ τὴν οἰκοδόμησιν, ὅμως οὐθὲν ἧττον ἔνθα μὲν τέλος ἔνθα
δὲ μᾶλλον τέλος τῆς δυνάμεώς ἐστιν. [t]Ἡ γὰρ οἰκοδόμησις
ἐν τῷ οἰκοδομουμένῳ, καὶ ἅμα γίγνεται καὶ ἔστι τῇ οἰκίᾳ.
[v]Ὅσων μὲν οὖν ἕτερόν τί ἐστι παρὰ τὴν χρῆσιν τὸ γιγνόμε- 13
νον, τούτων μὲν ἡ ἐνέργεια ἐν τῷ ποιουμένῳ ἐστίν, οἷον ἥ τε
οἰκοδόμησις ἐν τῷ οἰκοδομουμένῳ καὶ ἡ ὕφανσις ἐν τῷ ὑφαι-
νομένῳ, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ ὅλως ἡ κίνησις ἐν
τῷ κινουμένῳ· ὅσων δὲ μή ἐστιν ἄλλο τι ἔργον παρὰ τὴν
ἐνέργειαν, ἐν αὐτοῖς ὑπάρχει [f]ἡ ἐνέργεια, οἷον ἡ ὅρασις ἐν
τῷ ὁρῶντι καὶ ἡ θεωρία ἐν τῷ θεωροῦντι καὶ ἡ ζωὴ ἐν τῇ
ψυχῇ. Διὸ καὶ ἡ εὐδαιμονία· ζωὴ γὰρ ποιά τις ἐστίν. 14
[v]Ὥστε φανερὸν ὅτι ἡ οὐσία καὶ τὸ εἶδος [g]ἐνέργειά ἐστιν.
Κατά τε δὴ τοῦτον τὸν λόγον φανερὸν ὅτι πρότερον τῇ
οὐσίᾳ ἐνέργεια δυνάμεως· καὶ ὥσπερ εἴπομεν, τοῦ χρόνου
ἀεὶ προλαμβάνει ἐνέργεια ἑτέρα πρὸ ἑτέρας ἕως τῆς [h]τοῦ
ἀεὶ κινοῦντος πρώτως. [t]Ἀλλὰ μὴν καὶ κυριωτέρως· τὰ μὲν 15
γὰρ ἀΐδια πρότερα τῇ οὐσίᾳ τῶν φθαρτῶν, ἔστι δ' οὐθὲν
δυνάμει ἀΐδιον. Λόγος δὲ ὅδε. Πᾶσα δύναμις ἅμα τῆς
ἀντιφάσεώς ἐστιν· τὸ μὲν γὰρ μὴ δυνατὸν ὑπάρχειν οὐκ
ἂν [i]ὑπάρξειεν οὐθενί, τὸ δυνατὸν δὲ πᾶν ἐνδέχεται μὴ ἐνερ-

v διὸ—τέλος om. E. w πάσωνος F[b], πάσσωνος T.A[b]. x ἑρμῆς ἔσται E, ἑρμήσεται T. y καὶ om. A[b]. z λέγεται ἐνέργεια A[b]. a ἐσχάτων A[b]. b ἡ post ὄψεως om. E.T. c ὅρασιν T. d ἔργον om. A[b]. e ἐπ' E. f ἡ δ' ἐνέργεια A[b]. g ἐνέργειά τις ἐστι T. h τοῦ] τῷ χρόνῳ T. i ὑπάρξῃ ἐν A[b].

16 γεῖν. [k]Τὸ ἄρα δυνατὸν εἶναι ἐνδέχεται [l]καὶ εἶναι καὶ μὴ εἶναι· [m]τὸ αὐτὸ ἄρα δυνατὸν καὶ εἶναι καὶ μὴ εἶναι. Τὸ δὲ δυνατὸν μὴ εἶναι ἐνδέχεται μὴ εἶναι· τὸ δ' ἐνδεχόμενον μὴ εἶναι φθαρτόν, ἢ ἁπλῶς, ἢ τοῦτο αὐτὸ ὃ λέγεται ἐνδέχεσθαι μὴ εἶναι, ἢ κατὰ τόπον ἢ [n]κατὰ ποσὸν [o]ἢ ποιόν·
17 ἁπλῶς δὲ τὸ κατ' οὐσίαν. Οὐθὲν ἄρα τῶν [p]ἀφθάρτων ἁπλῶς δυνάμει ἐστὶν [q]ὂν ἁπλῶς· [r]κατά τι δ' οὐθὲν κωλύει, οἷον ποιὸν ἢ ποῦ· ἐνεργείᾳ ἄρα [s]πάντα. Οὐδὲ τῶν ἐξ ἀνάγκης ὄντων, καίτοι ταῦτα πρῶτα· εἰ γὰρ [t]ταῦτα μὴ ἦν, οὐθὲν ἂν ἦν. Οὐδὲ δὴ κίνησις, εἴ τίς ἐστιν ἀΐδιος. Οὐδ' εἴ τι κινούμενον ἀΐδιον, οὐκ ἔστι κατὰ δύναμιν κινούμενον ἀλλ' [v]ἢ πόθεν ποῖ·
18 [w]τούτου δ' ὕλην οὐθὲν κωλύει ὑπάρχειν. Διὸ ἀεὶ ἐνεργεῖ ἥλιος καὶ ἄστρα καὶ [x]ὅλος ὁ οὐρανός, καὶ οὐ φοβερὸν μή ποτε στῇ, ὃ φοβοῦνται οἱ περὶ φύσεως. Οὐδὲ κάμνει τοῦτο δρῶντα· οὐ γὰρ [y]περὶ τὴν δύναμιν τῆς ἀντιφάσεως αὐτοῖς, οἷον τοῖς φθαρτοῖς, ἡ κίνησις, ὥστε ἐπίπονον εἶναι τὴν συνέχειαν τῆς κινήσεως· ἡ γὰρ οὐσία ὕλη καὶ [z]δύναμις [a]οὖσα,
19 [b]οὐκ [c]ἐνέργεια, [d]αἰτία τούτου. Μιμεῖται δὲ τὰ [e]ἄφθαρτα καὶ τὰ ἐν μεταβολῇ ὄντα, οἷον γῆ καὶ πῦρ. Καὶ γὰρ ταῦτα ἀεὶ ἐνεργεῖ· καθ' [f]αὐτὰ γὰρ καὶ ἐν αὐτοῖς ἔχει τὴν κίνησιν. Αἱ δ' ἄλλαι δυνάμεις, ἐξ ὧν διώρισται, πᾶσαι τῆς ἀντιφάσεώς εἰσιν· τὸ γὰρ δυνάμενον ὠδὶ κινεῖν δύναται καὶ μὴ ὠδί,
20 ὅσα γε κατὰ λόγον. [g]Αἱ δ' ἄλογοι τῷ παρεῖναι καὶ μὴ τῆς ἀντιφάσεως ἔσονται [h]αἱ αὐταί. Εἰ ἄρα τινές εἰσι φύσεις τοιαῦται ἢ οὐσίαι οἵας λέγουσιν [i]οἱ ἐν τοῖς λόγοις τὰς ἰδέας, πολὺ μᾶλλον ἐπιστῆμον ἄν τι εἴη ἢ αὐτὸ ἐπιστήμη καὶ κινούμενον ἢ [k]κίνησις· ταῦτα γὰρ ἐνέργειαι μᾶλλον, ἐκεῖναι δὲ δυνάμεις τούτων. [v]Ὅτι μὲν οὖν πρότερον ἡ ἐνέρ-

[k] τὸ ἄρα] ἐν παρὰ T. [l] καὶ ante εἶναι om. A[b]. [m] τὸ αὐτὸ] τοῦτο T. [n] κατὰ τὸ ποσὸν A[b]. [o] ἢ κατὰ τὸ ποιόν T. [p] φθαρτῶν E.T. [q] ὂν om. A[b]. [r] κατά om. E.T. [s] πάντα] ταῦτα A[b]. [t] ταῦτα μὴ] αὐτὰ μὴ A[b].F[b]. [v] ἡ A[b]. [w] τοῦτο A[b]. [x] ὅλως T. [y] περὶ] ὑπὲρ E, κατὰ T, εἶναι γρ. E. [z] δυνάμει E. [a] οὖσα om. E.T. [b] οὐδ' F[b]. [c] ἐνεργεία E.T. [d] αἰτιατοῦ μιμεῖται T. [e] φθαρτὰ A[b].F[b]. [f] αὐτὸ E.T. [g] αἱ] ὅσαι E. [h] αὗται A[b]. [i] οἱ om. A[b]. [k] κινήσεις T.

γεια [l]καὶ δυνάμεως καὶ πάσης ἀρχῆς μεταβλητικῆς, φανερόν.

9 [v]Ὅτι δὲ [m]καὶ βελτίων καὶ τιμιωτέρα τῆς σπουδαίας δυνάμεως ἡ ἐνέργεια, ἐκ τῶνδε δῆλον. [v]Ὅσα γὰρ κατὰ τὸ δύνασθαι λέγεται, ταὐτόν ἐστι δυνατὸν τἀναντία, οἷον τὸ [n]δύνασθαι λεγόμενον ὑγιαίνειν ταὐτόν ἐστι καὶ τὸ νοσοῦν, [o]καὶ ἅμα· ἡ αὐτὴ γὰρ δύναμις τοῦ ὑγιαίνειν καὶ κάμνειν, καὶ ἠρεμεῖν καὶ κινεῖσθαι, καὶ οἰκοδομεῖν καὶ καταβάλλειν, καὶ οἰκοδομεῖσθαι καὶ καταπίπτειν. Τὸ μὲν οὖν δύνασθαι τἀναντία 2
[p]ἅμα ὑπάρχει, τὰ δ' ἐναντία [q]ἅμα ἀδύνατον. Καὶ τὰς ἐνεργείας δὲ ἅμα ἀδύνατον ὑπάρχειν, οἷον ὑγιαίνειν καὶ κάμνειν. [v]Ὥστ' ἀνάγκη τούτων θάτερον εἶναι τἀγαθόν. Τὸ δὲ δύνασθαι ὁμοίως ἀμφότερον ἢ οὐδέτερον· ἡ ἄρα ἐνέργεια [r]βελτίων. [t]Ἀνάγκη δὲ καὶ ἐπὶ τῶν κακῶν τὸ τέλος καὶ τὴν ἐνέρ- 3
γειαν εἶναι χεῖρον τῆς δυνάμεως· τὸ γὰρ δυνάμενον ταὐτὸ ἅμφω τἀναντία. Δῆλον ἄρα ὅτι οὐκ ἔστι [s]τὸ κακὸν παρὰ τὰ πράγματα· ὕστερον γὰρ τῇ φύσει τὸ κακὸν τῆς δυνάμεως. Οὐκ ἄρα οὐδ' ἐν τοῖς ἐξ ἀρχῆς καὶ τοῖς ἀϊδίοις οὐθέν ἐστιν· οὔτε κακὸν οὔτε ἁμάρτημα οὔτε διεφθαρμένον· καὶ γὰρ ἡ διαφθορὰ τῶν κακῶν [t]ἐστίν. Εὑρίσκεται [v]δὲ καὶ τὰ διά- 4
γράμματα ἐνεργείᾳ· διαιροῦντες γὰρ εὑρίσκουσιν. Εἰ [w]δ' ἦν διηρημένα, φανερὰ ἂν ἦν· νῦν δ' ἐνυπάρχει δυνάμει. Διὰ τί δύο ὀρθαὶ [x]τὸ τρίγωνον; [v]Ὅτι αἱ περὶ [y]μίαν στιγμὴν γωνίαι ἴσαι δύο ὀρθαῖς. Εἰ οὖν [z]ἀνῆκτο ἡ παρὰ τὴν πλευράν, ἰδόντι ἂν ἦν εὐθὺς δῆλον. Διὰ τί ἐν ἡμικυκλίῳ ὀρθὴ 5
καθόλου; [a]Διότι ἐὰν ἴσαι τρεῖς, ἥ τε βάσις δύο καὶ ἡ ἐκ μέσου ἐπισταθεῖσα ὀρθή, ἰδόντι δῆλον τῷ ἐκεῖνο εἰδότι. [v]Ὥστε φανερὸν ὅτι τὰ δυνάμει ὄντα εἰς ἐνέργειαν ἀναγόμενα εὑρίσκεται. Αἴτιον δ' ὅτι νόησις ἡ ἐνέργεια. [v]Ὥστ' ἐξ ἐνερ-

[l] καὶ ante δυνάμεως om. F[b]. [m] καὶ post δὲ om. A[b].F[b]. [n] δύνασθαι τὸ λεγόμενον A[b]. [o] καὶ ante ἅμα om. T. [p] ἅμα ὑπάρχειν T, ὑπάρχει ἅμα A[b]. [q] ἅμα ἀδύνατον—ἅμα om. E.T. [r] βέλτιον E.T. [s] τὸ] τι τὸ E.T. [t] ἐστίν om. E. [v] δὲ] γὰρ F[b]. [w] δ' ἦν] δ' ἦ A[b]. [x] τὸ om. F[b]. [y] μίαν τὴν στιγμὴν T. [z] ἀνῆκτο ἡ] ἀνάγκη τὸ T. [a] διατί E.

γείας ἡ δύναμις· καὶ διὰ τοῦτο ποιοῦντες γιγνώσκουσιν· ὕστερον γὰρ γενέσει ἡ ἐνέργεια ἡ κατ' ἀριθμόν.

10 [b]Ἐπεὶ δὲ τὸ ὂν [c]λέγεται καὶ τὸ μὴ ὄν [d]τὸ μὲν κατὰ τὰ σχήματα τῶν κατηγοριῶν, [e]τὸ δὲ κατὰ δύναμιν ἢ ἐνέργειαν τούτων ἢ τἀναντία, τὸ δὲ [f]κυριώτατα [g]ὂν ἀληθὲς ἢ ψεῦδος, τοῦτο [h]δ' ἐπὶ τῶν πραγμάτων ἐστὶ [i]τῷ συγκεῖσθαι ἢ [k]διῃρῆσθαι, [l]ὥστε [m]ἀληθεύει μὲν ὁ τὸ διῃρημένον οἰόμενος [n]διαιρεῖσθαι καὶ τὸ συγκείμενον συγκεῖσθαι, ἔψευσται δὲ ὁ ἐναντίως ἔχων [o]ἢ τὰ πράγματα, πότ' ἐστὶν ἢ οὐκ ἔστι [p]τὸ ἀληθὲς λεγόμενον ἢ ψεῦδος; Τοῦτο γὰρ σκεπτέον τί λέ-
2 γομεν. Οὐ γὰρ διὰ τὸ ἡμᾶς οἴεσθαι ἀληθῶς [q]σε λευκὸν εἶναι [r]εἶ σὺ λευκός, ἀλλὰ διὰ τὸ σὲ εἶναι λευκὸν ἡμεῖς οἱ φάντες τοῦτο ἀληθεύομεν. Εἰ δὴ τὰ μὲν ἀεὶ σύγκειται καὶ ἀδύνατα διαιρεθῆναι, τὰ δ' [s]ἀεὶ διῄρηται καὶ ἀδύνατα [t]συντεθῆναι, τὰ δ' ἐνδέχεται τἀναντία, τὸ μὲν εἶναί ἐστι [v]τὸ συγκεῖσθαι καὶ ἓν εἶναι, τὸ δὲ μὴ εἶναι τὸ μὴ συγκεῖσθαι ἀλλὰ
3 πλείω εἶναι. Περὶ μὲν οὖν τὰ ἐνδεχόμενα ἡ αὐτὴ γίγνεται ψευδὴς καὶ ἀληθὴς δόξα καὶ ὁ λόγος ὁ αὐτός, καὶ ἐνδέχεται ὁτὲ μὲν ἀληθεύειν ὁτὲ δὲ ψεύδεσθαι· περὶ δὲ τὰ ἀδύνατα ἄλλως ἔχειν οὐ [w]γίγνεται ὁτὲ μὲν ἀληθὲς ὁτὲ δὲ ψεῦδος, ἀλλ'
4 [x]ἀεὶ ταῦτα ἀληθῆ καὶ ψευδῆ. Περὶ δὲ δὴ τὰ ἀσύνθετα τί τὸ εἶναι ἢ μὴ εἶναι καὶ τὸ ἀληθὲς καὶ [y]τὸ ψεῦδος; Οὐ γάρ ἐστι σύνθετον, ὥστε εἶναι μὲν [z]ὅταν [a]συγκέηται, μὴ εἶναι δὲ [b]ἐὰν διῃρημένον ᾖ, ὥσπερ τὸ λευκὸν ξύλον ἢ τὸ ἀσύμμετρον τὴν διάμετρον· οὐδὲ τὸ ἀληθὲς [c]καὶ ψεῦδος ὁμοίως ἔτι ὑπάρ-
5 ξει καὶ [d]ἐπ' ἐκείνων. [A]Ἢ ὥσπερ οὐδὲ τὸ [e]ἀληθὲς ἐπὶ τούτων

b ἐπειδὴ F[b]. c λέγομεν F[b]. d τὸ μὲν] τὰ μὲν A[b].F[b]. e τὸ] τὰ F[b]. f κυριώτατον E. g ὂν] ἢ T, εἰ E. h δ' ἐπὶ] δὴ ἔτι A[b]. i τὸ E.T. k διατηρεῖσθαι T. l ὥστε—διαιρεῖσθαι om. T. m ἀληθεύειν A[b]. n διαιρεῖσθαι] διῃρῆσθαι A[b]. o ἢ ante τὰ om. T. p τὸ] ὡς τὸ E, ὥστε τὸ T. q σε ante ἀληθῶς E, om. T. r εἶ—ἡμεῖς om. A[b]. s ἀεὶ] εἰ T. t συνθεῖναι A[b]. v τὸ ἓν εἶναι καὶ συγκεῖσθαι T. w γίγνεται οὐδὲ ὁτὲ A[b]. x ἀεὶ] εἰὰ T. y τὸ ante ψεῦδος om. T. z ὅταν] ἐὰν A[b]. a σύγκειται E. b ἐὰν μὴ διῃρημένον T. c καὶ ψεῦδος] καὶ τὸ ψεῦδος E, ἢ τὸ ψεῦδος T. d ὑπ' T. e ἀληθὲς ἓν ἐπὶ E.T.

τὸ αὐτό, οὕτως οὐδὲ τὸ εἶναι, ἀλλ' ἔστι τὸ μὲν ἀληθὲς [f]τὸ δὲ ψεῦδος, τὸ μὲν θιγεῖν καὶ φάναι ἀληθές (οὐ γὰρ [g]ταὐτὸ κατάφασις καὶ [h]φάσις), τὸ δ' ἀγνοεῖν μὴ θιγγάνειν· ἀπατηθῆναι γὰρ περὶ τὸ τί ἐστιν οὐκ ἔστιν ἀλλ' ἢ κατὰ συμβεβηκός. [t]Ὁμοίως δὲ καὶ περὶ τὰς [i]μὴ συνθετὰς οὐσίας· οὐ γὰρ 6
ἔστιν ἀπατηθῆναι. Καὶ πᾶσαί εἰσιν [k]ἐνεργείᾳ, [l]οὐ δυνάμει· ἐγίγνοντο [m]γὰρ ἂν καὶ ἐφθείροντο· νῦν δὲ τὸ ὂν αὐτὸ οὐ γίγνεται οὐδὲ φθείρεται· ἔκ τινος γὰρ ἂν ἐγίγνετο. [u]Ὅσα δή ἐστιν ὅπερ εἶναί τι καὶ ἐνεργείᾳ, περὶ ταῦτα οὐκ ἔστιν ἀπατηθῆναι ἀλλ' ἢ νοεῖν ἢ μή. [v]Ἀλλὰ τὸ [n]τί ἐστι ζητεῖται 7
περὶ αὐτῶν, εἰ [o]τοιαῦτά ἐστιν ἢ μή. Τὸ δ' εἶναι ὡς τὸ ἀληθές, καὶ τὸ μὴ εἶναι [p]ὡς τὸ ψεῦδος, ἓν μέν ἐστιν, εἰ σύγκειται, ἀληθές· τὸ δ' εἰ μὴ σύγκειται, ψεῦδος. Τὸ δὲ ἕν, εἴπερ ὄν, οὕτως ἐστίν· εἰ δὲ μὴ οὕτως, οὐκ ἔστιν. Τὸ δὲ 8
ἀληθὲς τὸ νοεῖν [q]αὐτά· τὸ δὲ ψεῦδος οὐκ ἔστιν, οὐδ' ἀπάτη, ἀλλ' ἄγνοια, οὐχ [r]οἷα ἡ τυφλότης· [s]ἡ μὲν γὰρ τυφλότης ἐστὶν ὡς ἂν εἰ τὸ νοητικὸν ὅλως μὴ ἔχοι τις. Φανερὸν δὲ [t]καὶ ὅτι περὶ τῶν ἀκινήτων οὐκ ἔστιν ἀπάτη κατὰ τὸ ποτέ, εἴ τις ὑπολαμβάνει ἀκίνητα. Οἷον τὸ τρίγωνον εἰ μὴ μετα- 9
βάλλειν [v]οἴεται, οὐκ οἰήσεται ποτὲ μὲν δύο ὀρθὰς ἔχειν ποτὲ δ' οὔ (μεταβάλλοι γὰρ ἄν), ἀλλὰ τὶ μὲν τὶ δ' οὔ, οἷον ἄρτιον ἀριθμὸν πρῶτον εἶναι μηθένα, ἢ τινὰς μὲν τινὰς δ' οὔ. [w]Ἀριθμῷ δὲ περὶ ἕνα οὐδὲ τοῦτο· οὐ γὰρ ἔτι τινὰ μὲν τινὰ δ' [x]οὐκ οἰήσεται, ἀλλ' ἀληθεύσει ἢ ψεύσεται ὡς ἀεὶ οὕτως ἔχοντος.

I.

Τὸ ἓν ὅτι μὲν λέγεται [y]πολλαχῶς, ἐν τοῖς περὶ τοῦ ποσαχῶς διῃρημένοις εἴρηται πρότερον· πλεοναχῶς δὲ λεγομένου, οἱ συγκεφαλαιούμενοι τρόποι εἰσὶ [z]τέτταρες τῶν πρώ-

[f] τὸ δὲ] ἢ E.T.Ab. [g] τοῦτο T. [h] ἀπόφασις T. καὶ φάσις om. E. [i] μὴ om. T. [k] ἐνέργειαι Ab. [l] οὐ] ἢ T. [m] γὰρ om. T. [n] τί om. Ab. [o] ἤ τι αὐτά T. [p] ὡς τὸ] τὸ ὡς Ab, τὸ ὡς τὸ T. [q] ταῦτα Ab. [r] οἷον Ab. [s] ἡ μὲν γὰρ τυφλότης om. Ab. [t] ὅτι καὶ Ab. [v] οἴηται Ab, οἴοιτο Fb. [w] οὐκ] οὐ γρ. E. [x] πλεοναχῶς Fb. [y] τέσσαρες E.

των καὶ καθ' [z]αὐτὰ λεγομένων ἕν, ἀλλὰ μὴ κατὰ συμβεβηκός. Τό τε γὰρ συνεχὲς ἢ ἁπλῶς ἢ μάλιστά γε τὸ φύσει καὶ μὴ ἀφῇ μηδὲ δεσμῷ· καὶ τούτων μᾶλλον ἓν καὶ πρότε-
2 ρον, [a]οὗ ἀδιαιρετωτέρα ἡ κίνησις καὶ μᾶλλον ἁπλῆ. Ἔτι τοιοῦτον καὶ μᾶλλον τὸ ὅλον καὶ ἔχον τινὰ μορφὴν καὶ εἶδος· μάλιστα δ' εἴ [b]τι φύσει τοιοῦτον καὶ μὴ βίᾳ, ὥσπερ ὅσα κόλλῃ ἢ γόμφῳ ἢ συνδέσμῳ, ἀλλ' ἔχει [c]ἐν αὐτῷ τὸ αἴτιον
3 αὐτῷ τοῦ συνεχὲς εἶναι. Τοιοῦτον δὲ [d]τῷ μίαν τὴν κίνησιν εἶναι καὶ ἀδιαίρετον τόπῳ καὶ χρόνῳ, ὥστε φανερόν, εἴ τι φύσει κινήσεως ἀρχὴν ἔχει τῆς πρώτης τὴν πρώτην, οἷον λέγω φορᾶς κυκλοφορίαν, ὅτι τοῦτο πρῶτον μέγεθος ἕν. Τὰ μὲν δὴ οὕτως ἓν [e]ἢ [f]συνεχὲς ἢ ὅλον, τὰ δὲ [g]ὧν ἂν [h]ὁ λό-
4 γος εἷς ᾖ. Τοιαῦτα δὲ ὧν ἡ νόησις μία· τοιαῦτα δὲ ὧν ἀδιαίρετος· ἀδιαίρετος [i]δὲ τοῦ ἀδιαιρέτου εἴδει ἢ ἀριθμῷ. Ἀριθμῷ μὲν οὖν τὸ καθ' ἕκαστον ἀδιαίρετον, εἴδει δὲ [k]τὸ [l]τῷ γνωστῷ καὶ τῇ ἐπιστήμῃ, ὥσθ' ἓν ἂν εἴη πρῶτον τὸ ταῖς
5 οὐσίαις αἴτιον τοῦ ἑνός. Λέγεται μὲν οὖν τὸ ἓν τοσαυταχῶς, τό τε συνεχὲς φύσει καὶ τὸ ὅλον, καὶ τὸ καθ' ἕκαστον καὶ τὸ καθ' ὅλου. Πάντα δὲ ταῦτα ἓν [m]τῷ ἀδιαίρετον εἶναι τῶν μὲν τὴν κίνησιν, τῶν δὲ τὴν νόησιν ἢ τὸν λόγον. Δεῖ δὲ κατανοεῖν ὅτι οὐχ ὡσαύτως ληπτέον λέγεσθαι ποιά τε ἓν
6 λέγεται, καὶ τί ἐστι τὸ [n]ἑνὶ εἶναι, καὶ τίς αὐτοῦ λόγος. Λέγεται μὲν γὰρ [o]τὸ ἓν τοσαυταχῶς, καὶ ἕκαστον ἔσται ἓν τούτων, ᾧ ἂν [p]ὑπάρχῃ τις τούτων τῶν τρόπων· τὸ δὲ ἑνὶ εἶναι ὁτὲ [q]μὲν τούτων τινὶ ἔσται, ὁτὲ δὲ ἄλλῳ, ὃ καὶ μᾶλλον ἐγγὺς τῷ ὀνόματί [r]ἐστι, τῇ δυνάμει δ' ἐκεῖνα, ὥσπερ καὶ περὶ στοιχείου καὶ [s]αἰτίου εἰ δέοι λέγειν ἐπί τε τοῖς πράγμασι
7 διορίζοντα καὶ τοῦ [t]ὀνόματος ὅρον ἀποδιδόντα. Ἔστι μὲν γὰρ ὡς στοιχεῖον τὸ πῦρ (ἔστι δ' ἴσως καθ' αὐτὸ καὶ τὸ ἄπειρον ἤ τι ἄλλο τοιοῦτον), ἔστι δ' ὡς οὔ· οὐ γὰρ τὸ αὐτὸ

z αὐτὸ E. a οὗ] ὧν Ab. b τι τῇ φύσει E.T. c ἐν] τι ἐν Ab. d τῷ] τὸ E.T. e ἢ om. E.T. f τὸ συνεχὲς ἢ τὸ Fb. g ὧν om. E.T. h ὁ om. T. i δὲ τἀδιαιρέτου T. k τὸ post δὲ add. E. l τῷ] τὸ T. m τῷ] τὸ T. n ἓν T.Ab. o τὸ om. Ab. p ὑπάρξῃ Fb. q μὲν τὸ τούτων Ab. r ἐστι, τῇ] ἢ Ab. s αἰτίας T. t ὀνόματος τὸν ὅρον T.

πυρὶ καὶ στοιχείῳ εἶναι, ἀλλ' ὡς μὲν [v]πρᾶγμά τι καὶ φύσις τὸ πῦρ στοιχεῖον, τὸ δὲ [w]ὄνομα σημαίνει [x]τὸ τοδὶ συμβεβηκέναι αὐτῷ, ὅτι ἐστί τι ἐκ τούτου ὡς πρώτου ἐνυπάρχοντος. [y]Οὕτω καὶ ἐπὶ αἰτίου καὶ ἑνὸς [z]καὶ τῶν τοιούτων ἁπάντων. Διὸ καὶ τὸ ἑνὶ [a]εἶναι τὸ ἀδιαιρέτῳ ἐστὶν εἶναι, ὅπερ [b]τῷδε ὄντι [c]καὶ ἀχωρίστῳ ἢ τόπῳ ἢ εἴδει ἢ διανοίᾳ, ἢ [d]καὶ τῷ ὅλῳ καὶ [e]ἀδιαιρέτῳ. Μάλιστα δὲ [f]τὸ μέτρον εἶναι πρῶτον ἑκάστου γένους καὶ κυριώτατα τοῦ ποσοῦ· ἐντεῦθεν [g]γὰρ ἐπὶ τὰ ἄλλα ἐλήλυθεν. Μέτρον γάρ ἐστιν ᾧ τὸ ποσὸν 9
γιγνώσκεται· γιγνώσκεται δ' ἢ ἑνὶ ἢ ἀριθμῷ τὸ ποσὸν ᾗ ποσόν, ὁ δ' ἀριθμὸς ἅπας ἑνί. [v]Ὥστε πᾶν τὸ ποσὸν γιγνώσκεται ᾗ ποσὸν τῷ ἑνί, καὶ ᾧ πρώτῳ [h]ποσὰ γιγνώσκεται, τοῦτο αὐτὸ ἕν· διὸ τὸ ἓν ἀριθμοῦ ἀρχὴ ᾗ ἀριθμός. [i]Ἐντεῦθεν 10
δὲ καὶ ἐν τοῖς ἄλλοις λέγεται μέτρον [i]ᾧ πρώτῳ τε ἕκαστον γιγνώσκεται, καὶ τὸ μέτρον ἑκάστου ἓν ἐν μήκει, ἐν πλάτει, ἐν βάθει, ἐν βάρει, ἐν τάχει. Τὸ γὰρ βάρος καὶ τάχος κοι- 11
νὸν ἐν τοῖς ἐναντίοις· διττὸν γὰρ ἑκάτερον αὐτῶν, οἷον βάρος τό τε [k]ὁποσηνοῦν ἔχον ῥοπὴν καὶ τὸ ἔχον ὑπεροχὴν ῥοπῆς, [l]καὶ τάχος τό τε [m]ὁποσηνοῦν κίνησιν ἔχον καὶ τὸ ὑπεροχὴν κινήσεως· ἔστι γάρ [n]τι τάχος καὶ τοῦ βραδέος καὶ [o]βάρος τοῦ κουφοτέρου. [i]Ἐν πᾶσι [p]δὴ τούτοις μέτρον καὶ ἀρχὴ ἕν 12
τι καὶ ἀδιαίρετον, ἐπεὶ καὶ ἐν ταῖς γραμμαῖς χρῶνται ὡς ἀτόμῳ τῇ ποδιαίᾳ. Πανταχοῦ γὰρ τὸ μέτρον ἕν τι ζητοῦσι καὶ ἀδιαίρετον· τοῦτο δὲ τὸ ἁπλοῦν ἢ τῷ ποιῷ ἢ τῷ ποσῷ. [v]Ὅπου μὲν οὖν δοκεῖ μὴ εἶναι ἀφελεῖν ἢ [q]προσθεῖναι, τοῦτο 13
ἀκριβὲς [r]τὸ μέτρον· διὸ [s]τὸ [t]τοῦ [v]ἀριθμοῦ ἀκριβέστατον· τὴν γὰρ μονάδα τιθέασι πάντῃ ἀδιαίρετον· ἐν δὲ τοῖς ἄλλοις

[v] πράγματι καὶ φύσει E.T. [w] ὄνομα ὅλον σημαίνει E, ὄνομα συμβαίνει T. [x] τῷ T. [y] οὕτως post αἰτίου T. [z] καὶ post ἑνὸς om. T. [a] εἶναι τὸ] εἶναι τῷ T. [b] τόδε E.T. [c] καὶ ἰδία χωριστῷ A^b. [d] καὶ post ἢ add. E.T. [e] ἀδιαιρέτῳ $A^b.F^b$: vulgo διωρισμένῳ. [f] τῷ E.T.A^b. [g] γὰρ] γὰρ καὶ E.T. [h] ποσὰ add. $A^b.F^b$. [i] τε ᾧ ἕκαστον πρώτῳ A^b. [k] ὁποστηνοῦν T, ὁσηνοῦν A^b. [l] καὶ τάχος] καὶ τὸ τάχος A^b. [m] ὁποστηνοῦν T, ὁπηλικηνοῦν F^b. [n] τι om. A^b. [o] βαρέος T. [p] δὲ E.T. [q] προστιθέναι T. [r] τι T. [s] τὸ om. E. [t] τοὺς E, om. T. [v] ἀριθμοὺς E.

μιμοῦνται τὸ τοιοῦτον· ἀπὸ γὰρ [w]σταδίου καὶ ταλάντου καὶ ἀεὶ τοῦ μείζονος λάθοι ἂν καὶ [x]προστεθέν τι καὶ ἀφαιρεθὲν
14 μᾶλλον ἢ [y]ἀπὸ ἐλάττονος. [v]Ὥστε ἀφ' οὗ πρώτου κατὰ τὴν αἴσθησιν μὴ ἐνδέχεται, τοῦτο πάντες ποιοῦνται μέτρον καὶ ὑγρῶν καὶ ξηρῶν καὶ βάρους καὶ μεγέθους· καὶ [z]τότ' οἴονται εἰδέναι τὸ ποσόν, ὅταν [a]εἰδῶσι διὰ τούτου τοῦ μέτρου. Καὶ δὴ καὶ κίνησιν τῇ ἁπλῇ κινήσει καὶ τῇ ταχίστῃ· [b]ὀλίγιστον
15 γὰρ αὕτη ἔχει χρόνον. Διὸ ἐν τῇ ἀστρολογίᾳ τὸ [c]τοιοῦτον ἓν ἀρχὴ καὶ μέτρον· τὴν κίνησιν γὰρ ὁμαλὴν ὑποτίθενται καὶ ταχίστην τὴν τοῦ οὐρανοῦ, πρὸς ἣν κρίνουσι τὰς ἄλλας. Καὶ ἐν μουσικῇ δίεσις, ὅτι ἐλάχιστον, καὶ ἐν φωνῇ στοιχεῖον. Καὶ [d]ταῦτα πάντα ἕν τι οὕτως, οὐχ ὡς κοινόν τι τὸ ἕν, ἀλλ'
16 ὥσπερ εἴρηται. Οὐκ ἀεὶ δὲ τῷ ἀριθμῷ ἓν τὸ μέτρον, ἀλλ' ἐνίοτε πλείω, οἷον [e]αἱ διέσεις [f]δύο, αἱ μὴ κατὰ τὴν ἀκοὴν ἀλλ' ἐν τοῖς λόγοις, καὶ [g]αἱ φωναὶ πλείους αἷς μετροῦμεν, καὶ ἡ διάμετρος δυσὶ μετρεῖται καὶ ἡ πλευρὰ [h]καὶ τὰ μεγέθη πάντα. Οὕτω δὴ πάντων μέτρον τὸ ἕν, [i]ὅτι γνωρίζομεν ἐξ ὧν ἐστὶν ἡ οὐσία διαιροῦντες ἢ κατὰ τὸ ποσὸν ἢ κατὰ τὸ
17 εἶδος. Διὰ τοῦτο τὸ ἓν ἀδιαίρετον, ὅτι τὸ πρῶτον [k]ἑκάστων ἀδιαίρετον. Οὐχ ὁμοίως δὲ πᾶν ἀδιαίρετον, οἷον ποὺς καὶ μονάς, ἀλλὰ τὸ μὲν [l]πάντῃ, τὸ δ' εἰς ἀδιαίρετα πρὸς τὴν αἴσθησιν ἐθέλει, ὥσπερ εἴρηται ἤδη· ἴσως γὰρ πᾶν συνεχὲς
18 διαιρετόν. [t]Ἀεὶ δὲ συγγενὲς τὸ μέτρον· μεγεθῶν μὲν γὰρ μέγεθος, καὶ καθ' ἕκαστον μήκους μῆκος, πλάτους πλάτος, [m]φωνῶν φωνή, βάρους βάρος, μονάδων μονάς. Οὕτω γὰρ δεῖ λαμβάνειν, ἀλλ' οὐχ ὅτι ἀριθμῶν ἀριθμός· καίτοι ἔδει, εἰ ὁμοίως· ἀλλ' οὐχ ὁμοίως ἀξιοῖ, ἀλλ' ὥσπερ εἰ μονάδων μονάδας ἀξιώσειε μέτρον ἀλλὰ μὴ μονάδα· ὁ δ' ἀριθμὸς πλῆθος
19 μονάδων. Καὶ τὴν ἐπιστήμην δὲ μέτρον τῶν πραγμάτων λέγομεν καὶ τὴν αἴσθησιν διὰ τὸ αὐτό, ὅτι γνωρίζομέν τι

w στασίου T. x προστιθέν T. y ἀπὸ τοῦ ἐλάττονος T. z τότ'] τὸ τοιόνδε A^b. a ἴδωσι T.A^b. b ὀλιγοστὸν A^b. c τοιοῦτο μὲν A^b. d πάντα ταῦτα T. e ἡ δίεσις F^b. f δύο αἱ om. T. g αἱ om. A^b. h καὶ τὰ—οὕτω] μεγέθη τινὰ ὄντα δῆλον A^b. i ὅτι] εἰ T. k ἑκάστω T. l πάντως E, πάντη πάντως A^b. m φωνῶν] φωνῆς E.T.

αὐτοῖς, [n] ἐπεὶ μετροῦνται μᾶλλον ἢ μετροῦσιν. [1] Ἀλλὰ συμβαίνει ἡμῖν ὥσπερ ἂν εἰ ἄλλου ἡμᾶς μετροῦντος ἐγνωρίσαμεν πηλίκοι ἐσμὲν τῷ τὸν πῆχυν ἐπὶ τοσοῦτον [o] ἡμῖν ἐπιβάλλειν. Πρωταγόρας δ' ἄνθρωπόν φησι πάντων εἶναι μέτρον, ὥσπερ 20
ἂν εἰ τὸν ἐπιστήμονα εἰπὼν ἢ τὸν αἰσθανόμενον· τούτους δ' ὅτι [p] ἔχουσιν ὁ μὲν αἴσθησιν ὁ δὲ ἐπιστήμην, [q] ἃ φαμεν εἶναι μέτρα τῶν ὑποκειμένων. Οὐθὲν δὴ [r] λέγων περιττὸν φαί- ___
νεταί [s] τι λέγειν. [v] Ὅτι μὲν οὖν τὸ [t] ἓν εἶναι μάλιστά ἐστι 21
κατὰ τὸ ὄνομα [v] ἀφορίζοντι μέτρον τι, καὶ κυριώτατα τοῦ ποσοῦ, εἶτα τοῦ ποιοῦ, φανερόν. [1] Ἔσται δὲ τοιοῦτον τὸ μὲν ἂν ᾖ ἀδιαίρετον κατὰ τὸ ποσόν, τὸ δὲ ἂν κατὰ τὸ ποιόν· διόπερ ἀδιαίρετον τὸ ἓν ἢ ἁπλῶς ἢ ᾗ ἕν.

Κατὰ δὲ τὴν οὐσίαν καὶ τὴν φύσιν ζητητέον ποτέρως 2
[w] ἔχει, καθάπερ ἐν τοῖς διαπορήμασιν ἐπήλθομεν, τί τὸ ἕν ἐστι καὶ πῶς δεῖ [x] περὶ αὐτοῦ λαβεῖν, πότερον ὡς οὐσίας τινὸς οὔσης αὐτοῦ τοῦ ἑνός, καθάπερ οἵ τε Πυθαγόρειοί φασι πρότερον καὶ Πλάτων ὕστερον, ἢ μᾶλλον ὑπόκειταί τις φύσις, [y] καὶ πῶς δεῖ γνωριμωτέρως λεχθῆναι καὶ μᾶλλον ὥσπερ οἱ περὶ φύσεως· ἐκείνων γὰρ ὁ μέν τις φιλίαν εἶναί [z] φησι τὸ ἕν, ὁ δ' ἀέρα, ὁ δὲ τὸ ἄπειρον. Εἰ δὲ μηθὲν τῶν καθόλου 2
δυνατὸν οὐσίαν εἶναι, καθάπερ ἐν τοῖς περὶ οὐσίας καὶ [a] περὶ τοῦ ὄντος εἴρηται λόγοις, οὐδ' αὐτὸ τοῦτο [b] οὐσίαν ὡς ἕν τι παρὰ τὰ πολλὰ δυνατὸν εἶναι (κοινὸν γάρ) ἀλλ' ἢ κατηγόρημα μόνον, δῆλον ὡς οὐδὲ τὸ ἕν· [c] τὸ γὰρ ὂν καὶ τὸ ἓν καθόλου κατηγορεῖται μάλιστα πάντων. [v] Ὥστε οὔτε τὰ γένη 3
[d] φύσεις τινὲς καὶ οὐσίαι χωρισταὶ τῶν ἄλλων εἰσίν, οὔτε τὸ ἓν γένος ἐνδέχεται εἶναι διὰ τὰς αὐτὰς αἰτίας δι' ἄσπερ οὐδὲ τὸ ὂν οὐδὲ τὴν οὐσίαν. [1] Ἔτι δ' ὁμοίως ἐπὶ πάντων ἀναγ-
καῖον ἔχειν. Λέγεται δ' ἰσαχῶς [e] τὸ ὂν καὶ τὸ ἕν· ὥστ' 4

n ἐπεὶ] εἴτε T. o ἡμῶν E. p ἴσχουσιν Ab. q ἃ om. Ab. r λέγοντες περιττὸν φαίνονται T.Ab. s τι om. T. t ἑνὶ E.T. v ἀφορίζοντι] ὃ ἀφορίζουσι E.T. w ἔχειν T. x περὶ τοῦ αὐτοῦ T. y γρ. καὶ προσδεῖ γνωριμωτέρως, ἤτοι ἐλλείπει ἐνδέχεται. z τὸ ἕν φησιν Ab. a περὶ post καὶ om. T. b οὐσία Ab. c τὸ γὰρ ὂν καὶ τὸ ἓν om. T. d φύσει Ab. e τὸ ἓν καὶ τὸ ὄν T.

ἐπείπερ ἐν τοῖς ποιοῖς ἐστί τι τὸ ἓν καί τις φύσις, ὁμοίως δὲ καὶ ἐν τοῖς ποσοῖς, δῆλον ὅτι καὶ ὅλως ζητητέον τί τὸ ἕν, ὥσπερ καὶ τί τὸ ὄν, ὡς οὐχ ἱκανὸν ὅτι τοῦτο αὐτὸ ἡ φύσις
5 αὐτοῦ. [d]Ἀλλὰ μὴν ἕν γε χρώμασίν ἐστι [f]τὸ ἓν [g]χρῶμα, οἷον τὸ λευκόν, [h]εἰ τὰ ἄλλα ἐκ τούτου καὶ τοῦ μέλανος φαίνεται γιγνόμενα, τὸ δὲ μέλαν στέρησις λευκοῦ, ὥσπερ καὶ φωτὸς σκότος· τοῦτο δ' ἐστὶ στέρησις φωτός. [v]Ὥστ' εἰ τὰ
6 ὄντα ἦν χρώματα, ἦν ἂν ἀριθμός τις τὰ ὄντα. [d]Ἀλλὰ τίνων; [i]Δῆλον δὴ ὅτι χρωμάτων. Καὶ τὸ ἓν ἦν ἄν τι ἕν, οἷον τὸ λευκόν. [t]Ὁμοίως δὲ καὶ εἰ μέλη τὰ ὄντα ἦν, ἀριθμὸς ἂν ἦν, [k]διέσεων μέντοι, ἀλλ' οὐκ ἀριθμὸς ἡ οὐσία αὐτῶν· καὶ τὸ ἓν ἦν ἄν τι οὗ ἡ οὐσία οὐ τὸ ἓν ἀλλὰ δίεσις. [t]Ὁμοίως δὲ καὶ
ἐπὶ τῶν φθόγγων στοιχείων [l]ἂν ἦν τὰ ὄντα ἀριθμός, καὶ τὸ
7 ἓν στοιχεῖον φωνῆεν. Καὶ εἰ σχήματα εὐθύγραμμα, σχημάτων ἂν ἦν ἀριθμός, καὶ τὸ ἓν τὸ τρίγωνον. [t]Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων γενῶν. [v]Ὥστ' εἴπερ καὶ ἐν τοῖς πάθεσι καὶ ἐν τοῖς ποιοῖς καὶ [m]ἐν τοῖς ποσοῖς καὶ ἐν κινήσει ἀριθμῶν ὄντων καὶ ἑνός τινος ἐν ἅπασιν ὅ τε ἀριθμὸς τινῶν καὶ τὸ [n]ἕν τι ἕν, ἀλλ' οὐχὶ τοῦτο [o]αὐτοῦ ἡ οὐσία, καὶ ἐπὶ τῶν οὐσιῶν ἀνάγκη ὡσαύτως ἔχειν· ὁμοίως γὰρ ἔχει ἐπὶ πάν-
8 των. [v]Ὅτι μὲν οὖν τὸ ἓν ἐν [p]παντὶ γένει ἐστί τις φύσις, καὶ οὐθενὸς τοῦτό [q]γ' αὐτὸ ἡ φύσις τὸ ἕν, φανερόν· ἀλλ' ὥσπερ ἐν χρώμασι χρῶμα ἓν ζητητέον αὐτὸ τὸ ἕν, οὕτω καὶ
9 ἐν οὐσίᾳ [r]οὐσίαν μίαν, αὐτό [s]τε τὸ ἕν. [v]Ὅτι δὲ ταὐτὸ σημαίνει πως τὸ ἓν καὶ [t]τὸ ὄν, δῆλον τῷ τε παρακολουθεῖν ἰσαχῶς ταῖς κατηγορίαις καὶ μὴ εἶναι [v]ἐν μηδεμιᾷ, οἷον οὔτ' ἐν τῇ [w]τί ἐστιν οὔτ' ἐν τῇ ποίον, ἀλλ' ὁμοίως ἔχει ὥσπερ τὸ ὄν, καὶ [x]τῷ μὴ προσκατηγορεῖσθαι ἕτερόν τι τὸ εἷς ἄνθρωπος [y]τοῦ ἄνθρωπος, ὥσπερ οὐδὲ τὸ εἶναι παρὰ τὸ τί [z]ἢ ποιὸν
ἢ ποσόν, [a]καὶ τὸ ἑνὶ εἶναι τὸ ἑκάστῳ εἶναι.

[f] τὸ] τι τὸ E. [g] χρῶμα om. F[b]. [h] εἰ] εἶτα T. [i] δηλαδὴ ὅτι T. [k] διέσεως T.A[b]. [l] ἦν ἂν E. [m] ἐν ante τοῖς om. T. [n] τι ἕν] τι ὄν A[b], om. T. [o] αὐτὸ A[b]. [p] ἅπαντι A[b].F[b]. [q] γε τὸ ἡ T. [r] οὐσίαν μίαν] καὶ οὐσία μία margo E. [s] τε om. E. [t] τὸ post καὶ om. E.T. [v] ἓν E.T. [w] τί om. A[b]. [x] τὸ μὴ T, οὐ τῷ F[b]. [y] τοῦ ἄνθρωπος] τοῦ ἀνθρώπου T. [z] ἢ post τί om. A[b]. [a] καὶ om. T.

[a]Ἀντίκειται δὲ τὸ ἓν καὶ [b]τὰ πολλὰ κατὰ πλείους τρό- 3
πους, ὧν ἕνα τὸ ἓν καὶ τὸ πλῆθος ὡς ἀδιαίρετον καὶ διαιρε-
τόν· τὸ μὲν γὰρ ἢ διῃρημένον ἢ διαιρετὸν πλῆθός τι λέγε-
ται, τὸ δὲ ἀδιαίρετον ἢ μὴ διῃρημένον ἕν. [a]Ἐπεὶ [c]οὖν αἱ
ἀντιθέσεις τετραχῶς, καὶ [d]τούτων κατὰ στέρησιν [e]λέγεται
θάτερον, ἐναντία ἂν εἴη, καὶ οὔτε ὡς ἀντίφασις οὔτε ὡς τὰ
πρός τι [f]λεγόμενα. Λέγεται δ' ἐκ τοῦ ἐναντίου καὶ δηλοῦται 2
τὸ ἓν ἐκ τοῦ διαιρετοῦ τὸ ἀδιαίρετον διὰ τὸ μᾶλλον αἰσθητὸν
τὸ πλῆθος εἶναι καὶ τὸ διαιρετὸν ἢ τὸ ἀδιαίρετον, ὥστε τῷ
λόγῳ πρότερον τὸ πλῆθος τοῦ ἀδιαιρέτου διὰ τὴν αἴσθησιν.
[g]Ἔστι δὲ τοῦ μὲν ἑνός, ὥσπερ καὶ ἐν τῇ διαιρέσει [h]τῶν
ἐναντίων διεγράψαμεν, [i]τὸ ταὐτὸ καὶ ὅμοιον καὶ ἴσον, τοῦ
δὲ πλήθους τὸ ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον. Λεγομένου 3
δὲ [k]τοῦ ταὐτοῦ πολλαχῶς, [[l]καὶ] ἕνα μὲν τρόπον κατ' ἀρι-
θμὸν [m]λέγομεν ἐνίοτε αὐτό, [n]τοῦτο δ' ἐὰν καὶ λόγῳ καὶ
ἀριθμῷ ἓν ᾖ, οἷον σὺ σαυτῷ καὶ τῷ εἴδει καὶ τῇ ὕλῃ ἕν. [g]Ἔτι
δ' ἐὰν ὁ λόγος ὁ τῆς πρώτης οὐσίας εἷς ᾖ, οἷον αἱ ἴσαι γραμ-
μαὶ εὐθεῖαι αἱ αὐταί, καὶ [o]τὰ ἴσα καὶ τὰ ἰσογώνια τετρά-
γωνα, καίτοι πλείω· ἀλλ' ἐν τούτοις ἡ ἰσότης ἑνότης. [v]Ὅμοια 4
δὲ ἐὰν μὴ ταὐτὰ ἁπλῶς ὄντα, μηδὲ κατὰ τὴν οὐσίαν ἀδιάφορα
τὴν [p]συγκειμένην, κατὰ τὸ εἶδος ταὐτὰ [q]ᾖ, οἷον τὸ μεῖζον
τετράγωνον τῷ μικρῷ ὅμοιον, καὶ αἱ ἄνισοι εὐθεῖαι· [r]αὗται
γὰρ ὅμοιαι μέν, αἱ αὐταὶ [s]δὲ ἁπλῶς οὔ. Τὰ δ' ἐὰν τὸ αὐτὸ
εἶδος ἔχοντα, ἐν οἷς τὸ μᾶλλον καὶ ἧττον ἐγγίγνεται, μήτε
μᾶλλον [t]ᾖ μήτε ἧττον. Τὰ δ' ἐὰν ᾖ τὸ αὐτὸ πάθος καὶ εν 5
[v]τῷ εἴδει, οἷον τὸ λευκὸν σφόδρα καὶ ἧττον, ὅμοιά φασιν
εἶναι ὅτι ἓν τὸ εἶδος αὐτῶν. Τὰ δ' ἐὰν πλείω ἔχῃ ταὐτὰ [w]ἢ
ἕτερα, ἢ ἁπλῶς ἢ τὰ πρόχειρα, οἷον καττίτερος ἀργύρῳ ἢ

[b] τὰ om. $A^b.F^b$. [c] γοῦν T. [d] τούτων] οὔτε A^b. [e] θάτερον λέγε-
ται T. [f] λεγόμενα om. A^b. [g] ἔτι A^b. [h] τῶν ἐναντίων om. F^b. [i] τὸ
ante ταὐτὸ om. T. [k] τοῦ add. $A^b.F^b$. [l] καὶ om. E. [m] λέγομεν] ὃ
λέγομεν E.T. [n] τοῦτο] τὸ E.T. [o] τὰ ἴσα καὶ om. T. [p] ὑποκειμένην
E.T. [q] ᾖ οἷον] ὥσπερ A^b. [r] αὗται μὲν γὰρ ὅμοιαι, ὅμοιαι δὲ αἱ αὐταὶ
ἁπλῶς οὔ T. [s] δὲ om. A^b. [t] ᾖ μήτε] ἢ μήτε A^b. [v] τὸ εἶδος F^b.
[w] ἢ τὰ ἕτερα E.T.

χρυσῷ, [x]χρυσὸς δὲ πυρὶ ἢ ξανθὸν [y]καὶ πυρρόν. [v]Ὥστε δῆλον ὅτι καὶ τὸ ἕτερον καὶ [z]τὸ ἀνόμοιον πολλαχῶς λέγεται. Καὶ τὸ μὲν ἄλλο ἀντικειμένως καὶ τὸ [a]ταὐτό, διὸ [b]πᾶν πρὸς ἅπαν ἢ ταὐτὸ ἢ ἄλλο· τὸ δ' ἐὰν μὴ καὶ ἡ ὕλη καὶ ὁ [c]λόγος εἷς, διὸ σὺ καὶ [d]ὁ πλησίον ἕτερος. Τὸ δὲ τρίτον ὡς τὰ ἐν τοῖς μαθηματικοῖς. Τὸ μὲν οὖν ἕτερον ἢ ταὐτὸ διὰ τοῦτο
7 ἢ πᾶν [e]πρὸς πᾶν λέγεται, ὅσα λέγεται ἓν καὶ ὄν. [f]Οὐδὲ γὰρ ἀντίφασίς ἐστι τοῦ ταὐτοῦ· διὸ οὐ λέγεται ἐπὶ τῶν μὴ ὄντων (τὸ δὲ μὴ ταὐτὸ λέγεται), [g]ἐπὶ δὲ [h]τῶν ὄντων πάντων· ἢ γὰρ ἓν ἢ οὐχ ἓν πεφυκὸς [i]καὶ ὂν [k]καὶ ἕν. Τὸ μὲν οὖν ἕτερον καὶ ταὐτὸν οὕτως ἀντίκειται, διαφορὰ δὲ καὶ ἑτερότης
8 ἄλλο. Τὸ μὲν γὰρ ἕτερον καὶ οὗ ἕτερον οὐκ ἀνάγκη εἶναί τινι ἕτερον· πᾶν γὰρ ἢ ἕτερον ἢ ταὐτὸ ὅ τι ἂν ᾖ ὄν· τὸ δὲ διάφορον τινὸς τινὶ διάφορον, ὥστ' ἀνάγκη ταὐτό τι εἶναι ᾧ
9 διαφέρουσιν. Τοῦτο δὲ τὸ [l]αὐτὸ γένος ἢ εἶδος· πᾶν γὰρ τὸ διαφέρον διαφέρει ἢ γένει ἢ εἴδει, γένει μὲν ὧν μή ἐστι κοινὴ ἡ ὕλη μηδὲ γένεσις εἰς ἄλληλα, οἷον ὅσων ἄλλο σχῆμα τῆς κατηγορίας, εἴδει δὲ ὧν τὸ αὐτὸ γένος. Λέγεται δὲ γένος ὃ ἄμφω ταὐτὸ [m]λέγονται κατὰ τὴν οὐσίαν τὰ διάφορα.
10 [n]Τὰ δ' ἐναντία διάφορα, καὶ ἡ ἐναντίωσις διαφορά τις. [v]Ὅτι δὲ καλῶς τοῦτο ὑποτιθέμεθα, δῆλον ἐκ τῆς ἐπαγωγῆς· πάντα γὰρ διαφέροντά [o]τε φαίνεται, καὶ [o]ταῦτα οὐ μόνον ἕτερα ὄντα, ἀλλὰ τὰ μὲν τὸ γένος ἕτερα, τὰ δ' ἐν τῇ αὐτῇ συστοιχίᾳ τῆς κατηγορίας, ὥστ' ἐν ταὐτῷ γένει καὶ [p]ταὐτὰ τῷ
[q]εἴδει. Διώρισται δ' ἐν ἄλλοις ποῖα τῷ γένει ταὐτὰ ἢ ἕτερα.

4 [r]Ἐπεὶ δὲ διαφέρειν ἐνδέχεται ἀλλήλων τὰ διαφέροντα πλεῖον καὶ ἔλαττον, [r]ἔστι τις καὶ μεγίστη διαφορά, καὶ

[x] χρυσὸς δὲ πυρὶ ἢ] πῦρ ἢ E, om. T. [y] καὶ τὸ πυρρόν E.T. [z] τὸ ante ἀνόμοιον om. T. [a] αὐτό T.F[b]. [b] ἅπαν A[b]. [c] λόγος ἴδιος καὶ τὸ πλησιαίτερον. τὸ A[b]. [d] τὸ πλησίον ἕτερον T.A[b]. [e] πρὸς ἅπαν A[b]. [f] οὐ E.T. [g] ἐπὶ δὲ] ἐπειδὴ T. [h] πάντων τῶν ὄντων A[b]. [i] καὶ ante ὄν add. E. [k] καὶ post ὂν om. T. [l] αὐτὸ] ταυτὸ E.T. [m] λέγεται A[b]. [n] τὰ δ' ἐναντία διάφορα om. T. [o] τε et ταῦτα om. A[b]. [p] ταὐτὰ] ταῦτα T. [q] εἴδει] γένει A[b].F[b]. [r] ἔστι] καὶ ἔστι A[b].

ταύτην λέγω ἐναντίωσιν. [v]Οτι δ' ἡ μεγίστη [s]ἐστὶ διαφορά, δῆλον ἐκ τῆς ἐπαγωγῆς. Τὰ μὲν γὰρ γένει διαφέροντα [t]οὐκ ἔχει ὁδὸν εἰς ἄλληλα, ἀλλ' ἀπέχει πλέον καὶ ἀσύμβλητα· τοῖς δ' εἴδει διαφέρουσιν αἱ γενέσεις ἐκ τῶν ἐναντίων εἰσὶν ὡς ἐσχάτων. Τὸ δὲ τῶν ἐσχάτων διάστημα μέγιστον, ὥστε 2
καὶ τὸ τῶν ἐναντίων. [1]Αλλὰ μὴν τό γε μέγιστον ἐν ἑκάστῳ γένει τέλειον. Μέγιστόν τε γὰρ οὗ μή ἐστιν ὑπερβολή, καὶ τέλειον οὗ μή ἐστιν ἔξω λαβεῖν τι δυνατόν· τέλος γὰρ ἔχει ἡ [v]τελεία διαφορά, ὥσπερ καὶ τἆλλα τῷ τέλος ἔχειν λέγεται τέλεια. Τοῦ δὲ τέλους οὐθὲν ἔξω· ἔσχατον γὰρ ἐν παντὶ 3
καὶ περιέχει. Διὸ οὐθὲν ἔξω τοῦ τέλους, οὐδὲ προσδεῖται οὐθενὸς τὸ τέλειον. [v]Οτι μὲν οὖν ἡ ἐναντιότης ἐστὶ διαφορὰ τέλειος, ἐκ [w]τούτων δῆλον· πολλαχῶς δὲ λεγομένων τῶν ἐναντίων, ἀκολουθήσει [x]τὸ τελείως [y]οὕτως ὡς ἂν καὶ τὸ ἐναντίοις εἶναι [z]ὑπάρχῃ αὐτοῖς. Τούτων δὲ ὄντων φανερὸν 4
ὅτι οὐκ ἐνδέχεται ἑνὶ πλείω ἐναντία εἶναι· οὔτε γὰρ [a]τοῦ ἐσχάτου ἐσχατώτερον εἴη ἄν τι, οὔτε τοῦ ἑνὸς διαστήματος πλείω δυοῖν ἔσχατα. [v]Ολως [b]τε εἰ ἔστιν ἡ ἐναντιότης διαφορά, ἡ δὲ διαφορὰ δυοῖν, ὥστε καὶ [c]ἡ τέλειος. [1]Ανάγκη δὲ καὶ τοὺς ἄλλους ὅρους ἀληθεῖς εἶναι τῶν ἐναντίων. Καὶ 5
γὰρ πλεῖστον διαφέρει ἡ τέλειος διαφορά. Τῶν τε γὰρ γένει διαφερόντων οὐκ ἔστιν ἐξωτέρω λαβεῖν καὶ τῶν εἴδει· δέδεικται γὰρ ὅτι πρὸς τὰ ἔξω τοῦ γένους οὐκ ἔστι διαφορά· τούτων δ' αὕτη μεγίστη, καὶ τὰ ἐν [d]ταὐτῷ γένει πλεῖστον διαφέροντα [e]τἀναντία· μεγίστη γὰρ διαφορὰ τούτων ἡ τέλειος. Καὶ τὰ ἐν ταὐτῷ δεκτικῷ πλεῖστον διαφέροντα 6
[f]ἐναντία· ἡ γὰρ ὕλη ἡ αὐτὴ τοῖς ἐναντίοις. Καὶ τὰ ὑπὸ τὴν αὐτὴν δύναμιν πλεῖστον διαφέροντα· καὶ γὰρ ἡ ἐπιστήμη περὶ ἓν γένος ἡ μία, ἐν οἷς ἡ τελεία διαφορὰ μεγίστη. Πρώτη δὲ [g]ἐναντίωσις ἕξις καὶ στέρησίς ἐστιν· οὐ πᾶσα δὲ 7

s διαφορά ἐστι T. t οὐδὲ Ab. v τελεία] τοιαύτη T. w τούτου T. x τοῦ Ab. y ὄντως Fb. z ὑπάρχει T. a τοῦ om. E. b τε] δὲ Ab. c ἡ] εἰ T. d τούτῳ T. e ἐναντία E. f ἐναντία om. E.T. g ἐναντιότης Fb, ἐναντίως T.

στέρησις (πολλαχῶς γὰρ λέγεται ἡ στέρησις), ἀλλ' [h] ἥτις ἂν τελεία ᾖ. Τὰ δ' ἄλλα ἐναντία κατὰ ταῦτα λεχθήσεται, τὰ μὲν τῷ ἔχειν, τὰ δὲ τῷ ποιεῖν ἢ ποιητικὰ εἶναι, τὰ δὲ τῷ
8 [i] λήψεις εἶναι καὶ ἀποβολαὶ τούτων ἢ ἄλλων ἐναντίων. Εἰ δὴ ἀντίκειται μὲν ἀντίφασις καὶ στέρησις καὶ ἐναντιότης καὶ τὰ πρός τι, τούτων δὲ πρῶτον ἀντίφασις, ἀντιφάσεως δὲ μηθέν ἐστι μεταξύ, τῶν δὲ ἐναντίων ἐνδέχεται, ὅτι μὲν οὐ ταὐτὸν ἀντίφασις καὶ τἀναντία δῆλον, ἡ δὲ στέρησις ἀντι-
9 φασίς τίς ἐστιν. [j] Ἡ γὰρ τὸ ἀδύνατον ὅλως ἔχειν, ἢ ὃ ἂν πεφυκὸς ἔχειν μὴ ἔχῃ, ἐστέρηται ἢ ὅλως ἢ πῶς [k] ἀφορισθέν· πολλαχῶς γὰρ ἤδη τοῦτο λέγομεν, ὥσπερ διῄρηται ἡμῖν ἐν ἄλλοις. [l] Ὥστ' ἔστιν ἡ στέρησις ἀντίφασίς τις, ἢ ἀδυναμία
10 διορισθεῖσα ἢ συνειλημμένη τῷ δεκτικῷ. Διὸ ἀντιφάσεως μὲν οὐκ ἔστι μεταξύ, στερήσεως δέ τινός ἐστιν· ἴσον μὲν γὰρ ἢ οὐκ ἴσον πᾶν, ἴσον δ' ἢ ἄνισον οὐ πᾶν, ἀλλ' εἴπερ, μόνον ἐν τῷ δεκτικῷ τοῦ ἴσου. Εἰ δὴ [l] αἱ γενέσεις τῇ ὕλῃ ἐκ τῶν ἐναντίων, γίγνονται δὲ ἢ ἐκ τοῦ εἴδους καὶ τῆς τοῦ εἴδους ἕξεως ἢ [m] ἐκ στερήσεώς τινος τοῦ εἴδους καὶ τῆς μορφῆς, δῆλον ὅτι ἡ μὲν ἐναντίωσις στέρησις ἄν [n] τις εἴη πᾶσα, ἡ δὲ
11 στέρησις ἴσως οὐ πᾶσα ἐναντιότης. Αἴτιον δ' ὅτι πολλαχῶς ἐνδέχεται ἐστερῆσθαι τὸ ἐστερημένον· ἐξ ὧν γὰρ [o] αἱ μεταβολαὶ ἐσχάτων, ἐναντία ταῦτα. Φανερὸν δὲ καὶ διὰ τῆς ἐπαγωγῆς. Πᾶσα γὰρ [p] ἐναντίωσις ἔχει στέρησιν [q] θατέρου τῶν ἐναντίων. [r] Ἀλλ' οὐχ ὁμοίως πάντα· ἀνισότης μὲν γὰρ ἰσότητος, ἀνομοιότης δὲ [r] ὁμοιότητος, κακία δὲ ἀρετῆς.
12 Διαφέρει δὲ ὥσπερ εἴρηται· τὸ μὲν γὰρ [s] ἐὰν μόνον ᾖ ἐστερημένον, τὸ δ' ἐὰν ᾖ ποτὲ ἢ ἔν τινι, οἷον [t] ἂν ἐν ἡλικίᾳ τινὶ ἢ τῷ κυρίῳ ἢ πάντῃ. Διὸ τῶν μὲν ἔστι μεταξύ, καὶ ἔστιν οὔτε ἀγαθὸς ἄνθρωπος οὔτε κακός, τῶν δὲ οὐκ ἔστιν, [v] ἀλλ'
13 ἀνάγκη εἶναι ἢ περιττὸν ἢ ἄρτιον. [u] Ἔτι τὰ μὲν ἔχει τὸ

[h] εἴτις T. [i] λείψεις E.T. [k] πολλαχῶς ἀφορισθὲν T. [l] αἱ μὲν γένεσεις F[b]. [m] ἐκ om. E.T. [n] τις om. A[b]. [o] αἱ om. T. [p] ἐναντιότης F[b]. [q] θάτερον A[b]. [r] ἀνομοιότητος T. [s] μόνον ἐὰν T. [t] ἂν om. A[b]. [v] ἀλλ' om. T.

ὑποκείμενον ὡρισμένον, τὰ δ' οὔ. [v]Ωστε φανερὸν ὅτι ἀεὶ θάτερον τῶν ἐναντίων λέγεται κατὰ στέρησιν· ἀπόχρη δὲ κἂν τὰ πρῶτα καὶ τὰ γένη τῶν ἐναντίων, οἷον τὸ ἓν καὶ τὰ πολλά· τὰ γὰρ ἄλλα εἰς ταῦτα ἀνάγεται.

[1]Επεὶ δ' ἓν ἑνί [w]ἐστιν ἐναντίον, ἀπορήσειεν ἄν τις πῶς 5
ἀντίκειται τὸ ἓν καὶ τὰ πολλὰ καὶ τὸ ἴσον τῷ μεγάλῳ καὶ
[x]τῷ μικρῷ. [y]Τὸ γὰρ πότερον ἀεὶ ἐν ἀντιθέσει λέγομεν,
οἷον πότερον λευκὸν ἢ μέλαν, καὶ πότερον λευκὸν ἢ οὐ λευ-
κόν· πότερον δὲ ἄνθρωπος ἢ λευκὸν οὐ λέγομεν, ἐὰν μὴ ἐξ
ὑποθέσεως καὶ ζητοῦντες, οἷον πότερον ἦλθε Κλέων ἢ Σωκρά-
της. [1]Αλλ' [z]οὐκ ἀνάγκη ἐν οὐθενὶ γένει τοῦτο, ἀλλὰ καὶ 2
τοῦτο ἐκεῖθεν ἐλήλυθεν· τὰ γὰρ ἀντικείμενα μόνα οὐκ ἐνδέ-
χεται ἅμα ὑπάρχειν· ᾧ καὶ ἐνταῦθα χρῆται ἐν τῷ πότερος
[a]ἦλθεν· εἰ γὰρ ἅμα ἐνεδέχετο, γελοῖον τὸ ἐρώτημα. Εἰ δὲ
καὶ οὕτως, [b]ὁμοίως [c]ἐμπίπτει εἰς ἀντίθεσιν, εἰς τὸ ἓν ἢ
πολλά, οἷον πότερον ἀμφότεροι ἦλθον ἢ ἄτερος. Εἰ δὴ ἐν 3
τοῖς ἀντικειμένοις ἀεὶ τοῦ ποτέρου ἡ ζήτησις, λέγεται δὲ
πότερον μεῖζον ἢ ἔλαττον ἢ ἴσον, τίς ἐστιν ἡ ἀντίθεσις πρὸς
ταῦτα τοῦ ἴσου; Οὔτε γὰρ θατέρῳ μόνῳ ἐναντίον οὔτ' ἀμ-
φοῖν· τί γὰρ [d]μᾶλλον τῷ μείζονι ἢ τῷ ἐλάττονι; [1]Ετι τῷ
ἀνίσῳ ἐναντίον τὸ ἴσον· [e]ὥστε πλείοσιν ἔσται [f]ἢ ἑνί. Εἰ 4
δὲ τὸ ἄνισον σημαίνει τὸ αὐτὸ [g]ἅμα ἀμφοῖν, εἴη μὲν [h]ἂν
ἀντικείμενον ἀμφοῖν· καὶ ἡ ἀπορία [i]βοηθεῖ τοῖς φάσκουσι τὸ
ἄνισον δυάδα εἶναι. [1]Αλλὰ συμβαίνει ἓν δυοῖν ἐναντίον· ὅπερ
ἀδύνατον. [1]Ετι τὸ μὲν ἴσον μεταξὺ [k]φαίνεται μεγάλου καὶ 5
μικροῦ, ἐναντίωσις [l]δὲ μεταξὺ οὔτε φαίνεται οὔτε ἐκ τοῦ
ὁρισμοῦ δυνατόν· οὐ γὰρ ἂν εἴη τελεία μεταξύ τινος οὖσα,
ἀλλὰ μᾶλλον ἔχει ἀεὶ [m]ἑαυτῆς τι [n]μεταξύ. Λείπεται δὴ ἢ
ὡς ἀπόφασιν ἀντικεῖσθαι ἢ [o]ὡς στέρησιν. Θατέρου μὲν δὴ

[w] ἐστιν om. $A^b.F^b$. [x] τῷ om. A^b. [y] τὸ γὰρ] εἰ γὰρ τὸ A^b. et γρ. E. [z] οὐ κατ' ἀνάγκην γρ. E. [a] ἦλθεν] ἐλθεῖν T.A^b. [b] ὅμως E, ὁ μὲν T. [c] ἐκπίπτει A^b. [d] μᾶλλον ἢ τῶ E.T. [e] ὥστ' ἐν πλ. E.T. [f] ἢ ἐν ἑνί E. [g] ἅμα om. A^b. [h] ἂν add. E. [i] βοήθεια A^b. [k] φαίνεται καὶ μεγάλου καὶ T. [l] δὲ οὐδεμία μεταξὺ A^b. [m] αὕτη A^b. [n] μεταξύ] μεταξύ τινος οὖσα E.T. [o] ὡς om. F^b.

6 οὐκ ἐνδέχεται· τί γὰρ μᾶλλον τοῦ μεγάλου ἢ μικροῦ; [t]Ἀμφοῖν ἄρα ἀπόφασις στερητική. Διὸ καὶ πρὸς ἀμφότερα τὸ πότερον λέγεται, πρὸς δὲ θάτερον οὔ, οἷον πότερον μεῖζον ἢ ἴσον, ἢ πότερον ἴσον ἢ ἔλαττον· ἀλλ' ἀεὶ [p]τρία. Οὐ στέρησις δὲ ἐξ ἀνάγκης· οὐ γὰρ πᾶν ἴσον ὃ μὴ μεῖζον ἢ
7 ἔλαττον, ἀλλ' ἐν οἷς πέφυκεν ἐκεῖνα. [u]Ἔστι δὴ τὸ ἴσον τὸ μήτε μέγα μήτε μικρόν, πεφυκὸς δὲ [q]ἢ μέγα ἢ μικρὸν εἶναι· καὶ ἀντίκειται ἀμφοῖν ὡς ἀπόφασις στερητική, διὸ καὶ μεταξύ ἐστιν. Καὶ τὸ [r]μήτ' ἀγαθὸν μήτε κακὸν ἀντίκειται ἀμφοῖν, ἀλλ' ἀνώνυμον· πολλαχῶς γὰρ λέγεται ἑκάτερον καὶ οὐκ ἔστιν ἓν τὸ δεκτικόν, ἀλλὰ μᾶλλον τὸ μήτε λευκὸν
8 μήτε μέλαν. [v]Ἓν δὲ [s]οὐδὲ τοῦτο λέγεται, ἀλλ' ὡρισμένα πως [t]τὰ χρώματα ἐφ' ὧν λέγεται στερητικῶς ἡ ἀπόφασις αὕτη· ἀνάγκη γὰρ ἢ φαιὸν ἢ ὠχρὸν εἶναι ἢ τοιοῦτόν τι
9 [v]ἄλλο. [v]Ὥστε οὐκ ὀρθῶς ἐπιτιμῶσιν οἱ νομίζοντες ὁμοίως λέγεσθαι πάντα, ὥστε [w]ἔσεσθαι ὑποδήματος καὶ χειρὸς μεταξὺ τὸ μήτε ὑπόδημα μήτε χεῖρα, [x]εἴπερ καὶ τὸ μήτε ἀγαθὸν μήτε κακὸν τοῦ [y]ἀγαθοῦ καὶ [y]τοῦ κακοῦ, ὡς πάντων ἐσομένου τινὸς μεταξύ. Οὐκ ἀνάγκη δὲ τοῦτο συμβαίνειν.
10 [b]Ἡ μὲν γὰρ ἀντικειμένων συναπόφασίς ἐστιν ὧν ἔστι μεταξύ τι καὶ διάστημά τι πέφυκεν εἶναι· τῶν δ' οὐκ ἔστι διαφορά· ἐν ἄλλῳ γὰρ γένει ὧν αἱ συναποφάσεις, ὥστ' οὐχ [a]ἓν τὸ ὑποκείμενον.

6 [b]Ὁμοίως δὲ καὶ περὶ τοῦ ἑνὸς καὶ τῶν πολλῶν ἀπορήσειεν ἄν τις. Εἰ γὰρ τὰ πολλὰ τῷ ἑνὶ ἁπλῶς [z]ἀντίκειται, συμβαίνει ἔνια ἀδύνατα. Τὸ γὰρ ἓν ὀλίγον ἢ ὀλίγα ἔσται·
2 τὰ γὰρ πολλὰ καὶ τοῖς ὀλίγοις ἀντίκειται. [c]Ἔτι τὰ δύο πολλά, εἴπερ τὸ διπλάσιον πολλαπλάσιον, λέγεται δὲ [a]καὶ τὰ δύο [b]διπλάσια· ὥστε τὸ ἓν ὀλίγον· πρὸς τί γὰρ πολλὰ τὰ δύο εἰ μὴ πρὸς ἕν τε [c]καὶ τὸ ὀλίγον; Οὐθὲν γάρ ἐστιν

p τρία οὔ. στέρησις T. q ἢ post δὲ add. A[b]. r μήτε κακὸν μήτ' ἀγαθὸν E.T. s οὐ E.T. t τὰ χρώματα om. A[b]. v ἄλλο] ἄλλο ὡρισμένον A[b]. w ἔσεσθαι] λέγεσθαι γρ. E. x εἰπείπερ A[b]. y τοῦ om. A[b]. z ἀντίκεινται E.T. a καὶ τὰ] κατὰ τὰ E, κατὰ T. b διπλάσια om. E.T. c καὶ πρὸς τὸ A[b].

ἔλαττον. [d]Ἔτι ὡς ἐν μήκει τὸ μακρὸν καὶ βραχύ, οὕτως ἐν πλήθει τὸ πολὺ [e]καὶ ὀλίγον, καὶ ὃ ἂν ᾖ πολὺ καὶ πολλά, καὶ τὰ πολλὰ πολύ. Εἰ μή τι ἄρα διαφέρει [f]ἐν συνεχεῖ 3
[g]εὐορίστῳ τὸ ὀλίγον, πλῆθός τι ἔσται. [v]Ὥστε τὸ ἓν πλῆθός [h]τι, εἴπερ καὶ ὀλίγον· τοῦτο δ' ἀνάγκη, εἰ τὰ δύο πολλά. [i]Ἀλλ' ἴσως τὰ πολλὰ λέγεται [i]μέν πως καὶ τὸ πολύ, ἀλλ' ὡς διαφέρον, οἷον ὕδωρ πολύ, πολλὰ δ' οὔ. [i]Ἀλλ' ὅσα διαιρετά, 4
ἐν τούτοις λέγεται, ἕνα μὲν τρόπον ἐὰν ᾖ πλῆθος ἔχον ὑπεροχὴν [k]ἢ ἁπλῶς ἢ πρός τι, καὶ τὸ ὀλίγον ὡσαύτως πλῆθος ἔχον ἔλλειψιν, τὸ δὲ ὡς ἀριθμός, ὃ [l]καὶ ἀντίκειται τῷ ἑνὶ μόνον. Οὕτως γὰρ λέγομεν ἓν ἢ πολλά, ὥσπερ εἴ τις εἴποι ἓν καὶ ἕνα ἢ λευκὸν καὶ [m]λευκά, καὶ τὰ μεμετρημένα πρὸς τὸ μέτρον καὶ τὸ μετρητόν. Οὕτως καὶ τὰ πολλαπλάσια 5
[n]λέγεται· πολλὰ γὰρ [o]ἕκαστος ἀριθμὸς ὅτι [p]ἕνα καὶ ὅτι μετρητὸς ἑνὶ ἕκαστος, καὶ ὡς τὸ ἀντικείμενον τῷ ἑνί, οὐ τῷ ὀλίγῳ. Οὕτω μὲν οὖν ἐστὶ πολλὰ καὶ τὰ δύο, ὡς δὲ πλῆθος ἔχον ὑπεροχὴν ἢ πρός τι ἢ ἁπλῶς οὐκ ἔστιν, ἀλλὰ πρῶτον. [i]Ὀλίγα δ' ἁπλῶς τὰ δύο· πλῆθος γάρ ἐστιν ἔλλειψιν ἔχον πρῶτον. Διὸ [q]καὶ οὐκ ὀρθῶς ἀπέστη [i]Ἀναξαγόρας 6
εἰπὼν ὅτι ὁμοῦ πάντα χρήματα ἦν ἄπειρα καὶ πλήθει καὶ μικρότητι· ἔδει δ' εἰπεῖν ἀντὶ τοῦ "καὶ μικρότητι" καὶ ὀλιγότητι· οὐ γὰρ ἄπειρα, ἐπεὶ τὸ ὀλίγον οὐ διὰ τὸ ἕν, ὥσπερ τινές φασιν, ἀλλὰ διὰ τὰ δύο. [i]Ἀντίκειται [r]δὴ τὸ [s]ἓν καὶ 7
τὰ πολλὰ τὰ ἐν ἀριθμοῖς ὡς μέτρον μετρητῷ· [t]ταῦτα δὲ ὡς τὰ πρός τι, [v]ὅσα μὴ καθ' αὑτὰ τῶν πρός τι. [w]Διῄρηται δ' ἡμῖν ἐν ἄλλοις ὅτι διχῶς λέγεται τὰ πρός τι, τὰ μὲν ὡς ἐναντία, τὰ δ' ὡς ἐπιστήμη πρὸς ἐπιστητόν, [x]τῷ λέγεσθαί τι ἄλλο πρὸς αὐτό. Τὸ δὲ ἓν ἔλαττον εἶναί τινός, οἷον τοῖν 8
δυοῖν, οὐθὲν κωλύει· οὐ γὰρ εἰ ἔλαττον καὶ ὀλίγον. Τὸ δὲ

[d] ἔτι εἰ ὡς E.T. [e] καὶ τὸ ὀλίγον T. [f] ἐν] ἐπὶ F[b]. [g] ἀορίστω T. [h] τι] τι ἔσται E, τι ἔστιν T. [i] μέν πως] μὲν ὡς E.T. [k] ἢ ante ἁπλῶς om. A[b]. [l] καὶ om. T. [m] λευκά] λευκόν T. [n] λέγεται] λέγεται πολλά A[b]. [o] ἕκαστος ὁ ἀριθμὸς E. [p] ἓν E.T. [q] καὶ om. E.T.F[b]. [r] δὲ T. [s] ἓν—ἀριθμοῖς] ἐν τοῖς πολλοῖς E.T. [t] ταῦτα] τὰ E.T. [v] ὅσα—τι om. A[b]. [w] διῄρηται—τι om. T. [x] τῷ] τὸ T.

πλῆθος [y] οἷον γένος ἐστὶ τοῦ ἀριθμοῦ· ἔστι γὰρ ἀριθμὸς πλῆθος ἐνὶ μετρητόν. Καὶ ἀντίκειταί πως τὸ ἓν καὶ ἀριθμός, οὐχ [z] ὡς ἐναντίον, ἀλλ' ὥσπερ εἴρηται τῶν πρός τι ἔνια· ἡ
9 γὰρ μέτρον, τὸ δὲ μετρητόν, ταύτῃ ἀντίκειται. Διὸ οὐ πᾶν ὃ ἂν ᾖ ἓν ἀριθμός ἐστιν, οἷον εἴ τι ἀδιαίρετόν ἐστιν. [b] Ὁμοίως δὲ λεγομένη ἡ ἐπιστήμη πρὸς τὸ ἐπιστητὸν οὐχ ὁμοίως ἀποδίδωσιν· δόξειε μὲν γὰρ ἂν μέτρον ἡ ἐπιστήμη εἶναι, τὸ δ' ἐπιστητὸν τὸ μετρούμενον, συμβαίνει δ' ἐπιστήμην μὲν πᾶσαν [a] ἐπιστητὸν εἶναι, τὸ δ' ἐπιστητὸν μὴ πᾶν ἐπιστήμην,
10 ὅτι τρόπον τινὰ ἡ ἐπιστήμη μετρεῖται τῷ ἐπιστητῷ. Τὸ δὲ πλῆθος οὔτε τῷ ὀλίγῳ ἐναντίον, ἀλλὰ [b] τούτῳ μὲν τὸ πολὺ ὡς ὑπερέχον πλῆθος [c] ὑπερεχομένῳ πλήθει, οὔτε τῷ ἑνὶ πάντως· ἀλλὰ τὸ [d] μὲν ὥσπερ εἴρηται, ὅτι διαιρετὸν τὸ [e] δ' ἀδιαίρετον, τὸ δ' ὡς πρός τι, ὥσπερ ἡ ἐπιστήμη ἐπιστητῷ ἐὰν ᾖ ἀριθμός· τὸ δ' ἓν μέτρον.

7 [f] Ἐπεὶ δὲ τῶν ἐναντίων ἐνδέχεται εἶναί [f] τι μεταξὺ καὶ ἐνίων ἔστιν, ἀνάγκη ἐκ τῶν ἐναντίων εἶναι [g] τὰ μεταξύ· πάντα γὰρ τὰ μεταξὺ ἐν τῷ αὐτῷ γένει ἐστὶ καὶ ὧν ἐστὶ μεταξύ.
2 Μεταξὺ μὲν γὰρ ταῦτα λέγομεν εἰς [h] ὅσα μεταβάλλειν [i] ἀνάγκη πρότερον τὸ μεταβάλλον· οἷον ἀπὸ τῆς ὑπάτης ἐπὶ τὴν νήτην εἰ μεταβαίνοι τῷ [k] ὀλιγίστῳ, ἥξει πρότερον εἰς τοὺς μεταξὺ φθόγγους, καὶ ἐν χρώμασιν εἰ ἥξει ἐκ τοῦ λευκοῦ εἰς τὸ μέλαν, πρότερον ἥξει εἰς τὸ φοινικοῦν καὶ φαιὸν
3 ἢ εἰς τὸ μέλαν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Μεταβάλλειν δ' ἐξ ἄλλου γένους εἰς ἄλλο γένος οὐκ ἔστιν ἀλλ' ἢ κατὰ συμβεβηκός, οἷον ἐκ χρώματος εἰς σχῆμα. [l] Ἀνάγκη ἄρα τὰ μεταξὺ [l] καὶ αὐτοῖς καὶ ὧν μεταξύ εἰσιν ἐν τῷ αὐτῷ γένει εἶναι. [l] Ἀλλὰ μὴν πάντα γε τὰ μεταξύ ἐστιν ἀντικειμένων τινῶν· ἐκ τούτων γὰρ [m] μόνων καθ' αὑτὰ ἔστι μεταβάλλειν.
4 Διὸ ἀδύνατον εἶναι μεταξὺ μὴ ἀντικειμένων· εἴη γὰρ ἂν με-

[y] οἷον ὡς γένος E.T.F[b]. [z] ὡς] ὦ T. [a] ἐπιστητὸν] ἐπιστητὴν A[b]. [b] τοῦτο T. [c] ὑπ. τῷ πλήθει T. [d] μὲν] μὲν ἓν A[b]. [e] δ' prius om. E. [f] τι om. T.A[b]. [g] τὰ om. T. [h] ὅσα] ἃ T. [i] πρότερον ἀνάγκη E.T. [k] ὀλιγίστῳ λόγῳ ἥξει E.T. [l] καὶ ante αὐτοῖς om. A[b]. [m] μόνον A[b].

ταβολὴ καὶ μὴ ἐξ ἀντικειμένων. Τῶν δ' ἀντικειμένων ἀντιφάσεως μὲν οὐκ ἔστι μεταξύ· τοῦτο γάρ ἐστιν ἀντίφασις, ἀντίθεσις ἧς ὁτῳοῦν θάτερον μόριον πάρεστιν, οὐκ ἐχούσης οὐθὲν μεταξύ. Τῶν δὲ λοιπῶν τὰ μὲν πρός τι, τὰ δὲ στέρησις, τὰ δ' ἐναντία ἐστίν. Τῶν δὲ πρός τι ὅσα μὴ ἐναντία, 5
οὐκ [n] ἔχει μεταξύ. Αἴτιον δ' ὅτι οὐκ ἐν τῷ αὐτῷ γένει ἐστίν. Τί γὰρ ἐπιστήμης καὶ ἐπιστητοῦ μεταξύ; [o] Ἀλλὰ μεγάλου καὶ μικροῦ. Εἰ δ' ἐστὶν ἐν ταὐτῷ γένει τὰ μεταξύ, ὥσπερ δέδεικται, καὶ μεταξὺ ἐναντίων, ἀνάγκη αὐτὰ συγκεῖσθαι ἐκ τούτων τῶν ἐναντίων. [p] Ἢ γὰρ ἔσται τι γένος αὐτῶν ἢ οὐθέν. Καὶ εἰ μὲν γένος ἔσται οὕτως ὥστ' εἶναι πρότερόν 6
τι τῶν ἐναντίων, αἱ διαφοραὶ [o] πρότεραι ἐναντίαι ἔσονται αἱ ποιήσασαι τὰ ἐναντία, εἴδη ὡς [p] γένους· ἐκ γὰρ τοῦ γένους καὶ τῶν διαφορῶν τὰ εἴδη. Οἷον εἰ τὸ λευκὸν καὶ μέλαν 7
[q] ἐναντία, ἔστι δὲ τὸ μὲν διακριτικὸν χρῶμα τὸ δὲ συγκριτικὸν χρῶμα, αὗται αἱ διαφοραὶ τὸ διακριτικὸν καὶ συγκριτικὸν πρότεραι· [r] ὥστε ταῦτα ἐναντία ἀλλήλοις [s] πρότερα. [q] Ἀλλὰ μὴν τά γ' ἐναντίως διαφέροντα μᾶλλον ἐναντία, καὶ 8
τὰ λοιπὰ καὶ τὰ μεταξὺ ἐκ τοῦ γένους ἔσται καὶ τῶν διαφορῶν· οἷον ὅσα [t] χρώματα τοῦ λευκοῦ καὶ μέλανός ἐστι μεταξύ, ταῦτα [v] δεῖ ἐκ τοῦ γένους λέγεσθαι (ἔστι δὲ γένος τὸ χρῶμα) καὶ ἐκ διαφορῶν τινῶν. Αὗται δ' οὐκ ἔσονται τὰ 9
πρῶτα ἐναντία· εἰ δὲ μή, ἔσται ἕκαστον ἢ λευκὸν ἢ μέλαν. [v] Ἕτεραι ἄρα· μεταξὺ [w] ἄρα τῶν πρώτων ἐναντίων αὗται ἔσονται. Αἱ πρῶται [x] δὲ διαφοραὶ τὸ διακριτικὸν καὶ [y] συγκριτικόν. [v] Ὥστε ταῦτα πρῶτα ζητητέον ὅσα ἐναντία μὴ ἐν γένει, ἐκ τίνος τὰ μεταξὺ αὐτῶν. [q] Ἀνάγκη γὰρ τὰ ἐν ταὐτῷ 10
γένει ἐκ τῶν ἀσυνθέτων τῷ γένει συγκεῖσθαι ἢ ἀσύνθετα εἶναι. Τὰ μὲν οὖν ἐναντία ἀσύνθετα ἐξ ἀλλήλων, ὥστ' ἀρχαί· τὰ δὲ μεταξὺ ἢ πάντα ἢ οὐθέν. [q] Ἐκ δὲ τῶν ἐναντίων γίγνε-

n ἔχει τὰ μεταξύ E. o πρότερον E.T. p γένους. ἐκ] γένη. εἰ T. q τἀναντία E.T. r ὥστε—πρότερα om. T. s πρότερον E. t χρώματος T. v δὴ ἔκ τε τοῦ T. w ἄρα ante τῶν om. T. x δὲ] γρ. καὶ χωρὶς τοῦ δέ συνδέσμου, ἵνα στίζωμεν μέχρι τοῦ διαφοραί margo E. y συγκριτικόν καὶ ὥστε T.

ταί τι, ὥστ' ἔσται μεταβολὴ εἰς τοῦτο πρὶν ἢ εἰς αὐτά· ἑκατέρου γὰρ καὶ ἧττον ἔσται καὶ μᾶλλον. Μεταξὺ ἄρα
11 ἔσται καὶ τοῦτο τῶν ἐναντίων. Καὶ τἆλλα ἄρα πάντα σύνθετα [z]τὰ μεταξύ· τὸ γὰρ τοῦ μὲν μᾶλλον τοῦ δ' ἧττον σύνθετόν [a]πως ἐξ ἐκείνων ὧν λέγεται εἶναι τοῦ μὲν μᾶλλον τοῦ δ' ἧττον. [1]Ἐπεὶ [b]δ' οὐκ ἔστιν ἕτερα πρότερα ὁμογενῆ τῶν ἐναντίων, ἅπαντ' ἂν ἐκ τῶν ἐναντίων εἴη τὰ μεταξύ.
12 [v]Ὥστε καὶ τὰ κάτω πάντα, καὶ τἀναντία καὶ τὰ μεταξύ, ἐκ τῶν πρώτων ἐναντίων ἔσονται. [v]Ὅτι μὲν οὖν τὰ μεταξὺ ἕν τε ταὐτῷ γένει πάντα καὶ μεταξὺ ἐναντίων καὶ σύγκειται ἐκ τῶν ἐναντίων [c]ἅπαντα, δῆλον.

8 Τὸ δ' ἕτερον τῷ εἴδει τινός τι ἕτερόν ἐστι, καὶ δεῖ τοῦτο ἀμφοῖν ὑπάρχειν· οἷον εἰ ζῷον ἕτερον τῷ εἴδει, ἄμφω ζῷα. [1]Ἀνάγκη [d]ἄρα ἐν γένει τῷ αὐτῷ εἶναι τὰ ἕτερα τῷ εἴδει. Τὸ γὰρ [e]τοιοῦτον γένος καλῶ, [f]ᾧ ἄμφω ἓν ταὐτὸ λέγεται, μὴ κατὰ συμβεβηκὸς ἔχον διαφοράν, εἴθ' ὡς ὕλη ὂν [g]εἴτ' ἄλ-
2 λως. Οὐ μόνον γὰρ δεῖ τὸ κοινὸν ὑπάρχειν, οἷον ἄμφω ζῷα, ἀλλὰ καὶ ἕτερον ἑκατέρῳ τοῦτο αὐτὸ τὸ ζῷον, οἷον τὸ μὲν ἵππον τὸ δὲ ἄνθρωπον. [h]Διὰ τοῦτο τὸ κοινὸν ἕτερον ἀλλήλων ἐστὶ τῷ εἴδει. [1]Ἔσται δὴ καθ' [i]αὐτὰ τὸ μὲν [k]τοιονδὶ ζῷον τὸ δὲ τοιονδί, οἷον τὸ μὲν ἵππος τὸ δ' ἄνθρωπος.
[1]Ἀνάγκη ἄρα τὴν διαφορὰν ταύτην ἑτερότητα τοῦ γένους
3 εἶναι. Λέγω γὰρ γένους διαφορὰν ἑτερότητα ἢ ἕτερον ποιεῖ τοῦτο αὐτό. [1]Ἐναντίωσις τοίνυν ἔσται αὕτη. Δῆλον δὲ [m]καὶ ἐκ τῆς ἐπαγωγῆς. Πάντα γὰρ διαιρεῖται τοῖς ἀντικειμένοις, καὶ ὅτι τἀναντία ἐν ταὐτῷ γένει, δέδεικται· ἡ γὰρ ἐναντιότης ἦν διαφορὰ τελεία. [n][1]Ἡ δὲ διαφορὰ ἡ εἴδει πᾶσα τινός τι· ὥστε τοῦτο τὸ αὐτό τε καὶ γένος ἐπ' ἀμ-
4 φοῖν. Διὸ καὶ ἐν τῇ αὐτῇ συστοιχίᾳ πάντα τὰ ἐναντία τῆς κατηγορίας, ὅσα εἴδει διάφορα καὶ μὴ γένει, ἕτερά τε ἀλλή-

[z] τὰ om. T. [a] πῶς δ' ἐξ T. [b] δ' οὐκ] οὖν οὐκ E. [c] πάντα E.T. [d] ἄρα] καὶ Ab. [e] τοιοῦτο E. [f] ὃ E.T. [g] εἴτ'] εἴθ' ὡς Ab. [h] διὸ Ab. [i] αὐτὸ E.T. [k] τοιονδὶ] τοῖον τὸ T. [l] ἀνάγκη—εἶναι om. T. [m] καὶ om. Ab. [n] γρ. καὶ οὕτως· ἡ δὲ διαφορὰ ἡ τέλειος τινός τι E.

λων μάλιστα· τελεία γὰρ ἡ διαφορά, καὶ ἅμα ἀλλήλοις οὐ γίγνεται. [h]Ἡ ἄρα διαφορὰ ἐναντίωσίς ἐστιν. Τοῦτο [o]ἄρα ἐστὶ τὸ ἑτέροις εἶναι τῷ εἴδει, [p]τὸ ἐν ταὐτῷ γένει ὄντα ἐναντίωσιν ἔχειν ἄτομα ὄντα. [q]Ταὐτὰ δὲ τῷ εἴδει, ὅσα μὴ 5
ἔχει ἐναντίωσιν ἄτομα ὄντα· ἐν γὰρ τῇ διαιρέσει καὶ ἐν τοῖς μεταξὺ γίγνονται ἐναντιώσεις πρὶν εἰς τὰ ἄτομα ἐλθεῖν. [v]Ὥστε φανερὸν ὅτι πρὸς τὸ καλούμενον [r]ὂν γένος οὔτε ταὐ- 6
τὸν οὔτε ἕτερον τῷ εἴδει οὐθέν ἐστι τῶν ὡς γένους εἰδῶν [s]προσηκόντων· ἡ γὰρ ὕλη ἀποφάσει δηλοῦται, τὸ δὲ γένος ὕλη [t]οὗ λέγεται γένος, μὴ ὡς τὸ τῶν [h]Ηρακλειδῶν, ἀλλ' ὡς [v]τὸ ἐν τῇ φύσει, οὐδὲ πρὸς τὰ μὴ ἐν ταὐτῷ γένει, ἀλλὰ διοίσει τῷ γένει [w]ἐκείνων, εἴδει δὲ [x]τῶν ἐν ταὐτῷ γένει. [i]Ἐναντίωσιν γὰρ ἀνάγκη εἶναι τὴν διαφορὰν οὗ [y]διαφέρει εἴδει· αὕτη δ' ὑπάρχει τοῖς ἐν ταὐτῷ γένει οὖσι μόνοις.

[i]Ἀπορήσειε δ' ἄν [z]τις διὰ τί [a]γυνὴ ἀνδρὸς οὐκ εἴδει διαφέρει, ἐναντίου τοῦ θήλεος καὶ τοῦ ἄρρενος ὄντος, τῆς δὲ διαφορᾶς ἐναντιώσεως· οὐδὲ ζῷον θῆλυ καὶ ἄρρεν ἕτερον τῷ εἴδει, καίτοι καθ' [b]αὐτὸ τοῦ ζῴου αὕτη ἡ διαφορὰ καὶ οὐχ [c]ὡς λευκότης ἢ μελανία, ἀλλ' ἧ ζῷον καὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν ὑπάρχει. [d]Ἔστι δ' ἡ ἀπορία αὕτη σχεδὸν ἡ αὐτὴ καὶ 2
διὰ τί ἡ μὲν ποιεῖ τῷ εἴδει ἕτερα ἐναντίωσις, ἡ δ' οὔ, οἷον τὸ πεζὸν καὶ τὸ πτερωτόν, λευκότης δὲ καὶ μελανία οὔ. [d]Ἢ ὅτι τὰ μὲν οἰκεῖα πάθη τοῦ γένους, τὰ δ' ἧττον; [d]Καὶ ἐπειδή ἐστι τὸ μὲν λόγος τὸ δ' ὕλη, ὅσαι μὲν ἐν τῷ λόγῳ εἰσὶν ἐναντιότητες εἴδει ποιοῦσι διαφοράν, ὅσαι δ' ἐν τῷ συνειλημμένῳ τῇ ὕλῃ οὐ ποιοῦσιν. Διὸ ἀνθρώπου λευκότης οὐ ποιεῖ οὐδὲ 3
μελανία, οὐδὲ τοῦ λευκοῦ ἀνθρώπου ἐστὶ διαφορὰ κατ' εἶδος πρὸς μέλανα ἄνθρωπον, οὐδ' ἂν ὄνομα ἓν τεθῇ. [h]Ὡς ὕλη γὰρ ὁ ἄνθρωπος, οὐ ποιεῖ δε διαφορὰν ἡ ὕλη· [e]οὐκ ἀνθρώπου γὰρ [f]εἴδη εἰσὶν οἱ ἄνθρωποι διὰ τοῦτο, καίτοι ἕτεραι αἱ σάρκες

[o] ἄρα] γὰρ E.T. [p] τὸ ἐν] τῷ ἐν T. [q] ταὐτὰ—ὄντα om. T. [r] ὂν om. E. [s] προσηκόντως E. [t] οὗ] ὃ T.Ab. [v] τὸ alterum om. E.T. [w] ἐκεῖνα Ab. [x] τῶν] τὰ T.Ab. [y] διαφέρειν T. [z] τις om. T. [a] ἀνδρὸς γυνὴ Ab. [b] αὐτὰ Ab. [c] ὡς ἡ λευκότης Ab. [d] καὶ] ἢ E, om. T. [e] οὐκ] οὐδὲν Ab. [f] εἴδει T, ὕλη Ab.

καὶ τὰ ὀστᾶ ἐξ ὧν ὅδε καὶ ὅδε· ἀλλὰ τὸ σύνολον ἕτερον μέν, εἴδει δ' οὐχ ἕτερον, ὅτι ἐν τῷ λόγῳ οὐκ ἔστιν ἐναντίωσις· 4 τοῦτο δ' ἐστὶ [g] τὸ ἔσχατον ἄτομον. [h] Ὁ δὲ Καλλίας ἐστὶν ὁ λόγος μετὰ τῆς ὕλης· καὶ ὁ λευκὸς δὴ ἄνθρωπος ὅτι Καλλίας λευκός· κατὰ συμβεβηκὸς οὖν ὁ ἄνθρωπος [h] λευκός. [i] Οὐδὲ χαλκοῦς δὴ κύκλος καὶ ξύλινος, οὐδὲ τρίγωνον χαλκοῦν καὶ [k] κύκλος ξύλινος, οὐ διὰ τὴν ὕλην εἴδει διαφέρουσιν, ἀλλ' ὅτι 5 ἐν τῷ λόγῳ ἔνεστιν ἐναντίωσις. Πότερον δ' ἡ ὕλη [l] οὐ ποιεῖ ἕτερα τῷ εἴδει, οὖσά [m] πως [n] ἑτέρα, ἢ ἔστιν ὡς ποιεῖ; Διὰ τί γὰρ [o] ὁδὶ ὁ ἵππος τουδὶ ἀνθρώπου ἕτερος τῷ εἴδει; Καίτοι σὺν τῇ ὕλῃ οἱ λόγοι αὐτῶν. [p] Ἢ ὅτι ἔνεστιν ἐν τῷ λόγῳ ἐναντίωσις; Καὶ γὰρ τοῦ λευκοῦ ἀνθρώπου καὶ [p] μέλανος ἵππου. Καὶ ἔστι γε εἴδει, ἀλλ' οὐχ ᾗ ὁ μὲν λευκὸς ὁ δὲ μέλας, ἐπεὶ καὶ εἰ ἄμφω λευκὰ ἦν, ὅμως ἂν ἦν εἴδει ἕτερα. 6 Τὸ δὲ ἄρρεν καὶ θῆλυ τοῦ ζῴου οἰκεῖα μὲν πάθη, ἀλλ' οὐ κατὰ τὴν οὐσίαν ἀλλ' ἐν τῇ ὕλῃ καὶ τῷ σώματι. Διὸ τὸ αὐτὸ σπέρμα θῆλυ ἢ ἄρρεν γίγνεται παθόν τι πάθος. [q] Τί μὲν οὖν ἐστὶ τὸ τῷ εἴδει ἕτερον εἶναι, καὶ διὰ τί τὰ μὲν διαφέρει εἴδει τὰ δ' οὔ, εἴρηται.

10 [r] Ἐπειδὴ δὲ τὰ ἐναντία ἕτερα τῷ εἴδει, τὸ [r] δὲ φθαρτὸν καὶ [s] τὸ ἄφθαρτον ἐναντία (στέρησις γὰρ ἀδυναμία διωρισμένη), ἀνάγκη ἕτερον εἶναι τῷ γένει τὸ φθαρτὸν καὶ [t] τὸ ἄφθαρτον. Νῦν μὲν [v] οὖν ἐπ' αὐτῶν εἰρήκαμεν τῶν καθόλου ὀνομάτων, [w] ὥστε δόξειεν ἂν οὐκ ἀναγκαῖον εἶναι ὁτιοῦν ἄφθαρτον καὶ φθαρτὸν ἕτερα εἶναι τῷ εἴδει, ὥσπερ οὐδὲ λευκὸν 2 καὶ μέλαν. Τὸ γὰρ αὐτὸ ἐνδέχεται εἶναι καὶ ἅμα, ἐὰν ᾖ τῶν καθόλου, ὥσπερ ὁ ἄνθρωπος [x] εἴη ἂν καὶ λευκὸς καὶ μέλας, καὶ τῶν καθ' [y] ἕκαστον· εἴη γὰρ ἂν μὴ ἅμα ὁ αὐτὸς λευκὸς καὶ μέλας. [z] Καίτοι ἐναντίον τὸ λευκὸν τῷ μέλανι. 3 [r] Ἀλλὰ τῶν ἐναντίων τὰ μὲν κατὰ συμβεβηκὸς ὑπάρχει

[g] τὸ om. E.T. [h] λευκός om. Ab. [i] οὐδ' ὁ χ. E.T. [k] ξύλινος κύκλος T. [l] οὐ om. E.T. [m] πως] ἁπλῶς rc. E. [n] ἑτέρα om. T. et pr. E. [o] ὅδε Ab. [p] μέλανος om. Ab. [q] τί] ὅτι E. [r] δὲ post τὸ om. Ab. [s] τὸ om. Ab. [t] τὸ post καὶ om. Ab. [v] οὖν om. T. [w] ὡς δὲ E.Ab. [x] ἂν εἴη T. [y] ἕκαστα T. [z] καίτοι] καὶ τὸ T.

ἐνίοις, οἷον καὶ τὰ νῦν εἰρημένα καὶ ἄλλα πολλά, τὰ δὲ ἀδύνατον, ὧν ἐστὶ καὶ τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον· οὐθὲν γάρ ἐστι φθαρτὸν κατὰ συμβεβηκός· τὸ μὲν γὰρ συμβεβηκὸς ἐνδέχεται μὴ ὑπάρχειν, τὸ δὲ φθαρτὸν τῶν ἐξ ἀνάγκης ὑπαρχόντων ἐστὶν οἷς ὑπάρχει· ἢ ἔσται ταὐτὸ [a] καὶ ἓν φθαρτὸν καὶ ἄφθαρτον, εἰ ἐνδέχεται μὴ ὑπάρχειν αὐτῷ τὸ φθαρτόν. 4 Ἡ τὴν οὐσίαν ἄρα ἢ ἐν τῇ οὐσίᾳ ἀνάγκη ὑπάρχειν τὸ φθαρτὸν ἑκάστῳ τῶν φθαρτῶν. [b] Ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ ἀφθάρτου· τῶν γὰρ ἐξ ἀνάγκης ὑπαρχόντων ἄμφω. Ἡι ἄρα καὶ καθὸ πρῶτον τὸ μὲν φθαρτὸν τὸ δ' ἄφθαρτον, ἔχει ἀντίθεσιν, ὥστε ἀνάγκη [c] γένει ἕτερα εἶναι. Φανερὸν 5 τοίνυν ὅτι οὐκ ἐνδέχεται εἶναι εἴδη τοιαῦτα οἷα λέγουσί τινες· ἔσται γὰρ [d] καὶ ἄνθρωπος ὁ μὲν φθαρτὸς ὁ δ' ἄφθαρτος. Καίτοι τῷ εἴδει ταὐτὰ λέγεται εἶναι τὰ εἴδη τοῖς τισὶ καὶ οὐχ ὁμώνυμα· τὰ δὲ [e] γένει ἕτερα πλεῖον διέστηκεν ἢ τὰ εἴδει.

Κ.

Ὅτι μὲν ἡ σοφία περὶ ἀρχὰς ἐπιστήμη [f] τίς ἐστι, δῆλον ἐκ τῶν πρώτων ἐν οἷς διηπόρηται πρὸς τὰ ὑπὸ τῶν ἄλλων εἰρημένα περὶ τῶν ἀρχῶν· ἀπορήσειε δ' ἄν τις πότερον μίαν ὑπολαβεῖν εἶναι δεῖ τὴν σοφίαν ἐπιστήμην ἢ πολλάς. Εἰ μὲν γὰρ μίαν, μία [g] γ' ἐστὶν ἀεὶ τῶν ἐναντίων· αἱ δ' ἀρχαὶ οὐκ ἐναντίαι. Εἰ δὲ μὴ μία, ποίας δεῖ θεῖναι ταύτας; Ἔτι 2 τὰς ἀποδεικτικὰς ἀρχὰς θεωρῆσαι μιᾶς ἢ πλείονων; Εἰ μὲν γὰρ μιᾶς, τί μᾶλλον ταύτης ἢ ὁποιασοῦν; Εἰ δὲ πλειόνων, ποίας δεῖ ταύτας [h] θεῖναι; Ἔτι πότερον πασῶν τῶν οὐσιῶν ἢ οὔ; Εἰ μὲν γὰρ μὴ πασῶν, ποίων χαλεπὸν ἀποδοῦναι· εἰ δὲ πασῶν μία, ἄδηλον [i] πῶς ἐνδέχεται πλειόνων τὴν αὐτὴν ἐπιστήμην εἶναι. Ἔτι πότερον περὶ τὰς οὐσίας μόνον ἢ καὶ 3 τὰ συμβεβηκότα [k] ἀπόδειξίς ἐστιν; Εἰ γὰρ περί [l] γε τὰ συμβεβηκότα ἀπόδειξίς ἐστιν, [m] περὶ τὰς οὐσίας οὐκ ἔστιν.

[a] καὶ om. A[b]. [b] ὁ αὐτὸς δὲ A[b]. [c] γένη T. [d] καὶ om. E.T. [e] γένη ἕτερα εἴδη πλεῖον T. [f] τις om. E.T. [g] γ'] δ' E.T. [h] τιθέναι A[b]. [i] πῶς] ἀπορροῦναι πῶς T. [k] ἀπόδειξις ἐστίν add. E. [l] γε om. E.T. [m] περὶ δὲ τὰς T.

Εἰ δ' ἑτέρα, τίς ἑκατέρα καὶ ποτέρα σοφία; [t]Ἡ μὲν γὰρ ἀποδεικτικὴ σοφία [n]ἡ περὶ τὰ συμβεβηκότα, ἡ δὲ περὶ τὰ
4 πρῶτα [o]ἢ τῶν οὐσιῶν. [t]Ἀλλ' οὐδὲ περὶ τὰς ἐν τοῖς φυσικοῖς εἰρημένας αἰτίας τὴν [p]ζητουμένην ἐπιστήμην θετέον. Οὔτε γὰρ περὶ τὸ [q]οὗ ἕνεκεν· τοιοῦτον γὰρ τἀγαθόν, τοῦτο δ' ἐν τοῖς [r]πρακτοῖς ὑπάρχει καὶ τοῖς οὖσιν ἐν κινήσει· καὶ τοῦτο πρῶτον κινεῖ (τοιοῦτον γὰρ τὸ τέλος), τὸ δὲ πρῶτον κινῆσαν
5 οὐκ ἔστιν ἐν τοῖς ἀκινήτοις. [u]Ὅλως δ' ἀπορίαν ἔχει πότερόν ποτε περὶ τὰς αἰσθητὰς οὐσίας ἐστὶν ἡ ζητουμένη νῦν ἐπιστήμη ἢ οὔ, περὶ δέ τινας ἑτέρας. Εἰ γὰρ περὶ ἄλλας, ἢ περὶ τὰ εἴδη εἴη ἂν ἢ περὶ τὰ μαθηματικά. Τὰ μὲν οὖν εἴδη
[s]ὅτι οὐκ ἔστι, δῆλον. [s][u]Ὅμως δ' ἀπορίαν ἔχει, κἂν εἶναί τις αὐτὰ θῇ, διὰ τί ποτ' οὐχ ὥσπερ ἐπὶ τῶν μαθηματικῶν, οὕτως
6 ἔχει καὶ ἐπὶ τῶν ἄλλων ὧν ἔστιν εἴδη. Λέγω δ' ὅτι τὰ μαθηματικὰ μὲν μεταξύ [t]τε τῶν εἰδῶν τιθέασι καὶ τῶν αἰσθητῶν οἷον [v]τρίτα τινὰ παρὰ τὰ εἴδη τε καὶ τὰ δεῦρο· τρίτος δ' ἄνθρωπος οὐκ ἔστιν οὐδ' ἵππος παρ' αὐτόν τε καὶ τοὺς καθ'
[w]ἕκαστον. Εἰ δ' αὖ μή ἐστιν ὡς λέγουσι, περὶ ποῖα θετέον πραγματεύεσθαι τὸν μαθηματικόν; Οὐ γὰρ δὴ περὶ τὰ δεῦρο· τούτων γὰρ οὐθέν ἐστιν οἷον [x]αἱ μαθηματικαὶ ζη-
7 τοῦσι τῶν ἐπιστημῶν. Οὐδὲ μὴν περὶ τὰ μαθηματικὰ ἡ ζητουμένη νῦν ἐστὶν ἐπιστήμη· χωριστὸν γὰρ αὐτῶν οὐθέν. [t]Ἀλλ' οὐδὲ τῶν αἰσθητῶν οὐσιῶν· φθαρταὶ γάρ. [u]Ὅλως δ' ἀπορήσειέ [y]τις ἂν ποίας ἐστὶν ἐπιστήμης τὸ διαπορῆσαι
8 περὶ τῆς τῶν μαθηματικῶν ὕλης. Οὔτε γὰρ τῆς φυσικῆς, διὰ τὸ περὶ τὰ [z]ἔχοντα ἐν [a]αὑτοῖς ἀρχὴν κινήσεως καὶ στάσεως τὴν τοῦ φυσικοῦ πᾶσαν εἶναι πραγματείαν, οὐδὲ μὴν τῆς σκοπούσης [b]περὶ ἀποδείξεώς τε καὶ ἐπιστήμης· περὶ γὰρ αὐτὸ τοῦτο τὸ γένος τὴν ζήτησιν ποιεῖται. Λείπεται τοίνυν τὴν προκειμένην φιλοσοφίαν περὶ [c]αὐτῶν τὴν σκέψιν

[n] ἡ ante περὶ om. A[b]. [o] ἢ τῶν] ἢ τῶν T. [p] ἐπιζητουμένην E.T.A[b]. [q] οὗ ἕνεκεν] ἕνεκεν τινὸς A[b].F[b]. [r] πρακτικοῖς A[b]. [s] διότι et ὅλως A[b]. [t] τε om. E.T. [v] τρίτα] τρόπον T. [w] ἕκαστα E.T. [x] ζητοῦσιν αἱ μαθηματικαὶ A[b]. [y] ἄν τις F[b]. om. ἂν T. et pr. E. [z] ἔχοντα] ἔσχατα T. [a] ἑαυτοῖς A[b]. [b] περὶ ante ἀποδ. om. T. [c] αὐτῆς T.

ποιεῖσθαι. Διαπορήσειε δ' ἄν τις εἰ δεῖ θεῖναι τὴν ζητου- 9
μένην ἐπιστήμην περὶ τὰς ἀρχὰς τὰ καλούμενα ὑπό τινων
στοιχεῖα· ταῦτα δὲ πάντες ἐνυπάρχοντα τοῖς συνθέτοις τι-
θέασιν. Μᾶλλον δ' ἂν δόξειε τῶν καθόλου δεῖν εἶναι τὴν
ζητουμένην ἐπιστήμην· πᾶς γὰρ λόγος καὶ πᾶσα ἐπιστήμη
τῶν καθόλου καὶ οὐ τῶν ἐσχάτων, ὥστ' εἴη ἂν οὕτω τῶν
πρώτων γενῶν. Ταῦτα δὲ [d] γίγνοιτ' ἂν τό τε ὂν καὶ τὸ ἕν· 10
ταῦτα γὰρ μάλιστ' ἂν ὑποληφθείη περιέχειν τὰ ὄντα πάντα
καὶ μάλιστα ἀρχαῖς ἐοικέναι διὰ τὸ εἶναι πρῶτα τῇ φύσει·
φθαρέντων γὰρ αὐτῶν συναναιρεῖται [e] καὶ τὰ λοιπά· [f] πάντα
γὰρ ὂν καὶ ἕν. Ἧι δὲ τὰς διαφορὰς αὐτῶν ἀνάγκη μετέ- 11
χειν εἰ θήσει τις αὐτὰ γένη, διαφορὰ δ' οὐδεμία τοῦ γένους
μετέχει, ταύτῃ δ' οὐκ ἂν δόξειε δεῖν αὐτὰ τιθέναι γένη οὐδ'
ἀρχάς. Ἔτι δ' εἰ μᾶλλον ἀρχὴ τὸ ἁπλούστερον τοῦ ἧττον 12
τοιούτου, τὰ δ' ἔσχατα τῶν ἐκ τοῦ γένους ἁπλούστερα τῶν
γενῶν (ἄτομα γάρ), τὰ [g] γένη δ' εἰς [h] εἴδη πλείω καὶ διαφέ-
ροντα διαιρεῖται, μᾶλλον ἂν ἀρχὴ δόξειεν εἶναι τὰ εἴδη τῶν
γενῶν. Ἧι δὲ [i] συναναιρεῖται τοῖς γένεσι τὰ εἴδη, τὰ γένη 13
ταῖς ἀρχαῖς ἔοικε μᾶλλον· ἀρχὴ γὰρ τὸ συναναιροῦν. Τὰ
μὲν οὖν τὴν ἀπορίαν ἔχοντα ταῦτα καὶ τοιαῦτ' ἐστὶν [k] ἕτερα.

Ἔτι πότερον δεῖ τιθέναι τι παρὰ τὰ καθ' ἕκαστα ἢ οὔ, 2
ἀλλὰ τούτων ἡ ζητουμένη [l] ἐπιστήμη. Ἀλλὰ ταῦτα ἄπειρα.
Τά γε μὴν παρὰ τὰ καθ' ἕκαστα γένη ἢ εἴδη ἐστίν· ἀλλ'
οὐδετέρου τούτων ἡ ζητουμένη [m] νῦν ἐπιστήμη. [n] Διότι γὰρ
ἀδύνατον τοῦτ', εἴρηται. Καὶ γὰρ ὅλως ἀπορίαν ἔχει πό- 2
τερον δεῖ τινὰ ὑπολαβεῖν οὐσίαν εἶναι χωριστὴν παρὰ τὰς
αἰσθητὰς οὐσίας καὶ τὰς δεῦρο, ἢ οὔ, ἀλλὰ ταῦτ' εἶναι τὰ
ὄντα καὶ περὶ ταῦτα τὴν σοφίαν ὑπάρχειν. Ζητεῖν μὲν γὰρ
ἐοίκαμεν ἄλλην τινά, καὶ τὸ προκείμενον τοῦτ' ἐστὶν ἡμῖν,
λέγω δὲ τὸ [o] ἰδεῖν εἴ τι χωριστὸν καθ' αὐτὸ καὶ μηδενὶ τῶν
αἰσθητῶν ὑπάρχον. Ἔτι δ' εἰ [p] παρὰ τὰς αἰσθητὰς οὐσίας 3

[d] γίγνοιντ' E. [e] καὶ om. T. [f] πᾶν A^b. [g] γένει T. [h] εἴδη om. T.
[i] συναιρεῖται A^b. [k] ἕτερα om. F^b. [l] ἐπιστήμη om. T. [m] νῦν om. T.
[n] διὸ E.T. [o] δεῖν A^b. [p] περὶ T.

q ἔστι τις ἑτέρα οὐσία, παρὰ ποίας τῶν αἰσθητῶν δεῖ τιθέναι ταύτην εἶναι; Τί γὰρ μᾶλλον παρὰ τοὺς ἀνθρώπους ἢ τοὺς ἵππους ἢ τῶν ἄλλων ζῴων θήσει τις αὐτὴν ἢ καὶ τῶν ἀψύχων ὅλως; Τό γε μὴν r ἴσας ταῖς αἰσθηταῖς καὶ φθαρταῖς οὐσίαις ἀϊδίους ἑτέρας κατασκευάζειν ἐκτὸς τῶν εὐλόγων δό-
4 ξειεν ἂν πίπτειν. Εἰ δὲ μὴ χωριστὴ τῶν σωμάτων ἡ ζητουμένη· νῦν s ἐστὶν ἀρχή, τίνα ἄν t τις ἄλλην v μᾶλλον θείη τῆς ὕλης; Αὕτη γε μὴν ἐνεργείᾳ μὲν οὐκ ἔστι, δυνάμει δ' ἔστιν. Μᾶλλόν τ' ἂν ἀρχὴ κυριωτέρα ταύτης δόξειεν εἶναι τὸ εἶδος καὶ ἡ μορφή· τοῦτο δὲ φθαρτόν, ὥσθ' ὅλως οὐκ ἔστιν ἀΐδιος
5 οὐσία χωριστὴ καὶ καθ' αὑτήν. Ἀλλ' ἄτοπον· ἔοικε γὰρ καὶ ζητεῖται σχεδὸν ὑπὸ τῶν χαριεστάτων ὡς οὖσά τις ἀρχὴ καὶ οὐσία τοιαύτη· πῶς γὰρ ἔσται τάξις μή τινος ὄντος ἀϊδίου
6 καὶ χωριστοῦ καὶ μένοντος; w Ἔτι δ' εἴπερ ἔστι τις οὐσία καὶ ἀρχὴ τοιαύτη τὴν φύσιν οἵαν νῦν ζητοῦμεν, καὶ αὕτη x μία πάντων καὶ ἡ αὐτὴ τῶν ἀϊδίων τε καὶ φθαρτῶν, ἀπορίαν ἔχει διὰ τί ποτε τῆς αὐτῆς ἀρχῆς οὔσης τὰ μέν ἐστιν ἀΐδια τῶν ὑπὸ τὴν ἀρχήν, τὰ δ' y οὐκ ἀΐδια· τοῦτο γὰρ ἄτο-
7 πον. Εἰ δ' ἄλλη μέν ἐστιν ἀρχὴ τῶν φθαρτῶν ἄλλη δὲ τῶν ἀϊδίων, εἰ μὲν ἀΐδιος καὶ ἡ τῶν φθαρτῶν, ὁμοίως ἀπορήσομεν· διὰ τί γὰρ οὐκ z ἀϊδίου τῆς ἀρχῆς οὔσης καὶ τὰ ὑπὸ τὴν a ἀρχὴν ἀΐδια; Φθαρτῆς δ' οὔσης ἄλλη τις ἀρχὴ γίγνεται ταύ-
8 της κἀκείνης ἑτέρα, καὶ τοῦτ' εἰς ἄπειρον πρόεισιν. Εἰ δ' b αὖ τις τὰς δοκούσας μάλιστ' ἀρχὰς ἀκινήτους εἶναι, τό τε ὂν καὶ τὸ ἓν θήσει, πρῶτον μὲν εἰ μὴ τόδε τι καὶ οὐσίαν ἑκάτερον αὐτῶν σημαίνει, πῶς ἔσονται χωρισταὶ καὶ καθ' αὑτάς; Τοιαύτας δὲ ζητοῦμεν τὰς ἀϊδίους c τε καὶ πρώτας ἀρχάς.
9 Εἴ γε μὴν d τόδε τι καὶ οὐσίαν ἑκάτερον αὐτῶν δηλοῖ, πάντ' e ἐστὶν οὐσίαι τὰ ὄντα· f κατὰ πάντων γὰρ τὸ ὂν κατηγορεῖται, κατ' ἐνίων δὲ g καὶ τὸ ἕν. Οὐσίαν δ' εἶναι πάντα τὰ

q ἔστι om. F^{b}. r ἴσα T. s ἐστὶν om. A^{b}. t ἄλλην τις A^{b}. v θείη μᾶλλον E.T. w μία, μία πάντων T. x ἡ αὐτὴ] αὕτη A^{b}. y οὐκ ἀΐδια] οὔ. καὶ A^{b}. z ἀΐδια A^{b}. a ἀρχὴν οὐκ ἀΐδια E, ἀΐδιον A^{b}. b αὖ] ἄν T. c τε om. A^{b}. d οὐσίαν καὶ τόδε τι A^{b}. e εἰσὶν A^{b}. f κατὰ] καὶ T. g καὶ add. E.

ὄντα ψεῦδος. Ἔτι δὲ τοῖς τὴν πρώτην ἀρχὴν τὸ ἓν λέγουσι καὶ τοῦτ' οὐσίαν, ἐκ δὲ τοῦ ἑνὸς καὶ τῆς ὕλης τὸν ἀριθμὸν γεννῶσι πρῶτον, καὶ τοῦτον οὐσίαν φάσκουσιν εἶναι, πῶς ἐνδέχεται τὸ λεγόμενον ἀληθὲς εἶναι; Τὴν γὰρ δυάδα καὶ τῶν λοιπῶν ἕκαστον [h] ἀριθμῶν τῶν συνθέτων πῶς ἓν δεῖ νοῆσαι; Περὶ τούτου γὰρ οὔτε λέγουσιν οὐθὲν οὔτε ῥᾴδιον εἰπεῖν. Εἴ γε μὴν γραμμὰς ἢ τὰ τούτων ἐχόμενα (λέγω δ' ἐπιφανείας τὰς πρώτας) θήσει [i] τις ἀρχάς, ταῦτα [k] δ' οὐκ εἰσὶν οὐσίαι χωρισταί, τομαὶ δὲ καὶ διαιρέσεις αἱ [l] μὲν ἐπιφανειῶν αἱ δὲ σωμάτων, αἱ δὲ στιγμαὶ γραμμῶν, ἔτι δὲ [m] πέρατα τῶν αὐτῶν τούτων· [n] πάντα δὲ ταῦτα ἐν ἄλλοις ὑπάρχει καὶ χωριστὸν [o] οὐθέν ἐστιν. Ἔτι πῶς οὐσίαν ὑπολαβεῖν εἶναι δεῖ τοῦ ἑνὸς [p] καὶ στιγμῆς; Οὐσίας μὲν γὰρ [q] πάσης γένεσίς ἐστι, στιγμῆς δ' οὐκ ἔστιν· διαίρεσις γὰρ ἡ στιγμή. Παρέχει δ' ἀπορίαν καὶ τὸ πᾶσαν μὲν ἐπιστήμην εἶναι τῶν καθόλου καὶ τοῦ [r] τοιουδί, τὴν [s] δ' οὐσίαν μὴ τῶν καθόλου εἶναι, μᾶλλον δὲ τόδε τι καὶ χωριστόν, ὥστ' εἰ περὶ τὰς ἀρχάς ἐστιν ἐπιστήμη, πῶς δεῖ τὴν ἀρχὴν ὑπολαβεῖν οὐσίαν εἶναι; Ἔτι πότερον ἔστι τι παρὰ τὸ σύνολον ἢ οὔ; Λέγω δὲ τὴν ὕλην καὶ τὸ μετὰ ταύτης. Εἰ μὲν γὰρ μή, τά [t] γ' ἐν ὕλῃ φθαρτὰ πάντα. Εἰ δ' ἔστι τι, τὸ εἶδος ἂν εἴη καὶ ἡ μορφή. Τοῦτ' οὖν ἐπὶ τίνων ἐστὶ καὶ ἐπὶ τίνων οὔ, χαλεπὸν ἀφορίσαι· ἐπ' ἐνίων γὰρ δῆλον [v] οὐκ ὂν χωριστὸν τὸ εἶδος, οἷον οἰκίας. Ἔτι πότερον αἱ ἀρχαὶ εἴδει ἢ ἀριθμῷ αἱ αὐταί; Εἰ [w] γὰρ ἀριθμῷ, [x] πάντ' ἔσται [y] ταὐτά.

Ἐπεὶ δ' ἐστὶν ἡ τοῦ φιλοσόφου ἐπιστήμη τοῦ ὄντος ᾗ ὂν καθόλου καὶ οὐ κατὰ μέρος, τὸ δ' ὂν πολλαχῶς καὶ οὐ καθ' ἕνα λέγεται τρόπον· εἰ μὲν οὖν ὁμωνύμως κατὰ δὲ κοινὸν μηθέν, οὐκ ἔστιν ὑπὸ μίαν ἐπιστήμην (οὐ [z] γὰρ ἓν γένος τῶν

h ἀριθμὸν Ab. i τις] τὰς T. k δ'] γὰρ Ab. l μὲν γὰρ ἐπιφανειῶν Ab. m πέρατα om. T. n ἅπαντα Ab. o οὐθέν ἐστιν om. T. p καὶ τῆς στιγμῆς T. q πάσης om. T. r τοιοῦδε T. s δ' om. Ab. t γ' ἐν] γένη T. v οὐκ ἂν χωριστὸν T, κἂν χωριστὸν Ab. w γὰρ ἀριθμῷ] γὰρ ἀριθμῷ ἕν Ab. x πάντες εἰσὶ T. y ταὐτα T.Ab, τοιαῦτα E. z γὰρ ἂν ἐν Ab.

τοιούτων), εἰ δὲ κατά τι κοινόν, εἴη ἂν ὑπὸ μίαν ἐπιστήμην.
2 Ἔοικε [a]δὴ τὸν εἰρημένον λέγεσθαι τρόπον καθάπερ τό [b]τε ἰατρικὸν [c]καὶ ὑγιεινόν· καὶ γὰρ τούτων ἑκάτερον πολλαχῶς [d]λέγομεν. Λέγεται [e]δὲ τοῦτον τὸν τρόπον ἕκαστον τῷ τὸ μὲν πρὸς τὴν ἰατρικὴν ἐπιστήμην ἀνάγεσθαί πως, τὸ δὲ πρὸς ὑγίειαν, τὸ δ' ἄλλως, πρὸς ταὐτὸ δ' ἕκαστον. [f]Ἰατρικὸς γὰρ
3 λόγος καὶ [g]μαχαίριον λέγεται τῷ τὸ μὲν ἀπὸ τῆς ἰατρικῆς ἐπιστήμης εἶναι, τὸ δὲ ταύτῃ χρήσιμον. [h]Ὁμοίως δὲ καὶ ὑγιεινόν· τὸ μὲν γὰρ [h]ὅτι σημαντικὸν ὑγιείας, τὸ δ' ὅτι ποιητικόν. [i]Ὁ δ' αὐτὸς τρόπος καὶ ἐπὶ τῶν λοιπῶν. Τὸν αὐτὸν [i]δὴ τρόπον καὶ τὸ ὂν ἅπαν λέγεται· [k]τῷ γὰρ τοῦ ὄντος ἢ ὂν πάθος ἢ ἕξις ἢ διάθεσις ἢ κίνησις [l]ἤ τῶν ἄλλων
4 τι τῶν τοιούτων [m]εἶναι λέγεται ἕκαστον αὐτῶν ὄν. [n]Ἐπεὶ δὲ παντὸς τοῦ ὄντος πρὸς ἕν τι καὶ [n]κοινὸν ἡ ἀναγωγὴ γίγνεται, καὶ τῶν ἐναντιώσεων ἑκάστη πρὸς τὰς πρώτας διαφορὰς [o]καὶ ἐναντιώσεις [p]ἀναχθήσεται τοῦ ὄντος, εἴτε πλῆθος καὶ ἓν εἴθ' ὁμοιότης καὶ ἀνομοιότης αἱ πρῶται τοῦ ὄντος εἰσὶ διαφοραί, εἴτ' ἄλλαι τινές· ἔστωσαν γὰρ αὗται τεθεωρημέναι.
5 Διαφέρει δ' οὐθὲν τὴν τοῦ ὄντος ἀναγωγὴν πρὸς τὸ ὂν ἢ πρὸς τὸ ἓν γίγνεσθαι. Καὶ γὰρ εἰ μὴ ταὐτὸν ἄλλο δ' ἐστίν,
6 ἀντιστρέφει γε· τό τε γὰρ ἓν καὶ ὄν πως, τό τε ὂν ἕν. [q]Ἐπεὶ δ' ἐστὶ τὰ ἐναντία πάντα τῆς αὐτῆς καὶ μιᾶς ἐπιστήμης θεωρῆσαι, λέγεται [q]δ' ἕκαστον αὐτῶν κατὰ στέρησιν (καίτοι γ' ἔνια ἀπορήσειέ τις ἂν πῶς λέγεται κατὰ στέρησιν, ὧν ἔστιν ἀνὰ μέσον τι, καθάπερ ἀδίκου καὶ δικαίου), περὶ πάντα [r]δὴ τὰ τοιαῦτα τὴν στέρησιν δεῖ τιθέναι, μὴ τοῦ ὅλου λόγου, τοῦ τελευταίου δὲ εἴδους· οἷον εἰ ἔστιν [s]ὁ δίκαιος [t]καθ' ἕξιν τινὰ πειθαρχικὸς τοῖς νόμοις, οὐ πάντως ὁ ἄδικος ἔσται [v]τοῦ ὅλου στερούμενος λόγου, περὶ δὲ [w]τὸ πείθεσθαι τοῖς νόμοις

[a] δὲ T. [b] τε om. A[b]. [c] καὶ τὸ ὑγιεινόν A[b]. [d] λεγόμενον T.A[b]. [e] δὲ τῶν τρόπων E.T. [f] γὰρ] δὲ T. [g] μαχαιριος T. [h] ὅτι post γὰρ om. T. [i] δὲ T. [k] τὸ γὰρ τοῦ T, τοῦ γὰρ A[b]. [l] ἢ τῶν] καὶ τῶν A[b]. [m] λέγεται εἶναι A[b]. [n] κοινὴ ἀναγωγὴ A[b].F[b]. [o] καὶ τὰς ἐναντιώσεις E.T. [p] ἀναχθήσονται T. [q] δ'] γὰρ F[b]. [r] δεῖ T. [s] ὁ δίκαιος ὁ καθ' F[b]. [t] καθ' ἕξιν] μέθεξιν A[b]. [v] τοῦ] ὁ τοῦ E.T. [w] τοῦ T.

[x]ἐκλείπων πῇ, καὶ [y]ταύτῃ ἡ στέρησις ὑπάρξει αὐτῷ. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. Καθάπερ δ' ὁ μαθη- 7
ματικὸς περὶ τὰ ἐξ ἀφαιρέσεως τὴν [z]θεωρίαν ποιεῖται (περιελὼν γὰρ πάντα τὰ αἰσθητὰ θεωρεῖ, οἷον βάρος καὶ κουφότητα καὶ σκληρότητα καὶ τοὐναντίον, ἔτι δὲ [a]καὶ θερμότητα καὶ ψυχρότητα καὶ τὰς ἄλλας [b]τὰς αἰσθητὰς ἐναντιώσεις, μόνον δὲ καταλείπει τὸ ποσὸν καὶ συνεχές, τῶν μὲν ἐφ' ἓν τῶν δ' ἐπὶ δύο τῶν δ' ἐπὶ τρία, καὶ τὰ πάθη [c]τὰ τούτων ᾗ ποσά ἐστι καὶ συνεχῆ, καὶ οὐ καθ' ἕτερόν τι θεωρεῖ, καὶ τῶν μὲν τὰς πρὸς ἄλληλα θέσεις σκοπεῖ καὶ [d]τὰ ταύταις ὑπάρχοντα, τῶν δὲ τὰς συμμετρίας καὶ ἀσυμμετρίας, τῶν δὲ τοὺς λόγους, ἀλλ' [e]ὅμως μίαν πάντων καὶ τὴν αὐτὴν τίθεμεν ἐπιστήμην τὴν γεωμετρικήν), τὸν αὐτὸν [f]δὴ τρόπον ἔχει καὶ περὶ τὸ ὄν. Τὰ γὰρ τούτῳ συμβεβηκότα καθ' ὅσον ἐστὶν 8
ὄν, καὶ τὰς ἐναντιώσεις αὐτοῦ ᾗ ὄν, οὐκ ἄλλης ἐπιστήμης ἢ φιλοσοφίας θεωρῆσαι. Τῇ φυσικῇ μὲν γὰρ οὐχ ᾗ ὄντα, μᾶλλον δ' ᾗ κινήσεως [g]μετέχει, τὴν θεωρίαν τις [h]ἀπονείμειεν ἄν. [v]Ἡ γε μὴν διαλεκτικὴ καὶ [i]ἡ σοφιστικὴ τῶν συμβεβηκότων μέν εἰσι τοῖς οὖσιν, οὐχ ᾗ δ' ὄντα, οὐδὲ περὶ τὸ ὂν [k]αὐτὸ καθ' ὅσον [l]ὄν ἐστιν. [v]Ὥστε λείπεται τὸν φιλοσόφον, 9
καθ' ὅσον [m]ὄντ' ἐστίν, εἶναι περὶ τὰ λεχθέντα θεωρητικόν. [1]Ἐπεὶ δὲ τό τε ὂν ἅπαν καθ' ἕν τι καὶ κοινὸν λέγεται πολλαχῶς λεγόμενον, καὶ τἀναντία τὸν αὐτὸν τρόπον (εἰς τὰς πρώτας γὰρ ἐναντιώσεις καὶ διαφορὰς τοῦ ὄντος ἀνάγεται), τὰ δὲ τοιαῦτα δυνατὸν ὑπὸ μίαν ἐπιστήμην εἶναι, διαλύοιτ' ἂν ἡ κατ' ἀρχὰς ἀπορία λεχθεῖσα, λέγω δ' ἐν ᾗ [n]διπορεῖτο πῶς ἔσται πολλῶν καὶ διαφόρων ὄντων τῷ γένει μία τις ἐπιστήμη. [1]Ἐπεὶ δὲ καὶ ὁ μαθηματικὸς χρῆται τοῖς κοινοῖς 4
[o]ἰδίως, καὶ τὰς τούτων ἀρχὰς ἂν εἴη θεωρῆσαι τῆς πρώτης

x ἐκλεῖπον T. y ταύτη στέρησις αὐτῷ ὑπάρξει Ab. z ἀπορίαν T. a καὶ post δὲ om. E.T. b τὰς post ἄλλας add. E. c τὰ post πάθη om. T. d τὰ om. T. e ὅλως Ab. f δὴ add. Ab. g ἔχει Ab. h ἀπονέμειεν Ab. i ἡ om. E.T. k αὐτῷ T. l ὄν] γρ. ὄντως E. m ὄντ'] οὗτός T.Ab. n διηπόρητο T. o ἰδίοις Fb.

2 φιλοσοφίας. [p]Ὅτι γὰρ ἀπὸ τῶν ἴσων [q]ἴσων ἀφαιρεθέντων ἴσα τὰ λειπόμενα, κοινὸν μέν ἐστιν ἐπὶ πάντων τῶν ποσῶν, ἡ μαθηματικὴ δ' ἀπολαβοῦσα περί τι μέρος τῆς οἰκείας ὕλης ποιεῖται τὴν θεωρίαν, οἷον περὶ γραμμὰς ἢ γωνίας ἢ ἀριθμοὺς ἢ τῶν λοιπῶν τι ποσῶν, οὐχ ᾗ δ' ὄντα ἀλλ' ᾗ συνεχὲς αὐτῶν ἕκαστον ἐφ' ἓν ἢ δύο ἢ τρία· ἡ δὲ φιλοσοφία περὶ τῶν ἐν μέρει μέν, [r]ᾗ τούτων [s]ἑκάστῳ τί συμβέβηκεν, οὐ σκοπεῖ, περὶ τὸ ὂν δ' ᾗ ὂν τῶν τοιούτων ἕκαστον θεωρεῖ.

3 Τὸν αὐτὸν δ' ἔχει τρόπον καὶ περὶ τὴν φυσικὴν ἐπιστήμην τῇ μαθηματικῇ· τὰ συμβεβηκότα γὰρ ἡ φυσικὴ καὶ τὰς ἀρχὰς θεωρεῖ τὰς τῶν ὄντων ᾗ κινούμενα καὶ οὐχ ᾗ ὄντα. Τὴν δὲ πρώτην εἰρήκαμεν ἐπιστήμην τούτων εἶναι καθ' ὅσον ὄντα [t]τὰ ὑποκείμενά ἐστιν, ἀλλ' οὐχ [v]ᾗ [w]ἕτερόν τι. Διὸ καὶ ταύτην καὶ τὴν μαθηματικὴν ἐπιστήμην μέρη τῆς σοφίας εἶναι θετέον.

5 [x]Ἔστι δέ τις ἐν τοῖς οὖσιν ἀρχὴ περὶ ἣν [x]οὐκ ἔστι διεψεῦσθαι, τοὐναντίον δ' ἀναγκαῖον ἀεὶ ποιεῖν, λέγω δὲ ἀληθεύειν, οἷον ὅτι οὐκ ἐνδέχεται τὸ αὐτὸ καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον εἶναι καὶ μὴ εἶναι, καὶ τἆλλα τὰ τοῦτον αὐτοῖς ἀντικείμενα [y]τὸν τρόπον. Καὶ περὶ τῶν τοιούτων ἁπλῶς μὲν οὐκ 2 ἔστιν ἀπόδειξις, πρὸς τόνδε δ' ἔστιν. Οὐ γὰρ ἔστιν ἐκ πιστοτέρας ἀρχῆς αὐτοῦ τούτου ποιήσασθαι [z]τὸν συλλογι- 3 σμόν, δεῖ δέ [a]γ', εἴπερ ἔσται τὸ ἁπλῶς ἀποδεδεῖχθαι. Πρὸς δὲ τὸν [b]λέγοντα τὰς ἀντικειμένας φάσεις τῷ δεικνύντι διότι [c]ψεῦδος, ληπτέον τι τοιοῦτον [d]ὃ ταὐτὸ μὲν ἔσται τῷ μὴ ἐνδέχεσθαι ταὐτὸ εἶναι καὶ μὴ εἶναι καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον, μὴ [e]δόξει δ' εἶναι ταὐτόν· οὕτω γὰρ [f]μόνως ἂν ἀποδειχθείη πρὸς τὸν φάσκοντα ἐνδέχεσθαι τὰς ἀντικειμένας 4 φάσεις ἀληθεύεσθαι κατὰ τοῦ αὐτοῦ. Τοὺς [g]δὴ μέλλοντας

p ὅτι] εἰ T. q alterum ἴσων add. E. r ᾗ] ἢ Ab. s ἑκάστων Ab. t τὰ om. Ab. v ᾗ om. E.T. w ἕτερ' ἅπτα γρ. E. x οὐκ ἔσται Ab. y τὸν om. T. z τὸν om. Ab.Fb. a γ' om. T. b λόγον T. c ψεύδεται Fb. d ὃ ταὐτῷ T. e δόξῃ Ab, δόξειε rc. E. f μόνος Ab. g δὲ T.

ἀλλήλοις λόγου κοινωνήσειν δεῖ τι συνιέναι αὐτῶν· μὴ γιγνομένου γὰρ τούτου πῶς [h] ἔσται κοινωνία τούτοις πρὸς ἀλλήλους λόγου; Δεῖ τοίνυν τῶν ὀνομάτων ἕκαστον εἶναι γνώριμον καὶ δηλοῦν τι, καὶ μὴ πολλά, μόνον δ' ἕν· ἂν δὲ [i] πλείω σημαίνῃ, φανερὸν ποιεῖν ἐφ' ὃ φέρει τοὔνομα τούτων. [r] Ὃ 5
[k] δὴ λέγων εἶναι τοῦτο καὶ μὴ εἶναι, τοῦτο [l] ὅ φησιν οὔ φησιν, ὥσθ' ὃ σημαίνει τοὔνομα τοῦτ' οὐ φησι σημαίνειν· τοῦτο δ' ἀδύνατον. [u] Ὥστ' εἴπερ σημαίνει τι τὸ εἶναι τόδε, τὴν ἀντίφασιν [m] ἀδύνατον ἀληθεύειν [n] κατὰ τοῦ αὐτοῦ. [s] Ἔτι δ' εἴ 6
τι σημαίνει τοὔνομα καὶ τοῦτ' ἀληθεύεται, [o] δεῖ τοῦτ' ἐξ ἀνάγκης εἶναι· τὸ δ' ἐξ ἀνάγκης ὂν οὐκ ἐνδέχεταί [p] ποτε μὴ εἶναι· τὰς ἀντικειμένας ἄρα οὐκ ἐνδέχεται [q] φάσεις ἀληθεύειν κατὰ τοῦ αὐτοῦ. [t] Ἔτι δ' εἰ μηθὲν μᾶλλον ἡ φάσις ἢ [r] ἡ ἀπόφασις ἀληθεύεται, ὁ λέγων ἄνθρωπον ἢ οὐκ ἄνθρωπον [s] οὐθὲν μᾶλλον ἀληθεύσει. Δόξειε δὲ κἂν οὐχ ἵππον εἶναι 7
φάσκων τὸν ἄνθρωπον ἢ μᾶλλον ἢ οὐχ ἧττον ἀληθεύειν [t] ἢ οὐκ ἄνθρωπον, ὥστε καὶ ἵππον φάσκων εἶναι τὸν αὐτὸν ἀληθεύσει· τὰς γὰρ ἀντικειμένας ὁμοίως ἦν ἀληθεύειν. Συμβαίνει τοίνυν τὸν αὐτὸν ἄνθρωπον εἶναι καὶ ἵππον ἢ τῶν ἄλλων τι ζῴων. [v] Ἀπόδειξις μὲν οὖν οὐδεμία τούτων ἐστὶν ἁπλῶς, πρὸς 8
μέντοι τὸν ταῦτα τιθέμενον ἀπόδειξις. Ταχέως δ' ἄν τις καὶ αὐτὸν τὸν [w] Ἡράκλειτον τοῦτον [x] ἐρωτήσας τὸν τρόπον ἠνάγκασεν ὁμολογεῖν μηδέποτε τὰς ἀντικειμένας φάσεις δυνατὸν εἶναι κατὰ τῶν αὐτῶν ἀληθεύεσθαι· νῦν δ' οὐ [y] συνεὶς [z] ἑαυτοῦ τί ποτε λέγει, ταύτην ἔλαβε τὴν δόξαν. [a] Ὅλως δ' 9
εἰ τὸ λεγόμενον ὑπ' αὐτοῦ ἐστὶν ἀληθές, οὐδ' ἂν αὐτὸ τοῦτο [b] εἴη ἀληθές, λέγω δὲ τὸ ἐνδέχεσθαι τὸ αὐτὸ καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον εἶναί τε καὶ μὴ εἶναι. Καθάπερ γὰρ καὶ διη- 10
ρημένων αὐτῶν οὐθὲν μᾶλλον ἡ κατάφασις ἢ ἡ ἀπόφασις

h ἔστι E.Ab. i πλείονα E.T. k δεῖ Fb. l ὅ] ὃ ὅλως εἶναι E, om. T. m ἀληθεύειν ἀδύνατον E.T. n κατὰ τοῦ αὐτοῦ om. E.T. o δεῖ καὶ τοῦτ' E.T. p τότε E.T. q φάσεις καὶ ἀποφάσεις ἀληθεύειν E.T. r ἡ post ἢ om. T. s οὐθὲν] οὐδὲ T. t ἢ om. E. v ἐρωτῶν Ab. w συνιεὶς T.Ab. et γρ. E. x ἑαυτὸν T, αὐτοῦ Ab. y ἀληθὲς εἴη E.T.

ἀληθεύεται, τὸν αὐτὸν τρόπον καὶ [z]τοῦ συναμφοτέρου καὶ τοῦ συμπεπλεγμένου καθάπερ [a]μιᾶς τινὸς καταφάσεως οὔσης οὐθὲν μᾶλλον ἡ ἀπόφασις ἢ τὸ ὅλον ὡς ἐν καταφάσει τιθέ-
11 μενον [b]ἀληθεύσεται. Ἔτι δ' εἰ μηθὲν ἔστιν ἀληθῶς καταφῆσαι, κἂν αὐτὸ τοῦτο ψεῦδος εἴη τὸ φάναι μηδεμίαν ἀληθῆ κατάφασιν ὑπάρχειν. Εἰ δ' ἔστι τι, λύοιτ' ἂν τὸ λεγόμενον ὑπὸ τῶν τὰ τοιαῦτα ἐνισταμένων καὶ παντελῶς ἀναιρούντων τὸ διαλέγεσθαι.

6 Παραπλήσιον δὲ τοῖς εἰρημένοις ἐστὶ καὶ τὸ λεχθὲν ὑπὸ τοῦ Πρωταγόρου· καὶ γὰρ ἐκεῖνος ἔφη πάντων [c]χρημάτων εἶναι μέτρον [d]ἄνθρωπον, οὐθὲν ἕτερον λέγων ἢ τὸ δοκοῦν
2 ἑκάστῳ τοῦτο καὶ εἶναι παγίως. Τούτου δὲ γιγνομένου τὸ αὐτὸ συμβαίνει καὶ εἶναι καὶ μὴ εἶναι, καὶ κακὸν καὶ ἀγαθὸν εἶναι, καὶ τἆλλα τὰ κατὰ τὰς ἀντικειμένας [e]λεγόμενα φάσεις, διὰ τὸ πολλάκις τοισδὶ μὲν φαίνεσθαι τόδε εἶναι καλὸν τοισδὶ δὲ τοὐναντίον, μέτρον δ' εἶναι τὸ φαινόμενον ἑκάστῳ.
3 Λύοιτο δ' ἂν αὕτη ἡ ἀπορία θεωρήσασι [f]πόθεν ἡ ἀρχὴ τῆς ὑπολήψεως ταύτης. Ἔοικε γὰρ ἐνίοις μὲν ἐκ τῆς τῶν φυσιολόγων δόξης γεγενῆσθαι, τοῖς δ' ἐκ τοῦ μὴ ταὐτὰ περὶ τῶν αὐτῶν [g]ἅπαντας γιγνώσκειν, ἀλλὰ [h]τοισδὶ μὲν ἡδὺ [i]τόδε
4 φαίνεσθαι [k]τοισδὶ δὲ τοὐναντίον. Τὸ γὰρ μηθὲν [l]ἐκ μὴ ὄντος γίγνεσθαι πᾶν δ' ἐξ ὄντος, σχεδὸν ἁπάντων [m]ἐστὶ κοινὸν δόγμα τῶν περὶ φύσεως. Ἐπεὶ οὖν οὐ λευκὸν γίγνεται λευκοῦ [n]τελέως ὄντος καὶ [o]οὐδαμῇ μὴ λευκοῦ, νῦν δὲ γεγενημένον μὴ λευκὸν γίγνοιτ' ἂν [p]ἐκ μὴ ὄντος λευκοῦ τὸ γιγνόμενον μὴ λευκόν· ὥστε ἐκ μὴ ὄντος γίγνοιτ' ἂν κατ' ἐκείνους, εἰ μὴ
5 ὑπῆρχε [q]μὴ λευκὸν τὸ αὐτὸ καὶ λευκόν. Οὐ χαλεπὸν δὲ διαλύειν τὴν ἀπορίαν ταύτην· εἴρηται γὰρ ἐν τοῖς φυσικοῖς πῶς ἐκ τοῦ μὴ ὄντος γίγνεται τὰ γιγνόμενα καὶ πῶς ἐξ ὄντος.

z τοῦ om. T. a τινὸς μιᾶς A^b. b ἀληθεύεται F^b, ἀληθὲς ἔσται E. c εἶναι χρημάτων μέτρον E, εἶναι μέτρον χρημάτων T. d τὸν ἄνθρωπον E. e φάσεις λεγόμενα E.T. f πόθεν ἐλήλυθεν ἡ E.T. g ἅπαντα E. h τοῖσδε A^b. i τότε φαίνεται T. k τοῖς E.T. l ἐκ τοῦ μὴ T. m κοινόν ἐστι A^b. n τελείως ET. o μηδαμῇ F^b. p γρ. καὶ οὕτως· ἐκ μὴ ὄντος μὴ λευκοῦ margo E. q μὴ post καὶ A^b.

Τό γε μὴν ὁμοίως [r]προσέχειν [s]ταῖς δόξαις καὶ ταῖς φαν-
τασίαις [t]τῶν πρὸς αὐτοὺς [v]διαμφισβητούντων εὔηθες· δῆλον
γὰρ ὅτι τοὺς ἑτέρους αὐτῶν ἀνάγκη διεψεῦσθαι. Φανερὸν δὲ 6
τοῦτ' ἐκ τῶν γιγνομένων κατὰ τὴν αἴσθησιν· οὐδέποτε γὰρ
τὸ αὐτὸ φαίνεται τοῖς μὲν γλυκὺ τοῖς δὲ τοὐναντίον, [w]μὴ
[x]διεφθαρμένων καὶ λελωβημένων τῶν ἑτέρων τὸ αἰσθητήριον
καὶ κριτήριον τῶν λεχθέντων χυμῶν. Τούτου δ' ὄντος τοιού-
του τοὺς [y]ἑτέρους μὲν ὑπολεπτέον μέτρον εἶναι, τοὺς δ' ἑτέ-
ρους οὐχ ὑπολεπτέον. [z]Ὁμοίως δὲ τοῦτο λέγω καὶ ἐπὶ ἀγα- 7
θοῦ καὶ κακοῦ, καὶ καλοῦ καὶ αἰσχροῦ, καὶ τῶν ἄλλων τῶν
τοιούτων. Οὐθὲν γὰρ διαφέρει [a]τοῦτ' ἀξιοῦν ἢ τὰ φαινό-
μενα τοῖς ὑπὸ τὴν ὄψιν ὑποβάλλουσι τὸν δάκτυλον καὶ ποι-
οῦσιν ἐκ τοῦ ἑνὸς φαίνεσθαι δύο, δύο δ' εἶναι διὰ τὸ φαίνε-
σθαι τοσαῦτα, καὶ πάλιν ἕν· τοῖς γὰρ μὴ κινοῦσι τὴν [a]ὄψιν
ἓν φαίνεται τὸ ἕν. [b]Ὅλως δ' ἄτοπον ἐκ τοῦ φαίνεσθαι τὰ 8
δεῦρο μεταβάλλοντα καὶ μηδέποτε διαμένοντα ἐν τοῖς αὐτοῖς,
ἐκ τούτου περὶ τῆς ἀληθείας τὴν κρίσιν ποιεῖσθαι. Δεῖ γὰρ
ἐκ τῶν ἀεὶ [b]κατὰ ταὐτὰ [c]ἐχόντων καὶ μηδεμίαν μεταβολὴν
ποιουμένων τἀληθὲς θηρεύειν. Τοιαῦτα δ' ἐστὶ τὰ κατὰ τὸν 9
κόσμον· ταῦτα [d]γὰρ οὐχ ὁτὲ μὲν [e]τοιαδὶ πάλιν δ' ἀλλοῖα
φαίνεται, ταὐτὰ δ' ἀεὶ καὶ μεταβολῆς οὐδεμιᾶς κοινωνοῦντα.
[u]Ἔτι δ' [f]εἰ κίνησίς ἐστι καὶ κινούμενόν τι, κινεῖται δὲ πᾶν ἔκ
τινος καὶ εἴς τι, δεῖ ἄρα τὸ κινούμενον [g]εἶναι ἐν ἐκείνῳ ἐξ οὗ
κινήσεται καὶ [h]οὐκ εἶναι ἐν αὐτῷ, καὶ εἰς [i]τοδὶ κινεῖσθαι καὶ
γίγνεσθαι ἐν τούτῳ, τὸ δὲ κατὰ τὴν ἀντίφασιν μὴ [k]ἀλη-
θεύεσθαι κατ' αὐτούς. Καὶ εἰ κατὰ τὸ ποσὸν συνεχῶς τὰ 10
δεῦρο ῥεῖ καὶ κινεῖται, καί τις τοῦτο θείη καίπερ οὐκ ἀληθὲς
ὄν, διὰ τί κατὰ τὸ ποιὸν οὐ μένει; [l]Φαίνονται γὰρ οὐχ
ἥκιστα [m]τὰ κατὰ τὰς ἀντιφάσεις [n]ταὐτοῦ κατηγορεῖν ἐκ

[r] προσέχειν] προσέχειν ἀμφοτέραις E.T. [s] ταῖς δόξαις καὶ om. F[b]. [t] τῶν πρὸς αὐτοὺς om. F[b]. [v] ἀμφισβητούντων A[b].F[b]. [w] μηδὲ A[b]. [x] ἐφθαρμένων T. [y] ἑτέρους] ἄλλους A[b]. [z] ταῦτ' T, τοῦ F[b]. [a] ὄψιν ἐμφαίνεται A[b]. [b] κατ' αὐτὴν T. [c] ἐχόντων] ὄντων A[b]. [d] γὰρ] μὲν T. [e] τοιάδε E. [f] εἰ] ἡ T. [g] εἶναι ἔτι ἐν E.T. [h] οὐκ] μὴ A[b]. [i] τόδε A[b]. [k] συναληθεύεσθαι A[b]. [l] φαίνεται T. [m] τὰ om. T. [n] αὐτοῦ A[b].

τοῦ τὸ ποσὸν ὑπειληφέναι μὴ μένειν ἐπὶ τῶν σωμάτων [o] διὰ
11 τὸ καὶ εἶναι τετράπηχυ τὸ αὐτὸ καὶ οὐκ εἶναι. [t]Ἡ δ' οὐσία
κατὰ τὸ ποιόν, τοῦτο [p]δὲ τῆς ὡρισμένης φύσεως, τὸ δὲ
ποσὸν τῆς ἀορίστου. [u]Ἔτι διὰ τί προστάττοντος τοῦ ἰατροῦ
τοδὶ τὸ σιτίον προσενέγκασθαι προσφέρονται; Τί γὰρ
μᾶλλον [q]τοῦτο [r]ἄρτος ἐστὶν ἢ οὐκ ἔστιν; [v]Ὥστ' οὐθὲν ἂν
[s]διέχοι φαγεῖν ἢ μὴ φαγεῖν. Νῦν δ' ὡς [t]ἀληθεύοντες περὶ
αὐτὸ καὶ ὄντος τοῦ προσταχθέντος σιτίου τούτου προσφέ-
12 ρονται [v]τοῦτο. Καίτοι [w]γ' οὐκ ἔδει [x]μὴ διαμενούσης παγίως
μηδεμιᾶς φύσεως ἐν τοῖς αἰσθητοῖς, ἀλλ' ἀεὶ πασῶν κινου-
μένων καὶ ῥεουσῶν. [u]Ἔτι δ' εἰ μὲν ἀλλοιούμεθα [y]ἀεὶ καὶ μη-
δέποτε [z]διαμένομεν οἱ αὐτοί, τί [a]καὶ θαυμαστὸν εἰ μηδέποθ'
13 ἡμῖν ταὐτὰ φαίνεται καθάπερ τοῖς κάμνουσιν; Καὶ γὰρ τού-
τοις διὰ τὸ μὴ ὁμοίως [b]διακεῖσθαι τὴν ἕξιν καὶ ὅθ' ὑγίαινον,
οὐχ ὅμοια φαίνεται τὰ κατὰ τὰς αἰσθήσεις, αὐτὰ μὲν οὐ-
δεμιᾶς διά γε τοῦτο μεταβολῆς κοινωνοῦντα τὰ αἰσθητά,
αἰσθήματα δ' ἕτερα ποιοῦντα τοῖς κάμνουσι [c]καὶ μὴ ταὐτά.
Τὸν αὐτὸν δὴ τρόπον ἔχειν καὶ τῆς εἰρημένης μεταβολῆς
14 [d]γιγνομένης ἴσως ἀναγκαῖόν ἐστιν. Εἰ δὲ μὴ μεταβάλλομεν
ἀλλ' οἱ αὐτοὶ διατελοῦμεν ὄντες, εἴη [e]ἄν τι μένον. Πρὸς
μὲν οὖν τοὺς ἐκ λόγου τὰς εἰρημένας ἀπορίας ἔχοντας οὐ
ῥᾴδιον διαλῦσαι μὴ τιθέντων τι καὶ τούτου [f]λόγον μηκέτι
ἀπαιτούντων· οὕτω [g]γὰρ πᾶς λόγος καὶ πᾶσα ἀπόδειξις
γίγνεται· μηθὲν γὰρ τιθέντες ἀναιροῦσι τὸ διαλέγεσθαι καὶ
15 ὅλως λόγον. [v]Ὥστε πρὸς μὲν τοὺς τοιούτους οὐκ ἔστι λόγος,
πρὸς δὲ τοὺς διαποροῦντας ἐκ τῶν παραδεδομένων ἀποριῶν
ῥᾴδιον ἀπαντᾶν καὶ διαλύειν τὰ ποιοῦντα τὴν ἀπορίαν ἐν
16 αὐτοῖς. Δῆλον δ' ἐκ τῶν εἰρημένων. [v]Ὥστε φανερὸν ἐκ
τούτων ὅτι οὐκ ἐνδέχεται τὰς ἀντικειμένας φάσεις περὶ ταὐ-
τοῦ καθ' ἕνα χρόνον ἀληθεύειν, οὐδὲ τὰ ἐναντία, διὰ τὸ λέ-

[o] διὰ τὸ] διὸ A^b. [p] δὲ] γὰρ A^b. [q] τοῦτο om. E.T. [r] ἄρτον T. [s] διέχοι] τι ἔχοι E.T. [t] ἀληθεύοντος A^b. [v] τούτῳ T. [w] γ' om. A^b. [x] μὴ om. T. [y] ἀεὶ om. A^b. [z] διαμένωμεν E. [a] καὶ om. A^b. [b] τὴν ἕξιν διακεῖσθαι A^b. [c] καὶ μὴ ταὐτά om. A^b. [d] γενομένης A^b. [e] τι ἂν E.T. [f] μηκέτι λόγον E.T. [g] γὰρ καὶ πᾶς T.

γεσθαι κατὰ στέρησιν [h] πᾶσαν ἐναντιότητα. Δῆλον δὲ τοῦτ' ἐπ' ἀρχὴν τοὺς λόγους [i] ἀναλύουσι τοὺς τῶν ἐναντίων. [t]Ομοίως δ' οὐδὲ τῶν ἀνὰ μέσον οὐθὲν οἷόν τε κατηγορεῖσθαι καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ. Λευκοῦ γὰρ ὄντος τοῦ ὑποκειμένου 17
λέγοντες αὐτὸ εἶναι οὔτε [k] λευκὸν οὔτε μέλαν ψευσόμεθα· συμβαίνει γὰρ εἶναι λευκὸν αὐτὸ καὶ μὴ εἶναι· θάτερον γὰρ τῶν συμπεπλεγμένων [l] ἀληθεύσεται [m] κατ' αὐτοῦ, τοῦτο δ' ἐστὶν ἀντίφασις τοῦ λευκοῦ. Οὔτε δὴ καθ' [t]Ηράκλειτον [n] ἐνδέχεται λέγοντας ἀληθεύειν, οὔτε κατ' [t]Αναξαγόραν. Εἰ 18
δὲ μή, συμβήσεται τἀναντία τοῦ αὐτοῦ κατηγορεῖν· ὅταν γὰρ ἐν παντὶ φῇ παντὸς εἶναι μοῖραν, οὐθὲν μᾶλλον εἶναί φησι γλυκὺ ἢ πικρὸν ἢ τῶν λοιπῶν ὁποιανοῦν ἐναντιώσεων, εἴπερ ἐν ἅπαντι [o] πᾶν ὑπάρχει μὴ δυνάμει μόνον ἀλλ' ἐνεργείᾳ καὶ ἀποκεκριμένον. [t]Ομοίως δὲ οὐδὲ πάσας ψευδεῖς οὐδ' 19
ἀληθεῖς τὰς [p] φάσεις δυνατὸν εἶναι, δι' ἄλλα τε πολλὰ τῶν συναχθέντων ἂν δυσχερῶν διὰ ταύτην τὴν θέσιν, [q] καὶ διότι ψευδῶν μὲν οὐσῶν πασῶν οὐδ' αὐτὸ [r] τοῦτό τις φάσκων ἀληθεύσει, ἀληθῶν δὲ ψευδεῖς εἶναι πάσας λέγων οὐ ψεύσεται.

Πᾶσα δ' ἐπιστήμη ζητεῖ τινὰς ἀρχὰς καὶ αἰτίας περὶ ἕκα- 7
στον τῶν ὑφ' αὑτὴν ἐπιστητῶν, οἷον ἰατρικὴ καὶ γυμναστικὴ καὶ τῶν λοιπῶν ἑκάστη τῶν ποιητικῶν [s] καὶ μαθηματικῶν. [t]Εκάστη γὰρ τούτων περιγραψαμένη τι γένος [t] αὐτῇ περὶ τοῦτο πραγματεύεται ὡς ὑπάρχον καὶ ὄν, οὐχ ᾗ δὲ ὄν, ἀλλ' ἑτέρα τις αὕτη παρὰ ταύτας τὰς ἐπιστήμας ἐστὶν ἐπιστήμη. Τῶν δὲ λεχθεισῶν ἐπιστημῶν ἑκάστη λαβοῦσά πως τὸ τί 2
ἐστιν ἐν ἑκάστῳ γένει πειρᾶται δεικνύναι τὰ λοιπὰ μαλακώτερον ἢ ἀκριβέστερον. Λαμβάνουσι δὲ τὸ τί ἐστιν αἱ μὲν διὰ [v] τῆς αἰσθήσεως αἱ δ' ὑποτιθέμεναι· διὸ καὶ δῆλον ἐκ τῆς τοιαύτης ἐπαγωγῆς ὅτι τῆς οὐσίας καὶ τοῦ τί ἐστιν οὐκ

[h] *πᾶσαν ἐναντιότητα*] *τὰ ἐναντία* A[b]. [i] *λύουσι* E.T. [k] *μέλαν οὔτε λευκὸν* A[b]. [l] *ἀληθεύεται* E. [m] *κατὰ τοῦ αὐτοῦ* T. [n] *ἐνδέχεται λέγοντα* T, *λέγοντα ἐνδέχεται* F[b]. [o] *πάντα* A[b]. [p] *φύσεις* T. [q] *καὶ* om. T. [r] *τις τοῦτο* A[b]. [s] *καὶ*] *ἢ* T. [t] *αὐτὴ* A[b]. [v] *τῆς* om. A[b].

3 ἔστιν ἀπόδειξις. [1]Ἐπεὶ δ' ἔστι τις ἡ περὶ φύσεως ἐπιστήμη, δῆλον ὅτι καὶ πρακτικῆς ἑτέρα καὶ ποιητικῆς ἔσται. Ποιητικῆς μὲν γὰρ ἐν τῷ ποιοῦντι καὶ [w]οὐ τῷ ποιουμένῳ τῆς κινήσεως ἡ ἀρχή, καὶ τοῦτ' ἐστὶν εἴτε τέχνη τις εἴτ' ἄλλη τις δύναμις. [1]Ὁμοίως δὲ [x]καὶ τῆς πρακτικῆς οὐκ ἐν τῷ πρακτῷ,
4 μᾶλλον δ' [y]ἐν τοῖς πράττουσιν ἡ κίνησις. [1]Ἡ δὲ τοῦ φυσικοῦ περὶ τὰ ἔχοντ' ἐν [z]ἑαυτοῖς κινήσεως ἀρχήν ἐστιν. [μ]Ὅτι μὲν τοίνυν οὔτε πρακτικὴν οὔτε ποιητικὴν ἀλλὰ θεωρητικὴν ἀναγκαῖον εἶναι τὴν φυσικὴν ἐπιστήμην, δῆλον ἐκ τούτων· εἰς ἓν γάρ τι τούτων τῶν γενῶν ἀνάγκη πίπτειν [a]αὐτήν.
5 [1]Ἐπεὶ δὲ τὸ τί ἐστιν ἀναγκαῖον ἑκάστῃ πως τῶν ἐπιστημῶν εἰδέναι καὶ τούτῳ χρῆσθαι ἀρχῇ, δεῖ μὴ λανθάνειν πῶς ὁριστέον τῷ φυσικῷ καὶ πῶς ὁ τῆς οὐσίας λόγος ληπτέος, πό-
6 τερον ὡς τὸ σιμὸν ἢ μᾶλλον ὡς τὸ κοῖλον. Τούτων γὰρ ὁ μὲν τοῦ σιμοῦ λόγος μετὰ τῆς ὕλης λέγεται τῆς τοῦ πράγματος, ὁ δὲ τοῦ κοίλου χωρὶς τῆς ὕλης· ἡ γὰρ σιμότης ἐν ῥινὶ γίγνεται, διὸ καὶ ὁ λόγος αὐτῆς μετὰ ταύτης [b]θεωρεῖται· τὸ σιμὸν γάρ ἐστι ῥὶς κοίλη. Φανερὸν οὖν ὅτι καὶ σαρκὸς καὶ ὀφθαλμοῦ καὶ τῶν λοιπῶν μορίων μετὰ τῆς ὕλης
7 ἀεὶ τὸν λόγον ἀποδοτέον. [1]Ἐπεὶ δ' ἔστι τις ἐπιστήμη τοῦ ὄντος ᾗ ὂν καὶ χωριστόν, σκεπτέον πότερόν ποτε τῇ φυσικῇ τὴν αὐτὴν θετέον [c]ταύτην εἶναι ἢ μᾶλλον ἑτέραν. [1]Ἡ μὲν οὖν φυσικὴ περὶ τὰ κινήσεως ἔχοντ' ἀρχὴν ἐν αὐτοῖς ἐστίν, ἡ δὲ μαθηματικὴ θεωρητικὴ μὲν καὶ περὶ [d]μένοντά τις αὖτη,
8 ἀλλ' οὐ χωριστά. Περὶ τὸ χωριστὸν ἄρα ὂν καὶ [e]τὸ ἀκίνητον ἑτέρα τούτων ἀμφοτέρων τῶν ἐπιστημῶν ἐστί [f]τις, εἴπερ ὑπάρχει τις οὐσία τοιαύτη, λέγω δὲ χωριστὴ καὶ ἀκίνητος, ὅπερ πειρασόμεθα δεικνύναι. Καὶ εἴπερ [g]ἔστι τις τοιαύτη φύσις ἐν τοῖς οὖσιν, ἐνταῦθ' ἂν εἴη που καὶ τὸ θεῖον, καὶ αὕτη
9 [h]ἂν εἴη πρώτη καὶ κυριωτάτη ἀρχή. Δῆλον τοίνυν ὅτι τρία

w οὐ] ἐν T. x καὶ ἐπὶ τῆς T. y ἐν αὐτοῖς τοῖς T. z αὑτοῖς E. a αὐτήν om. A^b. b θεωρεῖται] εἴρηται E.T. c εἶναι ταύτην E.T. d μὲν ὄντα T. e τὸ post καὶ om. A^b. f τις om. A^b. g ἔστι om. T. h ἂν om. A^b.

γένη τῶν θεωρητικῶν ἐπιστημῶν ἐστί, φυσική, μαθηματική, θεολογική. Βέλτιστον μὲν οὖν τὸ τῶν θεωρητικῶν [k] ἐπιστημῶν γένος, τούτων δ' αὐτῶν ἡ τελευταία λεχθεῖσα· περὶ τὸ [l] τιμιώτατον γάρ ἐστι τῶν ὄντων, βελτίων δὲ καὶ χείρων ἑκάστη λέγεται κατὰ τὸ οἰκεῖον ἐπιστητόν. [d]Απορήσειε δ' ἄν τις πότερόν ποτε τὴν τοῦ ὄντος ᾗ ὂν ἐπιστήμην καθόλου [m] δεῖ θεῖναι ἢ οὔ. Τῶν [n] μὲν γὰρ μαθηματικῶν ἑκάστη περὶ ἕν τι γένος ἀφωρισμένον ἐστίν, ἡ δὲ καθόλου κοινὴ περὶ πάντων. Εἰ μὲν οὖν αἱ φυσικαὶ οὐσίαι πρῶται τῶν ὄντων εἰσί, [o] κἂν ἡ φυσικὴ πρώτη τῶν ἐπιστημῶν εἴη· εἰ δ' ἔστιν ἑτέρα φύσις καὶ οὐσία χωριστὴ καὶ ἀκίνητος, ἑτέραν ἀνάγκη καὶ τὴν ἐπιστήμην αὐτῆς εἶναι καὶ [p] προτέραν τῆς φυσικῆς καὶ καθόλου [p] τῷ προτέραν.

[d]Επεὶ δὲ τὸ ἁπλῶς [q] ὂν κατὰ [r] πλείους λέγεται τρόπους, 8
ὧν εἷς ἐστὶν ὁ κατὰ [s] συμβεβηκὸς λεγόμενος, σκεπτέον πρῶτον περὶ τοῦ [t] οὕτως ὄντος. [u]Οτι μὲν οὖν οὐδεμία τῶν παραδεδομένων ἐπιστημῶν πραγματεύεται περὶ τὸ συμβεβηκός, δῆλον· οὔτε γὰρ οἰκοδομικὴ σκοπεῖ τὸ συμβησόμενον τοῖς τῇ οἰκίᾳ χρησομένοις, οἷον [v] εἰ λυπηρῶς ἢ τοὐναντίον οἰκήσουσιν, οὔθ' ὑφαντικὴ οὔτε σκυτοτομικὴ οὔτε [w] ὀψοποιική. Τὸ δὲ 2
καθ' αὑτὴν ἴδιον ἑκάστη τούτων σκοπεῖ τῶν ἐπιστημῶν μόνον· τοῦτο δ' ἐστὶ τὸ οἰκεῖον τέλος. [x]Οὐδὲ μουσικὸν καὶ γραμματικόν, οὐδὲ τὸν ὄντα μουσικὸν ὅτι γενόμενος γραμματικὸς [y] τὰ ἀμφότερα ἅμα ἔσται, πρότερον οὐκ [z] ὤν, ὃ δὲ [a] μὴ ἀεὶ ὂν ἔστιν, [b] ἐγένετο τοῦτο, ὥσθ' ἅμα μουσικὸς [b] ἐγένετο καὶ γραμματικός. Τοῦτο δὲ οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως 3
[c] οὐσῶν ἐπιστημῶν πλὴν ἡ σοφιστική· περὶ τὸ συμβεβηκὸς γὰρ αὕτη μόνη πραγματεύεται, διὸ Πλάτων οὐ κακῶς εἴρηκε

[i] μὲν om. idem. [k] ἐπιστημῶν om. E. [l] κυριώτατον A^b. [m] θεῖναι δεῖ T. [n] μὲν om. A^b. [o] καὶ γρ. E. [p] τῷ om. A^b. [q] ὂν om. T. [r] πλείους εἶναι λέγεται A^b. [s] συμβεβηκὸς εἶναι λεγόμενος A^b. [t] οὕτως] ὄντως E.T.F^b. [v] εἰ] ἢ E. [w] ὀψοποιητική T.A^b. [x] οὐδὲ ᾗ μουσικὸν T. οὐδὲ μουσικὸν καὶ γραμματικόν om. F^b. [y] ἅμα ἔσται τὰ ἀμφότερα E.T. [z] ὃν T. [a] μὴ] ὃν T. [b] ἐγίγνετο utrobique T.A^b. [c] οὐσῶν om. F^b.

φήσας [d]τὸν σοφιστὴν περὶ τὸ μὴ ὂν διατρίβειν. [v]Ὅτι δ' [e]οὐδ' ἐνδεχόμενόν ἐστιν εἶναι τοῦ συμβεβηκότος ἐπιστήμην, φανερὸν ἔσται πειραθεῖσιν ἰδεῖν τί ποτ' ἐστὶ τὸ συμβεβηκός. 4 Πᾶν δή φαμεν εἶναι τὸ μὲν ἀεὶ καὶ ἐξ ἀνάγκης (ἀνάγκης δ' οὐ τῆς κατὰ [f]τὸ βίαιον λεγομένης, ἀλλ' ἣ χρώμεθα ἐν τοῖς κατὰ τὰς ἀποδείξεις), τὸ δ' ὡς ἐπὶ τὸ πολύ, τὸ δ' [g]οὔθ' ὡς ἐπὶ τὸ πολὺ οὔτ' ἀεὶ καὶ ἐξ ἀνάγκης ἀλλ' ὅπως ἔτυχεν· οἷον ἐπὶ κυνὶ γένοιτ' ἂν ψῦχος, ἀλλὰ τοῦτ' οὔθ' ὡς ἀεὶ [h]καὶ ἐξ ἀνάγκης οὔθ' [i]ὡς ἐπὶ τὸ πολὺ γίγνεται, [k]συμβαίη δέ ποτ' 5 ἄν. [l]Ἔστι δὴ τὸ συμβεβηκὸς ὃ γίγνεται μέν, οὐκ ἀεὶ [l]δ' οὐδ' ἐξ ἀνάγκης οὐδ' ὡς ἐπὶ τὸ πολύ. Τί μὲν οὖν ἐστὶ τὸ συμβεβηκός, εἴρηται, διότι δ' οὐκ ἔστιν ἐπιστήμη τοῦ τοιούτου, δῆλον· ἐπιστήμη μὲν γὰρ πᾶσα τοῦ ἀεὶ ὄντος ἢ ὡς ἐπὶ 6 τὸ πολύ, τὸ δὲ συμβεβηκὸς [m]ἐν οὐδετέρῳ τούτων ἐστίν. [v]Ὅτι δὲ τοῦ κατὰ συμβεβηκὸς ὄντος οὐκ εἰσὶν αἰτίαι καὶ ἀρχαὶ τοιαῦται οἵαιπερ τοῦ καθ' αὑτὸ ὄντος, δῆλον· ἔσται γὰρ ἅπαντ' ἐξ ἀνάγκης. Εἰ γὰρ τόδε μέν ἐστι τοῦδε ὄντος, τόδε δὲ τοῦδε, τοῦτο δὲ μὴ ὅπως ἔτυχεν ἀλλ' ἐξ ἀνάγκης, ἐξ ἀνάγκης ἔσται καὶ οὗ τοῦτ' ἦν αἴτιον [n]ἕως τοῦ τελευταίου λεγομένου 7 αἰτιατοῦ· τοῦτο δ' ἦν κατὰ συμβεβηκός. [v]Ὥστ' ἐξ ἀνάγκης [o]ἅπαντ' ἔσται, καὶ τὸ [p]ὁποτέρως ἔτυχε καὶ [q]τὸ ἐνδέχεσθαι καὶ [r]γίγνεσθαι καὶ μὴ παντελῶς ἐκ τῶν γιγνομένων ἀναιρεῖται. Κἂν μὴ ὂν [s]δὲ ἀλλὰ γιγνόμενον τὸ αἴτιον ὑποτεθῇ, 8 [t]ταῦτα συμβήσεται· πᾶν γὰρ ἐξ ἀνάγκης γενήσεται. [u]Ἡ γὰρ αὔριον ἔκλειψις γενήσεται ἂν [v]τόδε γένηται, τοῦτο δ' ἂν ἕτερόν τι, καὶ τοῦτ' ἂν ἄλλο· καὶ τοῦτον δὴ τὸν τρόπον ἀπὸ πεπερασμένου χρόνου [w]τοῦ ἀπὸ τοῦ νῦν μέχρι αὔριον ἀφαιρουμένου χρόνου ἥξει ποτὲ εἰς τὸ ὑπάρχον. [v]Ὥστ' ἐπεὶ τοῦτ' ἐστίν, ἅπαντ' ἐξ ἀνάγκης τὰ μετὰ τοῦτο γενήσεται,

[d] τὴν σοφιστικὴν T. [e] οὐδ'] οὐκ E. [f] τὸ βίαιον] βίαν $A^b.F^b$. [g] οὔθ'] οὐδὲ A^b. [h] καὶ add. $E.F^b$. [i] ὡς om. E.T. [k] συμβαίνει T. [l] δ' om. $T.A^b$. [m] ἐν om. A^b. [n] ὡς $T.A^b$. [o] ἅπαντές τε καὶ T. [p] ὁπότερ' A^b. [q] τὸ om. T. [r] γενέσθαι E. [s] δὲ om. E. [t] ταυτὰ A^b. [u] ἡ] εἰ E.T. [v] τοδὶ T. [w] τοῦ ἀπὸ—χρόνου om. A^b.

ὥστε [x] πάντα ἐξ ἀνάγκης γίγνεσθαι. Τὸ δ' ὡς [y] ἀληθῶς ὂν 9
καὶ [z] μὴ κατὰ συμβεβηκὸς τὸ μέν ἐστιν ἐν συμπλοκῇ [a] τῆς
διανοίας καὶ πάθος ἐν ταύτῃ· διὸ περὶ μὲν τὸ οὕτως ὂν οὐ ζη-
τοῦνται αἱ ἀρχαί, περὶ δὲ τὸ ἔξω ὂν καὶ χωριστόν· τὸ δ' οὐκ
ἀναγκαῖον ἀλλ' ἀόριστον, λέγω δὲ τὸ κατὰ συμβεβηκός· τοῦ
τοιούτου δ' ἄτακτα καὶ ἄπειρα τὰ αἴτια. Τὸ δὲ ἕνεκά του 10
ἐν τοῖς φύσει γιγνομένοις ἢ ἀπὸ διανοίας ἐστίν. Τύχη δ'
ἐστὶν ὅταν τι [b] τούτων γένηται κατὰ συμβεβηκός. [v] Ὥσπερ
γὰρ καὶ ὂν ἐστι τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός,
οὕτω καὶ αἴτιον. [t] Ἡ τύχη [c] δ' αἴτιον κατὰ συμβεβηκὸς ἐν
τοῖς κατὰ προαίρεσιν τῶν ἕνεκά του γιγνομένοις. Διὸ περὶ 11
[d] ταὐτὸ τύχη καὶ διάνοια· προαίρεσις γὰρ οὐ χωρὶς διανοίας.
Τὰ δ' αἴτια ἀόριστα ἀφ' ὧν [e] ἂν γένοιτο [f] τὰ ἀπὸ τύχης· διὸ
ἄδηλος ἀνθρωπίνῳ λογισμῷ [g] καὶ αἴτιον κατὰ συμβεβηκός,
ἁπλῶς δ' οὐθενός. [s] Ἀγαθὴ [h] δὲ τύχη καὶ κακὴ ὅταν ἀγαθὸν 12
ἢ φαῦλον ἀποβῇ· [i] εὐτυχία δὲ καὶ δυστυχία περὶ μέγεθος
τούτων. [s] Ἐπεὶ δ' οὐθὲν κατὰ συμβεβηκὸς πρότερον τῶν καθ'
αὑτό, οὐδ' ἄρ' αἴτια. Εἰ ἄρα τύχη [k] ἢ τὸ αὐτόματον αἴτιον
τοῦ οὐρανοῦ, πρότερον νοῦς [l] αἴτιον καὶ φύσις.

[r] Ἔστι δὲ τὸ μὲν ἐνεργείᾳ μόνον, [m] τὸ δὲ δυνάμει, τὸ δὲ 9
δυνάμει καὶ ἐνεργείᾳ, τὸ μὲν ὅν, τὸ δὲ ποσόν, τὸ δὲ τῶν
λοιπῶν. Οὐκ ἔστι [n] δὲ κίνησις παρὰ τὰ πράγματα· μετα-
βάλλει γὰρ ἀεὶ κατὰ τὰς τοῦ ὄντος κατηγορίας. Κοινὸν
δ' ἐπὶ τούτων οὐθέν [o] ἐστιν οὐδ' ἐν μιᾷ κατηγορίᾳ. [v] Ἕκαστον
δὲ διχῶς ὑπάρχει πᾶσιν, οἷον τὸ [p] τόδε· τὸ μὲν γὰρ [q] μορφὴ
αὐτοῦ, τὸ δὲ στέρησις. Καὶ κατὰ τὸ ποιὸν τὸ μὲν λευκὸν 2
τὸ δὲ μέλαν, καὶ κατὰ τὸ ποσὸν τὸ μὲν τέλειον τὸ δ' ἀτελές,
καὶ κατὰ φορὰν τὸ μὲν ἄνω τὸ δὲ κάτω, [r] ἢ κοῦφον [s] καὶ
βαρύ. [v] Ὥστε κινήσεως καὶ μεταβολῆς τοσαῦτ' εἴδη ὅσα τοῦ

[x] πάντα om. Ab. [y] ἀληθὲς Ab. [z] μὴ om. E. [a] τῆς om. Ab. [b] γένηται τούτων Ab. [c] δ' αἰτία E. [d] ταυτὰ E. [e] ἂν om. T. [f] τὸ Ab. [g] καὶ τὸ αἴτιον T. [h] δὲ om. Ab. [i] εὐτυχία] ἀτυχία T.Ab. [k] ἢ καὶ τὸ Ab. [l] αἴτιος E.T.Ab. [m] τὸ δὲ δυνάμει om. Ab. [n] δὲ] δέ τις E, δέ τι T. [o] ἐστιν ὃ οὐδ' E.T. [p] τόνδε T. [q] μορφὴ] ἕξις T. [r] ἢ τὸ μὲν κοῦφον T. [s] καὶ] τὸ δὲ E.T.

ὄντος. Διηρημένου δὲ καθ' ἕκαστον γένος [t]τοῦ μὲν δυνάμει τοῦ δ' ἐντελεχείᾳ, [v]τὴν τοῦ δυνάμει ἢ τοιοῦτόν ἐστιν ἐνέρ-
3 γειαν λέγω κίνησιν. [w v]Ὅτι δ' ἀληθῆ λέγομεν, ἐνθένδε δῆλον. [v]Ὅταν γὰρ τὸ οἰκοδομητὸν ἢ τοιοῦτον, αὐτὸ λέγομεν εἶναι ἐνεργείᾳ ἢ οἰκοδομεῖται, καὶ [x]ἔστι τοῦτο οἰκοδόμησις. [t]Ὁμοίως μάθησις, ἰάτρευσις [y]καὶ κύλισις, [z]βάδισις, ἅλσις, [a]γήρανσις, ἄδρυνσις. Συμβαίνει δὲ κινεῖσθαι ὅταν ἢ ἐντε-
4 λέχεια ἡ αὐτή, καὶ οὔτε πρότερον οὔθ' ὕστερον. [b t]Ἡ δὴ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ [c]ἢ αὐτὸ ἢ ἄλλο ἢ κινητόν, κίνησίς ἐστιν. Λέγω δὲ τὸ ἢ ὧδε. [d]Ἔστι γὰρ ὁ χαλκὸς δυνάμει ἀνδριάς· ἀλλ' ὅμως οὐχ ἡ τοῦ χαλκοῦ ἐντε-
λέχεια, ἢ χαλκός, κίνησίς ἐστιν. Οὐ γὰρ ταὐτὸν χαλκῷ εἶναι καὶ δυνάμει τινί, ἐπεὶ εἰ ταὐτὸν ἦν ἁπλῶς κατὰ τὸν λό-
γον, ἦν ἂν ἡ τοῦ χαλκοῦ ἐντελέχεια κίνησίς τις. Οὐκ ἔστι
5 δὲ ταὐτό. Δῆλον δ' ἐπὶ τῶν ἐναντίων· τὸ μὲν γὰρ δύνασθαι ὑγιαίνειν καὶ δύνασθαι κάμνειν [d]οὐ [e]ταὐτόν (καὶ γὰρ [f]ἂν τὸ ὑγιαίνειν καὶ [g]τὸ κάμνειν ταὐτὸν ἦν), τὸ δ' ὑποκείμενον καὶ ὑγιαῖνον καὶ νοσοῦν, εἴθ' ὑγρότης εἴθ' αἷμα, ταὐτὸ καὶ ἕν. [t]Ἐπεὶ δ' [h]οὐ ταὐτόν, ὥσπερ οὐδὲ χρῶμα ταὐτὸν καὶ ὁρατόν,
6 ἡ τοῦ δυνατοῦ [i]ᾗ δυνατὸν ἐντελέχεια κίνησίς ἐστιν. [v]Ὅτι μὲν [k]γάρ ἐστιν αὕτη, καὶ [l]ὅτι συμβαίνει [m]τότε κινεῖσθαι [n]ὅταν ἡ ἐντελέχεια ᾗ αὕτη, καὶ οὔτε πρότερον οὔθ' ὕστερον, δῆλον. [t]Ἐνδέχεται γὰρ ἕκαστον ὁτὲ μὲν ἐνεργεῖν ὁτὲ δὲ μή, οἷον τὸ οἰκοδομητὸν ᾗ οἰκοδομητόν, καὶ ἡ τοῦ οἰκοδομητοῦ ἐνέργεια
7 ᾗ οἰκοδομητόν, οἰκοδόμησίς ἐστιν. [o t]Ἡ γὰρ τοῦτό [p]ἐστιν [q]ἡ οἰκοδόμησις [r]ἡ ἐνέργεια [s]ἢ οἰκία. [t]Ἀλλ' ὅταν οἰκία ᾖ, οὐκέτι οἰκοδομητὸν [t]ἔσται· οἰκοδομεῖται δὲ τὸ οἰκοδομητόν.

[t] τοῦ μὲν om. A[b]. [v] τὴν τοῦ] τοῦτο T. [w] ὅτι—δῆλον om. T. [x] ἔστι τι τοῦτο E. [y] καὶ κύλισις om. E.T. [z] βάδισις om. A[b]. [a] γήρανσις] πέπανσις, πείρανσις T. [b] ἡ δὴ] ἤδη T.A[b]. [c] ἢ αὐτὸ—κίνησίς] οὐχ ᾗ αὐτὸ ἀλλ' ἢ κινητὸν ἡ κίνησίς E.T. [d] οὐ om. T. [e] ταυτὸν ἦν καὶ T.A[b]. [f] ἂν om. T. [g] τὸ post καὶ om. E. [h] οὐ τὸ αὐτὸ E, οὕτω αὐτὸ T. [i] ᾗ] καὶ ἢ A[b]. [k] γάρ] οὖν A[b]. [l] ὅτε A[b]. [m] κινεῖσθαι τότε T. [n] ὅταν ἢ ἐντελέχεια αὕτη E.T. [o] ἢ] εἰ E. [p] ἐστιν] οἰκία ἐστιν E.T. [q] ἡ] ἢ ἡ T. [r] ἡ om. E.T. [s] ἢ οἰκία om. E.T.A[b]. [t] ἔσται om. A[b].

[a]Ἀνάγκη ἄρα οἰκοδόμησιν τὴν ἐνέργειαν εἶναι, ἡ δ' οἰκοδόμησις κίνησίς τις. [b]Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων κινήσεων. [v]Ὅτι δὲ καλῶς εἴρηται, δῆλον ἐξ ὧν οἱ ἄλλοι λέ- 8
γουσι περὶ αὐτῆς, καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι διορίσαι [v]ἄλλως αὐτήν. Οὔτε γὰρ ἐν ἄλλῳ τις γένει δύναιτ' ἂν θεῖναι αὐτήν. Δῆλον [w]δ' ἐξ ὧν λέγουσιν οἱ [x]μὲν ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὄν, ὧν οὐθὲν ἀνάγκη κινεῖσθαι. [a]Ἀλλ' οὐδ' ἡ μετα- 9
βολὴ οὔτ' εἰς ταὐτὰ οὔτ' ἐκ τούτων μᾶλλον ἢ [y]ἐκ τῶν ἀντικειμένων. Αἴτιον δὲ τοῦ εἰς ταὐτὰ τιθέναι ὅτι ἀόριστόν τι δοκεῖ εἶναι ἡ κίνησις, τῆς δ' ἑτέρας [z]συστοιχίας αἱ ἀρχαὶ διὰ τὸ στερητικαὶ εἶναι ἀόριστοι· οὔτε γὰρ τόδε οὔτε τοιόνδε οὐδεμία αὐτῶν οὔτε τῶν λοιπῶν κατηγοριῶν. Τοῦ δὲ δοκεῖν 10
ἀόριστον [a]εἶναι τὴν κίνησιν αἴτιον ὅτι οὔτ' εἰς δύναμιν τῶν ὄντων οὔτ' εἰς ἐνέργειαν ἔστι [b]θεῖναι αὐτήν· οὔτε γὰρ τὸ δυνατὸν ποσὸν εἶναι κινεῖται ἐξ ἀνάγκης, οὔτε τὸ ἐνεργείᾳ ποσόν. [v]Ἡ τε κίνησις ἐνέργεια μὲν εἶναι δοκεῖ [c]τις, ἀτελὴς δέ· 11
αἴτιον δ' ὅτι ἀτελὲς τὸ δυνατὸν οὗ ἐστὶν ἐνέργεια. Καὶ διὰ τοῦτο χαλεπὸν αὐτὴν λαβεῖν τί ἐστιν· ἢ γὰρ εἰς στέρησιν ἀνάγκη θεῖναι ἢ εἰς δύναμιν ἢ εἰς ἐνέργειαν ἁπλῆν, τούτων δ' οὐθὲν φαίνεται ἐνδεχόμενον. [v]Ὥστε λείπεται τὸ λεχθὲν εἶναι 12
καὶ ἐνέργειαν [d]καὶ μὴ ἐνέργειαν τὴν εἰρημένην, ἰδεῖν μὲν χαλεπὴν ἐνδεχομένην δ' εἶναι. Καὶ ὅτι ἔστιν ἡ κίνησις ἐν τῷ κινητῷ, δῆλον· ἐντελέχεια γάρ ἐστι τούτου ὑπὸ τοῦ κινητικοῦ, καὶ ἡ τοῦ κινητικοῦ ἐνέργεια οὐκ ἄλλη ἐστίν. Δεῖ μὲν 13
γὰρ εἶναι ἐντελέχειαν ἀμφοῖν· κινητικὸν μὲν γάρ ἐστι τῷ δύνασθαι, κινοῦν δὲ τῷ ἐνεργεῖν. [a]Ἀλλ' ἔστιν ἐνεργητικὸν τοῦ κινητοῦ, ὥσθ' ὁμοίως [e]μία ἀμφοῖν ἐνέργεια ὥσπερ [f]τὸ αὐτὸ διάστημα ἓν πρὸς δύο καὶ δύο πρὸς ἕν, καὶ τὸ ἄναντες καὶ τὸ κάταντες, ἀλλὰ τὸ εἶναι οὐχ ἕν. [b]Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ κινοῦντος καὶ κινουμένου.

[v] ἄλλως αὐτήν om. T. [w] δ' om. idem. [x] μὲν] μὲν γὰρ A^b. [y] ἐκ post ἢ om. E.T. [z] συστοιχείας T. [a] τὴν κίνησιν εἶναί A^b. [b] τιθέναι E.T. [c] τις om. T. [d] καὶ μὴ ἐνέργειαν om. A^b. [e] μία ἡ ἀμφοῖν E. [f] τὸ διάστημα τὸ αὐτὸ E.

10 Τὸ [g]δ' ἄπειρον ἢ τὸ ἀδύνατον διελθεῖν τῷ μὴ πεφυκέναι διιέναι, καθάπερ ἡ φωνὴ ἀόρατος, ἢ τὸ διέξοδον ἔχον ἀτελεύτητον, ἢ ὃ μόλις, ἢ ὃ πεφυκὸς ἔχειν μὴ ἔχει διέξοδον ἢ πέρας· ἔτι προσθέσει ἢ ἀφαιρέσει ἢ ἄμφω. Χωριστὸν μὲν δὴ αὐτό
2 τι ὄν, [h]αἰσθητὸν δ' οὐχ οἷόν τ' εἶναι. Εἰ γὰρ μήτε μέγεθός [i]ἐστι μήτε πλῆθος, οὐσία δ' [k]αὐτοῦ τὸ ἄπειρον καὶ μὴ συμβεβηκός, ἀδιαίρετον ἔσται· τὸ γὰρ διαιρετὸν ἢ μέγεθος ἢ πλῆθος. Εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον, εἰ μὴ καθάπερ ἡ φωνὴ ἀόρατος. [l]Ἀλλ' οὐχ οὕτω λέγουσιν [l]οὐδ' ἡμεῖς ζη-
3 τοῦμεν, ἀλλ' ὡς ἀδιέξοδον. [l]Ἔτι πῶς ἐνδέχεται καθ' αὐτὸ εἶναι ἄπειρον, εἰ μὴ καὶ ἀριθμὸς καὶ μέγεθος, ὧν πάθος τὸ ἄπειρον; [l]Ἔτι [m]εἰ κατὰ συμβεβηκός, οὐκ ἂν εἴη στοιχεῖον τῶν ὄντων [n]ᾗ ἄπειρον, ὥσπερ οὐδὲ τὸ ἀόρατον τῆς διαλέκτου, καίτοι ἡ φωνὴ ἀόρατος. Καὶ ὅτι οὐκ ἔστιν ἐνεργείᾳ εἶναι
4 τὸ ἄπειρον, δῆλον. [l]Ἔσται γὰρ [o]ὁτιοῦν αὐτοῦ ἄπειρον μέρος τὸ λαμβανόμενον· τὸ γὰρ ἀπείρῳ εἶναι καὶ ἄπειρον ταὐτό, εἴπερ οὐσία τὸ ἄπειρον καὶ [p]μὴ καθ' ὑποκειμένου. [l]Ὥστε ἢ ἀδιαίρετον, ἢ εἰς [q]ἄπειρα διαιρετόν, [r]εἰ μεριστόν. Πολλὰ δ' εἶναι τὸ αὐτὸ ἀδύνατον ἄπειρα· ὥσπερ γὰρ [s]ἀέρος ἀὴρ
5 μέρος, οὕτως ἄπειρον ἀπείρου, εἰ ἔστιν οὐσία καὶ ἀρχή. [l]Ἀμέριστον ἄρα καὶ ἀδιαίρετον. [l]Ἀλλ' ἀδύνατον τὸ ἐντελεχείᾳ ὂν ἄπειρον· ποσὸν γὰρ εἶναι ἀνάγκη. Κατὰ συμβεβηκὸς ἄρα ὑπάρχει. [l]Ἀλλ' [t]εἰ οὕτως, εἴρηται ὅτι οὐκ ἐνδέχεται εἶναι ἀρχὴν ἀλλ' [v]ἐκεῖνο ᾧ συμβέβηκε, τὸν ἀέρα ἢ τὸ ἄρτιον. Αὕτη μὲν οὖν ἡ ζήτησις καθόλου· ὅτι [w]δ' ἐν τοῖς αἰσθητοῖς
6 οὐκ ἔστιν, ἐνθένδε δῆλον. Εἰ γὰρ σώματος λόγος τὸ ἐπιπέδοις ὡρισμένον, οὐκ εἴη ἂν ἄπειρον σῶμα οὔτ' αἰσθητὸν οὔτε νοητόν, [x]οὐδ' ἀριθμὸς ὡς κεχωρισμένος καὶ ἄπειρος· ἀριθμητὸν γὰρ ὁ ἀριθμὸς ἢ τὸ ἔχον ἀριθμόν. [y]Φυσικῶς δὲ

[g] δ' om. Ab. [h] αἰσθητὸν δ' om. E. [i] ἐστι om. Ab. [k] αὐτὸ E.T. [l] οὐδ'] οὔθ' E.T. [m] εἰ om. T. [n] ᾗ] ἢ Ab. [o] ὁτιοῦν ἑαυτοῦ T, αὐτοῦ ὁτιοῦν Ab. [p] μὴ om. T. [q] ἄπειρα] ἀεὶ διαιρετὰ Ab. [r] εἰ] ἢ T. [s] μέρος ἀὴρ ἀέρος E.T. [t] εἰ om. Ab. [v] ἐκείνω T. [w] δ' οὐδ' ἐν Ab. [x] οὔτ' E.T. [y] φυσικὸν T.

ἐκ τῶνδε δῆλον. Οὔτε γὰρ σύνθετον οἷόν [z]τ' εἶναι οὔθ' ἁπλοῦν. Σύνθετον μὲν γὰρ οὐκ [a]ἔσται σῶμα, [b]ἐπείπερ πεπέρανται τῷ πλήθει τὰ στοιχεῖα. Δεῖ γὰρ ἰσάζειν τἀναντία 7
καὶ μὴ εἶναι ἓν αὐτῶν ἄπειρον· εἰ γὰρ [c]ὁπωσοῦν λείπεται ἡ θατέρου σώματος δύναμις, φθαρήσεται ὑπὸ τοῦ ἀπείρου τὸ πεπερασμένον. [v]Ἕκαστον δ' ἄπειρον εἶναι ἀδύνατον· σῶμα γάρ ἐστι τὸ πάντῃ ἔχον διάστασιν, ἄπειρον δὲ τὸ ἀπεράντως διεστηκός, ὥστ' [d]εἰ τὸ ἄπειρον σῶμα, πάντῃ ἔσται ἄπειρον. [e]Οὐδὲ ἓν δὲ καὶ ἁπλοῦν ἐνδέχεται [f]τὸ ἄπειρον εἶναι σῶμα, 8
οὔθ' ὡς λέγουσί τινες, παρὰ τὰ στοιχεῖα ἐξ οὗ γεννῶσι ταῦτα (οὐκ ἔστι γὰρ [g]τὸ τοιοῦτο σῶμα παρὰ τὰ στοιχεῖα· [h]ἅπαντα γὰρ ἐξ [i]ὧν ἐστὶ καὶ διαλύεται εἰς [k]ταῦτα, οὐ φαίνεται δὲ τοῦτο [l]περὶ τὰ ἁπλᾶ σώματα), οὐδὲ πῦρ οὐδ' ἄλλο [m]τι τῶν στοιχείων οὐθέν. Χωρὶς γὰρ τοῦ ἄπειρον εἶναί τι αὐ- 9
τῶν ἀδύνατον τὸ ἅπαν, κἂν ᾖ πεπερασμένον, ἢ εἶναι ἢ γίγνεσθαι ἕν τι αὐτῶν, ὥσπερ [r]Ἡράκλειτός φησιν ἅπαντα γίγνεσθαί ποτε πῦρ. [r]Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἑνός, ὃ ποιοῦσι παρὰ τὰ στοιχεῖα οἱ φυσικοί. Πᾶν γὰρ μεταβάλλει ἐξ ἐναντίου, οἷον ἐκ θερμοῦ εἰς ψυχρόν. [v]Ἔτι τὸ αἰσθη- 10
τὸν σῶμα ποῦ, καὶ ὁ αὐτὸς τόπος ὅλου καὶ μορίου, οἷον τῆς γῆς. [v]Ὥστ' εἰ μὲν ὁμοειδές, ἀκίνητον ἔσται ἢ ἀεὶ [n]οἰσθήσεται. Τοῦτο δὲ ἀδύνατον· τί γὰρ μᾶλλον [o]κάτω ἢ ἄνω ἢ ὁπουοῦν; Οἷον εἰ βῶλος εἴη, ποῦ αὕτη κινήσεται ἢ μενεῖ; [r]Ὁ γὰρ τόπος αὐτῆς τοῦ συγγενοῦς σώματος ἄπειρος. Κα- 11
θέξει οὖν τὸν ὅλον τόπον. Καὶ πῶς; Τίς οὖν [p]ἡ μονὴ καὶ ἡ κίνησις; [q]Ἡ πανταχοῦ μενεῖ; Οὐ κινήσεται ἄρα. [q]Ἡ πανταχοῦ [q]κινήσεται; Οὐκ ἄρα στήσεται. Εἰ δ' ἀνόμοιον τὸ πᾶν, ἀνόμοιοι καὶ οἱ τόποι, καὶ πρῶτον μὲν οὐχ ἓν τὸ σῶμα τοῦ παντὸς ἀλλ' ἢ τῷ ἅπτεσθαι, εἶτα ἢ πεπερασμένα

z τ' om. T. a ἔσται] ἔνι A[b]. b ἐπείπερ] εἰ E.T. c ὁτωοῦν E. d εἰ om. E.T. e οὐδὲ ἓν δὲ ἁπλοῦν E, οὐδὲ ἓν καὶ ἁπλοῦν A[b], ἁπλοῦν δ' T. f τὸ om. E.T. g τὸ om. E.T. h ἅπαν T. i ὧν] οὗ E.T. k ταυτό T, τοῦτο E. l παρὰ A[b]. m τι om. A[b]. n αἰσθήσεται· τοῦ δὲ T. o κάτω] καὶ τὸ T. p ἡ utrumque om. A[b]. q κινήσεται om. E.T.A[b].

12 ταῦτ' ἔσται ἢ ἄπειρα [r] εἴδει. Πεπερασμένα μὲν οὖν οὐχ οἷόν τε· ἔσται γὰρ τὰ μὲν ἄπειρα τὰ δ' οὔ, εἰ τὸ πᾶν ἄπειρον, οἷον πῦρ ἢ ὕδωρ· φθορὰ δὲ τὸ τοιοῦτον τοῖς ἐναντίοις. Εἰ δ' ἄπειρα καὶ ἁπλᾶ, καὶ οἱ τόποι ἄπειροι καὶ ἔσται ἄπειρα [s] τὰ στοιχεῖα· εἰ δὲ τοῦτ' ἀδύνατον, καὶ οἱ τόποι πεπερασμέ-
13 νοι, καὶ τὸ πᾶν ἀνάγκη πεπεράνθαι. [u] Ὅλως δ' ἀδύνατον ἄπειρον εἶναι σῶμα καὶ τόπον τοῖς σώμασιν, εἰ πᾶν σῶμα αἰσθητὸν [t] ἢ βάρος ἔχει ἢ κουφότητα. [u] Ἢ γὰρ ἐπὶ τὸ μέσον ἢ ἄνω οἰσθήσεται, ἀδύνατον δὲ τὸ ἄπειρον ἢ πᾶν ἢ τὸ ἥμισυ [v] ἢ ὁποτερονοῦν πεπονθέναι· πῶς γὰρ [w] διελεῖς; [u] Ἢ πῶς τοῦ ἀπείρου ἔσται τὸ μὲν κάτω τὸ δ' ἄνω, ἢ ἔσχατον καὶ μέσον;
14 [u] Ἔτι πᾶν [x] σῶμα αἰσθητὸν ἐν τόπῳ, τόπου δὲ εἴδη ἕξ, ἀδύνατον δ' ἐν τῷ ἀπείρῳ σώματι ταῦτ' εἶναι. [u] Ὅλως δ' εἰ ἀδύνατον τόπον ἄπειρον εἶναι, καὶ σῶμα ἀδύνατον· τὸ γὰρ ἐν τόπῳ που, τοῦτο [y] δὲ σημαίνει ἢ ἄνω ἢ κάτω ἢ τῶν λοιπῶν
15 τι, τούτων δ' ἕκαστον πέρας τι. Τὸ δ' ἄπειρον οὐ ταὐτὸν ἐν μεγέθει καὶ [z] κινήσει καὶ χρόνῳ ὡς μία τις φύσις, [a] ἀλλὰ τὸ ὕστερον λέγεται κατὰ τὸ πρότερον, οἷον κίνησις κατὰ τὸ μέγεθος ἐφ' οὗ κινεῖται ἢ ἀλλοιοῦται ἢ αὔξεται, χρόνος δὲ διὰ τὴν κίνησιν.

11 Μεταβάλλει δὲ τὸ μεταβάλλον τὸ μὲν κατὰ συμβεβηκός, ὡς τὸ μουσικὸν [b] βαδίζειν, τὸ δὲ τῷ τούτου τι μεταβάλλειν ἁπλῶς λέγεται μεταβάλλειν, οἷον ὅσα κατὰ μέρη· ὑγιάζεται γὰρ τὸ σῶμα, ὅτι ὁ ὀφθαλμός. [u] Ἔστι δέ τι [c] ὃ καθ' αὑτὸ
2 πρῶτον κινεῖται, καὶ τοῦτ' ἐστὶ τὸ καθ' αὑτὸ κινητόν. [u] Ἔστι δέ τι καὶ ἐπὶ τοῦ κινοῦντος ὡσαύτως· κινεῖ γὰρ κατὰ συμβεβηκὸς [d] τὸ [e] μὲν κατὰ μέρος τὸ δὲ καθ' αὑτό· ἔστι δέ τι τὸ κινοῦν πρῶτον· ἔστι [f] δέ τι τὸ κινούμενον [g] ἔν τινι χρόνῳ καὶ ἐξ οὗ καὶ εἰς ὅ. Τὰ [h] δ' εἴδη καὶ [i] τὰ πάθη καὶ ὁ τόπος, εἰς

r ἔν τισι λείπει τὸ εἴδει γρ. E. s τὰ om. A^b. t ἢ om. idem. v ἢ post ἥμισυ om. E. w διελῃς A^b. x αἰσθητὸν σῶμα E.T. y δὲ δὴ σημαίνει E.T. z χρόνῳ καὶ κινήσει T. a ἀλλὰ] ἅμα T. b βαδίζει A^b. c ὃ καθ'] καὶ ὃ E.T. d τόδε T. e μὲν] δὲ A^b. f δέ alterum om. E. g ἔν τινι] ἔτι ἐν ᾧ E.T. h δ' om. T. i τὰ om. E.T.

ἃ κινοῦνται τὰ κινούμενα, ἀκίνητά ἐστιν, οἷον ἐπιστήμη καὶ θερμότης· ἔστι δ' οὐχ ἡ θερμότης κίνησις ἀλλ' ἡ θέρμανσις. [t]Ἡ δὲ μὴ κατὰ συμβεβηκὸς μεταβολὴ οὐκ ἐν ἅπασιν ὑπάρ- 3
χει, ἀλλ' ἐν τοῖς ἐναντίοις καὶ μεταξὺ καὶ ἐν ἀντιφάσει. Τούτου δὲ πίστις ἐκ τῆς ἐπαγωγῆς. Μεταβάλλει δὲ τὸ μεταβάλλον ἢ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, [k]ἢ οὐκ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, [l]ἢ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, [m]ἢ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον. Λέγω δὲ 4
ὑποκείμενον τὸ καταφάσει δηλούμενον. [v]Ὥστ' ἀνάγκη τρεῖς εἶναι μεταβολάς· ἡ γὰρ ἐξ οὐχ ὑποκειμένου εἰς μὴ ὑποκείμενον οὐκ ἔστι μεταβολή· οὔτε γὰρ ἐναντία οὔτε ἀντίφασίς ἐστιν, ὅτι οὐκ ἀντίθεσις. [t]Ἡ μὲν οὖν οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον κατ' ἀντίφασιν γένεσίς ἐστιν, ἡ μὲν ἁπλῶς ἁπλῆ, ἡ δὲ [n]τινὸς τίς· ἡ δ' ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον φθορά, ἡ μὲν ἁπλῶς [o]ἁπλῆ, ἡ δὲ [p]τινὸς τίς. Εἰ δὴ τὸ μὴ ὂν λέγε- 5
ται πλεοναχῶς, καὶ μήτε τὸ κατὰ σύνθεσιν ἢ διαίρεσιν ἐνδέχεται κινεῖσθαι, μήτε τὸ κατὰ δύναμιν τὸ τῷ ἁπλῶς [q]ὄντι ἀντικείμενον· τὸ γὰρ μὴ λευκὸν ἢ μὴ ἀγαθὸν [r]ὅμως ἐνδέχεται κινεῖσθαι [s]κατὰ συμβεβηκός· [t]εἴη γὰρ [v]ἂν ἄνθρωπος τὸ μὴ λευκόν· τὸ δ' ἁπλῶς μὴ τόδε οὐδαμῶς· ἀδύνατον [w]γὰρ τὸ μὴ ὂν κινεῖσθαι· εἰ δὲ τοῦτο, καὶ τὴν γένεσιν κίνησιν εἶναι· γίγνεται γὰρ τὸ μὴ ὄν. Εἰ γὰρ καὶ ὅτι μάλιστα κατὰ 6
συμβεβηκὸς γίγνεται, ἀλλ' ὅμως ἀληθὲς εἰπεῖν ὅτι ὑπάρχει τὸ μὴ ὂν κατὰ τοῦ γιγνομένου ἁπλῶς. [t]Ὁμοίως δὲ καὶ τὸ ἠρεμεῖν. Ταῦτά [x]τε δὴ συμβαίνει δυσχερῆ, καὶ εἰ πᾶν τὸ κινούμενον ἐν τόπῳ, τὸ δὲ μὴ ὂν οὐκ ἔστιν ἐν τόπῳ· εἴη γὰρ ἄν που. Οὐδὲ δὴ [y]ἡ φθορὰ κίνησις· ἐναντίον γὰρ κινήσει κίνησις [z]ἢ ἠρεμία, φθορὰ δὲ γενέσει. [t]Ἐπεὶ δὲ πᾶσα κίνησις 7
μεταβολή τις, μεταβολαὶ δὲ τρεῖς [a]αἱ εἰρημέναι, τούτων δ' [b]αἱ κατὰ γένεσιν καὶ φθορὰν οὐ κινήσεις, αὗται δ' εἰσὶν αἱ

k ἢ οὐκ—δὲ ὑποκείμενον om. Ab. l οὐχ om. T. m ἢ—ὑποκείμενον add. E. n τις τινός T.Ab. o ἁπλῆ om. Ab. p τις τινός Ab. q ὄντι om. Ab. r ὅλως T. s κατὰ] μὴ κατὰ T. t εἰ T. v ἂν] ἦν T, om. Ab. w γὰρ om. T. x τε] δὴ Ab. y ἡ om. E. z ἢ om. T. a αἱ om. Ab. b αἱ μὲν κατὰ Ab.

κατ' ἀντίφασιν, ἀνάγκη τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον κίνησιν εἶναι μόνην. Τὰ δ' ὑποκείμενα [c] ἢ ἐναντία ἢ μεταξύ· καὶ γὰρ ἡ στέρησις κείσθω ἐναντίον, καὶ δηλοῦται καταφάσει, οἷον τὸ γυμνὸν καὶ [d] νωδὸν καὶ τὸ μέλαν.

12 Εἰ οὖν αἱ κατηγορίαι διήρηνται οὐσίᾳ, ποιότητι, τόπῳ, [e] τῷ ποιεῖν [e] ἢ πάσχειν, τῷ πρός τι, [e] τῷ ποσῷ, ἀνάγκη τρεῖς εἶναι κινήσεις, ποιοῦ, ποσοῦ, τόπου. Κατ' οὐσίαν δ' οὐ διὰ τὸ μηθὲν εἶναι οὐσίᾳ ἐναντίον, οὐδὲ [f] τοῦ πρός τι· ἔστι γὰρ [g] θατέρου μηθὲν μεταβάλλοντος ἀληθεύεσθαι θάτερον μηθὲν
2 μεταβάλλον, ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. Οὐδὲ ποιοῦντος [h] καὶ πάσχοντος, ἢ κινοῦντος καὶ κινουμένου, ὅτι οὐκ ἔστι κινήσεως κίνησις οὐδὲ γενέσεως γένεσις, οὐδ' ὅλως [i] μεταβολῆς μεταβολή. Διχῶς γὰρ ἐνδέχεται κινήσεως [k] εἶναι κίνησιν, ἢ ὡς ὑποκειμένου, οἷον ὁ ἄνθρωπος [l] κινεῖται ὅτι ἐκ λευκοῦ εἰς μέλαν μεταβάλλει, ὥστε οὕτω καὶ ἡ κίνησις ἢ θερ-
3 μαίνεται ἢ ψύχεται ἢ [m] τόπον ἀλλάττει ἢ αὔξεται. Τοῦτο δὲ ἀδύνατον· οὐ γὰρ τῶν ὑποκειμένων τι ἡ μεταβολή. [n] Ἢ [n] τῷ ἕτερόν τι ὑποκείμενον ἐκ μεταβολῆς μεταβάλλειν εἰς ἄλλο εἶδος, οἷον ἄνθρωπον ἐκ νόσου εἰς ὑγίειαν. [o] Ἀλλ' οὐδὲ
4 τοῦτο δυνατὸν πλὴν κατὰ συμβεβηκός. [o] Πᾶσα γὰρ κίνησις ἐξ ἄλλου εἰς ἄλλο ἐστὶ μεταβολή, καὶ γένεσις καὶ φθορὰ ὡσαύτως· πλὴν [p] αἱ μὲν [q] εἰς ἀντικείμενα ὠδὶ ἢ ὠδὶ [r] οὐ κινήσεις. [v] Ἅμα οὖν μεταβάλλει ἐξ ὑγιείας εἰς νόσον, καὶ ἐξ
5 αὐτῆς ταύτης τῆς μεταβολῆς εἰς ἄλλην. Δῆλον [s] δὴ ὅτι ἂν νοσήσῃ, μεταβεβληκὸς ἔσται εἰς ὁποιανοῦν (ἐνδέχεται γὰρ ἠρεμεῖν) καὶ ἔτι εἰς μὴ τὴν τυχοῦσαν ἀεί· κἀκείνη ἔκ τινος εἴς [t] τι ἄλλο [v] ἔσται. [v] Ὥσθ' ἡ ἀντικειμένη ἔσται ὑγίανσις, ἀλλὰ τῷ συμβεβηκέναι, οἷον ἐξ ἀναμνήσεως εἰς λήθην μεταβάλλει

[c] ἢ prius om. Ab. [d] νωδὸν] λευκὸν Ab. [e] τῷ primum tertiumque et ἢ om. Ab. [f] τοῦ om. E.T. [g] θατέρου μεταβάλλοντος μηδὲν ἀληθεύεσθαι θάτερον μὴ δὲ μ. Ab. [h] καὶ πάσχοντος] ἢ πάσχοντος Ab. [i] μεταβολὴ μεταβολῆς E.T. [k] κίνησιν εἶναι Ab. [l] κεῖται T. [m] τόπον] τὸ πᾶν T. [n] τῷ] τὸ T. [o] ἅπασι γὰρ ἡ κίνησις Ab. [p] αἱ] ἡ Ab. [q] ἐξ ἀντικειμένων T. [r] οὐ κινήσεις] ἡ κίνησις Ab. [s] δ' E.T. [t] ἄλλο τι T. [v] ἔσται om. E.T.

ὅτι ᾧ ὑπάρχει ἐκεῖνο μεταβάλλει, ὁτὲ μὲν εἰς ἐπιστήμην ὁτὲ δὲ εἰς ὑγίειαν. Ἔτι εἰς ἄπειρον βαδιεῖται, εἰ ἔσται μετα- 6
βολῆς μεταβολὴ καὶ γενέσεως γένεσις. Ἀνάγκη [w]δὴ καὶ τὴν προτέραν, εἰ ἡ ὑστέρα· οἷον εἰ ἡ ἁπλῆ [x]γένεσις ἐγίγνετό ποτε, καὶ τὸ γιγνόμενον [y]ἁπλῶς ἐγίγνετο. Ὥστε οὔπω ἦν 7
[z]τὸ γιγνόμενον ἁπλῶς, ἀλλά [a]τι γιγνόμενον ἢ γενόμενον. [b]Εἰ δὴ καὶ τοῦτ', ἐγίγνετό ποτε, ὥστ' οὐκ ἦν πω [c]τότε γιγνόμενον. Ἐπεὶ δὲ τῶν ἀπείρων οὐκ ἔστι [d]τι πρῶτον, [e]οὐκ ἔσται τὸ πρῶτον, ὥστ' οὐδὲ τὸ ἐχόμενον. Οὔτε γίγνε- 8
σθαι [f]οὖν οὔτε κινεῖσθαι οἷόν τε οὔτε μεταβάλλειν οὐθέν. Ἔτι τοῦ αὐτοῦ κίνησις ἡ ἐναντία καὶ ἠρέμησις, [g]καὶ γένεσις καὶ φθορά. Ὥστε τὸ γιγνόμενον ὅταν γένηται γιγνόμενον, 9
τότε φθείρεται· οὔτε γὰρ εὐθὺς [h]γιγνόμενον οὔθ' ὕστερον· εἶναι γὰρ δεῖ τὸ φθειρόμενον. Ἔτι δεῖ ὕλην ὑπεῖναι τῷ γιγνομένῳ καὶ [i]μεταβάλλοντι. Τίς οὖν ἔσται, ὥσπερ τὸ ἀλλοιωτὸν σῶμα ἢ ψυχή, οὕτω [k]τί τὸ γιγνόμενον [l]κίνησις ἢ γένεσις; Καὶ [m]ἔτι τί εἰς ὃ κινοῦνται; Δεῖ γὰρ [n]εἶναι τὴν τοῦδε ἐκ τοῦδε εἰς τόδε κίνησιν μὴ κίνησιν. Πῶς οὖν; 10
Οὐ γὰρ ἔσται μάθησις [o]τῆς μαθήσεως, ὥστ' [p]οὐδὲ γένεσις γενέσεως. Ἐπεὶ δ' οὔτ' [q]οὐσίας οὔτε τοῦ πρός τι οὔτε τοῦ ποιεῖν καὶ πάσχειν, λείπεται κατὰ τὸ ποιὸν [r]καὶ ποσὸν καὶ τόπον κίνησιν εἶναι· τούτων γὰρ ἑκάστῳ ἐναντίωσίς ἐστιν. Λέγω δὲ τὸ ποιὸν οὐ τὸ ἐν τῇ οὐσίᾳ ([s]καὶ γὰρ καὶ ἡ διαφορὰ ποιόν) ἀλλὰ τὸ παθητικόν, καθὸ λέγεται πά- 11
σχειν ἢ ἀπαθὲς εἶναι. Τὸ δὲ [t]ἀκίνητον τό τε ὅλως ἀδύνατον κινηθῆναι καὶ τὸ [v]μόλις ἐν χρόνῳ [w]πολλῷ [x]ἢ βραδέως ἀρ- 12
χόμενον, καὶ τὸ πεφυκὸς μὲν κινεῖσθαι, μὴ δυνάμενον δὲ ὅτε

[w] δὲ T. [x] γένεσις ἐγίγνετο] γένετο A^b. [y] ἁπλῶς om. E.T. [z] τὸ om. E. [a] γινόμενόν τι A^b. [b] εἰ δὴ] ἤδη A^b. [c] τότε] ποτε A^b. [d] τι om. E.T. [e] οὐκ ἔσται τὸ πρῶτον om. A^b. [f] οὖν αὖται οὔτε E. [g] καὶ ἡ γένεσις A^b. [h] γενόμενον A^b. [i] μεταβάλλειν τι. τίς E.T. [k] τί] τί καὶ A^b. [l] κίνησις] ἢ κίνησις A^b. [m] ἔτι] τοι T, om. E. [n] εἶναί τι τὴν E.T. [o] τῆς μαθήσεως] ἡ τῆς μαθήσεως γένεσις A^b. [p] οὐδὲ γένεσις] τῆς post lacunam A^b. [q] οὐσίαν T. [r] καὶ τὸ ποσὸν A^b. [s] καὶ γὰρ καὶ ἡ διαφορὰ] καὶ τῇ διαφορᾷ T.A^b. [t] ἀκίνητον] ἀδύνατον T. [v] μόγις A^b. [w] πολλῷ] ποτε T. [x] ἢ om. E.T.

πέφυκε καὶ [y] οὗ [z] καὶ ὥς. [A] Ὁ καλῶ ἠρεμεῖν τῶν ἀκινήτων μόνον· ἐναντίον γὰρ ἠρεμία κινήσει, ὥστε στέρησις ἂν εἴη τοῦ δεκτικοῦ.

11 [v] Ἅμα κατὰ τόπον ὅσα ἐν ἑνὶ τόπῳ [a] πρώτῳ, καὶ χωρὶς ὅσα ἐν ἄλλῳ. [v] Ἅπτεσθαι [b] δὲ ὧν τὰ ἄκρα ἅμα. Μεταξὺ δ' εἰς ὃ πέφυκε πρότερον ἀφικνεῖσθαι τὸ μεταβάλλον ἢ εἰς ὃ ἔσχατον μεταβάλλει κατὰ φύσιν [c] τὸ συνεχῶς μεταβάλλον. [d] Ἐναντίον κατὰ τόπον τὸ κατ' εὐθεῖαν ἀπέχον πλεῖ-
12 στον. [b] Ἐξῆς δὲ [d] οὗ μετὰ τὴν ἀρχὴν ὄντος, θέσει ἢ εἴδει ἢ ἄλλως πως ἀφορισθέντος, μηθὲν μεταξύ ἐστι τῶν ἐν ταὐτῷ γένει καὶ [e] οὗ ἐφεξῆς ἐστίν, οἷον γραμμαὶ γραμμῆς ἢ μονάδες μονάδος ἢ οἰκίας οἰκία. [v] Ἄλλο δ' οὐθὲν κωλύει μεταξὺ εἶναι· τὸ γὰρ ἐξῆς [f] τινὸς ἐφεξῆς καὶ ὕστερόν τι· οὐ γὰρ τὸ
13 ἓν ἐξῆς τῶν δύο, οὐδ' ἡ νουμηνία τῆς δευτέρας. [d] Ἐχόμενον δὲ ὃ ἂν ἐξῆς ὂν [g] ἅπτηται. [d] Ἐπεὶ δὲ πᾶσα μεταβολὴ ἐν τοῖς ἀντικειμένοις, ταῦτα [h] δὲ τά τ' ἐναντία καὶ ἀντίφασις, ἀντιφάσεως δ' οὐθὲν ἀνὰ μέσον, δῆλον [i] ὡς ἐν τοῖς ἐναντίοις τὸ μεταξύ. Τὸ δὲ συνεχὲς ὅπερ ἐχόμενόν τι [k] ἢ ἁπτόμενον.
14 [l] Λέγω δὲ συνεχὲς ὅταν ταὐτὸ γένηται καὶ ἓν τὸ ἑκατέρου πέρας οἷς ἅπτονται καὶ συνέχονται, ὥστε δῆλον ὅτι τὸ συνεχὲς ἐν τούτοις ἐξ ὧν [m] ἕν τι πέφυκε γίγνεσθαι κατὰ [n] τὴν σύναψιν. Καὶ ὅτι πρῶτον τὸ ἐφεξῆς, δῆλον· τὸ γὰρ ἐξῆς οὐχ ἅπτεται, τοῦτο δ' [o] ἐφεξῆς· καὶ [p] εἰ συνεχές, ἅπτεται, εἰ
15 δ' ἅπτεται, οὕπω συνεχές. [d] Ἐν οἷς δὲ μή ἐστιν ἁφή, οὐκ ἔστι σύμφυσις ἐν τούτοις. [v] Ὥστ' οὐκ ἔστι στιγμὴ μονάδι ταὐτόν· ταῖς μὲν γὰρ ὑπάρχει τὸ ἅπτεσθαι, ταῖς δ' οὔ, [q] ἀλλὰ τὸ ἐφεξῆς· καὶ [r] τῶν μὲν μεταξύ τι, τῶν δ' οὔ.

y οὗ] οὗ πέφυκε Ab. z καὶ ὥς. ὃ καλῶ] ὡς οὐκ ἄλλο T. a πρῶτον Ab. b δὲ om. Ab. c τὸ om. E.T. d οὗ T. e οὗ] ὃ Ab. f τινὸς] τινὶ Ab. g ἀνάπτηται Ab. h δὲ τἀναντία T, δὲ ἐναντία Ab. i ὡς] δ' ὡς T. k ἢ ἁπτόμενον om. E.T. l λέγω] λέγεται Ab. m ἕν τι] ἔτι T. n τὴν om. T. o ἐφεξῆς] ἐξῆς T. p εἰς T.Ab. q ἀλλὰ πρὸς τὸ E.T. r τῶν] τῷ γε T.

Λ.

Περὶ τῆς οὐσίας ἡ θεωρία· τῶν γὰρ οὐσιῶν αἱ ἀρχαὶ καὶ τὰ αἴτια ζητοῦνται. Καὶ γὰρ εἰ ὡς ὅλον τι τὸ πᾶν, ἡ οὐσία πρῶτον μέρος· [s]καὶ εἰ [t]τῷ ἐφεξῆς, [v]κἂν οὕτω πρῶτον ἡ οὐσία, εἶτα τὸ ποιόν, [w]εἶτα τὸ ποσόν. [u]Ἅμα δ' οὐδ' ὄντα [x]ὡς εἰπεῖν ἁπλῶς [y]τἆλλα, [z]ἀλλὰ ποιότητες [a]καὶ κινήσεις, [b]ἦ καὶ [c]τὸ οὐ λευκὸν καὶ τὸ οὐκ εὐθύ· λέγομεν [d]γοῦν [e]εἶναι καὶ ταῦτα, οἷον ἔστιν οὐ λευκόν. [u]Ἔτι [f]οὐθὲν τῶν ἄλλων χω- 2
ριστόν. Μαρτυροῦσι δὲ καὶ οἱ ἀρχαῖοι ἔργῳ· τῆς γὰρ οὐσίας ἐζήτουν ἀρχὰς καὶ στοιχεῖα καὶ αἴτια. Οἱ μὲν οὖν νῦν τὰ καθόλου οὐσίας μᾶλλον τιθέασιν· τὰ γὰρ γένη καθόλου, ἃ φασιν ἀρχὰς καὶ οὐσίας εἶναι μᾶλλον διὰ τὸ λογικῶς ζητεῖν· οἱ δὲ πάλαι τὰ καθ' [g]ἕκαστον, οἷον πῦρ καὶ γῆν, ἀλλ' οὐ τὸ κοινὸν σῶμα. Οὐσίαι δὲ τρεῖς, μία μὲν αἰσθητή, ἧς ἡ 3
μὲν ἀΐδιος ἡ δὲ φθαρτή, ἣν πάντες ὁμολογοῦσιν, οἷον τὰ φυτὰ καὶ τὰ ζῷα· ἡ δ' ἀΐδιος ἧς ἀνάγκη τὰ στοιχεῖα λαβεῖν, εἴτε ἓν εἴτε πολλά. [u]Ἄλλη δὲ ἀκίνητος, [h]καὶ ταύτην [i]τινὲς 4
εἶναί φασι χωριστήν, οἱ μὲν εἰς δύο διαιροῦντες, οἱ δὲ εἰς μίαν φύσιν τιθέντες τὰ εἴδη καὶ τὰ μαθηματικά, [k]οἱ δὲ τὰ μαθηματικὰ μόνον τούτων. [l]Ἐκεῖναι μὲν δὴ φυσικῆς (μετὰ κινήσεως γάρ), αὕτη δ' ἑτέρας, εἰ μηδεμία αὐτοῖς ἀρχὴ κοινή.

[m]Ἡ δ' αἰσθητὴ οὐσία μεταβλητή. Εἰ [l]δ' ἡ μεταβολὴ ἐκ 5
τῶν ἀντικειμένων ἢ τῶν μεταξύ, ἀντικειμένων δὲ [n]μὴ πάντων (οὐ λευκὸν γὰρ ἡ φωνή) ἀλλ' ἐκ τοῦ ἐναντίου, ἀνάγκη ὑπεῖναί τι τὸ μεταβάλλον εἰς τὴν ἐναντίωσιν· οὐ γὰρ τὰ ἐναντία μεταβάλλει. [u]Ἔτι τὸ μὲν ὑπομένει, τὸ δ' ἐναντίον οὐχ ὑπο- 2
μένει· ἔστιν ἄρα τι τρίτον παρὰ τὰ ἐναντία, ἡ ὕλη. Εἰ δὴ αἱ μεταβολαὶ τέτταρες, ἢ κατὰ [o]τὸ τί ἢ κατὰ τὸ [p]ποιὸν ἢ

[s] εἰ καὶ F^b. [t] τὸ $A^b.F^b$. [v] καὶ E.T. [w] εἶτα τὸ ποσόν] ἢ ποσόν E.T. [x] ἁπλῶς ὡς εἰπεῖν F^b, ὡς ἁπλῶς εἰπεῖν A^b. [y] ταῦτα E.T.F^b. [z] ἀλλὰ] οἷον F^b. [a] καὶ om. F^b. [b] ἢ F^b. [c] τὸ οὐ] οὐ τὸ T. [d] γοῦν] οὖν T. [e] καὶ ταῦτα εἶναι A^b. [f] οὐδὲ T. [g] ἕκαστα A^b. [h] καὶ add. A^b. [i] φασί τινες εἶναι E.T. [k] οἱ δὲ τὰ μαθηματικὰ om. E. [l] δ' ἡ] δὴ E, δὲ T. [m] μὴ] οὐ T. [n] τὸ om. E. [o] οἷον T.

ποσὸν ἢ ποῦ, καὶ γένεσις μὲν ἡ ἁπλῆ καὶ φθορὰ [p] ἡ κατὰ τόδε, αὔξησις δὲ καὶ φθίσις ἡ κατὰ τὸ ποσόν, ἀλλοίωσις δὲ ἡ κατὰ τὸ πάθος, [q] φορὰ δὲ ἡ κατὰ τόπον, εἰς ἐναντιώσεις
2 ἂν εἶεν [r] τὰς καθ' ἕκαστον αἱ μεταβολαί. [t] Ἀνάγκη δὴ μεταβάλλειν τὴν ὕλην δυναμένην ἄμφω· ἐπεὶ δὲ διττὸν [s] τὸ ὄν, μεταβάλλει πᾶν ἐκ τοῦ δυνάμει ὄντος εἰς τὸ ἐνεργείᾳ ὄν, οἷον ἐκ λευκοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ λευκόν. [t] Ὁμοίως δὲ καὶ ἐπ' αὐξήσεως καὶ φθίσεως. [v] Ὥστε οὐ μόνον κατὰ συμβεβηκὸς ἐνδέχεται γίγνεσθαι ἐκ μὴ ὄντος, ἀλλὰ καὶ ἐξ ὄντος γίγνεται
3 πάντα, δυνάμει [t] μέντοι ὄντος, ἐκ μὴ ὄντος δὲ ἐνεργείᾳ. Καὶ τοῦτ' ἐστὶ τὸ [t] Ἀναξαγόρου ἕν (βέλτιον γὰρ [v] ἢ ὁμοῦ πάντα) καὶ [t] Ἐμπεδοκλέους τὸ μῖγμα καὶ [t] Ἀναξιμάνδρου. Καὶ ὡς Δημόκριτός φησιν, ἦν [w] ὁμοῦ πάντα δυνάμει, ἐνεργείᾳ δ' οὔ.
4 [v] Ὥστε τῆς ὕλης ἂν εἶεν ἡμμένοι. Πάντα δ' ὕλην ἔχει ὅσα μεταβάλλει, ἀλλ' ἑτέραν· καὶ τῶν ἀϊδίων ὅσα μὴ [x] γεννητὰ κινητὰ δὲ φορᾷ, ἀλλ' οὐ [y] γεννητήν, ἀλλὰ πόθεν ποῖ. [t] Ἀπορήσειε [z] δ' ἄν τις ἐκ ποίου μὴ ὄντος ἡ γένεσις· τριχῶς γὰρ τὸ μὴ ὄν. Εἰ δή [a] τί ἐστι δυνάμει, ἀλλ' ὅμως οὐ τοῦ τυχόν-
5 τος, ἀλλ' ἕτερον ἐξ ἑτέρου. Οὐδ' ἱκανὸν ὅτι ὁμοῦ πάντα χρήματα· διαφέρει γὰρ τῇ ὕλῃ, ἐπεὶ διὰ τί ἄπειρα ἐγένετο ἀλλ' οὐχ ἕν; [t] Ὁ γὰρ νοῦς εἷς, ὥστ' εἰ [b] καὶ ἡ ὕλη μία, ἐκεῖνο ἐγένετο ἐνεργείᾳ οὗ [c] ἡ ὕλη ἦν δυνάμει. Τρία δὴ τὰ αἴτια καὶ [d] τρεῖς αἱ ἀρχαί, δύο μὲν ἡ ἐναντίωσις, ἧς τὸ μὲν λόγος καὶ εἶδος τὸ δὲ στέρησις, τὸ δὲ τρίτον ἡ ὕλη.

3 Μετὰ ταῦτα ὅτι οὐ γίγνεται οὔτε [e] ἡ ὕλη οὔτε τὸ εἶδος, λέγω δὲ τὰ ἔσχατα. Πᾶν γὰρ μεταβάλλει τι καὶ ὑπό τινος καὶ εἴς [f] τι. [t] Ὑφ' οὗ μέν, τοῦ πρώτου κινοῦντος· [g] ὃ δέ, ἡ ὕλη· εἰς ὃ δέ, τὸ εἶδος. Εἰς ἄπειρον οὖν εἰσιν, εἰ μὴ μόνον
2 ὁ χαλκὸς γίγνεται στρογγύλος ἀλλὰ καὶ τὸ στρογγύλον ἢ ὁ χαλκός· ἀνάγκη δὴ στῆναι. Μετὰ ταῦτα ὅτι ἑκάστη

p ἡ post φθορὰ om. E.T. q φθορὰ T. r ταῖς T. s τὸ om. F[b]. t μέντοι ἢ ὄντος T. v ἢ] ἦν A[b]. w ὁμοῦ γρ. E: E.T.A[b]. ἡμῖν. x γεννητὰ τὰ κινητὰ T. y γενητὸν T. z δ' om. F[b]. a τί ἐστι] ἐστὶ τὸ F[b]. b καὶ om. A[b]. c ἡ] καὶ ἡ T. d τρεῖς om. F[b]. e ἡ et τὸ om. F[b]. f post τι A[b]. καὶ ἐξ οὗ. g ὃ] οὗ T.

ἐκ συνωνύμου γίγνεται [h] ἡ [i] οὐσία· τὰ γὰρ φύσει οὐσίαι καὶ τἆλλα. [n]Ἡ γὰρ τέχνη ἢ φύσει γίγνεται ἢ τύχῃ ἢ τῷ αὐτομάτῳ. [t]Ἡ μὲν οὖν τέχνη ἀρχὴ ἐν ἄλλῳ, ἡ δὲ φύσις ἀρχὴ ἐν [k] αὐτῷ· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. Αἱ δὲ λοιπαὶ αἰτίαι στερήσεις τούτων. Οὐσίαι δὲ τρεῖς, ἡ μὲν ὕλη τόδε 3
τι οὖσα τῷ φαίνεσθαι (ὅσα γάρ [l] ἐστιν ἁφῇ καὶ μὴ συμφύσει, ὕλη καὶ ὑποκείμενον), ἡ δὲ φύσις [m] τόδε τι, εἰς ἣν, καὶ ἕξις [n] τις· ἔτι τρίτη ἡ ἐκ τούτων [o] ἡ καθ' ἕκαστα, οἷον Σωκράτης ἢ Καλλίας. [t]Ἐπὶ μὲν οὖν τινῶν τὸ τόδε [p] τι οὐκ ἔστι παρὰ τὴν συνθέτην οὐσίαν, οἷον οἰκίας τὸ εἶδος, εἰ μὴ [q] ἡ τέχνη. Οὐδ' ἔστι γένεσις καὶ φθορὰ τούτων, ἀλλ' ἄλ- 4
λον τρόπον εἰσὶ [r] καὶ οὐκ εἰσὶν οἰκία [s] τε ἡ ἄνευ ὕλης καὶ ὑγίεια καὶ πᾶν τὸ κατὰ τέχνην. [t]Αλλ' εἴπερ, ἐπὶ τῶν φύσει. Διὸ [t] δὴ οὐ κακῶς [v] ὁ Πλάτων ἔφη ὅτι εἴδη ἐστὶν ὁπόσα φύσει, εἴπερ ἐστὶν εἴδη [w] ἄλλα τούτων, οἷον πῦρ, σάρξ, κεφαλή. [v]Απαντα [x] γὰρ ὕλη ἐστί, καὶ τῆς μάλιστ' οὐσίας ἡ τελευταία. 5
Τὰ μὲν οὖν κινοῦντα αἴτια ὡς προγεγενημένα ὄντα, τὰ δ' ὡς ὁ λόγος ἅμα. [v]Οτε γὰρ ὑγιαίνει ὁ ἄνθρωπος, τότε καὶ [y] ἡ ὑγίειά ἐστιν, καὶ τὸ σχῆμα τῆς χαλκῆς σφαίρας ἅμα καὶ ἡ χαλκῆ σφαῖρα. Εἰ δὲ καὶ ὕστερόν τι ὑπομένει, σκεπτέον· 6
ἐπ' ἐνίων γὰρ οὐθὲν κωλύει, οἷον εἰ [z] ἡ ψυχὴ τοιοῦτον, μὴ πᾶσα ἀλλ' ὁ νοῦς· πᾶσαν γὰρ ἀδύνατον ἴσως. Φανερὸν δὴ ὅτι οὐθὲν δεῖ διά γε ταῦτ' εἶναι τὰς ἰδέας· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, ὁ [a] καθ' ἕκαστον τὸν τινά. [t]Ομοίως δὲ καὶ ἐπὶ τῶν τεχνῶν· ἡ γὰρ ἰατρικὴ τέχνη [b] ὁ λόγος τῆς ὑγιείας ἐστίν.

[c]Τὰ δ' αἴτια καὶ αἱ ἀρχαὶ [d] ἄλλα ἄλλων ἔστιν ὡς, ἔστι 4
δ' ὡς, ἂν καθόλου [e] λέγῃ τις καὶ κατ' ἀναλογίαν, ταὐτὰ [f] πάν-

[h] ἡ add. A[b]. [i] οὐσία] οὐσίας T. [k] ἑαυτῷ A[b]. [l] ἐστιν om. T. [m] τόδε] καὶ τόδε A[b]. [n] τις· ἔτι] ἡ T. [o] ἡ καθ'] ἢ καὶ καθ' A[b]. [p] τι om. E. [q] ἡ τέχνη. οὐδ'] τὸ εἶδος οὐκ T. [r] καὶ οὐκ εἰσὶν om. T. [s] τε om. E.T. [t] δὴ om. A[b]. [v] ὁ om. E.T. [w] ἀλλὰ E.T. [x] γὰρ καὶ ὕλη T. [y] ἡ om. E.T. [z] ἡ om. A[b]. [a] καθέκαστος A[b]. [b] ὁ et ἐστίν om. A[b]. [c] τὰ δ'] ἔστι δὲ τὰ A[b]. [d] ἄλλαι ἄλλων, ἔστι δ' ὡς ἂν A[b]. [e] λέγοι A[b]. [f] πάντα A[b].

των. [4]Απορήσειε γὰρ [g]ἄν τις πότερον ἕτεραι ἢ αἱ αὐταὶ ἀρχαὶ καὶ στοιχεῖα τῶν οὐσιῶν καὶ τῶν πρός τι, καὶ καθ' ἑκάστην [h]δὴ τῶν κατηγοριῶν ὁμοίως. [4]Αλλ' ἄτοπον εἰ ταὐτὰ πάντων· ἐκ τῶν αὐτῶν γὰρ ἔσται [i]τὰ πρός τι καὶ [k]ἡ οὐσία. 2 Τί οὖν τοῦτ' ἔσται; Παρὰ γὰρ τὴν οὐσίαν καὶ τἆλλα τὰ κατηγορούμενα οὐθέν ἐστι κοινόν· πρότερον δὲ τὸ στοιχεῖον ἢ ὧν [l]ἐστὶ τὸ στοιχεῖον. [4]Αλλὰ μὴν οὐδ' ἡ οὐσία στοιχεῖον τῶν πρός τι, οὐδὲ τούτων οὐθὲν τῆς οὐσίας. [4]Ἔτι πῶς ἐνδέ- 3 χεται πάντων εἶναι ταὐτὰ στοιχεῖα; Οὐθὲν γὰρ οἷόν τ' εἶναι τῶν στοιχείων τῷ ἐκ [m]τῶν στοιχείων συγκειμένῳ τὸ αὐτό, οἷον [n]τῷ ΒΑ τὸ Β ἢ Α. Οὐδὲ δὴ τῶν νοητῶν [o]στοιχεῖόν [p]ἐστιν, οἷον τὸ [q]ἓν ἢ τὸ ὄν· ὑπάρχει γὰρ ταῦθ' ἑκάστῳ καὶ τῶν συνθέτων. Οὐθὲν ἄρ' ἔσται αὐτῶν οὔτ' οὐσία οὔτε πρός τι· ἀλλ' ἀναγκαῖον. Οὐκ ἔστιν ἄρα πάντων ταὐτὰ στοι- 4 χεῖα. [4]Ἡ ὥσπερ λέγομεν, ἔστι μὲν ὡς, ἔστι δ' ὡς οὔ, οἷον ἴσως τῶν αἰσθητῶν σωμάτων ὡς μὲν εἶδος τὸ θερμὸν καὶ ἄλλον τρόπον τὸ ψυχρὸν ἡ στέρησις, [r]ὕλη δὲ τὸ δυνάμει ταῦτα πρῶτον καθ' [s]αὐτό, [t]οὐσίαι δὲ ταῦτά τε καὶ τὰ ἐκ τούτων ὧν ἀρχαὶ ταῦτα, ἢ εἴ τι ἐκ [v]θερμοῦ καὶ ψυχροῦ γίγνεται ἕν, οἷον σὰρξ ἢ ὀστοῦν· ἕτερον γὰρ ἀνάγκη ἐκείνων εἶναι τὸ γε- 5 νόμενον. Τούτων μὲν οὖν [w]ταὐτὰ στοιχεῖα καὶ ἀρχαί, ἄλλων δ' ἄλλα. Πάντων δὲ οὕτω μὲν εἰπεῖν οὐκ ἔστιν, [x]τῷ ἀνάλογον δέ, ὥσπερ εἴ τις [y]εἴποι ὅτι ἀρχαί εἰσι [z]τρεῖς, τὸ 6 εἶδος καὶ ἡ στέρησις καὶ ἡ ὕλη. [4]Αλλ' ἕκαστον τούτων ἕτε- ρον περὶ ἕκαστον γένος ἐστίν, οἷον ἐν [a]χρώματι λευκόν, μέ- λαν, ἐπιφάνεια, φῶς, σκότος, ἀήρ· ἐκ δὲ τούτων ἡμέρα [b]καὶ νύξ. [4]Επεὶ δὲ οὐ μόνον τὰ ἐνυπάρχοντα αἴτια, ἀλλὰ καὶ τῶν ἐκτὸς οἷον τὸ κινοῦν, δῆλον ὅτι ἕτερον ἀρχὴ καὶ στοι- χεῖον. Αἴτια δ' ἄμφω· καὶ εἰς ταῦτα διαιρεῖται ἡ ἀρχή, τὸ

g ἄν om. T. h δὴ κατηγορίαν Ab. i τὰ] τὸ Ab. k αἱ οὐσίαι E.T. l ἐστὶ τὸ om. Ab. m τῶν om. Ab.Fb. n τὸ βα τῷ T. o στοιχείων E.Fb. p ἐστιν om. E.T. q ἓν καὶ τὸ ὄν Fb, ὂν ἢ τὸ ἕν Ab. r ὕλη] ἡ ὕλη E.T. s ἑαυτό Ab, αὐτόν T. t οὐσία T. v ψυχροῦ καὶ θερμοῦ Ab. w ταῦτα E.T. x τὸ Ab. y εἴποιεν Ab. z τρεῖς om. T. a χρώμασι Ab. b καὶ om. E.T.

δ' ὡς κινοῦν ἢ [c]ἱστὰν ἀρχή τις [d]καὶ οὐσία. [v]Ὥστε στοιχεῖα 7
μὲν κατ' ἀναλογίαν τρία, αἰτίαι δὲ καὶ ἀρχαὶ [e]τέτταρες·
ἄλλο δ' ἐν ἄλλῳ, καὶ τὸ πρῶτον αἴτιον ὡς κινοῦν ἄλλο ἄλλῳ.
[t]Ὑγίεια, νόσος, σῶμα· τὸ κινοῦν ἰατρική. Εἶδος, ἀταξία τοι-
αδί, πλίνθοι· τὸ κινοῦν οἰκοδομική. [f]Καὶ εἰς ταῦτα διαιρεῖ- 8
ται ἡ ἀρχή. [u]Ἐπεὶ δὲ τὸ κινοῦν ἐν μὲν τοῖς φυσικοῖς [g]ἀν-
θρώποις ἄνθρωπος, ἐν δὲ τοῖς ἀπὸ διανοίας τὸ εἶδος [h]ἢ τὸ
ἐναντίον, τρόπον τινὰ τρία αἴτια ἂν εἴη, ὧδὶ δὲ τέτταρα.
[t]Ὑγίεια γάρ πως ἡ ἰατρική, καὶ οἰκίας εἶδος ἡ οἰκοδομική, καὶ
ἄνθρωπος ἄνθρωπον γεννᾷ· ἔτι παρὰ ταῦτα ὡς τὸ πρῶτον
πάντων κινοῦν [i]πάντα.

[u]Ἐπεὶ δ' ἐστὶ τὰ μὲν χωριστὰ τὰ δ' οὐ χωριστά, [k]οὐσίαι 5
[l]ἐκεῖνα. [m]Καὶ διὰ τοῦτο πάντων αἴτια ταῦτα, ὅτι τῶν οὐ-
σιῶν ἄνευ οὐκ ἔστι τὰ πάθη καὶ αἱ κινήσεις. [w]Ἔπειτα ἔσται
ταῦτα ψυχὴ ἴσως καὶ σῶμα, ἢ νοῦς καὶ ὄρεξις καὶ σῶμα.
[w]Ἔτι δ' ἄλλον τρόπον τῷ ἀνάλογον [n]ἀρχαὶ αἱ αὐταί, οἷον
ἐνέργεια καὶ δύναμις· ἀλλὰ καὶ ταῦτα ἄλλα τε ἄλλοις καὶ
ἄλλως. [u]Ἐν ἐνίοις μὲν γὰρ τὸ αὐτὸ ὁτὲ μὲν ἐνεργείᾳ ἐστὶν 2
ὁτὲ δὲ δυνάμει, οἷον οἶνος ἢ σὰρξ ἢ ἄνθρωπος. Πίπτει δὲ
καὶ ταῦτα εἰς τὰ εἰρημένα αἴτια. [o][u]Ἐνεργείᾳ μὲν γὰρ τὸ
εἶδος, [p]ἐὰν [q]ᾖ χωριστόν, [r]καὶ τὸ ἐξ ἀμφοῖν, στέρησις δὲ
οἷον σκότος ἢ κάμνον, δυνάμει δὲ ἡ ὕλη· τοῦτο γάρ ἐστι τὸ
δυνάμενον γίγνεσθαι ἄμφω. [w]Ἄλλως δ' ἐνεργείᾳ καὶ δυνάμει 3
διαφέρει, [s]ὧν μή ἐστιν ἡ αὐτὴ ὕλη, ὧν οὐκ ἔστι τὸ αὐτὸ
εἶδος ἀλλ' ἕτερον, ὥσπερ ἀνθρώπου αἴτιον τά τε στοιχεῖα,
πῦρ καὶ γῆ ὡς ὕλη, [t]καὶ τὸ [v]ἴδιον εἶδος καὶ εἴ [w]τι ἄλλο
ἔξω, οἷον ὁ πατήρ, καὶ παρὰ [x]ταῦτα ὁ ἥλιος καὶ ὁ λοξὸς
κύκλος, οὔτε ὕλη ὄντα οὔτ' εἶδος οὔτε στέρησις οὔτε ὁμοειδές,

c ἱστῶν A^b.F^b. d καὶ οὐσία] οὖσα E.T. e τέσσαρες T. f καὶ —ἀρχή om. A^b. g ἀνθρώποις om. A^b. γρ. ἄνθρωπος ἄνθρωπος, ἔτι ἄνθρωπος ἄνθρωπον margo E. h ἢ om. T. i πάντα] τὰ πάντα T. k οὐσία γρ. E. l ἐκεῖναι E, δοκεῖ εἶναι T. m καὶ om. A^b. n αἱ ἀρχαὶ αὐταί F^b. o ἐνέργεια F^b. p ἂν F^b. q ᾖ τὸ χωριστόν A^b. r καὶ] ἢ γρ. E. s ὧν μή] εἰ μή T. t καὶ ante τὸ om. T. v ἀΐδιον E. w τι] ἔτι A^b. x ταυτὸ T.

ἀλλὰ κινοῦντα. [4]Ἔτι [y]δὲ ὁρᾶν δεῖ ὅτι τὰ μὲν καθόλου ἔστιν
4 εἰπεῖν, τὰ δ' οὔ. Πάντων δὴ πρῶται ἀρχαὶ τὸ ἐνεργείᾳ
πρῶτον, [z]τὸ εἶδει, καὶ ἄλλο ὃ δυνάμει. [1]Ἐκεῖνα μὲν οὖν [a]τὰ
καθόλου οὐκ ἔστιν. [1]Ἀρχὴ γὰρ τὸ καθ' ἕκαστον [a]τῶν καθ'
ἕκαστον· ἄνθρωπος μὲν γὰρ ἀνθρώπου καθόλου· ἀλλ' οὐκ
ἔστιν οὐθείς, ἀλλὰ Πηλεὺς [1]Ἀχιλλέως, σοῦ δὲ ὁ πατήρ, καὶ
τοδὶ τὸ Β τουδὶ τοῦ ΒΑ, ὅλως δὲ [b]τὸ Β τοῦ ἁπλῶς ΒΑ.
5 [4]Ἔπειτα εἴδη τὰ τῶν οὐσιῶν· ἄλλα δὲ ἄλλων αἴτια καὶ στοι-
χεῖα, ὥσπερ ἐλέχθη, τῶν μὴ ἐν ταὐτῷ γένει, χρωμάτων,
[c]ψόφων, οὐσιῶν, ποσότητος. Πλὴν τῷ ἀνάλογον καὶ τῶν
ἐν ταὐτῷ εἴδει ἕτερα, οὐκ εἴδει, ἀλλ' ὅτι [d]τῶν καθ' ἕκαστον
ἄλλο, ἥ τε σὴ ὕλη καὶ τὸ κινῆσαν [e]καὶ τὸ εἶδος καὶ ἡ ἐμή,
6 τῷ καθόλου δὲ λόγῳ ταὐτά. [f]Τὸ δὲ ζητεῖν τίνες ἀρχαὶ
[g]ἢ στοιχεῖα τῶν οὐσιῶν καὶ πρός τι καὶ ποιῶν, πότερον αἱ
αὐταὶ ἢ ἕτεραι, δῆλον ὅτι πολλαχῶς τε λεγομένων ἐστὶν
ἑκάστου, διαιρεθέντων δὲ οὐ ταὐτὰ ἀλλ' ἕτερα, πλὴν ὡδὶ
καὶ πάντων. [1]Ὡδὶ [h]μὲν ταὐτὰ [i]ἢ τῷ ἀνάλογον, ὅτι ὕλη,
εἶδος, στέρησις, τὸ κινοῦν, καὶ ὡδὶ τὰ τῶν οὐσιῶν αἴτια ὡς
αἴτια πάντων, ὅτι ἀναιρεῖται ἀναιρουμένων. [4]Ἔτι τὸ πρῶ-
7 τον ἐντελεχείᾳ. [1]Ὡδὶ δὲ ἕτερα πρῶτα ὅσα τὰ ἐναντία, ἃ
[k]μήτε ὡς γένη λέγεται μήτε πολλαχῶς λέγεται· καὶ ἔτι αἱ
ὕλαι. Τίνες μὲν οὖν [l]αἱ ἀρχαὶ τῶν αἰσθητῶν καὶ πόσαι,
καὶ [l]πῶς αἱ αὐταὶ καὶ πῶς ἕτεραι, εἴρηται.

6 [1]Ἐπεὶ δ' ἦσαν [m]τρεῖς οὐσίαι, δύο μὲν αἱ φυσικαί, μία
δ' ἡ ἀκίνητος, περὶ ταύτης λεκτέον, ὅτι ἀνάγκη εἶναί [n]τινα
ἀΐδιον οὐσίαν ἀκίνητον. Αἵ τε γὰρ οὐσίαι πρῶται τῶν ὄν-
των, καὶ εἰ πᾶσαι φθαρταί, πάντα φθαρτά. [1]Ἀλλ' ἀδύνατον
κίνησιν [o]ἢ γενέσθαι ἢ φθαρῆναι· ἀεὶ γὰρ ἦν. Οὐδὲ χρόνον·
οὐ γὰρ οἷόν τε [o]τὸ πρότερον καὶ ὕστερον εἶναι μὴ ὄντος

[y] δὲ om. A^b. [z] τὸ εἴδει] τοδὶ E.T. [a] τὰ et mox τῶν καθ' ἕκαστον om. A^b. [b] τὸ post δὲ om. E. [c] οὐσιῶν ψόφων T. [d] τῶν] τῷ E, τὸ T. [e] καὶ τὸ εἶδος post ὕλη E.T. [f] τὸ δὲ] τὸ δὴ E.T.F^b. [g] ἢ στοιχεῖα om. F^b. [h] μὲν] δὲ A^b. [i] ἢ om. F^b. [k] ὡς μήτε T. [l] αἱ post οὖν et mox πῶς om. A^b. [m] τρεῖς αἱ οὐσίαι F^b. [n] ἀΐδιόν τινα E. [o] ἢ post κίνησιν et mox τὸ om. T.

χρόνου. Καὶ ἡ κίνησις ἄρα οὕτω συνεχὴς ὥσπερ καὶ ὁ χρό- 2
νος· ἢ γὰρ τὸ αὐτὸ ἢ κινήσεώς τι πάθος. Κίνησις δ' οὐκ
ἔστι συνεχὴς ἀλλ' [p] ἢ ἡ κατὰ τόπον, καὶ ταύτης ἡ κύκλῳ.
[1]Αλλὰ μὴν εἰ [q] ἔσται κινητικὸν ἢ ποιητικόν, μὴ ἐνεργοῦν δέ
τι, οὐκ ἔστι κίνησις· ἐνδέχεται γὰρ τὸ δύναμιν ἔχον μὴ ἐνερ-
γεῖν. [r] Οὐθὲν ἄρα ὄφελος οὐδ' ἐὰν οὐσίας ποιήσωμεν ἀϊ- 3
δίους, ὥσπερ οἱ τὰ εἴδη, εἰ μή τις δυναμένη ἐνέσται ἀρχὴ
μεταβάλλειν. Οὐ τοίνυν οὐδ' αὕτη ἱκανή, οὐδ' ἄλλη οὐσία
παρὰ τὰ εἴδη· εἰ γὰρ μὴ [s] ἐνεργήσει, οὐκ ἔσται κίνησις.
[t]Ἔτι οὐδ' εἰ ἐνεργήσει, ἡ δ' οὐσία αὐτῆς δύναμις· οὐ γὰρ 4
ἔσται κίνησις ἀΐδιος· ἐνδέχεται γὰρ τὸ δυνάμει ὂν μὴ εἶναι.
Δεῖ ἄρα εἶναι ἀρχὴν τοιαύτην ἧς ἡ οὐσία ἐνέργεια. [u]Ἔτι
τοίνυν ταύτας δεῖ [v] τὰς οὐσίας εἶναι ἄνευ ὕλης. [w]Ἀϊδίους γὰρ
δεῖ, εἴ πέρ [x] γε καὶ ἄλλο τι ἀΐδιον. [y]Ἐνεργείᾳ ἄρα. Καί- 5
τοι ἀπορία· δοκεῖ γὰρ τὸ μὲν ἐνεργοῦν πᾶν δύνασθαι, τὸ δὲ
δυνάμενον οὐ πᾶν ἐνεργεῖν, ὥστε πρότερον εἶναι τὴν δύναμιν.
[1]Αλλὰ μὴν εἰ τοῦτο, οὐθὲν ἔσται τῶν ὄντων· ἐνδέχεται γὰρ
δύνασθαι μὲν εἶναι μήπω δ' εἶναι. Καίτοι [z] εἰ ὡς λέγουσιν 6
οἱ θεολόγοι οἱ ἐκ νυκτὸς γεννῶντες, ἢ [z] ὡς οἱ φυσικοὶ [z] ἦν
ὁμοῦ πάντα χρήματα φασί, τὸ αὐτὸ [a] ἀδύνατον. Πῶς γὰρ
κινηθήσεται, εἰ [b] μηθὲν ἔσται ἐνεργείᾳ αἴτιον; Οὐ γὰρ ἥ γε
ὕλη κινήσει αὐτὴ [c] ἑαυτήν, ἀλλὰ τεκτονική, οὐδὲ τὰ ἐπιμήνια
οὐδ' ἡ γῆ, ἀλλὰ τὰ σπέρματα καὶ ἡ γονή. Διὸ ἔνιοι ποιοῦ- 7
σιν ἀεὶ ἐνέργειαν, οἷον Λεύκιππος καὶ Πλάτων· ἀεὶ γὰρ
εἶναί φασι κίνησιν. [1]Αλλὰ διὰ τί καὶ τίνα οὐ λέγουσιν,
οὐδὲ ᾗδί, οὐδὲ τὴν αἰτίαν. Οὐθὲν γὰρ ὡς ἔτυχε κινεῖται,
ἀλλὰ δεῖ [d] τι ἀεὶ ὑπάρχειν, ὥσπερ νῦν φύσει μὲν ᾗδί, βίᾳ δὲ
ἢ ὑπὸ νοῦ ἢ ἄλλου ᾗδί. Εἶτα ποία πρώτη; [e] Διαφέρει
γὰρ ἀμήχανον [f] ὅσον. [1]Αλλὰ μὴν οὐδὲ [g] Πλάτωνί γε οἷόν 8

p ἢ om. A^b. q ἔστι A^b. r οὐθὲν] οὐδ' ἐὰν E.T. s ἐνεργήση οὐκ ἔστι A^b. t ἔτι δ' οὐδ' T. v τὰς om. A^b. w γε om. T.A^b. x ἐνέργεια A^b. y εἰ] δ' T. z ὡς et ἦν om. E. a ἀδύνατον] αἴτιον F^b. b μὴ ἔσται ἐνεργείᾳ τι αἴτιον E. c αὐτὴν A^b. d τι αἰεί τι ὑπάρχειν A^b. e διαφέρειν A^b. f ὅσον om. A^b. g πλάτων T, πλάτων εἴ A^b.

τε [h]λέγειν [i]ἣν οἴεται ἐνίοτε ἀρχὴν εἶναι, τὸ αὐτὸ ἑαυτὸ κινοῦν· ὕστερον γὰρ καὶ ἅμα τῷ οὐρανῷ ἡ ψυχή, ὡς φησίν. Τὸ μὲν δὴ δύναμιν οἴεσθαι ἐνεργείας πρότερον ἔστι μὲν ὡς
9 καλῶς, ἔστι δ' ὡς οὔ· εἴρηται δὲ πῶς. [j]Ὅτι δ' ἐνέργεια πρότερον, μαρτυρεῖ [k]Ἀναξαγόρας (ὁ γὰρ νοῦς [l]ἐνεργείᾳ) καὶ [k]Ἐμπεδοκλῆς φιλίαν [l]καὶ νεῖκος, καὶ οἱ ἀεὶ λέγοντες κίνησιν εἶναι, ὥσπερ Λεύκιππος. [j]Ὥστ' οὐκ ἦν ἄπειρον [m]χρόνον χάος ἢ νύξ, ἀλλὰ ταὐτὰ ἀεὶ ἢ περιόδῳ ἢ ἄλλως, εἴπερ πρό-
10 τερον ἐνέργεια δυνάμεως. Εἰ δὴ τὸ αὐτὸ ἀεὶ περιόδῳ, δεῖ τι ἀεὶ μένειν ὡσαύτως ἐνεργοῦν. Εἰ δὲ μέλλει γένεσις καὶ φθορὰ εἶναι, ἄλλο δεῖ [n]εἶναι ἀεὶ ἐνεργοῦν ἄλλως καὶ ἄλλως. [k]Ἀνάγκη ἄρα ὠδὶ μὲν καθ' αὐτὸ ἐνεργεῖν, ὠδὶ δὲ κατ' ἄλλο·
11 ἤτοι ἄρα καθ' [o]ἕτερον ἢ κατὰ τὸ πρῶτον. [k]Ἀνάγκη δὴ κατὰ τοῦτο· πάλιν γὰρ [p]ἐκεῖνο αὐτῷ τε αἴτιον κἀκείνῳ. Οὐκοῦν βέλτιον τὸ πρῶτον· καὶ γὰρ αἴτιον ἦν ἐκεῖνο τοῦ ἀεὶ ὡσαύτως, [q]τοῦ δ' ἄλλως ἕτερον· τοῦ δ' ἀεὶ ἄλλως ἄμφω δη-
λονότι. Οὐκοῦν οὕτως καὶ ἔχουσιν αἱ κινήσεις. Τί οὖν ἄλ-
λας δεῖ ζητεῖν ἀρχάς;

7 [k]Ἐπεὶ δ' οὕτω τ' ἐνδέχεται, καὶ εἰ μὴ οὕτως, ἐκ νυκτὸς ἔσται καὶ ὁμοῦ πάντων καὶ ἐκ μὴ ὄντος, λύοιτ' ἂν ταῦτα, καὶ ἔστι τι ἀεὶ κινούμενον κίνησιν ἄπαυστον, αὕτη δ' ἡ κύ-
κλῳ· καὶ τοῦτο οὐ [r]λόγῳ μόνον ἀλλ' ἔργῳ δῆλον. [j]Ὥστ' ἀΐδιος ἂν εἴη ὁ πρῶτος οὐρανός. [j]Ἔστι τοίνυν τι καὶ ὃ
2 κινεῖ. [k]Ἐπεὶ δὲ [s]τὸ κινούμενον καὶ κινοῦν, καὶ μέσον τοίνυν ἐστί [s]τι ὃ οὐ κινούμενον κινεῖ, ἀΐδιον, καὶ οὐσία καὶ ἐνέργεια οὖσα. Κινεῖ δὲ ὧδε. Τὸ ὀρεκτὸν καὶ [t]τὸ νοητὸν κινεῖ οὐ [v]κινούμενα. Τούτων τὰ πρῶτα τὰ αὐτά. [k]Ἐπιθυμητὸν [w]μὲν γὰρ τὸ φαινόμενον καλόν, βουλητὸν δὲ πρῶτον τὸ ὂν καλόν. [k]Ὀρεγόμεθα δὲ [x]διότι δοκεῖ [y]μᾶλλον ἢ δοκεῖ διότι ὀρεγό-

h λόγω T. i ἣν om. Ab. k ἐνέργεια T. l καὶ τὸ νεῖκος E.T. m χρόνου Ab. n ἐνεργοῦν εἶναι, omisso ἀεὶ, E.T. o ἑκάτερον T. p ἐκεῖνο om. T. q τοῦ δ'] τὰ δ' T, οὐδ' Ab. r μόνον λόγῳ Ab. s τὸ et mox τι om. Fb. t τὸ post καὶ om. T. v κινούμενον Ab. w γὰρ μὲν Ab. x ὅτι E.T. y μᾶλλον] καλὸν E.

μεθα. [d]Ἀρχὴ [z]δὲ ἡ νόησις. Νοῦς δὲ ὑπὸ τοῦ νοητοῦ [a]κινεῖ- 3
ται, [b]νοητὴ δὲ ἡ ἑτέρα συστοιχία καθ' αὐτήν· καὶ ταύτης [c]ἡ
οὐσία πρώτη, [c]καὶ ταύτης ἡ ἁπλῆ [d]καὶ κατ' ἐνέργειαν.
[d]Ἔστι δὲ τὸ ἓν καὶ [e]τὸ ἁπλοῦν οὐ τὸ αὐτό· τὸ μὲν [f]γὰρ ἓν
μέτρον σημαίνει, τὸ δὲ ἁπλοῦν πῶς ἔχον αὐτό. [d]Ἀλλὰ μὴν 4
καὶ τὸ καλὸν καὶ τὸ [g]δι' αὑτὸ αἱρετὸν ἐν τῇ αὐτῇ [h]συστοι-
χίᾳ· καὶ ἔστιν ἄριστον ἀεὶ ἢ ἀνάλογον τὸ πρῶτον. [d]Ὅτι δ'
ἔστι τὸ οὗ ἕνεκα ἐν τοῖς ἀκινήτοις, ἡ διαίρεσις δηλοῖ. [d]Ἔστι
γάρ τινι τὸ οὗ [i]ἕνεκα, ὧν τὸ μὲν ἔστι τὸ δ' οὐκ ἔστι, κινεῖ
[k]δὲ ὡς [l]ἐρώμενον, [m]κινούμενον δὲ τἆλλα κινεῖ. [n]Εἰ μὲν 5
οὖν τι κινεῖται, ἐνδέχεται [o]καὶ ἄλλως ἔχειν. [d]Ὥστ' [p]εἰ [q]ἡ
φορὰ [r]πρώτη, καὶ ἐνέργειά ἐστιν ἣ κινεῖται· [s]ταύτην δὲ ἐν-
δέχεται ἄλλως ἔχειν κατὰ τόπον, καὶ εἰ μὴ κατ' οὐσίαν.
[d]Ἐπεὶ δ' ἐστί τι κινοῦν αὐτὸ ἀκίνητον ὄν, ἐνεργείᾳ ὄν, τοῦτο
οὐκ ἐνδέχεται ἄλλως ἔχειν οὐδαμῶς. Φορὰ γὰρ ἡ πρώτη 6
τῶν μεταβολῶν, ταύτης δὲ ἡ κύκλῳ· ταύτην δὲ τοῦτο κινεῖ.
[d]Ἐξ ἀνάγκης ἄρα ἐστὶν ὄν· καὶ ᾗ ἀνάγκη, καλῶς, καὶ οὕτως
ἀρχή. Τὸ γὰρ ἀναγκαῖον τοσαυταχῶς, τὸ μὲν βίᾳ ὅτι
παρὰ τὴν ὁρμήν, τὸ δὲ οὗ οὐκ ἄνευ τὸ εὖ, τὸ δὲ μὴ ἐνδεχό-
μενον ἄλλως ἀλλ' ἁπλῶς. [d]Ἐκ τοιαύτης ἄρα ἀρχῆς ἤρτηται
ὁ οὐρανὸς καὶ ἡ φύσις. Διαγωγὴ δ' [t]ἐστὶν [v]οἵα ἡ ἀρίστη 7
μικρὸν χρόνον ἡμῖν. Οὕτω γὰρ ἀεὶ ἐκεῖνό [w]ἐστιν. [d]Ἡμῖν
[x]μὲν γὰρ ἀδύνατον, ἐπεὶ [y]καὶ ἡ ἡδονὴ ἐνέργεια τούτου· καὶ
διὰ τοῦτο ἐγρήγορσις αἴσθησις νόησις ἥδιστον, ἐλπίδες δὲ
καὶ [z]μνῆμαι διὰ ταῦτα. [d]Ἡ δὲ νόησις ἡ καθ' αὑτὴν τοῦ καθ'
[a]αὐτὸ ἀρίστου, καὶ ἡ μάλιστα τοῦ μάλιστα. [b]Αὐτὸν δὲ 8

[z] δὲ ἡ] γὰρ ἡ E.T. [a] κινεῖται om. A[b]. [b] νοητὸν T. [c] ἡ ante οὐσία et mox καὶ ταύτης ἡ om. A[b]. [d] καὶ ante κατ' om. T. [e] τὸ ante ἁπλοῦν om. E.T.F[b]. [f] γὰρ om. A[b]. [g] δι' αὑτὸ om. T. [h] συστοιχείᾳ A[b]. [i] ἕνεκα] ἕνεκα τινός A[b]. [k] δὲ] δὴ A[b]. [l] ὁρώμενον T. [m] κινουμένω E.T. [n] εἰ] ὅτι F[b]. [o] καὶ om. E.F[b]. [p] εἰ post πρώτη T, om. E. [q] ἡ om. F[b]. [r] πρώτη] ἡ πρώτη E.F[b]. [s] ταύτη E.F[b]. [t] ἐστὶν om. F[b]. [v] οἵα] οἵα τε E, om. T. [w] ἐστιν om. A[b]. [x] μὲν om. T. [y] γρ. καὶ ἡδονὴ ἡ ἐνέργεια E. [z] κνῆμαι E. [a] αὐτὸ] αὐτὸν T. [b] ἑαυτὸν A[b].

νοεῖ ὁ νοῦς [c]κατὰ μετάληψιν τοῦ νοητοῦ· [d]νοητὸς γὰρ γίγνεται θιγγάνων καὶ νοῶν, ὥστε ταὐτὸν νοῦς [e]καὶ νοητόν. Τὸ γὰρ δεκτικὸν τοῦ νοητοῦ καὶ τῆς οὐσίας νοῦς. [f]Ἐνεργεῖ δὲ ἔχων. [g]Ὥστ' ἐκεῖνο μᾶλλον τούτου ὃ δοκεῖ ὁ νοῦς θεῖον
9 ἔχειν, καὶ ἡ θεωρία τὸ ἥδιστον καὶ [h]ἄριστον. Εἰ [i]οὖν οὕτως εὖ ἔχει, ὡς ἡμεῖς ποτέ, ὁ θεὸς ἀεί, θαυμαστόν· εἰ δὲ μᾶλλον, ἔτι θαυμασιώτερον. [j]Ἔχει δὲ [k]ὧδί. Καὶ ζωὴ δέ γε ὑπάρχει· ἡ γὰρ νοῦ ἐνέργεια ζωή, [l]ἐκεῖνος δὲ ἡ ἐνέργεια· ἐνέργεια δὲ ἡ καθ' αὑτὴν ἐκείνου ζωὴ ἀρίστη καὶ [m]ἀΐδιος. Φαμὲν δὲ τὸν θεὸν εἶναι ζῷον ἀΐδιον [n]ἄριστον, ὥστε ζωὴ καὶ αἰὼν συνεχὴς
10 [o]καὶ ἀΐδιος ὑπάρχει τῷ θεῷ· τοῦτο γὰρ ὁ θεός. [p]Ὅσοι δὲ ὑπολαμβάνουσιν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος, τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι, διὰ τὸ καὶ τῶν φυτῶν [q]καὶ τῶν ζῴων τὰς ἀρχὰς αἴτια μὲν εἶναι, τὸ δὲ καλὸν [r]καὶ τέλειον ἐν τοῖς ἐκ τούτων, οὐκ ὀρθῶς οἴονται.
11 Τὸ γὰρ σπέρμα ἐξ ἑτέρων [s]ἐστὶ προτέρων τελείων, καὶ τὸ πρῶτον οὐ σπέρμα ἐστίν, ἀλλὰ τὸ τέλειον· [t]οἷον πρότερον ἄνθρωπον ἂν φαίη [u]τις εἶναι τοῦ σπέρματος, οὐ τὸν ἐκ τού-
12 του γενόμενον, ἀλλ' ἕτερον ἐξ οὗ τὸ σπέρμα. [v]Ὅτι μὲν οὖν ἔστιν οὐσία τις ἀΐδιος [w]καὶ ἀκίνητος καὶ κεχωρισμένη τῶν αἰσθητῶν, φανερὸν ἐκ τῶν εἰρημένων. Δέδεικται δὲ καὶ ὅτι μέγεθος οὐθὲν ἔχειν ἐνδέχεται ταύτην τὴν οὐσίαν, ἀλλ' ἀμερὴς καὶ ἀδιαίρετός ἐστιν. [x]Κινεῖ γὰρ τὸν ἄπειρον χρόνον,
13 οὐθὲν δ' ἔχει δύναμιν ἄπειρον [y]πεπερασμένον. [z]Ἐπεὶ δὲ πᾶν μέγεθος ἢ ἄπειρον ἢ πεπερασμένον, πεπερασμένον μὲν διὰ τοῦτο οὐκ ἂν ἔχοι [aa]μέγεθος, ἄπειρον δ' ὅτι ὅλως οὐκ ἔστιν οὐθὲν ἄπειρον μέγεθος. [ab]Ἀλλὰ [ac]μὴν καὶ ὅτι ἀπαθὲς καὶ ἀναλλοίωτον· πᾶσαι γὰρ αἱ ἄλλαι κινήσεις ὕστεραι τῆς

[c] κατὰ] καὶ Ab. [d] νοητὸς—νοητοῦ om. T. [e] καὶ post νοῦς om. Ab. [f] ἀόριστον E.T. [g] οὖν om. T. [h] ὧδε E.T. [i] ἐκεῖνο E. [k] ἀΐδιος —ζῷον om. T. [l] ἀόριστον T. [m] καὶ om. E.T. [n] καὶ τῶν ζῴων om. T. [o] καὶ τὸ τέλειον T. [p] προτέρων ἐστὶ Ab. [q] οἷόν τε πρότερον Ab, οἷον ὥστε πρότερον T. [r] τις] τις ἄνθρωπον T. [s] καὶ ἀκίνητος om. T. [t] κινεῖται T. [v] πεπερασμένον ὄν. ἐπεὶ T. [w] μέγεθος εἰς ἄπειρον T. [x] μὴν ὅτι καὶ ἀπαθὴς καὶ ἀναλλοίωτος T.

κατὰ τόπον. Ταῦτα μὲν οὖν δῆλα διότι τοῦτον ἔχει τὸν τρόπον.

8 Πότερον δὲ μίαν θετέον τὴν τοιαύτην οὐσίαν ἢ πλείους, καὶ πόσας, δεῖ μὴ λανθάνειν, ἀλλὰ μεμνῆσθαι καὶ τὰς τῶν ἄλλων ἀποφάσεις, ὅτι περὶ πλήθους οὐθὲν εἰρήκασιν, ὅ τι καὶ σαφὲς εἰπεῖν. 2 [b]Ἡ μὲν γὰρ περὶ τὰς ἰδέας ὑπόληψις οὐδεμίαν ἔχει σκέψιν ἰδίαν· ἀριθμοὺς γὰρ λέγουσι τὰς ἰδέας οἱ λέγοντες ἰδέας, περὶ δὲ τῶν ἀριθμῶν ὁτὲ μὲν ὡς περὶ ἀπείρων λέγουσιν, ὁτὲ δὲ ὡς μέχρι τῆς δεκάδος ὡρισμένων· δι' ἣν δ' αἰτίαν τοσοῦτον τὸ πλῆθος τῶν ἀριθμῶν, [y]οὐθὲν λέγεται μετὰ σπουδῆς ἀποδεικτικῆς. 3 [b]Ἡμῖν δ' ἐκ τῶν ὑποκειμένων καὶ διωρισμένων λεκτέον. [b]Ἡ μὲν γὰρ ἀρχὴ καὶ τὸ πρῶτον τῶν ὄντων ἀκίνητον καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, κινοῦν δὲ τὴν πρώτην ἀΐδιον καὶ μίαν κίνησιν. 4 [d]Ἐπεὶ δὲ τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι, καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον εἶναι καθ' αὑτό, καὶ τὴν ἀΐδιον κίνησιν ὑπὸ ἀϊδίου κινεῖσθαι καὶ τὴν μίαν ὑφ' ἑνός, ὁρῶμεν δὲ παρὰ τὴν τοῦ παντὸς τὴν ἁπλῆν φοράν, ἣν κινεῖν φαμὲν τὴν πρώτην οὐσίαν καὶ ἀκίνητον, ἄλλας φορὰς οὔσας τὰς τῶν πλανήτων ἀϊδίους (ἀΐδιον γὰρ καὶ ἄστατον τὸ κύκλῳ σῶμα· δέδεικται δ' ἐν τοῖς φυσικοῖς περὶ τούτων), ἀνάγκη καὶ τούτων ἑκάστην τῶν φορῶν ὑπ' ἀκινήτου τε κινεῖσθαι καθ' [z]αὑτὸ καὶ ἀϊδίου οὐσίας. 5 [b]Ἡ τε γὰρ τῶν ἄστρων [a]φύσις ἀΐδιος οὐσία τις οὖσα, καὶ τὸ κινοῦν ἀΐδιον καὶ πρότερον τοῦ κινουμένου, καὶ τὸ πρότερον οὐσίας οὐσίαν ἀναγκαῖον εἶναι. Φανερὸν τοίνυν ὅτι τοσαύτας τε οὐσίας ἀναγκαῖον εἶναι τήν τε φύσιν ἀϊδίους καὶ ἀκινήτους καθ' αὑτὰς [b]καὶ ἄνευ μεγέθους, διὰ τὴν εἰρημένην αἰτίαν πρότερον. 6 [b]Ὅτι μὲν οὖν [c]εἰσὶν οὐσίαι, καὶ τούτων τίς πρώτη καὶ δευτέρα κατὰ τὴν αὐτὴν τάξιν ταῖς φοραῖς τῶν ἄστρων, φανερόν. 7 Τὸ δὲ πλῆθος ἤδη τῶν [d]φορῶν ἐκ τῆς οἰκειοτάτης φιλοσοφίας τῶν μαθηματικῶν ἐπιστημῶν δεῖ σκοπεῖν, ἐκ τῆς ἀστρολογίας· [z]αὕτη γὰρ περὶ οὐσίας

[y] οὐδὲ T. [z] αὐτὴν E. [a] φύσις ἀΐδιος οὐσία] οὐσία ἀΐδιος T. [b] καὶ ἀμεγέθους T. [c] εἰσὶν om. T. [d] σφαιρῶν F^b.

αἰσθητῆς μὲν ἀϊδίου δὲ ποιεῖται τὴν θεωρίαν, αἱ δ' ἄλλαι περὶ οὐδεμιᾶς οὐσίας, οἷον ἥ τε περὶ τοὺς ἀριθμοὺς καὶ τὴν γεωμετρίαν. [v]Ὅτι μὲν οὖν πλείους τῶν φερομένων αἱ φοραί, φανερὸν τοῖς καὶ μετρίως ἠμμένοις· πλείους γὰρ ἕκαστον
8 φέρεται μιᾶς τῶν πλανωμένων ἄστρων. Πόσαι δ' αὗται τυγχάνουσιν οὖσαι, νῦν μὲν ἡμεῖς ἃ λέγουσι τῶν μαθηματικῶν τινὲς ἐννοίας χάριν λέγομεν, ὅπως ᾖ τι τῇ διανοίᾳ πλῆθος ὡρισμένον ὑπολαβεῖν· τὸ δὲ λοιπὸν τὰ μὲν ζητοῦντας αὐτοὺς δεῖ, τὰ δὲ πυνθανομένους παρὰ τῶν ζητούντων, ἄν τι [e]φαίνηται παρὰ τὰ νῦν εἰρημένα τοῖς ταῦτα πραγματευομένοις, φιλεῖν μὲν ἀμφοτέρους, πείθεσθαι δὲ τοῖς ἀκρι-
9 βεστέροις. Εὔδοξος μὲν οὖν ἡλίου καὶ σελήνης [f]ἑκατέρου τὴν φορὰν ἐν τρισὶν ἐτίθετ' εἶναι σφαίραις, ὧν τὴν μὲν πρώτην τὴν τῶν ἀπλανῶν ἄστρων εἶναι, τὴν δὲ δευτέραν κατὰ [g]τὸν διὰ μέσων τῶν ζῳδίων, τὴν [h]δὲ τρίτην κατὰ τὸν λελοξωμένον ἐν τῷ πλάτει τῶν ζῳδίων· ἐν μείζονι δὲ πλάτει λελοξῶσθαι καθ' ὃν ἡ σελήνη φέρεται ἢ καθ' ὃν ὁ ἥλιος.
10 Τῶν δὲ πλανωμένων ἄστρων ἐν [i]τέτταρσιν ἑκάστου σφαίραις, καὶ τούτων δὲ τὴν μὲν πρώτην καὶ δευτέραν τὴν αὐτὴν εἶναι ἐκείναις (τήν τε γὰρ τῶν ἀπλανῶν τὴν ἁπάσας φέρουσαν εἶναι, [k]καὶ τὴν ὑπὸ [l]ταύτην τεταγμένην καὶ κατὰ [m]τὸν διὰ μέσων τῶν ζῳδίων τὴν φορὰν ἔχουσαν κοινὴν ἁπασῶν εἶναι), [n]τῆς δὲ τρίτης ἁπάντων τοὺς πόλους ἐν τῷ διὰ μέσων τῶν ζῳδίων εἶναι, τῆς δὲ τετάρτης τὴν φορὰν κατὰ τὸν λελοξωμένον πρὸς τὸν μέσον ταύτης· εἶναι δὲ τῆς τρίτης σφαίρας τοὺς πόλους τῶν μὲν ἄλλων ἰδίους, [o]τοὺς δὲ τῆς [t]Ἀφρο-
11 δίτης καὶ τοῦ [t]Ἑρμοῦ τοὺς αὐτούς. Κάλλιππος δὲ τὴν μὲν θέσιν τῶν σφαιρῶν τὴν αὐτὴν ἐτίθετο Εὐδόξῳ, [p]τοῦτ' ἔστι τῶν ἀποστημάτων τὴν τάξιν, τὸ δὲ πλῆθος τῷ μὲν τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου τὸ αὐτὸ [q]ἐκείνῳ [r]ἀπεδίδου, τῷ δ' [s]ἡλίου

[e] φαίνεται T. [f] ἑκατέρου om. F[b]. [g] τὸν] τὴν T, τὸ E.A[b]. [h] δὲ om. F[b]. [i] τέτρασιν T. [k] καὶ τὴν—ἁπασῶν εἶναι om. T. [l] ταύτη E. [m] τὸ A[b]. [n] τῆς] τοὺς F[b]. [o] τοὺς δὲ] τοῦ δὲ T. [p] τοῦτ'—τάξιν om. E. [q] ἐκεῖνο A[b]. [r] ἐπιπέδου T. [s] ἡλίῳ καὶ τῇ σελήνῃ E.T.

καὶ τῷ σελήνης δύο [t] ᾠ̈ετο ἔτι προσθετέας εἶναι σφαίρας, τὰ φαινόμενα εἰ [v] μέλλει τις ἀποδώσειν, [w] τοῖς δὲ λοιποῖς τῶν πλανήτων ἑκάστῳ μίαν. [1] Ἀναγκαῖον δέ, εἰ μέλλουσι συντε- 12
θεῖσαι πᾶσαι τὰ φαινόμενα ἀποδώσειν, καθ' ἕκαστον τῶν πλανωμένων ἑτέρας σφαίρας [x] μιᾷ ἐλάττονας εἶναι τὰς ἀνελιττούσας καὶ εἰς τὸ αὐτὸ [y] ἀποκαθιστάσας τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου· οὕτω γὰρ μόνως ἐνδέχεται τὴν τῶν πλανητῶν φορὰν ἅπαντα ποιεῖσθαι. [1] Ἐπεὶ οὖν ἐν αἷς μὲν αὐτὰ [z] φέρεται σφαίραις αἱ μὲν 13
ὀκτὼ αἱ δὲ πέντε καὶ εἴκοσίν εἰσιν, τούτων δὲ μόνας οὐ δεῖ [a] ἀνελιχθῆναι ἐν αἷς τὸ κατωτάτω τεταγμένον φέρεται, αἱ μὲν τὰς τῶν πρώτων δύο ἀνελίττουσαι ἓξ ἔσονται, αἱ δὲ τὰς τῶν ὕστερον τεττάρων ἑκκαίδεκα, ὁ [b] δὲ ἁπασῶν ἀριθμὸς τῶν τε φερουσῶν καὶ τῶν ἀνελιττουσῶν ταύτας πεντήκοντά τε καὶ πέντε. Εἰ δὲ τῇ σελήνῃ τε καὶ τῷ ἡλίῳ μὴ [c] προστιθείη 14
τις ἃς εἴπομεν κινήσεις, αἱ πᾶσαι σφαῖραι ἔσονται ἑπτά τε καὶ τεσσαράκοντα. Τὸ μὲν οὖν πλῆθος τῶν σφαιρῶν ἔστω τοσοῦτον, ὥστε καὶ τὰς οὐσίας καὶ τὰς ἀρχὰς τὰς ἀκινήτους καὶ τὰς αἰσθητὰς τοσαύτας εὔλογον ὑπολαβεῖν· τὸ γὰρ ἀναγκαῖον ἀφείσθω τοῖς ἰσχυροτέροις λέγειν. Εἰ δὲ μηδε- 15
μίαν [d] οἷόν τ' [e] εἶναι φορὰν μὴ συντείνουσαν πρὸς ἄστρου φοράν, ἔτι δὲ πᾶσαν φύσιν καὶ πᾶσαν οὐσίαν [f] ἀπαθῆ καὶ καθ' αὑτὴν τοῦ ἀρίστου τετυχηκυῖαν τέλους εἶναι δεῖ νομίζειν, οὐδεμία ἂν εἴη παρὰ ταύτας ἑτέρα φύσις, ἀλλὰ τοῦτον ἀνάγκη τὸν ἀριθμὸν εἶναι τῶν οὐσιῶν. Εἴτε γάρ εἰσιν ἕτεραι, κινοῖεν ἂν ὡς τέλος οὖσαι φορᾶς. [1] Ἀλλ' εἶναί γε ἄλλας 16
φορὰς ἀδύνατον παρὰ τὰς εἰρημένας. Τοῦτο δ' εὔλογον ἐκ τῶν [g] φερομένων ὑπολαβεῖν. Εἰ γὰρ πᾶν τὸ φέρον τοῦ φερομένου χάριν πέφυκε καὶ φορὰ πᾶσα φερομένου τινός ἐστιν, οὐδεμία φορὰ αὐτῆς [h] ἂν ἕνεκα εἴη οὐδ' ἄλλης φορᾶς,

[t] ἔτι ᾠ̈ετο T. [v] μέλλοι E. [w] τοῖς—ἀποδώσειν om. T. [x] μιᾷ] μὴ T. [y] ἀποκαθιστώσας A[b]. [z] φέρονται T. [a] ἀνελλιχθῆναι οὐ δεῖ ἐν ᾧ τὸ κάτω φέρεται F[b]. ἀναλεχθῆναι T. [b] δὴ E.T. [c] προστεθείη T. [d] οἷόν om. T. [e] εἶναι om. F[b]. [f] ἀπαθῆ] ἀγαθὴν ἀπαθῆ T. [g] φαιρομένων T. [h] ἂν om. E.

17 ἀλλὰ τῶν ἄστρων ἕνεκα. Εἰ γὰρ ἔσται φορὰ φορᾶς ἕνεκα, καὶ ἐκείνην [i] ἑτέρου δεήσει χάριν εἶναι· ὥστ' ἐπειδὴ οὐχ οἷόν τε εἰς ἄπειρον, τέλος ἔσται πάσης φορᾶς τῶν φερομένων τι θείων σωμάτων κατὰ τὸν οὐρανόν. [v] Ὅτι δὲ εἷς οὐρανός, φανερόν. Εἰ γὰρ πλείους οὐρανοὶ ὥσπερ ἄνθρωποι, ἔσται εἴδει 18 μία ἡ περὶ ἕκαστον ἀρχή, ἀριθμῷ δέ γε πολλαί. [l] Ἀλλ' ὅσα ἀριθμῷ πολλά, ὕλην ἔχει· εἷς γὰρ λόγος καὶ ὁ αὐτὸς πολλῶν, οἷον ἀνθρώπου, [k] Σωκράτης δὲ εἷς. Τὸ δὲ τί ἦν εἶναι οὐκ ἔχει ὕλην τὸ πρῶτον· ἐντελέχεια γάρ. [k] Ἓν ἄρα καὶ λόγῳ καὶ ἀριθμῷ τὸ πρῶτον κινοῦν ἀκίνητον ὄν· καὶ τὸ κινούμενον ἄρα ἀεὶ καὶ συνεχῶς [l] ἓν μόνον· εἷς ἄρα οὐρανὸς 19 μόνος. Παραδέδοται δὲ παρὰ τῶν ἀρχαίων καὶ παμπαλαίων ἐν μύθου σχήματι καταλελειμμένα τοῖς ὕστερον ὅτι θεοί τέ 20 εἰσιν οὗτοι καὶ περιέχει τὸ θεῖον τὴν ὅλην φύσιν. Τὰ δὲ λοιπὰ μυθικῶς ἤδη [m] προσῆκται πρὸς τὴν πειθὼ τῶν πολλῶν καὶ πρὸς τὴν εἰς τοὺς νόμους καὶ τὸ συμφέρον χρῆσιν· ἀνθρωποειδεῖς τε γὰρ τούτους καὶ τῶν ἄλλων ζῴων ὁμοίους τισὶ λέγουσι, καὶ τούτοις ἕτερα ἀκόλουθα καὶ παραπλήσια 21 τοῖς εἰρημένοις. [v] Ὧν εἴ τις χωρίσας αὐτὸ λάβοι μόνον τὸ πρῶτον, ὅτι θεοὺς ᾤοντο τὰς πρώτας οὐσίας εἶναι, θείως ἂν εἰρῆσθαι νομίσειεν, καὶ κατὰ τὸ εἰκὸς πολλάκις εὑρημένης εἰς τὸ δυνατὸν ἑκάστης καὶ τέχνης καὶ φιλοσοφίας καὶ πάλιν φθειρομένων καὶ ταύτας τὰς δόξας ἐκείνων οἷον λείψανα περισεσῶσθαι μέχρι τοῦ νῦν. [l] Ἡ μὲν οὖν πάτριος δόξα καὶ ἡ παρὰ τῶν πρώτων ἐπὶ τοσοῦτον ἡμῖν φανερὰ μόνον.

9 Τὰ δὲ περὶ τὸν νοῦν ἔχει τινὰς ἀπορίας· δοκεῖ μὲν γὰρ εἶναι τῶν φαινομένων θειότατον, πῶς δ' ἔχων τοιοῦτος ἂν εἴη, ἔχει τινὰς δυσκολίας. Εἴτε γὰρ [n] μηθὲν νοεῖ, τί ἂν εἴη τὸ σεμνόν, ἀλλ' ἔχει ὥσπερ ἂν εἰ ὁ καθεύδων· εἴτε νοεῖ, τούτου δ' ἄλλο κύριον (οὐ γάρ ἐστι τοῦτο ὅ ἐστιν αὐτοῦ ἡ οὐσία νόησις, ἀλλὰ δύναμις), οὐκ ἂν ἡ ἀρίστη οὐσία εἴη· διὰ 2 γὰρ τοῦ νοεῖν τὸ τίμιον αὐτῷ ὑπάρχει. [v] Ἔτι δὲ εἴτε νοῦς ἡ

i ἑτέρων A^b. k γρ. σωκράτης δὲ οὐχ εἷς margo E. l ἓν μόνον om. A^b. m προῆκται F^b. n μηδ' ἐννοεῖ A^b.

οὐσία αὐτοῦ εἴτε νόησίς ἐστι, τί νοεῖ; ᵗΗ γὰρ αὐτὸς αὑτὸν ἢ ἕτερόν τι. ᵒΚαὶ εἰ ἕτερόν τι, ἢ τὸ αὐτὸ ἀεὶ ἢ ἄλλο. Πότερον οὖν διαφέρει τι ἢ οὐθὲν τὸ νοεῖν τὸ καλὸν ἢ τὸ τυχόν; ᵘΗ καὶ ἄτοπον τὸ διανοεῖσθαι περὶ ἐνίων; Δῆλον τοίνυν 3
ὅτι τὸ θειότατον καὶ τιμιώτατον νοεῖ, καὶ οὐ μεταβάλλει· εἰς χεῖρον ᵖγὰρ ἡ μεταβολή, καὶ κίνησίς τις ἤδη τὸ τοιοῦτον. Πρῶτον μὲν οὖν εἰ μὴ νόησίς ἐστιν ἀλλὰ δύναμις, εὔλογον ἐπίπονον εἶναι τὸ συνεχὲς αὐτῷ τῆς νοήσεως. ᵛΕπειτα δῆλον ὅτι ἄλλο τι ἂν εἴη τὸ τιμιώτερον ἢ ᵠὁ νοῦς, τὸ νοούμενον. Καὶ γὰρ ʳτὸ νοεῖν καὶ ἡ νόησις ὑπάρξει καὶ τὸ χείριστον 4
νοοῦντι. ᵛΩστ' ˢεἰ φευκτὸν τοῦτο (καὶ γὰρ μὴ ὁρᾶν ἔνια ᵗκρεῖττον ἢ ὁρᾶν), οὐκ ἂν εἴη τὸ ἄριστον ἡ νόησις. Αὑτὸν ἄρα νοεῖ, εἴπερ ἐστὶ τὸ κράτιστον, καὶ ἔστιν ᵛἡ νόησις νοήσεως νόησις. Φαίνεται δ' ἀεὶ ἄλλου ἡ ἐπιστήμη καὶ ʷἡ αἴσθησις καὶ ἡ δόξα καὶ ἡ διάνοια, ˣαὐτῆς δ' ἐν παρέργῳ. ʸᵘΕτι εἰ ἄλλο τὸ νοεῖν καὶ τὸ νοεῖσθαι, κατὰ πότερον αὐτῷ 5
τὸ εὖ ὑπάρχει; Οὐδὲ γὰρ ταὐτὸ τὸ εἶναι νοήσει καὶ νοουμένῳ. ᵗΗ ἐπ' ἐνίων ἡ ἐπιστήμη τὸ πρᾶγμα; ᵗΕπὶ μὲν τῶν ποιητικῶν ἄνευ ὕλης ἡ οὐσία καὶ τὸ τί ἦν εἶναι, ἐπὶ δὲ τῶν θεωρητικῶν ὁ λόγος τὸ πρᾶγμα καὶ ἡ νόησις. Οὐχ ἑτέρου οὖν ὄντος τοῦ νοουμένου καὶ τοῦ νοῦ, ὅσα μὴ ὕλην ἔχει τὸ αὐτὸ ἔσται, καὶ ἡ νόησις τοῦ νοουμένου ᶻμία. ᵘΕτι δὴ λεί- 6
πεται ἀπορία, εἰ σύνθετον τὸ νοούμενον· ᵃμεταβάλλοι γὰρ ἂν ἐν τοῖς μέρεσι τοῦ ὅλου. ᵘΗ ἀδιαίρετον πᾶν τὸ μὴ ἔχον ὕλην, ὥσπερ ὁ ἀνθρώπινος νοῦς, ἢ ὅ γε τῶν συνθέτων ἔχει ἔν τινι χρόνῳ· οὐ γὰρ ἔχει τὸ εὖ ἐν τῳδὶ ἢ ἐν τῳδί, ἀλλ' ἐν ὅλῳ τινὶ τὸ ἄριστον, ὃν ἄλλο τι. Οὕτως δ' ἔχει αὐτὴ αὐτῆς ἡ νόησις τὸν ἅπαντα αἰῶνα.

ᵗΕπισκεπτέον δὲ καὶ ποτέρως ἔχει ἡ τοῦ ᵇὅλου φύσις τὸ 10
ἀγαθὸν καὶ τὸ ἄριστον, πότερον ᶜκεχωρισμένον τι καὶ αὐτὸ

ᵒ καὶ—τι om. E.T. ᵖ γὰρ κίνησις καὶ μεταβολή A^b. ᵠ ὁ om. T. ʳ τὸ post γὰρ om. F^b. ˢ εἰ] εἰ ἔστι E, om. T. ᵗ κρείττονι, omisso ἢ, T. ᵛ ἡ νόησις κάτω νοήσεως νοήσει. φ. T. ʷ ἡ post καὶ om. E. ˣ ἑαυτῆς F^b. ʸ ἔτι δ' εἰ T. ᶻ μία om. E. ᵃ μεταβάλοι A^b, μετάβάλλει T. ᵇ λόγου T. ᶜ τι κεχωρισμένον T.

καθ' αὐτό, ἢ τὴν τάξιν, ἢ ἀμφοτέρως ὥσπερ στράτευμα.
2 Καὶ γὰρ ἐν τῇ τάξει τὸ εὖ καὶ ὁ στρατηγός, καὶ μᾶλλον
[d] οὗτος· οὐ γὰρ οὗτος διὰ τὴν τάξιν ἀλλ' ἐκείνη διὰ [e] τοῦτόν
ἐστιν. Πάντα δὲ συντέτακταί πως, ἀλλ' οὐχ ὁμοίως, καὶ
πλωτὰ καὶ πτηνὰ καὶ φυτά· [f] καὶ οὐχ οὕτως ἔχει ὥστε μὴ
3 εἶναι θατέρῳ πρὸς θάτερον μηθέν, ἀλλ' ἐστί τι. Πρὸς μὲν
γὰρ ἓν ἅπαντα συντέτακται, ἀλλ' ὥσπερ ἐν οἰκίᾳ τοῖς ἐλευ-
θέροις ἥκιστα ἔξεστιν [g] ὅ τι ἔτυχε ποιεῖν, ἀλλὰ πάντα ἢ τὰ
πλεῖστα τέτακται, τοῖς δὲ ἀνδραπόδοις καὶ τοῖς θηρίοις μι-
κρὸν τὸ εἰς τὸ κοινόν, τὸ δὲ πολὺ ὅ τι ἔτυχεν· τοιαύτη γὰρ
4 ἑκάστου ἀρχὴ αὐτῶν ἡ φύσις ἐστίν. Λέγω δ' οἷον εἴς γε τὸ
διακριθῆναι ἀνάγκη ἅπασιν ἐλθεῖν, καὶ ἄλλα οὕτως ἐστὶν ὧν
κοινωνεῖ ἅπαντα εἰς τὸ ὅλον. [v] Ὅσα δὲ ἀδύνατα [h] συμβαίνει
ἢ ἄτοπα τοῖς ἄλλως λέγουσι, καὶ [i] ποῖα οἱ χαριεστέρως λέ-
γοντες, καὶ ἐπὶ ποίων ἐλάχισταί ἀπορίαι, δεῖ μὴ λανθάνειν.
5 Πάντες γὰρ ἐξ ἐναντίων ποιοῦσι πάντα. Οὔτε [k] δὲ τὸ πάντα
οὔτε τὸ ἐξ ἐναντίων ὀρθῶς, οὔτ' ἐν ὅσοις τὰ ἐναντία ὑπάρχει,
πῶς ἐκ τῶν ἐναντίων ἔσται, οὐ λέγουσιν· ἀπαθῆ γὰρ τὰ ἐναν-
τία ὑπ' ἀλλήλων. [l] Ἡμῖν δὲ λύεται τοῦτο εὐλόγως τῷ τρί-
τον τι εἶναι. Οἱ δὲ τὸ ἕτερον τῶν ἐναντίων ὕλην ποιοῦσιν,
6 ὥσπερ οἱ τὸ ἄνισον τῷ ἴσῳ ἢ τῷ ἑνὶ τὰ πολλά. Λύεται δὲ
καὶ τοῦτο τὸν αὐτὸν τρόπον· ἡ γὰρ ὕλη ἡ μία οὐθενὶ ἐναν-
τίον. [4] Ἔτι ἅπαντα τοῦ φαύλου μεθέξει ἔξω τοῦ ἑνός· τὸ
γὰρ κακὸν αὐτὸ θάτερον τῶν στοιχείων. Οἱ δ' ἄλλοι οὐδ'
ἀρχὰς τὸ ἀγαθὸν καὶ τὸ κακόν· καίτοι ἐν ἅπασι μάλιστα
τὸ ἀγαθὸν ἀρχή. Οἱ δὲ τοῦτο μὲν ὀρθῶς ὅτι ἀρχήν, [l] ἀλλὰ
πῶς τὸ ἀγαθὸν ἀρχὴ οὐ λέγουσιν, πότερον ὡς τέλος ἢ ὡς
7 κινῆσαν ἢ ὡς εἶδος. [4] Ἀτόπως δὲ καὶ [4] Ἐμπεδοκλῆς· τὴν γὰρ
φιλίαν ποιεῖ τὸ ἀγαθόν. Αὕτη δ' ἀρχὴ καὶ ὡς κινοῦσα
(συνάγει γάρ) καὶ ὡς ὕλη· μόριον γὰρ τοῦ μίγματος. Εἰ
δὴ καὶ τῷ αὐτῷ συμβέβηκεν ὡς ὕλῃ καὶ [m] ἀρχῇ εἶναι καὶ ὡς

[d] οὗτος· οὐ] αὐτός· οὐ T. [e] τοῦτ' ἦν ἐστιν T. [f] καὶ οὐχ οὕτως] οὔτε T. [g] ὅ τι ἔτυχε] ὁτιοῦν E. [h] ἢ ἄτοπα συμβαίνει F[b]. [i] ποῖα ἡ χάρις ἑτέρως λέγοντες T. [k] δὴ T. [l] ἀλλὰ—ἀρχὴ om. T. [m] ἀρχῇ E.A[b].

κινοῦντι, ἀλλὰ [n]τό γ' εἶναι οὐ ταὐτό. [o]Κατὰ πότερον οὖν φιλία; [1]Ἄτοπον δὲ καὶ τὸ ἄφθαρτον εἶναι τὸ νεῖκος· τοῦτο δ' ἐστὶν αὐτὸ ἡ τοῦ κακοῦ φύσις. [2]Ἀναξαγόρας δὲ ὡς κινοῦν 8
τὸ ἀγαθὸν ἀρχήν· ὁ γὰρ νοῦς κινεῖ, ἀλλὰ κινεῖ ἕνεκά τινος, ὥστε ἕτερον. Πλὴν ὡς ἡμεῖς λέγομεν· ἡ γὰρ ἰατρικὴ ἐστί πως [p]ἡ ὑγίεια. [3]Ἄτοπον δὲ καὶ τὸ ἐναντίον μὴ ποιῆσαι τῷ ἀγαθῷ καὶ τῷ νῷ. Πάντες δ' οἱ τἀναντία λέγοντες οὐ χρῶνται τοῖς ἐναντίοις, ἐὰν μὴ [q]ῥυθμίσῃ τις. Καὶ διὰ τί τὰ μὲν 9
φθαρτὰ τὰ δ' ἄφθαρτα, οὐδεὶς λέγει· [r]πάντα γὰρ τὰ ὄντα ποιοῦσιν ἐκ τῶν αὐτῶν ἀρχῶν. [4]Ἔτι οἱ μὲν ἐκ τοῦ μὴ ὄντος ποιοῦσι τὰ ὄντα· οἱ δ' ἵνα μὴ τοῦτο ἀναγκασθῶσιν, ἓν πάντα ποιοῦσιν. [5]Ἔτι διὰ τί ἀεὶ ἔσται γένεσις καὶ τί αἴτιον γενέσεως, οὐδεὶς λέγει. Καὶ τοῖς δύο ἀρχὰς ποιοῦσιν ἄλλην 10
[s]ἀνάγκη ἀρχὴν κυριωτέραν εἶναι, καὶ τοῖς τὰ εἴδη, ὅτι ἄλλη ἀρχὴ κυριωτέρα· διὰ τί γὰρ [t]μετέσχεν ἢ μετέχει; Καὶ τοῖς μὲν ἄλλοις ἀνάγκη τῇ σοφίᾳ καὶ τῇ τιμιωτάτῃ ἐπιστήμῃ εἶναί τι ἐναντίον, ἡμῖν δ' οὔ· οὐ γάρ ἐστιν ἐναντίον τῷ πρώτῳ οὐθέν. Πάντα γὰρ τὰ ἐναντία ὕλην ἔχει καὶ δυνάμει ταὐτά 11
ἐστιν, [v]ἡ δὲ ἐναντία ἄγνοια εἰς τὸ ἐναντίον· τῷ δὲ πρώτῳ ἐναντίον οὐθέν. [w]Εἴτε μὴ ἔσται παρὰ τὰ αἰσθητὰ ἄλλα, οὐκ ἔσται ἀρχὴ καὶ τάξις καὶ γένεσις καὶ τὰ οὐράνια, ἀλλ' ἀεὶ τῆς ἀρχῆς ἀρχή, ὥσπερ τοῖς θεολόγοις καὶ τοῖς φυσικοῖς πᾶσιν. Εἰ δ' ἔσται τὰ εἴδη [x]ἢ ἀριθμοί, οὐδενὸς αἴτια· εἰ 12
δὲ μή, [y]οὔτι κινήσεώς γε. [1]Ἔτι πῶς ἔσται ἐξ ἀμεγεθῶν μέγεθος καὶ συνεχές; [c]Ὁ γὰρ ἀριθμὸς οὐ ποιήσει συνεχές, οὔτε ὡς κινοῦν οὔτε ὡς εἶδος. [2]Ἀλλὰ μὴν οὐθέν γ' ἔσται τῶν ἐναντίων ὅπερ καὶ ποιητικὸν καὶ κινητικόν· ἐνδέχοιτο γὰρ [z]ἂν μὴ εἶναι. [3]Ἀλλὰ μὴν ὕστερόν γε τὸ ποιεῖν δυνάμεως. Οὐκ 13
ἄρα ἀΐδια τὰ ὄντα. [4]Ἀλλ' ἔστιν· ἀναιρετέον ἄρα τούτων τι. Τοῦτο δ' εἴρηται [a]ὥς. [5]Ἔτι τίνι οἱ ἀριθμοὶ ἓν ἢ ἡ ψυχὴ καὶ τὸ σῶμα καὶ ὅλως τὸ εἶδος καὶ τὸ πρᾶγμα, οὐθὲν λέγει

[n] τό] τῷ T. [o] κατὰ] καὶ T. [p] ἡ post πως om. T. [q] ῥαθυμήση T. [r] πάντες E. [s] ἀρχὴν ἀνάγκη T. [t] μετίσχει E.T. [v] ἡ] εἰ T. [w] εἴτε] ἔνι εἰ F[b]. [x] ἢ om. T. [y] οὔτε A[b]. [z] ἂν om. E. [a] ὥς] οὕτως T.

οὐθείς· οὐδ' ἐνδέχεται εἰπεῖν, ἐὰν μὴ ὡς ἡμεῖς εἴπῃ, ὡς τὸ κι-
14 νοῦν ποιεῖ. Οἱ δὲ λέγοντες τὸν ἀριθμὸν πρῶτον τὸν μαθη-
ματικὸν καὶ οὕτως ἀεὶ ἄλλην ἐχομένην οὐσίαν καὶ ἀρχὰς ἑκά-
στης ἄλλας, ἐπεισοδιώδη τὴν τοῦ παντὸς οὐσίαν ποιοῦσιν
(οὐθὲν γὰρ ἡ ἑτέρα τῇ ἑτέρᾳ συμβάλλεται οὖσα ἢ μὴ οὖσα)
καὶ ἀρχὰς πολλάς· τὰ δὲ ὄντα οὐ βούλεται πολιτεύεσθαι
κακῶς.

Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος [b] ἔστω.

Μ.

Περὶ μὲν [c] οὖν τῆς τῶν αἰσθητῶν οὐσίας εἴρηται τίς ἐστιν,
ἐν μὲν τῇ μεθόδῳ τῇ τῶν φυσικῶν περὶ τῆς ὕλης, ὕστερον δὲ
2 περὶ τῆς κατ' ἐνέργειαν. [1]Επεὶ δ' ἡ σκέψις ἐστὶ πότερον
ἔστι τις παρὰ τὰς αἰσθητὰς οὐσίας ἀκίνητος καὶ ἀΐδιος ἢ οὐκ
ἔστι, καὶ εἰ ἐστι τίς ἐστι, πρῶτον τὰ παρὰ τῶν ἄλλων λε-
γόμενα θεωρητέον, ὅπως εἴτε τι μὴ καλῶς λέγουσι, μὴ τοῖς
αὐτοῖς ἔνοχοι ὦμεν, καὶ εἴ [d] τι δόγμα κοινὸν ἡμῖν κἀκείνοις,
τοῦτ' ἰδίᾳ μὴ καθ' ἡμῶν [e] δυσχεραίνωμεν· ἀγαπητὸν γὰρ εἴ
3 τις τὰ μὲν κάλλιον λέγοι τὰ δὲ μὴ χεῖρον. Δύο δ' εἰσὶ
δόξαι περὶ τούτων· τά τε γὰρ μαθηματικά φασιν [f] οὐσίας
εἶναί τινες, οἷον ἀριθμοὺς καὶ γραμμὰς καὶ τὰ συγγενῆ τού-
4 τοις, καὶ πάλιν τὰς ἰδέας. [1]Επεὶ δὲ οἱ μὲν δύο [g] ταῦτα γένη
ποιοῦσι, τάς τε ἰδέας καὶ τοὺς μαθηματικοὺς ἀριθμούς, οἱ δὲ
μίαν φύσιν ἀμφοτέρων, ἕτεροι δέ τινες τὰς μαθηματικὰς μό-
νον οὐσίας εἶναί φασι, σκεπτέον πρῶτον μὲν περὶ τῶν μαθη-
ματικῶν, μηδεμίαν προστιθέντας φύσιν ἄλλην αὐτοῖς, οἷον
πότερον ἰδέαι τυγχάνουσιν οὖσαι ἢ οὔ, καὶ πότερον ἀρχαὶ
καὶ οὐσίαι τῶν ὄντων ἢ οὔ, ἀλλ' ὡς περὶ μαθηματικῶν μόνον
εἴτ' εἰσὶν εἴτε μή εἰσι, καὶ εἰ εἰσὶ πῶς εἰσίν, ἔπειτα [h] μετὰ
ταῦτα χωρὶς περὶ τῶν ἰδεῶν αὐτῶν ἁπλῶς καὶ ὅσον νόμου
χάριν· τεθρύλληται γὰρ τὰ πολλὰ καὶ ὑπὸ τῶν ἐξωτερικῶν
5 λόγων. [1]Ετι δὲ πρὸς ἐκείνην δεῖ τὴν σκέψιν ἁπανταῖν τὸν

[b] ἔστω add. E. et margo T. [c] οὖν om. T. [d] τε A[b]. [e] δυσχε-
ραίνομεν F[b]. [f] οὐσίαν T. [g] γένη ταῦτα A[b]. [h] μετὰ om. T.

πλείω λόγον, ὅταν ἐπισκοπῶμεν εἰ αἱ οὐσίαι καὶ αἱ ἀρχαὶ [i]τῶν ὄντων ἀριθμοὶ καὶ ἰδέαι εἰσίν· μετὰ γὰρ τὰς ἰδέας αὕτη λείπεται τρίτη σκέψις. [1]Ἀνάγκη δ', εἴπερ ἔστι τὰ μαθη- 6
ματικά, ἢ ἐν τοῖς αἰσθητοῖς εἶναι αὐτά, καθάπερ λέγουσί τινες, ἢ κεχωρισμένα τῶν αἰσθητῶν (λέγουσι δὲ καὶ οὕτω τινές)· ἢ εἰ μηδετέρως, ἢ οὐκ εἰσὶν ἢ ἄλλον τρόπον εἰσίν. [v]Ὥσθ' ἡ ἀμφισβήτησις ἡμῖν ἔσται οὐ περὶ τοῦ εἶναι ἀλλὰ περὶ τοῦ τρόπου.

[v]Ὅτι μὲν [k]τοίνυν ἔν γε τοῖς αἰσθητοῖς ἀδύνατον εἶναι καὶ 2
ἅμα πλασματίας ὁ λόγος, εἴρηται μὲν καὶ ἐν τοῖς [l]διαπορήμασιν ὅτι δύο [m]ἅμα στερεὰ εἶναι ἀδύνατον, ἔτι δὲ καὶ ὅτι τοῦ [n]αὐτοῦ λόγου καὶ τὰς ἄλλας δυνάμεις καὶ φύσεις ἐν τοῖς αἰσθητοῖς εἶναι καὶ μηδεμίαν κεχωρισμένην. Ταῦτα μὲν οὖν εἴρηται πρότερον. [1]Ἀλλὰ πρὸς τούτοις φανερὸν ὅτι ἀδύ- 2
νατον διαιρεθῆναι ὁτιοῦν σῶμα. Κατ' ἐπίπεδον γὰρ διαιρεθήσεται, καὶ τοῦτο κατὰ γραμμήν, καὶ αὕτη κατὰ στιγμήν, ὥστ' εἰ τὴν στιγμὴν διελεῖν ἀδύνατον, καὶ τὴν γραμμήν, εἰ δὲ ταύτην, καὶ τἆλλα. Τί οὖν διαφέρει ἢ ταύτας 3
εἶναι τοιαύτας φύσεις, ἢ αὐτὰς μὲν μή, εἶναι δ' ἐν αὐταῖς τοιαύτας φύσεις; Τὸ αὐτὸ γὰρ συμβήσεται· διαιρουμένων γὰρ τῶν αἰσθητῶν διαιρεθήσονται, ἢ οὐδὲ αἱ αἰσθηταί. [1]Ἀλλὰ μὴν οὐδὲ [o]κεχωρισμένας γ' εἶναι φύσεις τοιαύτας δυνατόν. Εἰ γὰρ ἔσται στερεὰ παρὰ τὰ αἰσθητὰ κεχωρισμένα τούτων 4
ἕτερα καὶ πρότερα τῶν αἰσθητῶν, δῆλον ὅτι καὶ παρὰ τὰ ἐπίπεδα ἕτερα ἀναγκαῖον εἶναι ἐπίπεδα κεχωρισμένα καὶ στιγμὰς καὶ γραμμάς· τοῦ γὰρ αὐτοῦ λόγου. Εἰ δὲ ταῦτα, πάλιν παρὰ [p]τὰ τοῦ στερεοῦ τοῦ μαθηματικοῦ ἐπίπεδα καὶ γραμμὰς καὶ στιγμὰς ἕτερα κεχωρισμένα. Πρότερα γὰρ 5
τῶν συγκειμένων ἐστὶ τὰ ἀσύνθετα· καὶ εἴπερ τῶν αἰσθητῶν πρότερα σώματα [q]μὴ αἰσθητά, τῷ αὐτῷ λόγῳ καὶ τῶν ἐπιπέδων τῶν ἐν τοῖς ἀκινήτοις στερεοῖς τὰ αὐτὰ καθ' αὑτά.

[i] τῶν ὄντων] τούτων T. [k] τοίνυν] οὖν F^b. [l] ἀπορήμασιν F^b. [m] ἅμα ante δύο A^b, post στερεὰ $G^b.I^b$. [n] αὐτοῦ om. A^b. [o] κεχωρισμένως γ' εἶναι τοιαύτας φύσεις T. [p] τὰ om. T. [q] μὴ] τὰ μὴ E.

ᵛΩστε ἕτερα ταῦτα ἐπίπεδα καὶ γραμμαὶ τῶν ἅμα τοῖς στε-
ρεοῖς τοῖς κεχωρισμένοις· τὰ μὲν γὰρ ἅμα τοῖς μαθηματικοῖς
6 στερεοῖς, τὰ δὲ πρότερα τῶν μαθηματικῶν στερεῶν. Πάλιν
τοίνυν τούτων τῶν ἐπιπέδων ἔσονται γραμμαί, ὧν πρότερον
δεήσει ἑτέρας γραμμὰς καὶ στιγμὰς εἶναι διὰ τὸν αὐτὸν λό-
γον· καὶ τούτων ἐν ταῖς προτέραις γραμμαῖς ἑτέρας προ-
7 τέρας ʳστιγμάς, ὧν οὐκέτι πρότεραι ἕτεραι. ᵘΑτοπός τε
δὴ γίγνεται ἡ σώρευσις· συμβαίνει γὰρ στερεὰ μὲν μοναχὰ
παρὰ τὰ αἰσθητά, ˢἐπίπεδα δὲ τριττὰ παρὰ τὰ αἰσθητά,
τά τε παρὰ τὰ αἰσθητὰ καὶ ᵗτὰ ἐν τοῖς μαθηματικοῖς στε-
ρεοῖς καὶ παρὰ τὰ ἐν τούτοις, γραμμαὶ δὲ τετραξαί, στιγμαὶ
8 δὲ πενταξαί. ᵛΩστε περὶ ποῖα αἱ ἐπιστῆμαι ἔσονται αἱ μα-
θηματικαὶ τούτων; Οὐ γὰρ δὴ περὶ τὰ ἐν τῷ στερεῷ τῷ
ἀκινήτῳ ἐπίπεδα καὶ γραμμὰς καὶ στιγμάς· ἀεὶ γὰρ περὶ
τὰ πρότερα ἡ ἐπιστήμη. ʷΟ δ' αὐτὸς λόγος καὶ περὶ τῶν
ἀριθμῶν· ˣπαρ' ἑκάστας γὰρ ʸτὰς στιγμὰς ἕτεραι ἔσονται
μονάδες, καὶ παρ' ἕκαστα τὰ ὄντα αἰσθητά, εἶτα τὰ νοητά,
9 ὥστ' ἔσται γένη ᶻἄπειρα τῶν μαθηματικῶν ἀριθμῶν. ᵘΕτι
ἄπερ καὶ ἐν τοῖς ᵃἀπορήμασιν ἐπήλθομεν, πῶς ἐνδέχεται λύ-
ειν; Περὶ ἃ γὰρ ἡ ἀστρολογία ἐστίν, ὁμοίως ἐστὶ ᶻπαρὰ
τὰ αἰσθητά, καὶ περὶ ἃ ἡ γεωμετρία· εἶναι δ' οὐρανὸν καὶ τὰ
μόρια αὐτοῦ πῶς δυνατόν, ἢ ἄλλο ὁτιοῦν ἔχον κίνησιν; ᵗΟ-
μοίως δὲ καὶ τὰ ὀπτικὰ καὶ τὰ ἁρμονικά· ἔσται γὰρ φωνή
10 τε καὶ ὄψις παρὰ τὰ αἰσθητὰ καὶ τὰ καθ' ἕκαστα. ᵛΩστε
δῆλον ὅτι καὶ αἱ ἄλλαι αἰσθήσεις καὶ τὰ ἄλλα αἰσθητά· τί
γὰρ μᾶλλον τάδε ἢ τάδε; Εἰ δὲ ταῦτα, καὶ ζῷα ἔσονται,
εἴπερ καὶ αἰσθήσεις. ᵘΕτι γράφεται ἕνια καθόλου ὑπὸ τῶν
11 μαθηματικῶν ᵃπαρὰ ταύτας τὰς οὐσίας. ᵘΕσται οὖν καὶ
ᵇαὕτη τις ἄλλη οὐσία μεταξὺ κεχωρισμένη τῶν τ' ᶜἰδεῶν καὶ
τῶν μεταξύ, ᵈἢ οὔτε ἀριθμός ἐστιν οὔτε ᵉστιγμαὶ οὔτε μέ-

ʳ στιγμάς] γραμμάς Aᵇ. ˢ ἐπίπεδα—αἰσθητά om. E. ᵗ τὰ post καὶ om. T.Aᵇ. ᵘ παρ'] καὶ παρ' T. ᵛ τὰς] ἓν Fᵇ. ʷ ἄπειρα om. E.T.Aᵇ.Gᵇ.Iᵇ. ˣ διαπορήμασιν Fᵇ. ʸ περὶ Gᵇ.Iᵇ. ᶻ παρὰ πάντας τὰς αἰτίας Gᵇ. ᵃ ἄλλη τις αὕτη T.Gᵇ.Iᵇ. ᵇ εἰδῶν Gᵇ. ᶜ ἢ Aᵇ. ᵈ στιγμὴ Gᵇ.Iᵇ.

γεθος οὔτε χρόνος. Εἰ δὲ τοῦτο ἀδύνατον, [f]δῆλον ὅτι κἀκεῖνα ἀδύνατον [g]εἶναι κεχωρισμένα τῶν αἰσθητῶν. [v]Ὅλως 12
[h]δὲ τοὐναντίον συμβαίνει καὶ τοῦ ἀληθοῦς καὶ τοῦ εἰωθότος ὑπολαμβάνεσθαι, εἴ τις θήσει οὕτως εἶναι τὰ μαθηματικὰ ὡς κεχωρισμένας τινὰς φύσεις. [t]Ἀνάγκη γὰρ διὰ τὸ μὲν [i]οὕτως εἶναι αὐτὰς προτέρας εἶναι τῶν αἰσθητῶν μεγεθῶν, κατὰ [k]τὸ ἀληθὲς δὲ ὑστέρας· τὸ γὰρ ἀτελὲς [l]μέγεθος γενέσει μὲν πρότερόν ἐστι, [m]τῇ οὐσίᾳ δ' ὕστερον, οἷον ἄψυχον ἐμψύχου. [n][v]Ἔτι τίνι καὶ πότ' ἔσται [o]ἓν τὰ μαθηματικὰ μεγέθη; Τὰ 13
μὲν γὰρ ἐνταῦθα ψυχῇ ἢ μέρει ψυχῆς ἢ ἄλλῳ τινὶ εὐλόγῳ· εἰ δὲ μή, πολλά, καὶ διαλύεται. [t]Ἐκείνοις δὲ [p]διαιρετοῖς καὶ ποσοῖς οὖσι τί αἴτιον τοῦ ἓν εἶναι καὶ [q]συμμένειν; [v]Ἔτι αἱ γενέσεις δηλοῦσιν. Πρῶτον μὲν γὰρ ἐπὶ μῆκος γίγνεται, 14
εἶτα ἐπὶ πλάτος, τελευταῖον δ' [r]εἰς βάθος, καὶ τέλος ἔσχεν. Εἰ οὖν τὸ τῇ γενέσει ὕστερον τῇ οὐσίᾳ πρότερον, τὸ σῶμα πρότερον ἂν εἴη ἐπιπέδου καὶ μήκους, καὶ ταύτῃ καὶ τέλειον καὶ ὅλον μᾶλλον, [s]ὅτι ἔμψυχον γίγνεται· γραμμὴ δὲ ἔμψυχος ἢ ἐπίπεδον πῶς ἂν εἴη; [t][b]Ὑπὲρ γὰρ τὰς αἰσθήσεις τὰς ἡμετέρας ἂν [v]εἴη τὸ ἀξίωμα. [v]Ἔτι τὸ μὲν σῶμα οὐσία 15
τίς· ἤδη γὰρ [w]ἔχει πως τὸ τέλειον· αἱ δὲ γραμμαὶ πῶς οὐσίαι; Οὔτε γὰρ ὡς εἶδος καὶ μορφή τις, οἷον εἰ ἄρα ἡ ψυχὴ τοιοῦτον, [x]οὔτε ὡς ἡ ὕλη, οἷον τὸ σῶμα· οὐθὲν γὰρ ἐκ γραμμῶν οὐδ' ἐπιπέδων [y]οὐδὲ στιγμῶν φαίνεται συνίστασθαι δυνάμενον. Εἰ δ' [z]ἦν οὐσία τις ὑλική, τοῦτ' ἂν ἐφαίνετο [a]δυ- 16
νάμενα πάσχειν. Τῷ μὲν οὖν λόγῳ ἔστω πρότερα. [b][t]Ἀλλ' οὐ πάντα ὅσα τῷ λόγῳ πρότερα, καὶ [c]τῇ οὐσίᾳ πρότερα. Τῇ μὲν γὰρ οὐσίᾳ πρότερα ὅσα χωριζόμενα τῷ εἶναι ὑπερβάλλει, τῷ λόγῳ δὲ ὅσων οἱ λόγοι ἐκ τῶν λόγων· ταῦτα

[f] δῆλον om. G^b. [g] κεχωρισμένα εἶναι $G^b.I^b$. [h] δὲ T. [i] εἶναι οὕτως T. [k] δὲ τὸ ἀληθὲς $G^b.I^b$. [l] μέγεθος τῇ γενέσει $G^b.I^b$. [m] τῇ δ' οὐσία $G^b.I^b$. [n] ἔτι ἐν τίνι E. [o] ἓν om. T. [p] διαιρετικοῖς G^b. [q] συμβαίνειν T. [r] εἰς] εἰ G^b. [s] ὅτι] καὶ ὅτι $G^b.I^b$. [t] ὑπὸ $G^b.I^b$. [v] εἴη om. T. [w] ἔχει om. A^b. [x] οὔτε ὡς] ὥστε T. [y] οὐδὲ ἐκ στιγμῶν $G^b.I^b$. [z] ἦν] ἐν G^b. [a] δυνάμενον $G^b.I^b$, om. F^b. [b] ἀλλ'—πρότερα om. T. [c] τῇ οὐσίᾳ πρότερον G^b.

17 [d] δὲ οὐχ ἅμα ὑπάρχει. Εἰ γὰρ μὴ ἔστι τὰ πάθη παρὰ τὰς οὐσίας, οἷον κινούμενόν [e] τι [f] ἢ λευκόν, τοῦ λευκοῦ ἀνθρώπου τὸ λευκὸν πρότερον κατὰ τὸν λόγον, ἀλλ' οὐ κατὰ τὴν οὐσίαν· οὐ γὰρ [g] ἐνδέχεται εἶναι κεχωρισμένον, ἀλλ' ἀεὶ ἅμα τῷ συνόλῳ ἐστίν· σύνολον δὲ λέγω τὸν ἄνθρωπον [h] τὸν λευ-
18 κόν. Ὥστε φανερὸν ὅτι οὔτε [i] τὸ ἐξ ἀφαιρέσεως πρότερον οὔτε τὸ ἐκ [k] προσθέσεως ὕστερον· ἐκ προσθέσεως γὰρ τῷ λευκῷ ὁ λευκὸς ἄνθρωπος λέγεται. Ὅτι μὲν οὖν οὔτε οὐσίαι μᾶλλον τῶν σωμάτων εἰσίν, οὔτε πρότερα τῷ εἶναι τῶν αἰσθητῶν, ἀλλὰ τῷ λόγῳ [l] μόνον, οὔτε κεχωρισμένα που εἶναι
19 δυνατόν, εἴρηται ἱκανῶς. Ἐπεὶ δ' [m] οὐδ' ἐν τοῖς αἰσθητοῖς [n] ἐνεδέχετο αὐτὰ εἶναι, φανερὸν ὅτι ἢ ὅλως οὐκ ἔστιν ἢ τρόπον τινά ἐστι καὶ διὰ τοῦτο οὐχ ἁπλῶς ἐστίν· πολλαχῶς
3 γὰρ τὸ εἶναι λέγομεν. Ὥσπερ γὰρ καὶ [o] τὰ καθόλου ἐν τοῖς μαθήμασιν οὐ [p] περὶ κεχωρισμένων ἐστὶ [q] παρὰ τὰ μεγέθη καὶ τοὺς ἀριθμούς, ἀλλὰ περὶ τούτων μέν, οὐχ ᾗ δὲ τοιαῦτα οἷα ἔχειν μέγεθος ἢ εἶναι διαιρετά, δῆλον ὅτι ἐνδέ-
2 χεται καὶ περὶ τῶν αἰσθητῶν μεγεθῶν εἶναι καὶ λόγους καὶ ἀποδείξεις, μὴ ᾗ δὲ αἰσθητά, ἀλλ' ᾗ [r] τοιαδί. Ὥσπερ γὰρ καὶ ᾗ κινούμενα μόνον πολλοὶ λόγοι εἰσί, χωρὶς τοῦ τί ἕκαστόν ἐστι τῶν τοιούτων καὶ τῶν συμβεβηκότων αὐτοῖς, καὶ οὐκ ἀνάγκη διὰ ταῦτα ἢ κεχωρισμένον τι εἶναι κινούμενον τῶν αἰσθητῶν ἢ ἐν τούτοις τινὰ φύσιν εἶναι ἀφωρισμένην, οὕτω καὶ ἐπὶ τῶν κινουμένων ἔσονται λόγοι καὶ ἐπιστῆμαι, [s] οὐχ ᾗ κινούμενα δὲ ἀλλ' ᾗ σώματα μόνον, καὶ πάλιν ᾗ ἐπίπεδα μόνον καὶ ᾗ μήκη μόνον, καὶ ᾗ διαιρετὰ [t] καὶ ᾗ ἀδιαίρετα
3 ἔχοντα [v] δὲ θέσιν, καὶ ᾗ ἀδιαίρετα μόνον. Ὥστ' ἐπεὶ ἁπλῶς λέγειν ἀληθὲς μὴ μόνον τὰ χωριστὰ εἶναι ἀλλὰ καὶ τὰ μὴ χωριστά, [w] οἷον κινούμενα εἶναι, καὶ τὰ μαθηματικὰ ὅτι ἔστιν

d δὲ] γὰρ T. e τι] τε G^b. f ἢ om. T. g ἐνδέχεται] ἐν T. h τὸν λευκόν] καὶ τὸ λευκόν F^b. i τὸ om. A^b. k προθέσεως $A^b.F^b.G^b$. l μόνα T, μόνω I^b. m οὐδὲν τοῖς A^b. n ἐνδέχεται T. o τὰ] τὸ F^b. p περὶ] παρὰ F^b. q παρὰ I^b: ceteri περὶ. r τοιάδε G^b. s οὐχὶ κινούμενα G^b. t καὶ ᾗ ἀδιαίρετα om. G^b. v δὲ om. T.A^b. w οἷον τὰ κινούμενα $G^b.I^b$.

ἁπλῶς ἀληθὲς εἰπεῖν, καὶ τοιαῦτά γε οἷα λέγουσιν. Καὶ 4
ὥσπερ καὶ τὰς ἄλλας ἐπιστήμας ἁπλῶς ἀληθὲς εἰπεῖν [x] τούτου εἶναι, οὐχὶ τοῦ συμβεβηκότος, οἷον ὅτι λευκοῦ εἰ [y] τὸ ὑγιεινὸν λευκόν, ᾗ δ' ἔστιν [z] ὑγιεινόν, [a] ἀλλ' ἐκείνου [b] οὗ ἐστὶν ἑκάστη, εἰ ὑγιεινὸν ὑγιεινοῦ, εἰ δ' ᾗ ἄνθρωπος ἀνθρώπου, οὕτω καὶ τὴν γεωμετρίαν· οὐκ εἰ συμβέβηκεν αἰσθητὰ εἶναι ὧν ἐστί, μή ἐστι δ' [c] ᾗ [d] αἰσθητά, οὐ τῶν αἰσθητῶν ἔσονται αἱ μαθηματικαὶ ἐπιστῆμαι, οὐ μέντοι οὐδὲ παρὰ ταῦτα ἄλλων κεχωρισμένων. Πολλὰ δὲ συμβέβηκε καθ' αὑτὰ τοῖς πράγμασιν 5
[e] ᾗ ἕκαστον ὑπάρχει τῶν τοιούτων, ἐπεὶ καὶ ᾗ θῆλυ τὸ ζῷον [f] καὶ ᾗ ἄρρεν, ἴδια πάθη ἐστίν, καίτοι οὐκ ἔστι τι θῆλυ οὐδ' ἄρρεν [g] κεχωρισμένον τῶν ζῴων· ὥστε καὶ ᾗ [h] μήκη μόνον καὶ ᾗ ἐπίπεδα. Καὶ ὅσῳ δὴ ἂν περὶ προτέρων [i] τῷ λόγῳ 6
καὶ ἁπλουστέρων, τοσούτῳ μᾶλλον ἔχει τἀκριβές· τοῦτο δὲ τὸ ἁπλοῦν ἐστίν. [v] Ὥστε ἄνευ [k] τε μεγέθους [l] μᾶλλον ἢ μετὰ μεγέθους, καὶ μάλιστα ἄνευ κινήσεως. [t] Ἐὰν δὲ κίνησιν, μάλιστα τὴν πρώτην· ἁπλουστάτη γάρ, καὶ ταύτης ἡ [m] ὁμαλή. [t] Ὁ δ' αὐτὸς λόγος καὶ περὶ ἁρμονικῆς καὶ ὀπτικῆς· οὐδετέρα 7
γὰρ [n] ᾗ ὄψις ἢ ᾗ φωνὴ θεωρεῖ, ἀλλ' ᾗ γραμμαὶ καὶ ἀριθμοί· οἰκεῖα μέντοι ταῦτα πάθη ἐκείνων. Καὶ ἡ μηχανικὴ [o] δὲ ὡσαύτως. [v] Ὥστ' εἴ τις θέμενος κεχωρισμένα τῶν συμβεβηκότων 8
σκοπεῖ τι περὶ τούτων ᾗ τοιαῦτα, οὐθὲν διὰ τοῦτο ψεῦδος ψεύσεται, ὥσπερ οὐδ' ὅταν ἐν τῇ γῇ γράφῃ καὶ τὴν ποδιαίαν φῇ μὴ ποδιαίαν· οὐ γὰρ ἐν ταῖς προτάσεσι τὸ ψεῦδος. [v] Ἄριστα δ' ἂν οὕτω [p] θεωρηθείη ἕκαστον, εἴ τις τὸ μὴ κεχωρισμένον θείη χωρίσας, ὅπερ ὁ ἀριθμητικὸς ποιεῖ καὶ ὁ γεωμέτρης. [n] Ἓν μὲν γὰρ καὶ ἀδιαίρετον ὁ ἄνθρωπος ᾗ ἄνθρωπος· [q] ὁ δ' 9
ἔθετο ἓν ἀδιαίρετον, εἶτ' ἐθεώρησεν εἴ τι τῷ ἀνθρώπῳ συμ-

x τοῦτο T. y ὑγιεινὸν τὸ E.T.A^b.G^b.I^b. z ὑγιεινοῦ F^b. a ἀλλ'—ὑγιεινὸν om. T. b ᾗ ἐστὶν ἑκάστου ὑγιεινὸν ὑγ. E.A^b.G^b.I^b. c ᾗ om. F^b. d αἰσθητά] ἔστι τὰ G^b. e ᾗ ἕκαστον G^b. f καὶ ᾗ] ᾗ G^b. g κεχωρισμένων T.A^b. h μήκη μόνον] μὴ κείμενον T, μὴ κινούμενον F^b. i τῶν λόγων G^b. k τε] τοῦ A^b. l μᾶλλον om. G^b.I^b. m ὁμαλής E.G^b. n ᾗ ὄψις ἢ ᾗ φωνὴ θεωρεῖ ἀλλ' αἱ γραμμαὶ G^b. o δὲ om. G^b.I^b. p θεωρήσει ἢ ἕκαστον T. q ὃ διέθετο ἓν ἀδ. εἶτι θεωρήσειν T.

βέβηκεν ἢ ἀδιαίρετος. [r]Ὁ δὲ γεωμέτρης [r]οὔθ' ἢ ἄνθρωπος οὔθ' ἢ ἀδιαίρετος, ἀλλ' ἢ στερεόν. [n]Ἃ γὰρ κἂν εἰ μή που [s]ἦν ἀδιαίρετος ὑπῆρχεν αὐτῷ, δῆλον ὅτι καὶ ἄνευ τούτων ἐν-
10 δέχεται αὐτῷ ὑπάρχειν τὸ δυνατόν. [v]Ὥστε διὰ τοῦτο ὀρθῶς [t]οἱ γεωμέτραι λέγουσι, καὶ περὶ ὄντων διαλέγονται, καὶ ὄντα ἐστίν· διττὸν γὰρ τὸ ὄν, τὸ μὲν ἐντελεχείᾳ [v]τὸ δ' ὑλικῶς. [u]Ἐπεὶ δὲ τὸ ἀγαθὸν καὶ τὸ καλὸν ἕτερον (τὸ μὲν γὰρ ἀεὶ [w]ἐν πράξει, τὸ δὲ καλὸν καὶ ἐν τοῖς ἀκινήτοις), οἱ φάσκοντες οὐθὲν λέγειν τὰς μαθηματικὰς ἐπιστήμας περὶ καλοῦ ἢ ἀγα-
11 θοῦ ψεύδονται. Λέγουσι γὰρ καὶ δεικνύουσι μάλιστα· [x]οὐ γὰρ εἰ μὴ ὀνομάζουσι, τὰ δ' ἔργα καὶ τοὺς λόγους δεικνύουσιν, οὐ λέγουσι περὶ αὐτῶν. Τοῦ δὲ καλοῦ μέγιστα εἴδη τάξις καὶ συμμετρία καὶ τὸ ὡρισμένον, ἃ μάλιστα δεικνύ-
12 ουσιν αἱ μαθηματικαὶ ἐπιστῆμαι. Καὶ ἐπεί γε πολλῶν αἴτια φαίνεται ταῦτα (λέγω δ' οἷον ἡ τάξις καὶ τὸ ὡρισμένον), δῆλον ὅτι λέγοιεν ἂν καὶ τὴν τοιαύτην αἰτίαν τὴν ὡς τὸ καλὸν αἴτιον τρόπον τινά. [y]Μᾶλλον δὲ γνωρίμως ἐν ἄλλοις περὶ αὐτῶν ἐροῦμεν.

4 Περὶ μὲν οὖν τῶν μαθηματικῶν, ὅτι τε ὄντα ἐστὶ καὶ πῶς ὄντα, καὶ πῶς πρότερα [z]καὶ πῶς οὐ πρότερα, τοσαῦτα εἰ-ρήσθω. Περὶ δὲ τῶν ἰδεῶν πρῶτον αὐτὴν τὴν κατὰ τὴν ἰδέαν δόξαν ἐπισκεπτέον, μηθὲν [a]συνάπτοντας πρὸς τὴν τῶν ἀρι-θμῶν φύσιν, ἀλλ' ὡς ὑπέλαβον ἐξ ἀρχῆς οἱ πρῶτοι τὰς ἰδέας
2 φήσαντες εἶναι. [b]Συνέβη δ' ἡ περὶ τῶν [c]εἰδῶν δόξα τοῖς [t]Ηρακλει-τείοις λόγοις ὡς πάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων, ὥστ' εἴπερ ἐπιστήμη τινὸς ἔσται [d]καὶ φρόνησις, ἑτέρας δεῖν τινὰς φύσεις εἶναι παρὰ τὰς αἰσθητὰς μενούσας· οὐ γὰρ εἶναι τῶν
3 ῥεόντων ἐπιστήμην. Σωκράτους δὲ περὶ τὰς ἠθικὰς ἀρετὰς πραγματευομένου καὶ [e]περὶ τούτων ὁρίζεσθαι καθόλου ζη-

r οὔθ' ἢ ἄνθρωπος om. T. s ἦν] ἢ T. t λέγουσιν οἱ γεωμέτραι T. v τό θ' Gb. w ἐν πράξει] ἐνυπάρξει T. x εἰ γὰρ καὶ μὴ Fb. y μᾶλλον —ἐροῦμεν om. Gb.Ib. z καὶ πῶς οὐ πρότερα om. E. a συνάπτοντα T, συνάπτοντες Gb.Ib. b συμβέβηκε T. c ἰδεῶν T.Gb.Ib. d καὶ om. Gb. e πρὸ T.

τοῦντος πρώτου (τῶν μὲν γὰρ φυσικῶν ἐπὶ μικρὸν Δημόκριτος ἥψατο μόνον καὶ ὡρίσατό πως τὸ θερμὸν καὶ τὸ ψυχρόν· οἱ δὲ Πυθαγόρειοι πρότερον περί τινων ὀλίγων, ὧν τοὺς [f]λόγους εἰς τοὺς ἀριθμοὺς [g]ἀνῆπτον, οἷον τί ἐστι καιρὸς ἢ τὸ δίκαιον ἢ γάμος), [h]ἐκεῖνος εὐλόγως [i]ἐζήτει τὸ τί ἐστιν. Συλλογίζεσθαι γὰρ ἐζήτει, ἀρχὴ δὲ τῶν συλλογισμῶν τὸ 4
τί ἐστιν. Διαλεκτικὴ γὰρ ἰσχὺς οὔπω τότ' ἦν, ὥστε δύνασθαι καὶ χωρὶς τοῦ τί ἐστι τἀναντία ἐπισκοπεῖν, καὶ τῶν ἐναντίων [k]εἰ ἡ [l]αὐτὴ ἐπιστήμη. Δύο γάρ ἐστιν ἃ τις ἂν 5
[m]ἀποδοίη Σωκράτει δικαίως, τούς τ' ἐπακτικοὺς λόγους καὶ τὸ [n]ὁρίζεσθαι καθόλου· ταῦτα γάρ ἐστιν ἄμφω περὶ ἀρχὴν ἐπιστήμης. [o]Ἀλλ' ὁ μὲν Σωκράτης τὰ καθόλου οὐ χωριστὰ ἐποίει οὐδὲ τοὺς ὁρισμούς· οἱ δ' ἐχώρισαν, καὶ [p]τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσαν. [q]Ὥστε συνέβαινεν αὐτοῖς 6
σχεδὸν τῷ αὐτῷ λόγῳ πάντων ἰδέας εἶναι τῶν καθόλου λεγομένων, καὶ παραπλήσιον ὥσπερ ἂν εἴ τις ἀριθμῆσαι βουλόμενος ἐλαττόνων μὲν ὄντων οἴοιτο μὴ [r]δύνασθαι, πλείω δὲ ποιήσας ἀριθμοίη· πλείω γάρ ἐστι τῶν καθ' [s]ἕκαστα αἰσθητῶν [t]ὡς εἰπεῖν τὰ εἴδη, περὶ ὧν ζητοῦντες τὰς αἰτίας ἐκ τούτων ἐκεῖ προῆλθον· [u]καθ' ἕκαστόν τε γὰρ ὁμώνυμόν ἐστι καὶ παρὰ τὰς οὐσίας, τῶν τε [v]ἄλλων ἓν ἐστιν ἐπὶ πολλῶν, καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς ἀϊδίοις. [w]Ἔτι καθ' οὓς τρό- 7
πους δείκνυται ὅτι ἔστι τὰ εἴδη, κατ' οὐθένα φαίνεται τούτων· ἐξ ἐνίων μὲν γὰρ οὐκ ἀνάγκη γίγνεσθαι [v]συλλογισμόν, ἐξ ἐνίων δὲ καὶ οὐχ ὧν οἴονται τούτων [w]εἴδη γίγνεται. Κατά τε 8
γὰρ τοὺς λόγους τοὺς ἐκ τῶν ἐπιστημῶν ἔσται εἴδη πάντων ὅσων ἐπιστῆμαί εἰσιν, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τῶν ἀποφάσεων, κατὰ δὲ τὸ νοεῖν τι φθαρέντος τῶν φθαρτῶν· φάντασμα γάρ τι [x]τούτων ἐστίν. [w]Ἔτι δὲ οἱ ἀκριβέστατοι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ φασιν

[f] λόγους εἰς τοὺς om. T. [g] γρ. ἀνῆγον E. [h] ἐκείνως T, ἐκεῖνος δ' E. [i] ἐζήτουν G^b. [k] εἰ ἡ] ἢ ἡ A^b, εἴη T. [l] αὕτη T. [m] ἀποδώη E.T.A^b. [n] ὁρίζεσθαι τὰ καθόλου F^b. [o] τὰ om. G^b. [p] δυνήσεσθαι A^b.G^b.I^b. [q] ἕκαστον E. [r] ὡς εἰπεῖν om. G^b.I^b. [s] καθ'] παρ' G^b.I^b. [t] ἄλλων ἔνεστιν E.T. [v] συλλογισμούς G^b. [w] ἤδη G^b.I^b. [x] τοῦτ' E.

εἶναι καθ' [y] αὐτὸ γένος, οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγουσιν.
9 [v]Ὅλως τε ἀναιροῦσιν οἱ περὶ τῶν εἰδῶν λόγοι ἃ μᾶλλον βούλονται εἶναι οἱ λέγοντες εἴδη τοῦ τὰς ἰδέας εἶναι· συμβαίνει γὰρ μὴ εἶναι πρῶτον τὴν δυάδα ἀλλὰ τὸν ἀριθμόν, καὶ τούτου τὸ πρός τι καὶ [z] τοῦτο τοῦ καθ' αὐτό, καὶ πάνθ' ὅσα τινὲς ἀκολουθήσαντες ταῖς περὶ τῶν [a] εἰδῶν δόξαις ἠναν-
10 τιώθησαν ταῖς ἀρχαῖς. [v]Ετι κατὰ μὲν τὴν ὑπόληψιν καθ' ἣν [b] φασιν εἶναι τὰς ἰδέας [c] οὐ μόνον τῶν οὐσιῶν ἔσονται εἴδη [d] ἀλλὰ καὶ [e] ἄλλων πολλῶν· τὸ γὰρ νόημα ἓν οὐ μόνον περὶ τὰς οὐσίας ἀλλὰ καὶ [f] κατὰ μὴ οὐσιῶν [g] ἔσται, καὶ [h] αἱ ἐπιστῆμαι οὐ μόνον τῆς οὐσίας ἔσονται· συμβαίνει δὲ καὶ
11 ἄλλα [i] μυρία τοιαῦτα. Κατὰ δὲ τὸ ἀναγκαῖον καὶ τὰς δόξας τὰς περὶ αὐτῶν, εἰ ἔστι μεθεκτὰ τὰ εἴδη, τῶν οὐσιῶν ἀναγκαῖον ἰδέας εἶναι μόνον· οὐ γὰρ κατὰ συμβεβηκὸς μετέχονται, ἀλλὰ [k] δεῖ [l] ταύτῃ ἑκάστου μετέχειν ᾗ μὴ καθ' ὑπο-
12 κειμένου [m] λέγεται. Λέγω δ' οἷον [n] εἴ τι [o] αὐτοῦ διπλασίου μετέχει, τοῦτο καὶ ἀϊδίου μετέχει, ἀλλὰ κατὰ συμβεβηκός· συμβέβηκε γὰρ τῷ διπλασίῳ [p] ἀϊδίῳ εἶναι. [v]Ωστε ἔσται οὐσία τὰ εἴδη. Ταὐτὰ δ' ἐνταῦθα οὐσίαν σημαίνει κἀκεῖ· [q] ἢ τί [r] ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολ-
13 λῶν; Καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν καὶ τῶν μετεχόντων, ἔσται τι κοινόν· τί γὰρ μᾶλλον ἐπὶ [s] τῶν φθαρτῶν δυάδων, [t] καὶ τῶν δυάδων τῶν πολλῶν μὲν ἀϊδίων δέ, τὸ δυὰς ἓν καὶ ταὐτόν, ἢ [v] ἐπ' αὐτῆς καὶ [w] τῆς τινός; Εἰ δὲ μὴ τὸ αὐτὸ εἶδος, [x] ὁμώνυμα ἂν εἴη, καὶ ὅμοιον ὥσπερ ἂν εἴ τις [y] καλοῖ ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον, μηδεμίαν
14 κοινωνίαν ἐπιβλέψας αὐτῶν. Εἰ δὲ τὰ μὲν ἄλλα τοὺς κοινοὺς λόγους ἐφαρμόττειν θήσομεν τοῖς εἴδεσιν, οἷον ἐπ' αὐ-

[y] *αὐτὰ* G[b]. [z] *τούτου τὸ* G[b], *τὸ* A[b]. [a] *ἰδεῶν* T. [b] *εἶναι φασιν* G[b].I[b]. [c] *οὐ μόνον τῶν οὐσιῶν* om. E.T. [d] *ἀλλὰ καὶ* om. iidem. [e] *ἄλλων*] *ἄλλων τε* T, *ἑτέρων* A[b], [f] *κατὰ*] *τὰ* G[b]. [g] *ἐστὶ* T.A[b], *ἔσται ὅσα μὴ οὕτως ἐστί* I[b]. [h] *αἱ* om. A[b]. [i] *μόρια* T. [k] *δὴ* G[b]. [l] *ταύτην* A[b]. [m] *λέγονται* E.T.A[b].G[b].I[b]. [n] *εἴτι* om. G[b]. [o] *γρ. καὶ αὐτοδιπλασίου* E. [p] *ἀΐδιον* A[b]. [q] *ἢ* T. [r] *ἔσται* om. T. [s] *φθαρτῶν τῶν δυάδων* T. [t] *καὶ τῶν δυάδων* om. G[b]. [v] *ἐπὶ ταύτης* G[b].I[b]. [w] *τῆς* om. T. [x] *ὁμωνυμία* T. [y] *καλοίοι* A[b].

τὸν [z]τὸν [a]κύκλον σχῆμα ἐπίπεδον καὶ τὰ λοιπὰ μέρη τοῦ λόγου, [b]τὸ δ' οὗ ἐστὶ προστεθήσεται, σκοπεῖν δεῖ μὴ κενὸν ᾖ τοῦτο παντελῶς. Τίνι τε γὰρ προστεθήσεται; Τῷ μέσῳ ἢ τῷ ἐπιπέδῳ ἢ πᾶσιν; Πάντα γὰρ τὰ ἐν τῇ οὐσίᾳ ἰδέαι, οἷον τὸ ζῷον καὶ τὸ δίπουν. [d]Ἔτι δῆλον ὅτι ἀνάγκη αὐτὸ εἶναί τι, ὥσπερ τὸ ἐπίπεδον φύσιν τινὰ ἢ πᾶσιν ἐνυπάρξει τοῖς εἴδεσιν ὡς γένος.

Πάντων δὲ μάλιστα διαπορήσειεν ἄν τις τί ποτε συμβάλ- 5
λονται τὰ εἴδη ἢ τοῖς ἀϊδίοις τῶν αἰσθητῶν ἢ τοῖς γιγνομένοις καὶ [c]τοῖς φθειρομένοις· οὔτε γὰρ κινήσεώς [d]ἐστιν οὔτε μεταβολῆς οὐδεμιᾶς [e]αἴτια αὐτοῖς. [d]Ἀλλὰ μὴν οὐδὲ 2
πρὸς τὴν ἐπιστήμην οὐθὲν [f]βοηθεῖ [g]τὴν τῶν ἄλλων· οὔτε γὰρ οὐσία ἐκεῖνα τούτων (ἐν τούτοις γὰρ [h]ἂν ἦν)· οὔτ' εἰς τὸ εἶναι, μὴ ἐνυπάρχοντά γε τοῖς μετέχουσιν· οὕτω μὲν γὰρ ἴσως αἴτια δόξειεν [i]ἂν εἶναι [k]ὡς τὸ λευκὸν μεμιγμένον τῷ λευκῷ. [d]Ἀλλ' οὗτος μὲν ὁ λόγος λίαν εὐκίνητος, ὃν [d]Ἀναξα- 3
γόρας μὲν πρότερος Εὔδοξος δ' ὕστερος [l]ἔλεγε διαπορῶν καὶ ἕτεροί τινες· ῥᾴδιον γὰρ πολλὰ συναγαγεῖν καὶ ἀδύνατα πρὸς τὴν τοιαύτην δόξαν. [d]Ἀλλὰ μὴν οὐδ' ἐκ τῶν εἰδῶν ἔστι τἆλλα κατ' οὐθένα τρόπον τῶν εἰωθότων λέγεσθαι. Τὸ [m]δὲ 4
λέγειν παραδείγματα εἶναι καὶ μετέχειν αὐτῶν τἆλλα κενολογεῖν ἐστὶ καὶ μεταφορὰς λέγειν ποιητικάς. Τί γὰρ ἐστι τὸ ἐργαζόμενον πρὸς τὰς ἰδέας [n]ἀποβλέπον; [d]Ἐνδέχεταί τε [o]καὶ εἶναι καὶ γίγνεσθαι ὁτιοῦν καὶ μὴ εἰκαζόμενον, ὥστε καὶ [p]ὄντος Σωκράτους καὶ μὴ ὄντος γένοιτ' ἂν [q]οἷον Σωκράτης. [d]Ὁμοίως δὲ δῆλον ὅτι κἂν εἷς [r]ὁ Σωκράτης ἀΐδιος, 5
ἔσται τε πλείω παραδείγματα τοῦ αὐτοῦ, ὥστε καὶ εἴδη, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον καὶ τὸ δίπουν, ἅμα δὲ [s]καὶ αὐ-

[z] τὸν om. $G^b.I^b$. [a] κύκλον] ὁ A^b. [b] τὰ δ' οὐκέτι προστεθήσεται T, τὸ δ' οὐκ ἔστι προστεθήσεται G^b. [c] τοῖς om. $G^b.I^b$. [d] ἐστιν post οὐδεμιᾶς $G^b.I^b$. [e] αἰτία E. [f] συντελεῖ $G^b.I^b$. [g] τὴν om. G^b. [h] ἂν om. G^b. [i] ἂν om. A^b. [k] ὡς om. E. [l] ἔλεγέ γε διαπορῶν E. [m] δέ γε λέγειν I^b. [n] ἀποβλέπων A^b, ἀποβλέπειν T. [o] καὶ post τε om. T. [p] ὄντος τοῦ σωκράτους $G^b.I^b$. [q] οἷον] ὁ T. [r] ὁ om. E. [s] καὶ ὁ αὐτοάνθρωπος $G^b.I^b$.

6 τοάνθρωπος. [a]Ἔτι οὐ μόνον τῶν αἰσθητῶν παραδείγματα τὰ εἴδη, ἀλλὰ καὶ αὐτῶν, οἷον τὸ γένος τῶν ὡς γένους εἰδῶν· ὥστε τὸ αὐτὸ ἔσται παράδειγμα καὶ εἰκών. [b]Ἔτι δόξειεν ἂν ἀδύνατον χωρὶς εἶναι τὴν οὐσίαν καὶ οὗ ἡ οὐσία· ὥστε πῶς ἂν αἱ ἰδέαι οὐσίαι τῶν πραγμάτων οὖσαι χωρὶς εἶεν; [c]Ἐν δὲ τῷ Φαίδωνι τοῦτον λέγεται τὸν τρόπον, ὡς καὶ τοῦ εἶναι καὶ τοῦ γίγνεσθαι αἴτια [t]τὰ εἴδη ἐστίν. Καίτοι τῶν εἰδῶν ὄντων ὅμως οὐ γίγνεται, ἂν μὴ ᾖ τὸ κινῆσον, καὶ πολλὰ γίγνεται ἕτερα, οἷον οἰκία καὶ δακτύλιος, ὧν οὔ φασιν εἶναι 7 εἴδη. [d]Ὥστε δῆλον ὅτι ἐνδέχεται κἀκεῖνα ὧν φασὶν ἰδέας εἶναι, καὶ εἶναι καὶ γίγνεσθαι διὰ τοιαύτας αἰτίας [v]οἵας καὶ τὰ ῥηθέντα νῦν, ἀλλ' οὐ διὰ τὰ εἴδη. [e]Ἀλλὰ περὶ μὲν τῶν ἰδεῶν καὶ τοῦτον τὸν τρόπον καὶ διὰ [w]λογικωτέρων καὶ ἀκριβεστέρων λόγων ἔστι πολλὰ συναγαγεῖν ὅμοια τοῖς τεθεωρημένοις.

6 [f]Ἐπεὶ δὲ διώρισται περὶ τούτων, καλῶς ἔχει πάλιν θεωρῆσαι τὰ περὶ τοὺς ἀριθμοὺς συμβαίνοντα τοῖς λέγουσιν οὐσίας [x]αὐτοὺς εἶναι χωριστὰς καὶ τῶν ὄντων αἰτίας πρώτας. [g]Ἀνάγκη δ', εἴπερ ἐστὶν [y]ὁ ἀριθμὸς φύσις τις καὶ μὴ ἄλλη τίς [z]ἐστιν αὐτοῦ ἡ οὐσία ἀλλὰ τοῦτ' αὐτό, ὥσπερ φασί τινες, ἤτοι εἶναι τὸ μὲν πρῶτόν τι αὐτοῦ τὸ δ' [a]ἐχόμενον, 2 ἕτερον ὂν τῷ εἴδει ἕκαστον. Καὶ τοῦτο ἢ ἐπὶ τῶν μονάδων εὐθὺς ὑπάρχει καὶ ἔστιν ἀσύμβλητος ὁποιαοῦν μονὰς ὁποιᾳοῦν μονάδι· ἢ εὐθὺς ἐφεξῆς πᾶσαι καὶ συμβληταὶ [b]ὁποιαιοῦν ὁποιαισοῦν, οἷον λέγουσιν εἶναι τὸν μαθηματικὸν ἀριθμόν· ἐν γὰρ τῷ μαθηματικῷ οὐθὲν διαφέρει οὐδεμία μονὰς [c]ἑτέρα 3 ἑτέρας. [h]Ἡ τὰς [d]μὲν συμβλητὰς τὰς δὲ μή, οἷον εἰ ἔστι μετὰ τὸ ἓν πρώτη ἡ δυάς, ἔπειτα ἡ τριὰς καὶ οὕτω δὴ ὁ ἄλλος ἀριθμός. Εἰσὶ δὲ συμβληταὶ [e]αἱ ἐν ἑκάστῳ ἀριθμῷ μονάδες, οἷον [f]αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ αὐταῖς, [g]καὶ [h]ἐν τῇ

[t] τὰ om. T. [v] οἵας] δι' οἵας $G^b.I^b$. [w] διαλεκτικωτέρων E. [x] αὐτοῖς E. [y] ὁ ἀριθμὸς om. T. [z] αὐτοῦ ἐστὶν T. [a] ἐνδεχόμενον T. [b] ὁποῖαι $T.A^b$. [c] ἑτέρα om. G^b. [d] μὲν οἷον συμβλητὰς T. [e] αἱ post ἀριθμῷ A^b. [f] αἱ om. T. [g] καὶ—αὐταῖς om. G^b. [h] ἐν] αἱ ἐν A^b.

τριάδι τῇ πρώτῃ αὐταῖς, καὶ οὕτω δὴ ἐπὶ τῶν ἄλλων ἀριθμῶν· αἱ δ' ἐν τῇ δυάδι αὐτῇ [i]πρὸς τὰς ἐν τῇ τριάδι αὐτῇ ἀσύμβλητοι. [t]Ομοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐφεξῆς 4
ἀριθμῶν. Διὸ καὶ ὁ μὲν μαθηματικὸς ἀριθμεῖται μετὰ τὸ ἓν δύο, πρὸς τῷ ἔμπροσθεν ἑνὶ ἄλλο ἕν, καὶ τὰ τρία πρὸς τοῖς δυσὶ τούτοις ἄλλο ἕν, καὶ ὁ λοιπὸς [k]δὲ ὡσαύτως· οὗτος δὲ μετὰ τὸ ἓν δύο ἕτερα ἄνευ τοῦ ἑνὸς τοῦ [l]πρώτου, καὶ ἡ τριὰς ἄνευ τῆς δυάδος, ὁμοίως δὲ καὶ ὁ ἄλλος ἀριθμός. [u]Η 5
[l]τὸν μὲν εἶναι τῶν ἀριθμῶν [m]οἷος ὁ πρῶτος ἐλέχθη, τὸν δ' οἷον [n]οἱ μαθηματικοὶ λέγουσι, τρίτον δὲ τὸν ῥηθέντα τελευταῖον. [v]Ετι τούτους ἢ χωριστοὺς εἶναι [o]τοὺς ἀριθμοὺς τῶν πραγμάτων, ἢ οὐ χωριστοὺς ἀλλ' ἐν τοῖς αἰσθητοῖς, οὐχ οὕτως δ' ὡς τὸ πρῶτον [p]ἐπεσκοποῦμεν, ἀλλ' ὡς ἐκ τῶν ἀριθμῶν ἐνυπαρχόντων ὄντα τὰ αἰσθητά· ἢ τὸν μὲν [q]αὐτῶν εἶναι τὸν δὲ μή, [r]ἢ πάντας εἶναι. Οἱ μὲν οὖν τρόποι καθ' 6
οὓς ἐνδέχεται αὐτοὺς εἶναι οὗτοί εἰσιν ἐξ ἀνάγκης μόνοι. Σχεδὸν δὲ καὶ οἱ λέγοντες τὸ ἓν ἀρχὴν εἶναι καὶ οὐσίαν καὶ στοιχεῖον πάντων, καὶ ἐκ τούτου καὶ ἄλλου τινὸς εἶναι τὸν ἀριθμόν, ἕκαστος τούτων τινὰ τῶν [s]τρόπων εἴρηκε, πλὴν τοῦ πάσας τὰς μονάδας [t]εἶναι ἀσυμβλήτους. Καὶ τοῦτο συμ- 7
βέβηκεν εὐλόγως· οὐ γὰρ ἐνδέχεται [v]ἔτι ἄλλον τρόπον εἶναι παρὰ τοὺς εἰρημένους. Οἱ μὲν οὖν ἀμφοτέρους φασὶν εἶναι τοὺς ἀριθμούς, τὸν μὲν ἔχοντα τὸ πρότερον καὶ ὕστερον [w]τὰς ἰδέας, [x]τὸν δὲ μαθηματικὸν παρὰ τὰς ἰδέας καὶ τὰ αἰσθητά, καὶ χωριστοὺς ἀμφοτέρους τῶν αἰσθητῶν· οἱ δὲ τὸν μαθηματικὸν μόνον ἀριθμὸν εἶναι τὸν πρῶτον τῶν ὄντων [y]κεχωρισμένον τῶν αἰσθητῶν. Καὶ οἱ Πυθαγόρειοι δ' ἕνα 8
τὸν μαθηματικόν, πλὴν οὐ κεχωρισμένον ἀλλ' ἐκ τούτου τὰς αἰσθητὰς οὐσίας συνεστάναι φασίν· τὸν γὰρ ὅλον οὐρανὸν κατασκευάζουσιν ἐξ ἀριθμῶν, πλὴν οὐ [z]μοναδικῶν, ἀλλὰ τὰς

[i] πρὸς—αὐτῇ om. G^b. [k] δὲ om. G^b. [l] τὴν G^b. [m] οἷον T. [n] οἱ om. A^b. [o] τῶν πραγμάτων τοὺς ἀριθμοὺς $G^b.I^b$. [p] ἐπεσκόπουν A^b. [q] αὐτὸν E. [r] ἢ πάντας om. $G^b.I^b$. [s] τρόπων] πρώτων G^b. [t] εἶναι om. $E.T.G^b.I^b$. [v] ἔτι om. G^b. [w] τῆς G^b. [x] τὸν—ἰδέας om. G^b. [y] κεχωρισμένων $A^b.G^b$. [z] μοναδικὸν $G^b.I^b$.

μονάδας ὑπολαμβάνουσιν ἔχειν μέγεθος· ὅπως δὲ τὸ πρῶτον
9 ἓν συνέστη ἔχον μέγεθος, ἀπορεῖν ἐοίκασιν. [f]Ἄλλος δέ τις
τὸν πρῶτον ἀριθμὸν τὸν τῶν εἰδῶν ἕνα εἶναι, ἔνιοι δὲ καὶ τὸν
μαθηματικὸν τὸν αὐτὸν τοῦτον εἶναι. [t]Ὁμοίως δὲ καὶ περὶ
10 τὰ μήκη καὶ περὶ τὰ ἐπίπεδα καὶ περὶ [a]τὰ στερεά. Οἱ μὲν
γὰρ ἕτερα τὰ μαθηματικὰ καὶ [b]τὰ μετὰ τὰς ἰδέας· τῶν
δ' ἄλλως λέγοντων οἱ μὲν τὰ μαθηματικὰ καὶ μαθηματικῶς
λέγουσιν, ὅσοι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμοὺς μηδὲ εἶναί
φασιν ἰδέας, οἱ δὲ τὰ μαθηματικά, οὐ μαθηματικῶς [c]δέ· οὐ
γὰρ τέμνεσθαι οὔτε μέγεθος πᾶν εἰς μεγέθη, οὔθ' ὁποιασοῦν
11 [d]μονάδας δυάδα εἶναι. Μοναδικοὺς δὲ τοὺς ἀριθμοὺς εἶναι
πάντες τιθέασι, πλὴν τῶν Πυθαγορείων, ὅσοι τὸ ἓν στοι-
χεῖον καὶ ἀρχὴν φασιν εἶναι τῶν ὄντων· ἐκεῖνοι δ' [e]ἔχοντα
μέγεθος, καθάπερ εἴρηται πρότερον. [t]Ὅσαχῶς μὲν οὖν ἐνδέ-
χεται λεχθῆναι περὶ αὐτῶν, καὶ ὅτι πάντες εἰσὶν εἰρημένοι οἱ
τρόποι, φανερὸν ἐκ τούτων· [f]ἔστι δὲ πάντα μὲν ἀδύνατα,
μᾶλλον δ' ἴσως θάτερα τῶν ἑτέρων.

7 Πρῶτον μὲν οὖν σκεπτέον εἰ συμβλητοὶ αἱ μονάδες ἢ ἀσύμ-
βλητοι, καὶ εἰ ἀσύμβλητοι, [g]ποτέρως ὥσπερ διείλομεν. [f]Ἔστι
[h]μὲν γὰρ ὁποιανοῦν εἶναι ὁποιᾳοῦν μονάδι ἀσύμβλητον, ἔστι
δὲ τὰς ἐν αὐτῇ τῇ δυάδι πρὸς τὰς ἐν αὐτῇ τῇ τριάδι, καὶ οὕτως
δὴ ἀσυμβλήτους εἶναι τὰς ἐν ἑκάστῳ τῷ πρώτῳ [i]ἀριθμῷ πρὸς
2 ἀλλήλας. Εἰ μὲν οὖν πᾶσαι συμβλητοὶ καὶ ἀδιάφοροι αἱ
μονάδες, ὁ [k]μαθηματικὸς γίγνεται ἀριθμὸς καὶ εἷς μόνος, καὶ
3 τὰς ἰδέας οὐκ ἐνδέχεται εἶναι τοὺς ἀριθμούς. [l]Ποῖος γὰρ
[m]ἔσται ἀριθμὸς αὐτοάνθρωπος ἢ ζῷον ἢ ἄλλο ὁτιοῦν τῶν
εἰδῶν; [t]Ἰδέα μὲν γὰρ μία ἑκάστου, οἷον [n]αὐτοῦ ἀνθρώπου
μία καὶ αὐτοῦ ζῴου ἄλλη μία· οἱ δ' ὅμοιοι καὶ ἀδιάφοροι
ἄπειροι, ὥστ' οὐθὲν μᾶλλον ἥδε ἡ τριὰς αὐτοάνθρωπος ἢ
ὁποιαοῦν. Εἰ δὲ μή εἰσιν ἀριθμοὶ αἱ ἰδέαι, οὐδ' ὅλως οἷόν

[a] τὰ ante στερεά om. G^b. [b] τὰ μετὰ] τῶν μετὰ $G^b.I^b$. [c] δέ om. $G^b.I^b$. [d] μονάδος G^b. [e] ἔχοντας rc. E, ἔχον G^b. [f] ἔτι T. [g] πότερον T. [h] μὲν om. G^b. [i] ἀριθμῷ om. idem. [k] μαθητικὸς A^b. [l] ὁποῖος T. [m] ἀριθμὸς ἔσται I^b. [n] αὐτοανθρώπου μία καὶ αὐτοζωίου E.

τε αὐτὰς εἶναι. [1]Ἐκ τίνων γὰρ ἔσονται ἀρχῶν αἱ ἰδέαι; [t]Ὁ 4
γὰρ ἀριθμός ἐστιν ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος τῆς ἀορίστου,
καὶ αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα λέγονται τοῦ ἀριθμοῦ εἶναι,
[o]τάξαι τε οὔτε προτέρας ἐνδέχεται τῶν ἀριθμῶν αὐτὰς οὔθ'
ὑστέρας. Εἰ δ' ἀσύμβλητοι αἱ μονάδες, καὶ οὕτως ἀσύμ- 5
βλητοι ὥστε ἠτισοῦν ἠτινιοῦν, οὔτε τὸν μαθηματικὸν ἐνδέ-
χεται εἶναι τοῦτον τὸν ἀριθμόν (ὁ μὲν γὰρ μαθηματικὸς ἐξ
ἀδιαφόρων, καὶ τὰ δεικνύμενα κατ' αὐτοῦ ὡς ἐπὶ [p]τοιούτου
ἁρμόττει) οὔτε τὸν τῶν εἰδῶν· οὐ γὰρ ἔσται ἡ δυὰς πρώτη
ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἔπειτα οἱ ἑξῆς ἀριθμοὶ
ὡς λέγεται, δυάς, τριάς, τετράς· ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ
πρώτῃ μονάδες γεννῶνται, εἴτε ὥσπερ ὁ πρῶτος εἰπὼν ἐξ
ἀνίσων (ᵠ ἰσασθέντων γὰρ [r]ἐγένοντο) εἴτε ἄλλως. [u]Ἔπειτα 6
εἰ ἔσται [s]ἡ ἑτέρα μονὰς [s]τῆς ἑτέρας προτέρα, [t]καὶ τῆς δυάδος
τῆς ἐκ τούτων ἔσται προτέρα· ὅταν γὰρ ᾖ τι τὸ μὲν πρότε-
ρον τὸ δ' ὕστερον, καὶ τὸ ἐκ τούτων τοῦ μὲν ἔσται πρότερον
τοῦ δ' ὕστερον. [u]Ἔτι ἐπειδή ἐστι πρῶτον μὲν αὐτὸ τὸ ἕν, 7
ἔπειτα τῶν ἄλλων ἐστί [v]τι πρῶτον ἕν, δεύτερον δὲ μετ' ἐκεῖνο
καὶ πάλιν τρίτον, τὸ δεύτερον [w]μὲν μετὰ τὸ δεύτερον, τρίτον
δὲ μετὰ τὸ πρῶτον ἕν· ὥστε πρότεραι ἂν εἶεν αἱ μονάδες ἢ
οἱ ἀριθμοὶ ἐξ ὧν [x]πλέκονται, οἷον ἐν τῇ δυάδι τρίτη μονὰς
ἔσται πρὶν τὰ τρία εἶναι, [y]καὶ ἐν τῇ τριάδι τετάρτη καὶ ἡ
πέμπτη [z]πρὶν τοὺς ἀριθμοὺς τούτους. Οὐθεὶς μὲν οὖν τὸν 8
τρόπον τοῦτον εἴρηκεν αὐτῶν τὰς μονάδας [a]ἀσυμβλήτους,
[b]ἔστι δὲ κατὰ μὲν τὰς ἐκείνων [c]ἀρχὰς εὔλογον [d]καὶ οὕτως,
κατὰ μέντοι τὴν ἀλήθειαν ἀδύνατον. Τάς τε γὰρ μονάδας 9
προτέρας καὶ ὑστέρας εἶναι εὔλογον, εἴπερ καὶ πρώτη τίς
ἐστι μονὰς καὶ ἓν πρῶτον, [e]ὁμοίως δὲ καὶ δυάδας, εἴπερ καὶ
δυὰς πρώτη ἐστίν· μετὰ γὰρ τὸ πρῶτον εὔλογον καὶ ἀναγ-

o τάξει T. p τοιούτοις T. q ἰσασθέντα Gᵇ. r ἐγένετο T. s ἡ et τῆς om. Gᵇ.Iᵇ. t καὶ] καὶ διὰ Gᵇ. v τι om. Aᵇ. w μὲν] δὲ T. x λέγονται E. y καὶ om. Gᵇ. z πλὴν T. a post ἀσυμβλήτους T. εἶναι. b ἔστι om. Gᵇ.Iᵇ. c ἀρχὰς] γραφὰς Gᵇ. d καὶ] καὶ τοῦτον T. e καὶ δυάδας δὲ ὁμοίως Aᵇ.

καῖον δεύτερόν τι εἶναι, καὶ εἰ δεύτερον, τρίτον, καὶ οὕτω [f]δὴ
10 τὰ [f]ἄλλα ἐφεξῆς. [v]Αμα δ' ἀμφότερα λέγειν, μονάδα τε
μετὰ τὸ ἓν πρώτην [g]εἶναι καὶ δευτέραν, καὶ δυάδα πρώτην,
ἀδύνατον. Οἱ δὲ ποιοῦσι μονάδα μὲν καὶ ἓν πρῶτον, δεύ-
τερον δὲ καὶ τρίτον οὐκέτι, καὶ δυάδα πρώτην, δευτέραν [h]δὲ
καὶ τρίτην οὐκέτι. Φανερὸν δὲ καὶ ὅτι οὐκ ἐνδέχεται, εἰ
ἀσύμβλητοι πᾶσαι αἱ μονάδες, δυάδα εἶναι αὐτὴν καὶ τριάδα
11 καὶ οὕτω τοὺς [i]ἄλλους ἀριθμούς. [t]Αν τε γὰρ ὦσιν ἀδιά-
φοροι αἱ μονάδες ἄν τε διαφέρουσαι ἑκάστη ἑκάστης, ἀνάγκη
ἀριθμεῖσθαι τὸν ἀριθμὸν κατὰ πρόσθεσιν, οἷον [k]τὴν δυάδα
πρὸς τῷ ἑνὶ ἄλλου ἑνὸς [l]προστεθέντος, [m]καὶ τὴν τριάδα ἄλ-
λου ἑνὸς πρὸς τοῖς δυσὶ [l]προστεθέντος, καὶ τὴν τετράδα
12 ὡσαύτως. Τούτων δὲ ὄντων ἀδύνατον τὴν γένεσιν εἶναι τῶν
ἀριθμῶν, ὡς γεννῶσιν ἐκ τῆς δυάδος καὶ τοῦ ἑνός· μόριον γὰρ
γίγνεται ἡ δυὰς τῆς τριάδος καὶ αὖτη τῆς τετράδος· τὸν αὐ-
13 τὸν [n]δὲ τρόπον συμβαίνει καὶ ἐπὶ τῶν ἐχομένων. [s]Αλλ' ἐκ
τῆς δυάδος τῆς πρώτης καὶ τῆς ἀορίστου δυάδος ἐγίγνετο ἡ
τετράς, δύο δυάδες παρ' αὐτὴν τὴν δυάδα· εἰ δὲ μή, μόριον
ἔσται αὖτη ἡ δυάς, ἑτέρα δὲ προσέσται μία δυάς, καὶ ἡ δυὰς
ἔσται ἐκ τοῦ ἑνὸς αὐτοῦ καὶ ἄλλου ἑνός. Εἰ δὲ τοῦτο, οὐχ
οἷόν τ' εἶναι τὸ ἕτερον στοιχεῖον δυάδα ἀόριστον· μονάδα
14 γὰρ [o]μίαν γεννᾷ, ἀλλ' οὐ δυάδα ὡρισμένην. [t]Ετι παρ' αὐ-
τὴν τὴν τριάδα [p]καὶ αὐτὴν τὴν δυάδα πῶς ἔσονται [q]ἄλλαι
τριάδες καὶ δυάδες; Καὶ τίνα τρόπον ἐκ προτέρων μονάδων
καὶ ὑστέρων σύγκεινται; Πάντα γὰρ ταῦτ' [r]ἐστὶ καὶ πλα-
σματώδη, καὶ ἀδύνατον εἶναι [s]πρώτην δυάδα, εἶτ' αὐτὴν τριάδα.
[t]Ανάγκη δ', ἐπείπερ ἔσται τὸ ἓν [t]καὶ ἡ ἀόριστος δυὰς στοι-
15 χεῖα. Εἰ δ' ἀδύνατα τὰ συμβαίνοντα, καὶ τὰς ἀρχὰς [v]εἶναι
ταύτας ἀδύνατον. Εἰ μὲν οὖν διάφοροι αἱ μονάδες ὁποιαιοῦν

f δὴ et ἄλλα om. $G^b.I^b$. g εἶναι om. G^b. h δὲ post δευτέραν om. G^b. i ἄλλους om. $A^b.G^b$. k τῇ δυάδι G^b, τῇ δυάδα I^b. l προτεθέντος utrobique A^b. m καὶ—προστεθέντος om. T. n δὲ om. G^b. o μίαν οὐ γεννᾷ G^b. p καὶ τὴν αὐτὴν δ. G^b. q ἄλλαι om. $G^b.I^b$. r εἰσὶ A^b. s πρώτως G^b. t καὶ om. G^b. v ταύτας εἶναι T.

ὁποιαισοῦν, ταῦτα καὶ τοιαῦθ' ἕτερα συμβαίνει ἐξ ἀνάγκης. Εἰ δ' αἱ μὲν ἐν ἄλλῳ διάφοροι, αἱ δ' ἐν τῷ αὐτῷ ἀριθμῷ ἀδιάφοροι ἀλλήλαις μόναι, καὶ οὕτως οὐθὲν ἐλάττω συμβαίνει τὰ δυσχερῆ. [w]Οἷον γὰρ ἐν τῇ δεκάδι αὐτῇ ἔνεισι 16
δέκα μονάδες, σύγκειται δὲ καὶ ἐκ τούτων καὶ ἐκ δύο πεντάδων ἡ δεκάς. [1]Ἐπεὶ [x]δ' οὐχ ὁ τυχὼν ἀριθμὸς αὕτη ἡ δεκάς, οὐδὲ σύγκειται ἐκ τῶν τυχουσῶν πεντάδων, ὥσπερ οὐδὲ μονάδων, ἀνάγκη διαφέρειν τὰς μονάδας [y]τὰς ἐν τῇ δεκάδι ταύτῃ. [n]Αν γὰρ μὴ διαφέρωσιν, οὐδ' αἱ [z]πεντάδες διοίσουσιν ἐξ ὧν 17
ἐστὶν ἡ δεκάς· ἐπεὶ [a]δὲ διαφέρουσι, καὶ αἱ μονάδες διοίσουσιν. Εἰ δὲ διαφέρουσι, πότερον [b]οὐκ ἐνέσονται [c]πεντάδες ἄλλαι ἀλλὰ μόνον αὗται [d]αἱ δύο, ἢ ἔσονται; Εἶτε [e]δὲ μὴ [f]ἐνέσονται, ἄτοπον· εἶτ' [f]ἐνέσονται, ποία ἔσται [g]δεκὰς ἐξ ἐκείνων; Οὐ γάρ ἐστιν ἑτέρα δεκὰς ἐν τῇ δεκάδι παρ' αὐτήν. [1]Ἀλλὰ 18
μὴν καὶ ἀνάγκη γε μὴ ἐκ τῶν τυχουσῶν δυάδων τὴν τετράδα συγκεῖσθαι· ἡ γὰρ ἀόριστος δυάς, ὡς φασί, λαβοῦσα τὴν ὡρισμένην δυάδα δύο δυάδας ἐποίησεν· τοῦ γὰρ ληφθέντος ἦν δυοποιός. [1]Ἔτι τὸ εἶναι παρὰ τὰς δύο μονάδας τὴν [h]δυάδα 19
φύσιν τινά, καὶ τὴν τριάδα παρὰ τὰς τρεῖς μονάδας, πῶς ἐνδέχεται; [i][n]Η γὰρ μεθέξει θατέρου θάτερον, ὥσπερ λευκὸς ἄνθρωπος παρὰ λευκὸν καὶ ἄνθρωπον (μετέχει γὰρ [k]τούτων), ἢ ὅταν ᾖ θατέρου θάτερον διαφορά τις, ὥσπερ ὁ ἄνθρωπος [l]παρὰ ζῷον καὶ δίπουν. [1]Ἔτι τὰ μὲν ἀφῇ ἐστὶν ἕν, τὰ δὲ 20
μίξει, τὰ δὲ θέσει· ὧν οὐθὲν ἐνδέχεται ὑπάρχειν ταῖς μονάσιν ἐξ ὧν ἡ δυὰς καὶ ἡ τριάς· ἀλλ' ὥσπερ οἱ δύο ἄνθρωποι οὐχ ἕν τι παρ' ἀμφοτέρους, οὕτως ἀνάγκη καὶ τὰς μονάδας. Καὶ 21
οὐχ ὅτι ἀδιαίρετοι, διοίσουσι διὰ τοῦτο· καὶ γὰρ αἱ στιγμαὶ [m]ἀδιαίρετοι, ἀλλ' ὅμως παρὰ τὰς δύο οὐθὲν ἕτερον ἡ δυὰς αὐτῶν. [1]Ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ λανθάνειν, ὅτι συμβαίνει προτέρας καὶ ὑστέρας εἶναι δυάδας, [n]ὁμοίως δὲ καὶ τοὺς ἄλ-

[w] αἱ Ab. [x] δ' οὐ τυχὼν T. [y] τὰς ante ἐν om. Ab. [z] πεμπτάδες T. [a] δὲ διαφέρουσι post ἐπεὶ om. Gb. [b] οὐκ ἔσονται Gb.Ib, οὐχ ἓν ἔσονται T. [c] πεμτάδες E. [d] αἱ om. E.Gb.Ib. [e] δὴ Ab. [f] ἓν ἔσονται utrobique T. [g] δυὰς Gb. [h] δυάδα] δύναμιν Gb. [i] εἰ T. [k] ταὐτῶν T. [l] παρὰ τὸ ζῷον T. [m] ἀδιαίρετον Ab. [n] ὁμοίους Gb.

22 λους ἀριθμούς. [o]Αἱ μὲν γὰρ ἐν τῇ τετράδι δυάδες ἔστωσαν ἀλλήλαις ἅμα· ἀλλ' αὗται τῶν ἐν τῇ ὀκτάδι πρότεραί εἰσι, καὶ ἐγέννησαν, ὥσπερ ἡ δυὰς ταύτας, αὗται τὰς τετράδας τὰς ἐν τῇ [p]ὀκτάδι αὐτῇ. [v]Ωστε εἰ καὶ [q]ἡ πρώτη δυὰς [r]ἰδέα, καὶ
23 αὗται ἰδέαι τινὲς ἔσονται. [t]Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν μονάδων· αἱ γὰρ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶσι τὰς τέτταρας τὰς ἐν τῇ τετράδι, ὥστε πᾶσαι αἱ μονάδες ἰδέαι γίγνονται καὶ [s]συγκείσεται ἰδέα [t]ἐξ ἰδεῶν. [v]Ωστε δῆλον ὅτι κἀκεῖνα, ὧν ἰδέαι αὗται τυγχάνουσιν οὖσαι, συγκείμενα ἔσται, οἷον εἰ τὰ ζῷα φαίη τις συγκεῖσθαι ἐκ ζῴων, εἰ τούτων [v]ἰδέαι
24 εἰσίν. [w]Ὅλως δὲ τὸ ποιεῖν τὰς μονάδας διαφόρους ὁπωσοῦν ἄτοπον καὶ πλασματῶδες (λέγω δὲ πλασματῶδες τὸ πρὸς ὑπόθεσιν βεβιασμένον)· οὔτε γὰρ κατὰ τὸ ποσὸν οὔτε κατὰ τὸ ποιὸν ὁρῶμεν διαφέρουσαν [w]μονάδα μονάδος, ἀνάγκη [x]τε ἢ ἴσον ἢ ἄνισον εἶναι ἀριθμόν, πάντα μὲν ἀλλὰ μάλιστα τὸν
25 μοναδικόν. [v]Ὥστ' εἰ μήτε πλείων μήτ' ἐλάττων, [y]ἴσος· τὰ δ' ἴσα καὶ ὅλως ἀδιάφορα ταὐτὰ ὑπολαμβάνομεν ἐν τοῖς ἀριθμοῖς. Εἰ δὲ μή, οὐδ' αἱ ἐν ταύτῃ τῇ δεκάδι δυάδες ἀδιάφοροι ἔσονται ἴσαι οὖσαι· τίνα γὰρ αἰτίαν ἕξει [z]λέγειν ὁ
26 φάσκων ἀδιαφόρους εἶναι; [a]Ἔτι εἰ ἅπασα μονὰς καὶ μονὰς ἄλλη δύο, ἡ [a]δ' ἐκ τῆς δυάδος αὐτῆς μονὰς καὶ ἡ ἐκ τῆς τριάδος αὐτῆς δυὰς ἔσται ἐκ διαφερουσῶν τε, καὶ πότερον προτέρα τῆς τριάδος ἢ [b]ὑστέρα; Μᾶλλον [c]γὰρ ἔοικε προτέραν ἀναγκαῖον εἶναι· ἡ μὲν γὰρ ἅμα τῇ τριάδι, ἡ δ' ἅμα τῇ δυάδι
27 τῶν μονάδων. Καὶ ἡμεῖς μὲν ὑπολαμβάνομεν ὅλως ἓν καὶ ἕν, καὶ ἐὰν ᾖ ἴσα ἢ ἄνισα, δύο εἶναι, οἷον τἀγαθὸν καὶ τὸ κακόν, καὶ ἄνθρωπον καὶ ἵππον· [d]οἱ δ' οὕτως λέγοντες οὐδὲ τὰς μονάδας. Εἴτε [e]δὲ μή ἐστι πλείων ἀριθμὸς ὁ τῆς τριάδος αὐτῆς ἢ ὁ τῆς δυάδος, θαυμαστόν· εἴτε ἐστὶ [f]πλείων, δῆλον ὅτι καὶ ἴσος ἔνεστι τῇ δυάδι, ὥστε οὗτος ἀδιάφορος αὐτῇ

[o] αἱ] εἰ Gᵇ. [p] ὀκτάδη E. [q] ἡ om. E.Aᵇ. [r] ἰδέαι T.Aᵇ. [s] συγκείσονται ἰδέαι Gᵇ.Iᵇ. [t] ἐξ om. Gᵇ. [v] ἰδέαι] ἐκ ζώων ἰδέαι Aᵇ.Gᵇ.Iᵇ. [w] μονάδα om. Aᵇ. [x] τε] τε καὶ Gᵇ.Iᵇ. [y] ἴσος· τὰ δ' ἴσα] ἴσος τὰ δὲ ἴσως T, ἴσως τὰ δίκαια Gᵇ. [z] λέγειν om. Gᵇ. [a] δ' om. Aᵇ. [b] ὑστεραία Gᵇ. [c] γὰρ] μὲν γὰρ Gᵇ. [d] οἱ] οὐ E.T. [e] δὴ Gᵇ. [f] πλείω Aᵇ.

τῇ [g]δυάδι. [d]Αλλ' οὐκ ἐνδέχεται, εἰ πρῶτός τις ἐστιν ἀρι- 28
θμὸς καὶ δεύτερος· οὐδὲ ἔσονται αἱ ἰδέαι ἀριθμοί. Τοῦτο
μὲν γὰρ αὐτὸ ὀρθῶς λέγουσιν οἱ διαφόρους τὰς μονάδας
ἀξιοῦντες εἶναι, εἴπερ ἰδέαι ἔσονται, ὥσπερ εἴρηται πρότε-
ρον· ἓν γὰρ τὸ εἶδος. Αἱ δὲ μονάδες [h]εἰ [i]ἀδιάφοροι, καὶ
αἱ δυάδες καὶ αἱ τριάδες [k]ἔσονται ἀδιάφοροι. Διὸ καὶ τὸ 29
ἀριθμεῖσθαι οὕτως, ἕν δύο, μὴ προσλαμβανομένου πρὸς τῷ
ὑπάρχοντι ἀναγκαῖον αὐτοῖς λέγειν· οὔτε γὰρ ἡ γένεσις
ἔσται ἐκ τῆς ἀορίστου δυάδος, [l]οὔτ' ἰδέαν ἐνδέχεται εἶναι·
ἐνυπάρξει γὰρ ἑτέρα ἰδέα ἐν ἑτέρᾳ, καὶ πάντα τὰ εἴδη ἑνὸς
μέρη. Διὸ πρὸς μὲν τὴν ὑπόθεσιν ὀρθῶς λέγουσιν, ὅλως δ' 30
οὐκ ὀρθῶς· πολλὰ γὰρ ἀναιροῦσιν, ἐπεὶ τοῦτό [m]γ' αὐτὸ
ἔχειν τινὰ φήσουσιν ἀπορίαν, πότερον, ὅταν ἀριθμῶμεν καὶ
εἴπωμεν ἓν δύο τρία, προσλαμβάνοντες ἀριθμοῦμεν ἢ [n]κατὰ
μερίδας. Ποιοῦμεν δὲ ἀμφοτέρως· διὸ γελοῖον ταύτην εἰς
τηλικαύτην [o]τῆς οὐσίας ἀνάγειν διαφοράν.

Πάντων [p]δὲ πρῶτον καλῶς ἔχει διορίσασθαι τίς ἀριθμοῦ 8
διαφορὰ καὶ μονάδος, εἰ ἔστιν. [d]Ανάγκη [q]δὴ [r]ἢ κατὰ τὸ
ποσὸν ἢ κατὰ τὸ ποιὸν διαφέρειν· τούτων δ' οὐδέτερον φαί-
νεται ἐνδέχεσθαι ὑπάρχον. [d]Αλλ' [s]ᾗ ἀριθμός, κατὰ [t]τὸ
ποσόν. Εἰ δὲ δὴ καὶ αἱ μονάδες τῷ ποσῷ διέφερον, κἂν
ἀριθμὸς ἀριθμοῦ διέφερεν [v]ὁ ἴσος τῷ πλήθει τῶν μονάδων.
[d]Ετι πότερον αἱ πρῶται μείζους ἢ ἐλάττους, καὶ [w]αἱ [x]ὕστε- 2
ρον ἐπιδιδόασιν ἢ τοὐναντίον; Πάντα γὰρ ταῦτα ἄλογα.
[d]Αλλὰ μὴν οὐδὲ κατὰ τὸ ποιὸν διαφέρειν ἐνδέχεται. Οὐθὲν
γὰρ αὐταῖς οἷόν τε ὑπάρχειν πάθος· ὕστερον γὰρ [y]καὶ τοῖς
ἀριθμοῖς φασὶν ὑπάρχειν τὸ ποιὸν τοῦ ποσοῦ. [d]Ετι οὔτ' ἂν 3
ἀπὸ τοῦ ἑνὸς τοῦτ' αὐταῖς γένοιτο οὔτ' ἂν ἀπὸ τῆς δυάδος·
τὸ μὲν γὰρ [z]οὐ ποιόν, [a]ἡ δὲ [b]ποσὸν ποιόν· τοῦ γὰρ πολλὰ

[g] δεκάδι ἀλλ' G^b. [h] εἰ om. T. [i] διάφοροι G^b. [k] ἔσονται om. T. [l] οὔτ' ἰδέαν] οὔτε δὲ ἂν T. [m] γ' om. G^b. [n] κατὰ τὰς μερίδας $G^b.I^b$. [o] τῆς οὐσίας om. G^b. [p] δὲ] τε E.T.A^b. [q] δ' E.$A^b.I^b$. [r] ἢ om. G^b. [s] ἢ E.$G^b.I^b$, ἢ T. [t] τὸ om. E.I^b. [v] ὁ ἴσος om. G^b. [w] αἱ post καὶ om. T.A^b. [x] ὕστεροι G^b. [y] καὶ ἐν τοῖς G^b. [z] οὐ om. G^b. [a] ἡ] ἢ ὁ T. [b] ποσοποιὸν $G^b.I^b$.

τὰ ὄντα εἶναι αἰτία [c] αὐτῆς [d] ἡ φύσις. Εἰ δ' ἄρα ἔχει πως ἄλλως, λεκτέον ἐν ἀρχῇ μάλιστα τοῦτο καὶ διοριστέον περὶ μονάδος διαφορᾶς, μάλιστα μὲν καὶ διότι ἀνάγκη [e] ὑπάρ-
4 χειν· εἰ δὲ μή, τίνα λέγουσιν; [v] Ὅτι μὲν οὖν, εἴπερ εἰσὶν ἀριθμοὶ αἱ ἰδέαι, οὔτε συμβλητὰς τὰς μονάδας ἁπάσας ἐνδέχεται εἶναι, φανερόν, οὔτε ἀσυμβλήτους ἀλλήλαις οὐδέτερον [f] τῶν [g] τρόπων. [1] Ἀλλὰ μὴν οὐδ' ὡς ἕτεροί τινες λέ-
5 γουσι περὶ τῶν ἀριθμῶν λέγεται καλῶς. Εἰσὶ δ' οὗτοι ὅσοι ἰδέας μὲν οὐκ οἴονται εἶναι οὔθ' ἁπλῶς οὔτε [h] ὡς ἀριθμούς τινας οὔσας, τὰ δὲ μαθηματικὰ εἶναι καὶ τοὺς ἀριθμοὺς πρώτους τῶν ὄντων, καὶ [i] ἀρχὴν αὐτῶν εἶναι αὐτὸ τὸ ἕν. [11] Ἄτοπον γὰρ τὸ ἓν μὲν εἶναί τι πρῶτον τῶν [k] ἑνῶν, ὥσπερ ἐκεῖνοί φασι, δυάδα [l] δὲ τῶν δυάδων μή, μηδὲ τριάδα τῶν τριάδων·
6 τοῦ γὰρ αὐτοῦ λόγου πάντα ἐστίν. Εἰ μὲν οὖν οὕτως ἔχει τὰ περὶ [m] τὸν ἀριθμὸν καὶ θήσει τις εἶναι τὸν μαθηματικὸν μόνον, οὐκ ἔστι τὸ ἓν ἀρχή. [1] Ἀνάγκη γὰρ διαφέρειν τὸ ἓν τὸ τοιοῦτο τῶν ἄλλων μονάδων· εἰ δὲ τοῦτο, καὶ δυάδα τινὰ πρώτην τῶν δυάδων, [n] ὁμοίως δὲ καὶ τοὺς ἄλλους ἀριθμοὺς
7 τοὺς ἐφεξῆς. Εἰ δέ ἐστι τὸ ἓν ἀρχή, ἀνάγκη μᾶλλον, ὥσπερ Πλάτων ἔλεγεν, ἔχειν τὰ περὶ τοὺς ἀριθμούς, καὶ εἶναί [o] τινα δυάδα πρώτην καὶ τριάδα, καὶ οὐ συμβλητοὺς εἶναι τοὺς ἀριθμοὺς πρὸς ἀλλήλους. [11] Ἂν δ' αὖ πάλιν τις τιθῇ ταῦτα, ἔρηται ὅτι [p] ἀδύνατα πολλὰ συμβαίνει. [1] Ἀλλὰ μὴν ἀνάγκη
[q] γε ἢ οὕτως ἢ ἐκείνως ἔχειν, ὥστ' εἰ μηδετέρως, οὐκ ἂν [r] ἐνδέ-
8 χοιτο εἶναι τὸν ἀριθμὸν χωριστόν. Φανερὸν [s] δ' ἐκ τούτων καὶ ὅτι [t] χείριστα λέγεται ὁ τρίτος τρόπος, τὸ εἶναι τὸν [v] αὐτὸν ἀριθμὸν τὸν τῶν εἰδῶν καὶ τὸν μαθηματικόν. [1] Ἀνάγκη γὰρ εἰς μίαν δόξαν συμβαίνειν δύο ἁμαρτίας· οὔτε γὰρ μαθηματικὸν ἀριθμὸν ἐνδέχεται τοῦτον εἶναι τὸν τρόπον, ἀλλ'

[c] αὕτη A^b. [d] ἡ φύσις] φησιν G^b. [e] ὑπάρχει G^b. [f] τὸν E, om. G^b. [g] τρόπον G^b. [h] ὡς om. G^b. [i] ἀρχὰς T, τὴν ἀρχὴν G^b. [k] ἕνων $E.A^b.I^b$, ἑνάδων G^b. [l] δὲ τῶν] δὲ καὶ T. [m] τοὺς ἀριθμοὺς $G^b.I^b$. [n] ὁμοίους G^b. [o] τινα om. A^b. [p] πολλὰ ἀδύνατα $G^b.I^b$. [q] γε om. T. [r] ἐνεδέχετο T. [s] δ'] δὲ καὶ G^b. [t] χείριστος A^b. [v] αὐτὸν om. G^b.

ἰδίας ὑποθέσεις ὑποθέμενον ἀνάγκη [w] μηκύνειν· ὅσα τε τοῖς ὡς εἴδη τὸν ἀριθμὸν λέγουσι συμβαίνει, καὶ ταῦτα ἀναγκαῖον λέγειν. [t]Ὁ δὲ τῶν Πυθαγορείων τρόπος τῇ μὲν ἐλάττους 9
ἔχει δυσχερείας τῶν πρότερον εἰρημένων, τῇ δὲ ἰδίας ἑτέρας. Τὸ μὲν γὰρ μὴ χωριστὸν ποιεῖν τὸν ἀριθμὸν ἀφαιρεῖται πολλὰ τῶν ἀδυνάτων· τὸ δὲ τὰ σώματα ἐξ ἀριθμῶν εἶναι συγκείμενα, καὶ τὸν ἀριθμὸν τοῦτον εἶναι μαθηματικόν, ἀδύνατόν ἐστιν. Οὔτε γὰρ ἄτομα μεγέθη λέγειν ἀληθές· 10
[x]εἴθ' ὅτι μάλιστα τοῦτον ἔχει τὸν τρόπον, οὐχ αἵ [y]γε μονάδες μέγεθος ἔχουσιν· μέγεθος δ' ἐξ ἀδιαιρέτων συγκεῖσθαι πῶς δυνατόν; [t]Ἀλλὰ μὴν [z]ὅ γ' ἀριθμητικὸς ἀριθμὸς μοναδικός ἐστιν. [t]Ἐκεῖνοι δὲ τὸν [a]ἀριθμὸν τὰ [b]ὄντα λέγουσιν· τὰ γοῦν θεωρήματα προσάπτουσι τοῖς σώμασιν ὡς ἐξ ἐκείνων ὄντων τῶν ἀριθμῶν. [c]Εἰ [d]τοίνυν ἀνάγκη μέν, 11
εἴπερ ἐστὶν ἀριθμὸς τῶν ὄντων τι καθ' αὑτό, τούτων εἶναί τινα τῶν εἰρημένων τρόπων, οὐθένα δὲ τούτων ἐνδέχεται, φανερὸν ὡς οὐκ ἔστιν ἀριθμοῦ τις [e]τοιαύτη φύσις οἵαν κατασκευάζουσιν οἱ χωριστὸν ποιοῦντες αὐτόν. [u]Ἔτι πότερον 12
ἑκάστη μονὰς ἐκ τοῦ μεγάλου καὶ μικροῦ ἰσασθέντων ἐστίν, ἢ ἡ μὲν ἐκ τοῦ μικροῦ ἡ δ' ἐκ τοῦ μεγάλου; Εἰ μὲν δὴ οὕτως, οὔτε ἐκ πάντων [f]τῶν στοιχείων ἕκαστον, οὔτε ἀδιάφοροι αἱ μονάδες· [g]ἐν τῇ μὲν γὰρ τὸ μέγα ἐν τῇ δὲ τὸ μικρὸν ὑπάρχει, ἐναντίον τῇ φύσει ὄν. [u]Ἔτι αἱ ἐν τῇ τριάδι 13
αὐτῇ πῶς; [h]Μία γὰρ περιττή. [t]Ἀλλὰ διὰ τοῦτο ἴσως αὐτὸ τὸ ἓν ποιοῦσιν ἐν τῷ περιττῷ μέσον. Εἰ δ' ἑκατέρα τῶν μονάδων ἐξ ἀμφοτέρων ἐστὶν ἰσασθέντων, ἡ δυὰς πῶς ἔσται μία τις οὖσα φύσις ἐκ τοῦ μεγάλου καὶ μικροῦ; [u]Ἢ τί διοίσει τῆς μονάδος; [u]Ἔτι προτέρα ἡ μονὰς τῆς δυάδος· ἀναιρουμένης γὰρ ἀναιρεῖται ἡ δυάς. [i][t]Ἰδέαν οὖν ἰδέας ἀναγ- 14
καῖον αὐτὴν εἶναι, προτέραν [k]γ' οὖσαν ἰδέας, καὶ γεγονέναι προτέραν ἐκ τινοσοῦν· ἡ γὰρ ἀόριστος δυὰς δυοποιὸς ἦν.

[w] μὴ κινεῖν T. [x] εἶθ' Ib. [y] γε om. T. [z] ὁ γὰρ μαθηματικὸς T.
[a] ἀριθμητικόν Ib, om. G. [b] ὄντα] ὄντα τόνδε Ib. [c] εἰ] ἔτι T.Ab.
[d] τοίνυν] νῦν T. [e] φύσις τοιαύτη T. [f] τῶν om. E. [g] ἕν τι T.
[h] μία] μὲν T. [i] ἰδέαν οὖν ἰδέας om. Gb. [k] γ' om. T.

Ετι ἀνάγκη ἤτοι ἄπειρον [l]τὸν ἀριθμὸν εἶναι ἢ πεπερασμένον· χωριστὸν γὰρ ποιοῦσι τὸν ἀριθμόν, ὥστε οὐχ οἷόν τε μὴ οὐχὶ [m]τούτων θάτερον ὑπάρχειν. [v]Οτι μὲν τοίνυν ἄπειρον οὐκ ἐνδέχεται, δῆλον· οὔτε γὰρ περιττὸς ὁ ἄπειρός ἐστιν οὔτ' ἄρτιος, ἡ δὲ γένεσις τῶν ἀριθμῶν ἢ περιττοῦ ἀριθμοῦ ἢ ἀρτίου [n]ἀεί ἐστιν, ὡδὶ μὲν τοῦ ἑνὸς εἰς τὸν ἄρτιον [o]πίπτοντος περιττός, ὡδὶ δὲ τῆς μὲν δυάδος ἐμπιπτούσης ὁ ἀφ' ἑνὸς διπλασιαζόμενος, ὡδὶ δὲ τῶν περιττῶν ὁ ἄλλος ἄρτιος. [w]Ετι εἰ πᾶσα ἰδέα τινός, οἱ δὲ ἀριθμοὶ ἰδέαι, καὶ ὁ ἄπειρος [p]ἔσται ἰδέα τινός, ἢ τῶν αἰσθητῶν ἢ ἄλλου τινός. Καίτοι οὔτε κατὰ τὴν θέσιν ἐνδέχεται οὔτε κατὰ λόγον, τάττουσι δ' οὕτω τὰς ἰδέας. Εἰ δὲ πεπερασμένος, μέχρι πόσου; Τοῦτο γὰρ δεῖ λέγεσθαι οὐ μόνον ὅτι, ἀλλὰ καὶ διότι. [x]Αλλὰ μὴν [q]εἰ μέχρι τῆς δεκάδος ὁ ἀριθμός, ὥσπερ τινές φασιν, πρῶτον μὲν ταχὺ ἐπιλείψει τὰ εἴδη· οἷον [r]εἰ ἔστιν ἡ τριὰς αὐτοάνθρωπος, τίς ἔσται ἀριθμὸς αὐτοΐππος; Αὐτὸ γὰρ ἕκαστος ἀριθμὸς μέχρι δεκάδος. [y]Ανάγκη [s]δὴ τῶν [t]ἐν τούτοις ἀριθμῶν τινὰς εἶναι· οὐσίαι γὰρ καὶ ἰδέαι οὗτοι. [z]Αλλ' ὅμως [v]ἐπιλείψει· τὰ τοῦ ζῴου γὰρ εἴδη [w]ὑπερέξει. [a]Αμα δὲ δῆλον ὅτι [x]εἰ οὕτως ἡ τριὰς αὐτοάνθρωπος, καὶ αἱ ἄλλαι τριάδες· ὅμοιαι γὰρ αἱ ἐν τοῖς [y]αὐτοῖς [z]ἀριθμοῖς, ὥστ' ἄπειροι ἔσονται ἄνθρωποι, εἰ μὲν ἰδέα ἑκάστη τριάς, [a]αὐτοέκαστος ἄνθρωπος, εἰ δὲ μή, ἀλλ' ἄνθρωποί γε. Καὶ εἰ μέρος ὁ ἐλάττων τοῦ μείζονος, ὁ ἐκ τῶν συμβλητῶν μονάδων τῶν ἐν τῷ αὐτῷ ἀριθμῷ· εἰ δ' ἡ τετρὰς [b]αὕτη ἰδέα τινός ἐστιν, οἷον ἵππου ἢ λευκοῦ, ὁ ἄνθρωπος ἔσται μέρος [c]ἵππου, εἰ δυὰς ὁ ἄνθρωπος. [d]Ατοπον δὲ καὶ τὸ τῆς [d]μὲν δεκάδος εἶναι ἰδέαν, ἐνδεκάδος δὲ [d]μή, μηδὲ τῶν ἐχομένων ἀριθμῶν. [e]Ετι δὲ καὶ ἔστι καὶ γίγνεται ἔνια καὶ ὧν εἴδη οὐκ ἔστιν,

[l] εἶναι τὸν ἀριθμὸν T. [m] τούτω T. [n] ἐστὶν ἀεί T. [o] ἐμπίπτοντος π. $G^b.I^b$. [p] ἔσται εἰ ἰδέα A^b. [q] εἰ] ἡ G^b. [r] εἰ om. A^b. [s] δὴ] γὰρ $G^b.I^b$. [t] ἐν τούτοις] γρ. καὶ ἐντὸς τούτων E. [v] ὑπολείψει G^b. [w] ὑπάρξει T. [x] εἰ om. G^b. [y] αὐτοῖς om. I^b. [z] ἀριθμητικοῖς G^b. [a] αὐτοέκαστος ἂν ἄνθρωπος E. [b] αὐτὴ T. [c] ἵππου om. T. [d] μὲν et mox μή om. G^b.

ὥστε διὰ τί οὐ κἀκείνων εἴδη ἐστίν; Οὐκ [e]ἄρα αἴτια τὰ εἴδη ἐστίν. [d]Ἔτι ἄτοπον εἰ ὁ ἀριθμὸς ὁ μέχρι τῆς δεκάδος μᾶλλόν τι ὂν καὶ εἶδος αὐτῆς τῆς δεκάδος· καίτοι τοῦ μὲν οὐκ ἔστι γένεσις ὡς ἑνός, τῆς δ' ἔστιν. Πειρῶνται δ' ὡς τοῦ μέχρι τῆς δεκάδος τελείου ὄντος ἀριθμοῦ. Γεννῶσι γοῦν τὰ 21
ἑπόμενα, οἷον τὸ κενόν, ἀναλογίαν, τὸ περιττόν, τὰ ἄλλα τὰ τοιαῦτα ἐντὸς τῆς δεκάδος· τὰ μὲν γὰρ ταῖς ἀρχαῖς ἀποδιδόασιν, οἷον κίνησιν, στάσιν, ἀγαθόν, κακόν, τὰ δ' ἄλλα τοῖς ἀριθμοῖς. Διὸ τὸ ἓν τὸ περιττόν· [f]εἰ γὰρ ἐν [g]τῇ 22
τριάδι, πῶς ἡ πεντὰς περιττόν; [h]Ἔτι τὰ [i]μεγέθη καὶ ὅσα τοιαῦτα μέχρι πόσου, οἷον ἡ πρώτη γραμμὴ [k]ἄτομος, εἶτα δυάς, εἶτα καὶ ταῦτα μέχρι δεκάδος. [d]Ἔτι εἰ ἔστι χωριστὸς ὁ ἀριθμός, ἀπορήσειεν ἄν τις πότερον πρότερον τὸ ἓν ἢ [l]ἡ τριὰς καὶ ἡ δυάς. [t]Ἡι μὲν δὴ σύνθετος ὁ ἀριθμός, τὸ ἕν, 23
ᾗ δὲ τὸ καθόλου πρότερον καὶ τὸ εἶδος, ὁ ἀριθμός· ἑκάστη γὰρ τῶν μονάδων μόριον τοῦ ἀριθμοῦ ὡς ὕλη, ὁ δ' ὡς εἶδος. Καὶ ἔστι μὲν ὡς ἡ ὀρθὴ προτέρα τῆς ὀξείας, ὅτι ὥρισται [m]καὶ τῷ λόγῳ· ἔστι δ' ὡς ἡ ὀξεῖα, ὅτι μέρος καὶ εἰς ταύτην διαιρεῖται. [t]Ὡς μὲν δὴ ὕλη [n]ἡ ὀξεῖα καὶ τὸ στοιχεῖον καὶ 24
ἡ μονὰς πρότερον, ὡς δὲ κατὰ τὸ εἶδος καὶ τὴν οὐσίαν τὴν κατὰ τὸν λόγον ἡ ὀρθὴ καὶ τὸ ὅλον τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους· ἐγγύτερον γὰρ τοῦ εἴδους καὶ οὗ ὁ λόγος τὸ [o]ἄμφω, γενέσει δ' ὕστερον. Πῶς οὖν ἀρχὴ τὸ ἕν; [d]Ὅτι ῥᾳ [p]διαιρετόν, φασίν. [t]Ἀλλ' ἀδιαίρετον καὶ τὸ καθόλου καὶ τὸ ἐπὶ [q]μέρους 25
καὶ τὸ στοιχεῖον. [t]Ἀλλὰ τρόπον ἄλλον, τὸ μὲν κατὰ λόγον τὸ δὲ κατὰ χρόνον. Ποτέρως οὖν τὸ ἓν ἀρχή; [d]Ὥσπερ γὰρ εἴρηται, καὶ [r]ἡ ὀρθὴ τῆς ὀξείας καὶ αὕτη ἐκείνης δοκεῖ προτέρα εἶναι καὶ ἑκατέρα μία. [t]Ἀμφοτέρως [s]δὴ ποιοῦσι τὸ ἓν ἀρχήν. [t]Ἔτι δὲ ἀδύνατον· τὸ μὲν γὰρ ὡς [v]εἶδος καὶ ἡ 26

e ἄρα om. Gb.Ib. f εἰ] ἡ T. g τῇ om. Gb. h ὅτι T. i μεγέθη] μετὰ πάθη Ab, πάθη T. k τόμος T. l ἡ om. Gb. m καὶ post ὥρισται om. Gb. n ἡ om. Gb.Ib. o ἄμφω τῆς ὕλης γενέσει Gb.Ib. p ἀδιαίρετόν T, et omissa οὐ Gb. q μέρος T. r ἡ ὀρθότης ὀξείας καὶ αὐτῆς ἐκείνης Gb. s δὲ Gb. t ἔστι T.Gb.Ib. v εἶδος] μέρος Gb.Ib.

οὐσία, τὸ δ' ὡς μέρος [w]καὶ ὡς ὕλη. [v]Ἔστι γάρ πως ἓν ἑκάτερον τῇ μὲν ἀληθείᾳ δυνάμει, εἴ γε ὁ ἀριθμὸς ἕν τι καὶ μὴ ὡς σωρός, ἀλλ' [x]ἕτερος ἐξ ἑτέρων μονάδων, ὥσπερ φασίν· ἐν-
27 τελεχείᾳ δ' οὐκ ἔστι μονὰς ἑκατέρα. Αἴτιον δὲ τῆς συμβαινούσης ἁμαρτίας ὅτι ἅμα ἐκ τῶν μαθημάτων ἐθήρευον καὶ ἐκ τῶν λόγων τῶν καθόλου, ὥστ' ἐξ ἐκείνων μὲν ὡς στιγμὴν τὸ ἓν καὶ τὴν ἀρχὴν ἔθηκαν· ἡ γὰρ μονὰς στιγμὴ ἄθετός ἐστιν. Καθάπερ οὖν καὶ ἕτεροί τινες ἐκ τοῦ ἐλα-
28 χίστου τὰ ὄντα συνετίθεσαν, καὶ οὗτοι. [v]Ὥστε γίγνεται ἡ μονὰς ὕλη τῶν ἀριθμῶν καὶ ἅμα προτέρα τῆς δυάδος, πάλιν δ' ὕστερα ὡς ὅλου τινὸς καὶ ἑνὸς καὶ εἴδους τῆς δυάδος οὔσης. Διὰ δὲ τὸ καθόλου ζητεῖν τὸ κατηγορούμενον ἓν καὶ οὕτως ὡς μέρος ἔλεγον. Ταῦτα δ' ἅμα τῷ αὐτῷ ἀδύνατον ὑπάρ-
29 χειν. Εἰ δὲ τὸ ἓν αὐτὸ [y]δεῖ μόνον ἄθετον εἶναι (οὐθενὶ γὰρ διαφέρει ἢ ὅτι ἀρχή), καὶ ἡ μὲν δυὰς διαιρετὴ ἡ δὲ μονὰς οὔ, ὁμοιοτέρα ἂν εἴη τῷ ἑνὶ αὐτῷ ἡ μονάς. Εἰ δ' ἡ μονάς, κἀκεῖνο τῇ μονάδι ἢ τῇ δυάδι· ὥστε προτέρα ἂν εἴη ἑκατέρα [z]ἡ μονὰς τῆς δυάδος. Οὔ φασι δέ· γεννῶσι γοῦν τὴν δυάδα [a]πρῶτον. [v]Ἔτι εἰ [b]ἔστιν ἡ δυὰς ἕν τι αὐτὴ καὶ ἡ [c]τριὰς αὐτή, [d]ἄμφω δυάς. [t]Ἐκ τίνος οὖν [e]αὕτη ἡ δυάς;

9 [t]Ἀπορήσειε δ' ἄν τις καὶ ἐπεὶ ἀφὴ μὲν οὐκ ἔστιν ἐν τοῖς ἀριθμοῖς, τὸ δ' ἐφεξῆς, [f]ὅσων μή ἐστι μεταξὺ μονάδων, οἷον [g]τῶν ἐν τῇ δυάδι ἢ τῇ τριάδι, πότερον ἐφεξῆς τῷ ἑνὶ αὐτῷ ἢ οὔ, καὶ πότερον ἡ δυὰς προτέρα τῶν ἐφεξῆς ἢ τῶν μονά-
2 δων ὁποτεραοῦν. [t]Ὁμοίως δὲ καὶ περὶ τῶν [h]ὕστερον γενῶν τοῦ ἀριθμοῦ συμβαίνει τὰ δυσχερῆ, γραμμῆς τε καὶ ἐπιπέδου καὶ σώματος. [i]Οἱ μὲν γὰρ ἐκ τῶν εἰδῶν τοῦ μεγάλου καὶ τοῦ μικροῦ ποιοῦσιν, οἷον ἐκ μικροῦ μὲν καὶ βραχέος τὰ μήκη, πλατέος δὲ καὶ στενοῦ τὰ ἐπίπεδα, ἐκ βαθέος δὲ καὶ ταπεινοῦ τοὺς ὄγκους· ταῦτα δέ ἐστιν εἴδη τοῦ μεγάλου καὶ μικροῦ.

w καὶ om. E.T.G[b].I[b]. x ἕτερος] ἕτερον T.A[b]. y δεῖ] δὴ I[b]. z ἡ om. I[b]. a πρώτην E. b ἔστιν om. T. c τριὰς αὕτη G[b].I[b]. d ἢ ἄμφω I[b]. e αὐτὴ E. f ὅσον G[b]. g τὸν E. h ὑστέρων T i ἡ T, εἰ G[b].

Τὴν δὲ κατὰ τὸ ἓν ἀρχὴν ἄλλοι ἄλλως τιθέασι τῶν τοιού- 3
των. Καὶ ἐν τούτοις δὲ μυρία φαίνεται τά τε ἀδύνατα καὶ
τὰ πλασματώδη καὶ τὰ ὑπεναντία πᾶσι τοῖς εὐλόγοις. [t]Ἀπο-
λελυμένα τε γὰρ ἀλλήλων συμβαίνει, εἰ μὴ συνακολουθοῦσι
[k]καὶ αἱ ἀρχαί, ὥστ' εἶναι τὸ πλατὺ καὶ στενὸν καὶ μακρὸν
καὶ βραχύ· εἰ δὲ τοῦτο, ἔσται [l]τὸ ἐπίπεδον γραμμὴ καὶ τὸ
στερεὸν ἐπίπεδον. [u]Ἔτι δὲ γωνίαι καὶ σχήματα καὶ τὰ τοι- 4
αῦτα πῶς ἀποδοθήσεται; [m]Ταὐτό τε συμβαίνει τοῖς περὶ
τὸν ἀριθμόν· ταῦτα γὰρ πάθη μεγέθους ἐστίν, ἀλλ' οὐκ ἐκ
τούτων τὸ μέγεθος, ὥσπερ οὐδ' ἐξ εὐθέος καὶ καμπύλου τὸ
μῆκος, οὐδ' ἐκ λείου καὶ [n]τραχέος τὰ στερεά. Πάντων δὲ 5
κοινὸν τούτων ὅπερ ἐπὶ τῶν εἰδῶν τῶν ὡς γένους συμβαίνει
διαπορεῖν, ὅταν τις [o]θῇ τὰ καθόλου, πότερον τὸ ζῷον αὐτὸ
ἐν τῷ ζῴῳ ἢ ἕτερον αὐτοῦ ζῴου. [p]Τοῦτο γὰρ μὴ χωριστοῦ
μὲν ὄντος οὐδεμίαν [q]ποιήσει ἀπορίαν· χωριστοῦ δ', ὥσπερ
οἱ ταῦτα λέγοντές [r]φασι, [s]τοῦ ἑνὸς καὶ [t]τῶν ἀριθμῶν οὐ ῥᾴ-
διον [v]λῦσαι, εἰ μὴ ῥᾴδιον δεῖ λέγειν τὸ ἀδύνατον. [w]Ὅταν 6
γὰρ νοῇ τις ἐν τῇ δυάδι τὸ ἓν καὶ ὅλως ἐν ἀριθμῷ, πότερον
αὐτὸ νοεῖ τι [w]ἢ ἕτερον; Οἱ μὲν οὖν τὰ μεγέθη γεννῶσιν
[x]ἐκ τοιαύτης ὕλης, ἕτεροι δὲ ἐκ τῆς στιγμῆς (ἡ δὲ στιγμὴ
αὐτοῖς δοκεῖ εἶναι οὐχ ἓν ἀλλ' οἷον τὸ ἕν) καὶ ἄλλης [y]ὕλης
οἵας τὸ πλῆθος, ἀλλ' οὐ πλήθους· περὶ ὧν οὐθὲν ἧττον συμ-
βαίνει [z]τὰ αὐτὰ ἀπορεῖν. Εἰ μὲν γὰρ μία ἡ ὕλη, ταὐτὸ 7
γραμμὴ καὶ ἐπίπεδον καὶ στερέον· ἐκ γὰρ τῶν αὐτῶν τὸ
αὐτὸ καὶ ἓν ἔσται. Εἰ δὲ πλείους αἱ ὕλαι, καὶ ἑτέρα μὲν
[a]γραμμῆς ἑτέρα δὲ τοῦ ἐπιπέδου καὶ ἄλλη τοῦ στερεοῦ, ἤτοι
ἀκολουθοῦσιν ἀλλήλαις ἢ οὔ, ὥστε [b]ταὐτὰ συμβήσεται καὶ
οὕτως· ἢ γὰρ οὐχ ἕξει τὸ ἐπίπεδον γραμμὴν ἢ ἔσται γραμμή.
[u]Ἔτι πῶς μὲν ἐνδέχεται εἶναι ἐκ τοῦ ἑνὸς καὶ πλήθους τὸν 8

k καὶ ante αἱ om. $G^b.I^b$. l τὸ] καὶ τὸ T. m ταὐτότητι συμβαίνει G^b. n ταχέως G^b. o θῇ] τιθῇ T. p τούτου T. q πονήσει ἀπορίαν G^b, ἀπορίαν ποιήσει T. r φασι om. $G^b.I^b$. s τὸ G^b. t τὸν ἀριθμὸν T. v διαλῦσαι T. w ἢ om. G^b. x ἐκ τῆς τοιαύτης T. y ὕλης om. I^b. z τὰ αὐτὰ] ταῦτα T. a γραμμὴ ἑτέρα δὲ ἐπίπεδον G^b. b ταῦτα A^b, ταῦτα αὐτὰ G^b.

ἀριθμὸν οὐθὲν ἐπιχειρεῖται· ὅπως δ' οὖν λέγουσι ταὐτὰ [c]συμβαίνει δυσχερῆ ἅπερ καὶ τοῖς ἐκ τοῦ ἑνὸς καὶ ἐκ τῆς δυάδος τῆς ἀορίστου. [t]Ὁ μὲν γὰρ ἐκ τοῦ κατηγορουμένου καθόλου γεννᾷ τὸν ἀριθμὸν καὶ [d]οὐ τινὸς πλήθους, [e]ὁ δ' ἔκ τινος πλήθους, τοῦ πρώτου δέ· τὴν γὰρ δυάδα πρῶτόν τι εἶναι πλῆθος. 9 [v]Ὥστε διαφέρει οὐθὲν [f]ὡς εἰπεῖν, ἀλλ' [f]αἱ ἀπορίαι αὗται ἀκολουθήσουσι, μῖξις ἢ θέσις ἢ κρᾶσις ἢ γένεσις καὶ ὅσα ἄλλα τοιαῦτα. Μάλιστα δ' ἄν τις ἐπιζητήσειεν, [g]εἰ μία ἑκάστη μονάς, ἐκ τίνος ἐστίν· οὐ γὰρ δὴ αὐτό γε τὸ ἓν ἑκάστη. [t]Ἀνάγκη [h]δ' ἢ ἐκ τοῦ ἑνὸς αὐτοῦ [i]εἶναι καὶ πλήθους, ἢ μορίου 10 τοῦ πλήθους. Τὸ μὲν οὖν πλῆθός τι εἶναι φάναι [k]τὴν μονάδα ἀδύνατον, [l]ἀδιαίρετόν [m]γ' οὖσαν· τὸ δ' ἐκ μορίου [n]ἄλλας ἔχει πολλὰς δυσχερείας· ἀδιαίρετόν [o]τε γὰρ ἕκαστον ἀναγκαῖον εἶναι τῶν μορίων, ἢ πλῆθος εἶναι [p]καὶ τὴν μονάδα διαιρετήν, [p]καὶ μὴ στοιχεῖον εἶναι τὸ ἓν καὶ τὸ πλῆθος· ἡ 11 γὰρ μονὰς ἑκάστη οὐκ ἐκ πλήθους καὶ ἑνός. [u]Ἔτι οὐθὲν ἄλλο ποιεῖ ὁ [q]τοῦτο λέγων ἀλλ' ἢ ἀριθμὸν ἕτερον· τὸ γὰρ πλῆθος ἀδιαιρέτων ἐστὶν ἀριθμός. [u]Ἔτι ζητητέον καὶ παρὰ τοὺς οὕτω λέγοντας, πότερον [r]ἄπειρος ὁ ἀριθμὸς ἢ πεπερασμένος. 12 [t]Ὑπῆρχε γάρ, ὡς ἔοικε, καὶ πεπερασμένον πλῆθος, ἐξ οὗ αἱ πεπερασμέναι μονάδες καὶ τοῦ ἑνός· ἐστί τε [s]ἕτερον αὐτὸ πλῆθος καὶ πλῆθος ἄπειρον. Ποῖον οὖν πλῆθος [t]στοιχεῖόν ἐστι καὶ τὸ ἕν; [t]Ὁμοίως δὲ καὶ περὶ στιγμῆς ἄν τις ζητήσειε καὶ τοῦ στοιχείου ἐξ οὗ ποιοῦσι τὰ μεγέθη· οὐ γὰρ μία 13 [v]γε μόνον στιγμή ἐστιν αὕτη. Τῶν γοῦν ἄλλων στιγμῶν ἑκάστη ἐκ τίνος; Οὐ γὰρ δὴ ἔκ [w]γε διαστήματός τινος καὶ αὐτῆς στιγμῆς. [t]Ἀλλὰ μὴν οὐδὲ μόρια ἀδιαίρετα ἐνδέχεται τοῦ διαστήματος εἶναι [x]μόρια, ὥσπερ τοῦ πλήθους ἐξ ὧν αἱ μονάδες· ὁ μὲν γὰρ ἀριθμὸς ἐξ ἀδιαιρέτων σύγκειται, τὰ δὲ

[c] δυσχερῆ συμβαίνει Gᵇ.Iᵇ. [d] οὐ] οὔτι T. [e] ὁ δ'] οὐδ' E. [f] ὡς et αἱ om. Gᵇ. [g] εἰ om. Gᵇ. [h] δ' ἢ] δὴ E.T. [i] καὶ πλήθους εἶναι T. [k] τὴν μονάδα om. T. [l] ἀδιόριστόν E. [m] γ' om. Gᵇ.Iᵇ. [n] ἄλλως Gᵇ. [o] τε om. Gᵇ.Iᵇ. [p] καὶ utramque om. Gᵇ. [q] λέγων τοῦτο T. [r] ὁ ἀριθμὸς ἄπειρος T. [s] αὐτὸ ἕτερον T. [t] καὶ στοιχεῖόν ἐστι T. [v] γε μόνον om. Gᵇ. [w] τε T. [x] μόριον Gᵇ.

μεγέθη οὔ. Πάντα δὴ ταῦτα καὶ ἄλλα τοιαῦτα φανερὸν 14
ποιεῖ ὅτι ἀδύνατον εἶναι τὸν [y]ἀριθμὸν καὶ τὰ μεγέθη χω-
ριστά. [1]Ἔτι δὲ τὸ διαφωνεῖν τοὺς [z]πρώτους [a]περὶ τῶν ἀρι-
θμῶν σημεῖον ὅτι τὰ πράγματα [b]ταῦτα οὐκ ὄντα ἀληθῆ
παρέχει τὴν ταραχὴν αὐτοῖς. Οἱ μὲν γὰρ τὰ μαθηματικὰ 15
μόνον ποιοῦντες [c]παρὰ τὰ αἰσθητά, ὁρῶντες τὴν περὶ τὰ
εἴδη δυσχέρειαν καὶ πλάσιν, ἀπέστησαν ἀπὸ τοῦ εἰδητικοῦ
ἀριθμοῦ καὶ τὸν μαθηματικὸν ἐποίησαν· οἱ δὲ τὰ εἴδη βου-
λόμενοι ἅμα καὶ ἀριθμοὺς ποιεῖν, οὐχ ὁρῶντες δέ, [d]εἰ τὰς
ἀρχάς [e]τις [f]ταύτας θήσεται, πῶς ἔσται ὁ μαθηματικὸς ἀρι-
θμὸς παρὰ τὸν εἰδητικόν, τὸν αὐτὸν εἰδητικὸν καὶ μαθηματι-
κὸν ἐποίησαν ἀριθμὸν τῷ λόγῳ, ἐπεὶ ἔργῳ [g]γε ἀνήρηται ὁ
μαθηματικός· [h]ἰδίας γὰρ [i]καὶ οὐ μαθηματικὰς ὑποθέσεις λέ-
γουσιν. [1]Ὁ δὲ πρῶτος θέμενος τά [k]τε εἴδη εἶναι καὶ ἀρι- 16
θμοὺς τὰ εἴδη καὶ τὰ [l]μαθηματικὰ εἶναι εὐλόγως ἐχώρισεν.
[1]Ὥστε πάντας συμβαίνει κατὰ μέν τι λέγειν ὀρθῶς, ὅλως δ'
οὐκ ὀρθῶς. Καὶ αὐτοὶ δὲ ὁμολογοῦσιν οὐ ταὐτὰ λέγοντες
ἀλλὰ τἀναντία. Αἴτιον δ' ὅτι αἱ ὑποθέσεις καὶ αἱ ἀρχαὶ
ψευδεῖς. Χαλεπὸν δ' ἐκ μὴ καλῶς ἐχόντων λέγειν [m]καλῶς, 17
κατ' [1]Ἐπίχαρμον· ἀρτίως [n]τε γὰρ λέλεκται, καὶ εὐθέως φαί-
νεται οὐ καλῶς ἔχον. [1]Ἀλλὰ περὶ μὲν τῶν ἀριθμῶν ἱκανὰ
τὰ διηπορημένα καὶ διωρισμένα· μᾶλλον γὰρ [o]ἐκ πλειόνων
ἂν ἔτι πεισθείη τις πεπεισμένος, [p]πρὸς δὲ τὸ πεισθῆναι μὴ
πεπεισμένος οὐθὲν μᾶλλον. Περὶ δὲ τῶν πρώτων ἀρχῶν καὶ 18
τῶν πρώτων αἰτίων καὶ στοιχείων ὅσα μὲν λέγουσιν οἱ περὶ
μόνης τῆς αἰσθητῆς οὐσίας διορίζοντες, τὰ μὲν ἐν τοῖς περὶ
φύσεως εἴρηται, τὰ δ' οὐκ ἔστι τῆς μεθόδου τῆς νῦν· ὅσα δὲ
οἱ φάσκοντες εἶναι παρὰ τὰς αἰσθητὰς ἑτέρας οὐσίας, ἐχό-
μενόν ἐστι θεωρῆσαι τῶν εἰρημένων. [1]Ἐπεὶ οὖν λέγουσί τινες 19

[y] ἀριθμὸν χωριστὸν καὶ τὰ μεγέθη. ὅτι δὲ Gᵇ.Iᵇ. [z] πρώτους] τρόπους T.Aᵇ, τόπους Gᵇ.Iᵇ. [a] περὶ om. Gᵇ. [b] αὐτὰ E. [c] περὶ T. [d] εἰς E.Gᵇ.Iᵇ. [e] τις om. T. [f] ταῦτα Gᵇ. [g] γε om. Gᵇ. [h] ἰδέας E.Gᵇ.Iᵇ. [i] καὶ om. Aᵇ. [k] τε add. Gᵇ.Iᵇ. [l] μαθηματικὰ ὡς λόγος ἐχώρησεν Gᵇ. [m] καλῶς om. Gᵇ. [n] τε om. T. [o] ἂν ἐκ πλειόνων T. [p] πρὸς— πεπεισμένος om. Gᵇ.

τοιαύτας εἶναι τὰς ἰδέας καὶ τοὺς ἀριθμούς, καὶ τὰ τούτων στοιχεῖα [q]τῶν ὄντων εἶναι στοιχεῖα καὶ ἀρχάς, σκεπτέον
20 περὶ τούτων τί λέγουσι καὶ πῶς λέγουσιν. Οἱ μὲν οὖν ἀριθμοὺς ποιοῦντες μόνον καὶ τούτους μαθηματικοὺς ὕστερον ἐπισκεπτέοι· τῶν δὲ τὰς ἰδέας λεγόντων ἅμα τόν τε τρόπον θεάσαιτ' [r]ἄν τις καὶ τὴν ἀπορίαν τὴν περὶ αὐτῶν. [v]Ἅμα [s]γὰρ καθόλου [t]τε ὡς οὐσίας ποιοῦσι τὰς ἰδέας καὶ πάλιν ὡς
21 χωριστὰς καὶ τῶν καθ' ἕκαστον. Ταῦτα δ' ὅτι οὐκ ἐνδέχεται διηπόρηται πρότερον. Αἴτιον δὲ [v]τοῦ συνάψαι ταῦτα εἰς ταὐτὸν τοῖς λέγουσι τὰς ἰδέας καθόλου, ὅτι τοῖς αἰσθητοῖς οὐ τὰς αὐτὰς οὐσίας ἐποίουν. Τὰ μὲν οὖν ἐν τοῖς αἰσθητοῖς καθ' ἕκαστα ῥεῖν ἐνόμιζον καὶ μένειν οὐθὲν αὐτῶν, τὸ δὲ καθόλου παρὰ ταῦτα εἶναί [w]τε καὶ ἕτερόν τι εἶναι.
22 Τοῦτο δ', ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ἐκίνησε μὲν Σωκράτης διὰ τοὺς ὁρισμούς, οὐ μὴν ἐχώρισέ γε τῶν καθ' ἕκαστον· καὶ τοῦτο ὀρθῶς ἐνόησεν οὐ χωρίσας. Δηλοῖ δὲ ἐκ τῶν ἔργων· ἄνευ μὲν γὰρ [x]τοῦ καθόλου οὐκ ἔστιν ἐπιστήμην λαβεῖν, τὸ δὲ χωρίζειν αἴτιον τῶν συμβαινόντων δυσ-
23 χερῶν περὶ τὰς ἰδέας ἐστίν. Οἱ δ' ὡς ἀναγκαῖον, εἴπερ ἔσονταί τινες οὐσίαι [y]παρὰ τὰς αἰσθητὰς καὶ ῥεούσας, [z]χωριστὰς εἶναι, ἄλλας μὲν οὐκ εἶχον, ταύτας δὲ τὰς καθόλου λεγομένας ἐξέθεσαν, ὥστε [a]συμβαίνειν σχεδὸν τὰς αὐτὰς φύσεις εἶναι τὰς καθόλου καὶ τὰς καθ' ἕκαστον. Αὖτη μὲν οὖν αὐτὴ καθ' αὐτὴν εἴη τις ἂν δυσχέρεια τῶν [b]εἰρημένων.
10 [u]Ὁ δὲ καὶ τοῖς λέγουσι τὰς ἰδέας ἔχει τινὰ ἀπορίαν καὶ τοῖς μὴ λέγουσιν, [c]καὶ κατ' ἀρχὰς ἐν τοῖς διαπορήμασιν ἐλέχθη πρότερον, [d]λέγωμεν νῦν. Εἰ μὲν γάρ [e]τις μὴ θήσει τὰς οὐσίας εἶναι κεχωρισμένας, καὶ τὸν τρόπον τοῦτον ὡς λέγεται τὰ καθ' ἕκαστα τῶν ὄντων, ἀναιρήσει τὴν οὐσίαν, ὡς βουλόμεθα λέγειν· ἂν δέ [f]τις θῇ τὰς οὐσίας χωριστάς,

[q] τῶν—στοιχεῖα om. Gᵇ. [r] ἄν om. T. [s] γὰρ om. Gᵇ. [t] τε ὡς Gᵇ.Iᵇ: vulgo τέως. [v] τὸ συνάψαι ταυτὸ εἰ ταυτὸν T. [w] τε om. Gᵇ.Iᵇ. [x] τοῦ] τῶν T. [y] παρὰ] ὑπὲρ Gᵇ. [z] χωρὶς T. [a] συμβαίνει T. [b] λεγομένων Gᵇ. [c] καὶ ante κατ' om. T. [d] λέγομεν E.Gᵇ.Iᵇ. [e] τις μαθήσει T. [f] τις τιθῇ E.T.Iᵇ.

g πῶς θήσει τὰ στοιχεῖα καὶ τὰς ἀρχὰς αὐτῶν; Εἰ μὲν γὰρ 2
καθ' ἕκαστον καὶ μὴ καθόλου, τοσαῦτ' ἔσται τὰ ὄντα ὅσαπερ
τὰ στοιχεῖα, καὶ οὐκ ἐπιστητὰ τὰ στοιχεῖα. Ἔστωσαν γὰρ
αἱ μὲν ἐν τῇ φωνῇ συλλαβαὶ οὐσίαι, τὰ δὲ στοιχεῖα αὐτῶν
στοιχεῖα τῶν οὐσιῶν· ἀνάγκη h δὴ τὸ B A i ἓν εἶναι καὶ ἑκά-
στην τῶν συλλαβῶν μίαν, εἴπερ μὴ καθόλου καὶ τῷ εἴδει αἱ
αὐταί, ἀλλὰ μία ἑκάστη τῷ ἀριθμῷ καὶ τόδε τι καὶ μὴ ὁμώ-
νυμον. Ἔτι δ' αὐτὸ ὅ ἐστιν ἓν ἕκαστον τιθέασιν· k εἰ δ' αἱ 3
συλλαβαί, οὕτω καὶ ἐξ ὧν εἰσίν· οὐκ ἔσται ἄρα πλείω ἄλφα
ἑνός, οὐδὲ τῶν ἄλλων l στοιχείων οὐθὲν κατὰ τὸν αὐτὸν λό-
γον ὅνπερ οὐδὲ τῶν ἄλλων συλλαβῶν ἡ αὐτὴ ἄλλη καὶ ἄλλη.
Ἀλλὰ μὴν εἰ τοῦτο, οὐκ ἔσται παρὰ τὰ στοιχεῖα ἕτερα
ὄντα, ἀλλὰ μόνον τὰ στοιχεῖα. Ἔτι m δὲ οὐδ' ἐπιστητὰ τὰ 4
στοιχεῖα· οὐ γὰρ καθόλου, ἡ δ' ἐπιστήμη τῶν καθόλου. Δῆ-
λον δ' ἔκ n τε τῶν ἀποδείξεων καὶ τῶν ὁρισμῶν· οὐ γὰρ γίγ-
νεται συλλογισμὸς ὅτι τόδε τὸ τρίγωνον δύο ὀρθαῖς, εἰ μὴ
πᾶν o τρίγωνον δύο p ὀρθαῖς, οὐδ' ὅτι ὁδὶ ὁ ἄνθρωπος ζῷον,
εἰ μὴ πᾶς ἄνθρωπος ζῷον. Ἀλλὰ μὴν εἴγε καθόλου αἱ ἀρ- 5
χαὶ ἢ q καὶ ἐκ τούτων r οὐσίαι καθόλου, s ἔσται μὴ οὐσία
πρότερον οὐσίας· τὸ μὲν γὰρ καθόλου οὐκ οὐσία, τὸ δὲ στοι-
χεῖον καὶ ἡ ἀρχὴ καθόλου· t πρότερον δὲ τὸ στοιχεῖον καὶ ἡ
ἀρχὴ ὧν ἀρχὴ καὶ στοιχεῖόν v ἐστιν. Ταῦτά w τε δὴ πάντα 6
συμβαίνει εὐλόγως, ὅταν ἐκ στοιχείων τε ποιῶσι τὰς ἰδέας
καὶ παρὰ τὰς τὸ αὐτὸ εἶδος ἐχούσας οὐσίας καὶ ἰδέας ἕν τι
ἀξιῶσιν εἶναι κεχωρισμένον. Εἰ x δὲ μηθὲν κωλύει ὥσπερ
ἐπὶ τῶν τῆς φωνῆς στοιχείων πολλὰ εἶναι τὰ ἄλφα καὶ τὰ
βῆτα y καὶ μηθὲν εἶναι παρὰ τὰ πολλὰ αὐτὸ ἄλφα καὶ αὐτὸ
βῆτα, ἔσονται z ἕνεκά γε τούτου ἄπειροι a αἱ ὅμοιαι συλλα-
βαί. Τὸ δὲ τὴν ἐπιστήμην εἶναι καθόλου πᾶσαν, ὥστε 7

g πῶς θήσει] προθήσει T. h δὲ T.Ab. i ἓν om. Ab. k εἰ] ἐὰν E.
l στοιχείων—ἄλλων om. Gb. m δὲ om. T. n τε om. Ab. o τρί-
γωνον post πᾶν om. Ab. p ὀρθαί E.T.Ab. q καὶ] καὶ αἱ Ab. r οὐσίαι
αἱ καθόλου E, οὐσίαι ἢ καθόλου T. s ἔσται τι μὴ Gb.Ib. t πότερον γὰρ
στοιχεῖον T. v ἔσται Gb. w τε om. T. x τε Gb. y καὶ μηθὲν—
αὐτὸ βῆτα om. Gb.Ib. z γε ἕνεκα T. a αἱ] καὶ Gb.

